Toronto University Library

Presented by

The Revd. H. H. Halford-Adcock M.A.

through the Committee formed in

The Old Country

to aid in replacing the loss caused by

The disastrous Fire of February the 14th 1890

Gr. L.
B.

# ORATORES ATTICI

EX RECENSIONE

IMMANUELIS BEKKERI.

TOMUS IV.

DEMOSTHENES.

PARS PRIMA.

OXONII,
E TYPOGRAPHEO CLARENDONIANO.
MDCCCXXIII.

Digitized by the Internet Archive
in 2010 with funding from
University of Toronto

http://www.archive.org/details/oratoresattici41bekk

# DEMOSTHENES.

EX RECENSIONE

IMMANUELIS BEKKERI.

PARS PRIMA.

OXONII,

E TYPOGRAPHEO CLARENDONIANO.

MDCCCXXIII.

S9AV
6

# CODICES DEMOSTHENIS.

F. Marcianus 416, membranaceus, forma maxima, foliis 322, post undecimum bipartitis. Inest, post Libanii argumenta (f. 1—11) et orationum 68 epistolarumque indicem, (f. 12) Demosthenes, et inde a f. 321 Lysiæ oratio funebris, scripta illa ab eadem, ut opinor, manu ductibus minutis et compendiatis, quales esse solent scholiorum. Scholia post folium 19 rarescunt.

P. Laurentianus plut. 59. cod. 9. manu scriptus eadem qua Aristophanes Ravennas.

S. Parisiensis Regius 2934 (olim 125 et 2137), membranaceus, f. maxima, foliis 533, paginis bipartitis, versibus tricenis aut binis et tricenis, una manu scriptus, quanquam grandioribus sub finem litteris. *βιβλίον μονῆς τῶν σωσάνδρων ἔχον φύλλα πεντακόσια δέκα τετραδία ἑξήκοντα τέσσαρα.* Margo lectiones habet varias a variis manibus additas: habet et analysin rhetoricam. Orationum ordinem vide in catalogo Bibliothecæ Regiæ: sed post Halonnesiacam adde *περὶ εἰρήνης*. Plerisque subscriptum Δ i. e. *διώρθωται*, subscriptus et numerus versuum. Argumenta non omnia ab antiqua manu sunt.

Y. Parisiensis Regius 2935 (olim 2819), membranaceus, f. max., foliis 301, versibus plerumque 36, ab initio ad folium octavum 46, ubi recentior manus est (f. 9—26 = 81, 12 Reisk.) 34. Folio 5 imo; *liber hic est iohannis n. . . . ilini civis patavini.*

Q. Marcianus 418, membranaceus, f. quadrata, foliis 378, orationes habet 32, quarum prima est De Corona. Habet et procœmia et epistolas.

O. 43, societatis Jesu Antverpiæ, chartaceus f. max., paginis

539. Insunt Olynthiacæ, Philippicæ, de Rhodiorum libertate, de corona, de falsa legatione, ad epistolam, de syntaxi, de symmoriis, de Megalopolitanis, de fœdere, Leptinea, Midiana, Aristocratea, Androtionea, Timocratea, Aristog., Neæra, Amatoria, Funebris, procemia. Argumenta post falsam legationem desunt. Lectio proxime accedit ad S.

k. Parisiensis Regius 2998 (olim 264 et 2766) bombycinus, f. quadrata, ff. 389, ab initio mutilus.

o. Parisiensis Regius 2043.

p. ———————— 2508.

q. ———————— 2844.

r. ———————— 2936 (olim 380 et 2188 inter Colbertinos 3769, in catalogo codicum Græcorum Nicolai Rodulphi cardinalis 17) membranaceus, f. max., foliis 283, manu scriptus eadem qua Platonicus C. Orationum quæ insunt hic ordo est: Olynthiacæ, Philippicæ, ad epistolam, de Chersoneso, de Halonneso, de pace, in Androtionem, in Timocratem, de syntaxi, de symmoriis, pro Rhodiis, pro Megalopolitis, de corona, de falsa legatione, Leptinea, Midiana, in Aristogitonem, in Aristocratem, in Neæram, Amatoria, Funebris, epistola Philippi, in Cononem, in Calliclem, in Olympiodorum, in Dionysodorum, in Aphobum, in Onetorem, in Pantænetum, in Lacritum, in Nausimachum et Xenopithem, in Phormionem, in Zenothemin, pro Phormione, in Apaturium, de fœdere Alexandri, de corona navali, in Macartatum, in Leocharem, in Bœotum, in Spudiam, in Timotheum, in Nicostratum, in Phænippum, in Polyclem, in Eubulidem, in Theocrinem, procemia. Scholia pleraque rubrica scripta sunt. Argumenta eis orationibus desunt, quæ apud Reiskium in secundo volumine sunt.

s. Parisiensis Regius 2940, bombycinus, f. quadrata, foliis 334.

t. ———————— 2994, membranaceus.

u. —— Coislinianus 324, chartaceus, f. max., foliis 239,

γρ. ἐπιλωάθη
ἐγράφει τὸ παρὸν βιβλίον διὰ χειρὸς ἐμοῦ ἰωάννου ἱερέως τοῦ ῥόσου

*ᾳ*$^{\tilde{\omega}}$ *υ*$^{\tilde{\omega}}$ *ξβ*$^{\tilde{\omega}}$ *μηνὸς νοεμβρίου κζ*$^{\eta}$. Insunt, inde a folio 69, post vitam Demosthenis, Olynthiacæ tres, Philippicæ quattuor, de pace, de Halonneso, de Chersoneso, de Rhodiorum libertate, de corona, de falsa legatione.

v. Parisiensis Coislinianus 339, membranaceus, foliis 366 in duo volumina divisis, quorum alterum a f. 192 incipit. Manus Platonico Γ similis. Orationes insunt eæ quæ Y. insunt, et argumenta Libanii. Scholia desunt.

Numeri in dextro margine uniuscujusque paginæ indicant paginas et versus editionis Reiskianæ.

# INDEX ORATIONUM

## DEMOSTHENIS.


Περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, pag. 230.
Περὶ Ἁλοννήσου. 82.
Κατὰ Ἀνδροτίωνος. 659.
Πρὸς Ἀπατούριον. 988.
Κατὰ Ἀριστογείτονος α. 858.
. . . . . . . β. 895.
Κατὰ Ἀριστοκράτους. 692.
Κατὰ Ἀφόβου α. 907.
. . . . β. 930.
Πρὸς Ἄφοβον ψευδομαρτυριῶν. 939.
Πρὸς Βοιωτὸν περὶ τοῦ ὀνόματος. 1094.
. . . . . περὶ προικός. 1109.
Κατὰ Διονυσοδώρου. 1393.
Περὶ Εἰρήνης. 61.
Ἐπιτάφιος. 1507.
Ἐρωτικός. 1520.
Πρὸς Εὐβουλίδην. 1409.
Κατὰ Εὐέργου καὶ Μνησιβούλου. 1243.
Πρὸς Ζηνόθεμιν. 977.
Κατὰ Θεοκρίνου. 1433.
Πρὸς Καλλικλέα. 1381.
Πρὸς Κάλλιππον. 1343.
Κατὰ Κόνωνος. 1365.
Πρὸς Λάκριτον. 1020.
Πρὸς Λεπτίνην. 509.
Πρὸς Λεωχάρη 1184.
Πρὸς Μακάρτατον. 1154.
Ὑπὲρ Μεγαλοπολιτῶν. 220.
Κατὰ Μειδίου. 571.
Πρὸς Ναυσίμαχον καὶ Ξενοπείθη 1084.
Κατὰ Νεαίρας. 1459.
Πρὸς Νικόστρατον. 1354.
Κατὰ Ὀλυμπιοδώρου. 1269.
Ὀλυνθιακὸς α. 9.
. . . . β. 20.
. . . . γ. 31.
Πρὸς Ὀνήτορα α. 959.
. . . . . β. 972.
Πρὸς Πανταίνετον. 1062.
Παραπρεσβείας. 369.
Πρὸς Πολυκλέα 1312.
Περὶ τῆς Ῥοδίων ἐλευθερίας 207.
Πρὸς Σπουδίαν. 1130.
Κατὰ Στεφάνου α. 1207.
. . . . . . β. 1234.
Περὶ τοῦ Στεφάνου. 241.
Περὶ τοῦ Στεφάνου τῆς τριηραρχίας. 1336.
Περὶ Συμμοριῶν. 193.
Περὶ Συντάξεως. 181.
Πρὸς Τιμόθεον. 1289.
Κατὰ Τιμοκράτους. 777.
Πρὸς Φαίνιππον. 1142.
Κατὰ Φιλίππου α. 43.
. . . . . . β. 70.
. . . . . . γ. 119.
. . . . . . δ. 143.
Ἐπιστολὴ Φιλίππου. 173.
Πρὸς τὴν ἐπιστολὴν τὴν Φιλίππου. 166.
Πρὸς Φορμίωνα. 1002.
Ὑπὲρ Φορμίωνος. 1040.
Περὶ τῶν ἐν Χεῤῥονήσῳ. 96.
Ἐπιστολαί. (ϛ.) pag. 1587.
Περὶ τῆς Ἀντιφίλου ἐπιστολῆς. 1614.
Πρὸς Ἡρακλεόδωρον. 1613.

Πρὸς τὰς Θηραμένους βλασφημίας. 1609.
Περὶ τῆς ἰδίας Καθόδου. 1591.
Περὶ τῶν Λυκούργου παίδων. 1598.
Περὶ τῆς Ὁμονοίας. 1587.
Προοίμια (νϛ.) pag. 1539.

# ΔΗΜΟΣΘΕΝΗΣ.

# [a] ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ

## [b] ΠΡΟΣ [c] ΑΝΘΥΠΑΤΟΝ ΜΟΝΤΙΟΝ

### ΑΞΙΩΣΑΝΤΑ ΑΥΤΟΝ ΓΡΑΨΑΙ ΟΙ ΤΟΝ ΤΕ ΔΗΜΟΣΘΕΝΟΥΣ ΒΙΟΝ ΚΑΙ ΤΑΣ ΑΠΑΝΤΩΝ ΤΩΝ ΛΟΓΩΝ ΑΥΤΟΥ ΥΠΟΘΕΣΕΙΣ.

ΕΠΕΙΔΗ, κράτιστε ἀνθυπάτων Μόντιε, κατὰ τὸν Ὁμηρικὸν 1
Ἀστεροπαῖον περιδέξιος τὰ εἰς λόγους ὢν πρωτεύεις μὲν ἐν τῇ Ῥωμαίων φωνῇ καὶ τῆς παρ' ἐκείνοις παιδείας ὁμολογουμένως τὸ πρεσβεῖον ἀνῄρησαι, ἀμελεῖς δὲ οὐδὲ τῆς Ἑλληνικῆς, ἅτε καὶ ἐν αὐτῇ διὰ τὸ τῆς φύσεως μέγεθος ὑπερέχειν δυνάμενος, ἀλλὰ περί τε τοὺς ἄλλους διατρίβεις καὶ περὶ [d] τὸν τελεώτατον τῶν Ἑλληνικῶν [e] ῥητόρων, τὸν Δημοσθένην, καὶ δὴ καὶ ἡμᾶς ἐβουλήθης τὰς ὑποθέσεις τῶν τούτου λόγων ἀναγράψασθαί σοι, δεχόμεθα μὲν ἄσμενοι τὸ πρόσταγμα (ἴσμεν γὰρ ὅτι πλείω τὴν τιμὴν ἢ πόνον ἔχει), [f] ἀρξόμεθα δὲ τοῦ συντάγματος
ἀπὸ τοῦ βίου τοῦ ῥήτορος, οὐχ ὅλον αὐτὸν διεξιόντες (περιττὸν 2
γὰρ τοῦτο) ἀλλὰ τοσούτων μνημονεύοντες, [g] ὅσα δοκεῖ καὶ πρὸς κατάληψιν ἀκριβεστέραν τῶν λόγων [h] συντελεῖν.

Δημοσθένει τοίνυν τῷ ῥήτορι πατὴρ ἦν Δημοσθένης, ἀνεπίληπτος τῷ γένει δοκῶν, [i] ὡς καὶ Αἰσχίνης ἐχθρὸς ὢν μαρτυρεῖ (εἴρηται γοῦν οὕτως αὐτοῖς ῥήμασι "τούτῳ πατὴρ μὲν ἦν Δη-"μοσθένης ὁ [k] Παιανιεύς, ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ [l] ψεύ-

[a] ΛΙΒΑΝΙΟΥ — ΥΠΟΘΕΣΕΙΣ] δημοσθένους βίος u. om. O.
[b] ΠΡΟΣ—ΥΠΟΘΕΣΕΙΣ om. F.
[c] ΑΝΘΥΠΑΤΟΝ] ἀνθιπάτων O.
[d] τὸν] τὸ O.
[e] ῥητόρων] ῥημάτων F.
[f] ἀρξόμεθα] ἀρξώμεθα u.
[g] ὅσα] ὅσω O.
[h] συντελεῖν] συντελῆ u.
[i] ὡς καὶ] ὅπερ καὶ O. ὅπέρ ἐστι u.
[k] Παιανιεύς] παιανεὺς O.
[l] ψεύσασθαι] ψεύδεσθαι F.

“ σασθαι”), ἐργαστήριον δὲ οἰκετῶν μαχαιροποιῶν κεκτημένος ἐντεῦθεν τὴν τοῦ μαχαιροποιοῦ κλῆσιν ἔλαβε. τὸ μέντοι μητρῷον γένος τοῦ ῥήτορος οὐκ ἦν, ὥς φασι, καθαρῶς Ἀττικόν, Γύλωνος τοῦ πάππου τοῦ Δημοσθένους φυγόντος μὲν ἐξ Ἀθηνῶν ἐπὶ προδοσίας ἐγκλήματι, οἰκήσαντος δὲ περὶ τὸν Πόντον, κἀκεῖ γυναῖκα [m]ἀγαγομένου Σκύθιν τὸ γένος, ἐξ ἧς ἦν τοῦ Δημοσθένους ἡ μήτηρ Κλεοβούλη. εἰς τοῦτο γοῦν ἄλλοι [n]τε λελοιδορήκασι καὶ Αἰσχίνης, εἰπὼν ὡς ἄρα εἴη Σκύθης, βάρβαρος ἑλληνίζων τῇ φωνῇ. περὶ μὲν [o]οὖν τοῦ γένους αὐτοῦ τοσαῦτα εἰρήσθω· ὀρφανὸς δὲ καταλειφθεὶς ὑπὸ τοῦ πατρὸς κομιδῇ νέος ἦν μέν, ὥς φασιν, ἀσθενὴς τῷ σώματι καὶ νοσώδης, ὥστε μηδὲ εἰς παλαίστραν φοιτῆσαι, καθάπερ πάντες οἱ τῶν Ἀθηναίων παῖδες εἰώθεσαν· ὅθεν καὶ ἀνδρωθεὶς ὑπὸ τῶν ἐχθρῶν εἰς μαλακίαν ἐσκώπτετο καὶ [p]Βάταλος [q]ἐπωνυμίαν ἔσχεν. ἱστόρηται γάρ τινα Βάταλον Ἐφέσιον αὐλητὴν γενέσθαι, ὃς πρῶτος ὑποδήμασι γυναικείοις ἐπὶ τῆς σκηνῆς [r]ἐχρήσατο καὶ μέλεσι κατεαγόσι, καὶ ὅλως τὴν τέχνην ἐμάλθαξεν· ἀπὸ τούτου δὲ τοὺς ἐκλύτους καὶ ἀνάνδρους Βατάλους ἐκάλουν.

Λέγεται δὲ [s]τὸν Δημοσθένην τὴν πολλὴν καὶ σφοδρὰν ἐπὶ λόγους ὁρμὴν ἐντεῦθεν σχεῖν. Καλλίστρατος ἦν Ἀθηναῖος ῥήτωρ ἔνδοξος· οὗτος ἔμελλε δημοσίαν τινὰ δίκην ἀγωνίζεσθαι, 3
φασίν, οἶμαι, τὴν περὶ Ὠρωποῦ. ὁ τοίνυν Δημοσθένης παῖς ὢν ἐδεῖτο τοῦ ἐφεστῶτος οἰκέτου συγχωρῆσαι [t]παραβαλεῖν αὐτῷ τῇ δίκῃ· καὶ ὃς ἐπέτρεψεν. ἀκούσας δὲ οὕτω διετέθη, ὥστε ἀπ' ἐκείνης τῆς ὥρας πάντα πάρεργα πρὸς τοὺς λόγους θέσθαι. διδασκάλῳ δὲ χρησάμενος Ἰσαίῳ, μάλα δεινῷ ῥήτορι, εἰς ἄνδρας ἐγγραφεὶς εὐθὺς ἀγῶνα κατὰ τῶν ἐπιτρόπων [u]ἐνεστήσατο, κακῶς διῳκηκότων τὴν οὐσίαν αὐτοῦ. καὶ εἷλε μὲν αὐτούς, [x]οὐ

[m] ἀγαγομένου H. Wolfius: libri enim ἀγομένου.

[n] τε om F. O. u.

[o] οὖν om. u.

[p] Βάταλος F. O. u. vulg. Βάτταλος. Similiter infra.

[q] ἐπωνυμίαν] τὴν ἐπωνυμίαν O.

[r] ἐχρήσατο ante ἐπὶ ponit O.

[s] τὸν Δημοσθένην vulg. post ὁρμὴν ponunt.

[t] παραλαβεῖν] παραβαλεῖν O.

[u] ἐνεστήσατο] ἀνεστήσατο F.

[x] οὐ om. O.

μὴν ἠδυνήθη πάντα ἀπολαβεῖν, ὅσα ἀπολώλεκε. τοὺς δὲ λόγους τοὺς ἐπιτροπικοὺς εἰσὶν οἵ φασιν Ἰσαίου καὶ οὐ Δημοσθένους εἶναι, διὰ τὴν ἡλικίαν τοῦ ῥήτορος ἀπιστοῦντες (ὀκτωκαίδεκα γὰρ ἐτῶν ἦν, ὅτε πρὸς τούτους ἠγωνίζετο) καὶ ὅτι δοκοῦσιν οἱ λόγοι [y] τὸ τοῦ Ἰσαίου πως ἐπιφαίνειν εἶδος. ἕτεροι δὲ νομίζουσι συντετάχθαι μὲν ὑπὸ Δημοσθένους, [z] διωρθῶσθαι δὲ ὑπὸ τοῦ Ἰσαίου. [a] οὐδὲν [b] δὲ θαυμαστόν, εἰ ὁ Δημοσθένης ἠδύνατο μὲν καὶ ἀπ' ἐκείνης τῆς ἡλικίας συγγράφειν τοιούτους λόγους (ἡ γὰρ ὕστερον ὑπεροχὴ καὶ τοῦτο πιστοῦται), ἀπὸ δὲ νεαρᾶς ἔτι τῆς ἀσκήσεως τῆς ὑπὸ τῷ διδασκάλῳ τὸν ἐκείνου χαρακτῆρα πολλαχῇ μεμίμηται. [c] μετὰ μέντοι [d] τούτους τοὺς ἀγῶνας βραχὺ τῇ ἡλικίᾳ προελθὼν σοφιστεύειν [e] ἐνεχείρησεν, εἶτα ἀπαλλαγεὶς τούτου συνηγόρησεν ἐν δικαστηρίῳ. τούτοις δὲ ὥσπερ γυμνασίοις χρησάμενος, ἐπὶ τὸ δημαγωγεῖν καὶ τὰ τῆς πόλεως πράττειν ἦλθεν.

Ἔτι [f] κἀκείνων μνημονευτέον, ὅτι τραυλὸς μὲν ἦν τὴν γλῶτταν ἐκ φύσεως, τὸ δὲ πνεῦμα ἀτονώτερος· ἐξ ὧν ἀμφοτέρων συνέβαινε φαυλοτάτην αὐτὸν τὴν ὑπόκρισιν παρεχόμενον οὐκ εὐδοκιμεῖν τὸ κατ' ἀρχὰς ἐπὶ τοῖς λόγοις. διὸ καὶ πρὸς τὸν ἐρωτήσαντα "τί ἐστι ῥητορική" ἀπεκρίνατο ὅτι ὑπόκρισις, δυσχεραίνων ὅτι διὰ ταύτην τῶν χειρόνων [g] ἥττων ἐφαίνετο. ἀλλὰ 4
καὶ ταῦτα μελέτῃ κατώρθωσε καὶ ὅσα ἄλλα αὐτῷ πρὸς δημαγωγίαν ὑπῆν ἐλαττώματα. καὶ γὰρ δειλὸς ἦν τὸ πρῶτον πρὸς τοὺς τοῦ δήμου θορύβους καὶ εὐκατάπληκτος, ὥστε εὐθὺς ἐξίστασθαι. διὰ δὲ τοῦτο φασὶν αὐτὸν ἄνεμον ῥαγδαῖον τηροῦντα καὶ κινουμένην σφοδρῶς τὴν θάλατταν, παρὰ τοὺς αἰγιαλοὺς βαδίζοντα λέγειν, καὶ τῷ τῆς θαλάττης ἤχῳ συνεθίζεσθαι φέρειν τὰς τοῦ δήμου καταβοάς. μνημονεύονται δὲ αὐτοῦ καὶ οἰκήσεις [h] κατάγειοι καὶ ξυρήσεις ἀπρεπεῖς, ἵνα δι' αἰσχύνην μὴ

[y] τὸ om. O. u.
[z] διωρθῶσθαι] διορθοῦσθαι F.O.u.
[a] οὐδὲν] οὐδὲ u.
[b] δὲ om. O. u.
[c] μετὰ] κατὰ O.
[d] τούτους τοὺς ἀγῶνας] τοῦτον τὸν ἀγῶνα O.
[e] ἐνεχείρησεν] ἐνεχείρισεν O. u.
[f] κἀκείνων] κακεῖνο O.
[g] ἥττων] ἧττον F.
[h] κατάγειοι] κατάγοι u.

προΐοι τοῦ τῆς οἰκίας δωματίου, καὶ ὡς οὐδὲ τὰς νύκτας ἐκάθευδεν, ἀλλὰ διεπονεῖτο πρὸς φῶς περὶ λόγους. ὅθεν καὶ [i]Πυθέας σκώπτων ἔφη τοὺς λόγους τοῦ Δημοσθένους λύχνων ἀπόζειν. πρὸς ὃν ὁ Δημοσθένης ἀστείως ἅμα καὶ πικρῶς "οἶδα" εἶπεν, "ὅτι σε λυπῶ λύχνον καίων·" διεβέβλητο γὰρ ὡς λωποδυτῶν νύκτωρ ὁ Πυθέας. καὶ μὴν ὅτι τε ὕδωρ ἐπετήδευε πίνειν, ἵνα ἐγρηγορυῖαν μᾶλλον παρέχηται τὴν διάνοιαν, ἅπασιν ὡμολόγηται, παρειλήφαμεν δὲ κἀκεῖνο, ὡς καὶ ξίφος ποτὲ ἐκ τῆς ὀροφῆς ἀπήρτησε καὶ ἱστάμενος ὑπὸ τοῦτο ἔλεγεν. ἐποίει δὲ τοῦτο δι' αἰτίαν τοιαύτην. ἐν τῷ λέγειν ἀπρεπῶς τὸν ὦμον εἰώθει κινεῖν· ὑπερεκρέμασεν οὖν τοῦ ὤμου τὸ ξίφος ἐν χρῷ, καὶ οὕτω τῷ δέει τῆς πληγῆς [k]ἐδυνήθη κατασχεῖν ἑαυτὸν ἐπὶ τοῦ πρέποντος σχήματος.

Ἀναγκαῖον δὲ διηγήσασθαι καὶ ὅπως εἶχε τά τε τῶν Ἑλλήνων καὶ τῶν Ἀθηναίων πράγματα, ὅτε [l]ἐπὶ τὸ δημαγωγεῖν ἦλθε Δημοσθένης. Θηβαῖοι Λακεδαιμονίους ἄρχοντας τῶν Ἑλλήνων καὶ μεγίστην δύναμιν ἔχοντας ἐν Λεύκτροις [m]τῆς Βοιωτίας [n]μάχῃ νικήσαντες [o]αὐτοὶ παρῆλθον [p]εἰς ἰσχύν, καὶ μετ' ὀλίγον πρὸς Φωκέας πόλεμον ἐξήνεγκαν. ἦσαν δὲ οἱ Φωκεῖς ἔθνος ὅμορον τῇ Εὐβοίᾳ, πόλεις ἔχον δύο καὶ εἴκοσιν. [q]οὗτοι καταλαβόντες τὸν τοῦ Πυθίου ναόν, πλησίον ὄντα, ἐσύλησαν· ἀνθ' ὅτου καὶ οἱ Θηβαῖοι πόλεμον ἐξήνεγκαν πρὸς αὐτούς. ἐπολέμουν δὲ καὶ Ἀθηναῖοι τὸν συμμαχικὸν κληθέντα πόλεμον· Χῖοι γὰρ καὶ Ῥόδιοι καὶ Βυζάντιοι πάλαι ποτὲ ὄντες ὑπήκοοι Ἀθηναίων, τότε [r]μετ' ἀλλήλων συστάντες καὶ συμμαχίαν ποιησάμενοι, πρὸς αὐτοὺς ἐπολέμουν. καὶ οὕτω μὲν ἡ Ἑλλὰς εἰς πολλὰ μέρη διῄρητο, Ἀθηναίων πολεμούντων πρὸς τοὺς [s]προειρημένους καὶ Θηβαίων πρὸς Φωκέας [t]καὶ Λακεδαιμονίων πρὸς Πελοποννησίους.

[i] Πυθέας] πυθίας O. u.
[k] ἐδυνήθη] ἠδυνήθη O.
[l] ἐπὶ τὸ] ἐπὶ τῷ O. u.
[m] τῆς] τοῖς O.
[n] μάχῃ] μάχην O.
[o] αὐτοὶ] αὐτοῖς F. αὐτοὺς O. u.
[p] εἰς om. O.
[q] οὗτοι] οὗτοι δὲ F. u.
[r] μετ' ἀλλήλων συστάντες] συστάντες μετ' ἀλλήλων O.
[s] προειρημένους] εἰρημένους O.
[t] καὶ ante Λακεδαιμονίων recepi ex O. u.

κατὰ δὲ τοῦτον τὸν καιρὸν Φίλιππος ὁ Ἀμύντου παῖς εἰς τὴν Μακεδόνων βασιλείαν παρῆλθεν. Ἀμύντᾳ γὰρ τῷ Μακεδονίας βασιλεῖ τρεῖς ἐγένοντο παῖδες ἐξ Εὐρυδίκης τῆς Ἰλλυρίδος, Ἀλέξανδρος, [u] Περδίκκας, Φίλιππος. τούτων ὁ μὲν πρεσβύτερος Ἀλέξανδρος δολοφονηθεὶς ἐτελεύτησεν, ὁ δὲ Περδίκκας πρὸς Ἰλλυριοὺς μαχόμενος· Φίλιππος δὲ ὁ νεώτατος ἐτύγχανε μὲν ἐν Θήβαις ὁμηρεύων, ὡς δὲ ἐπύθετο τὸν Περδίκκου θάνατον, ὑπεξελθὼν λάθρᾳ καὶ ὀξέως εἰς Μακεδονίαν ἀφικόμενος κατέσχε τὴν ἀρχήν. Ἀθηναῖοι δ' ἄρ' ἕτερόν τινα, [v] γένους μὲν ὄντα τοῦ βασιλικοῦ, φυγάδα δὲ ἐκ Μακεδονίας, ἐπὶ [x] βασιλείαν κατῆγον μετὰ πολλοῦ πλήθους στρατιωτῶν. τούτοις ὁ Φίλιππος ἐπιθέμενος ἐνίκησε μάχῃ· καὶ ὅσους συνέλαβεν αἰχμαλώτους τῶν Ἀθηναίων, ἀφῆκεν ἄνευ λύτρων, οὐ κατ' εὔνοιαν τῆς πόλεως οὐδὲ [y] δι' ἐπιείκειαν [z] τρόπου.

[u] Περδίκκας] περδίκας O. u. qui sic et infra.
[v] γένους] γένους F.
[x] βασιλείαν] βασιλέα F. O. u.
[y] δι' om. O. u.
[z] τρόπου] τοῦ τρόπου O.

## [a] ΠΕΡΙ ΤΩΝ ΜΕΡΩΝ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ.

ΤΗΣ ῥητορικῆς μέρη τρία, ἐπιδεικτικόν, [b] συμβουλευτικὸν καὶ 6
δικανικόν. τοῖν μὲν [c] οὖν δυοῖν ἄκρος ἀγωνιστὴς γέγονε, τοῦ τε δικανικοῦ καὶ συμβουλευτικοῦ· ἐπιδεικτικοὺς δὲ οὐκ ἔχομεν [d] αὐτοῦ λόγους. τοὺς γὰρ φερομένους οὐ πιστευτέον εἶναι Δημοσθένους, τὸν ἐπιτάφιον καὶ τὸν ἐρωτικόν· πολὺ γὰρ τῆς ἐκείνου δυνάμεως ἀπολείπονται. καὶ οὐχ ἡμετέραν γνώμην λέγομεν, ἀλλὰ [e] καὶ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ τοῦτο συνδοκεῖ. ὅτι μὲν γὰρ εἶπεν ἐπιτάφιον λόγον Δημοσθένης, ὡμολόγηται· οὐ μὴν τοῦτον εἰκὸς εἶναι τὸν ὑπ' ἐκείνου ῥηθέντα, πάνυ φαύλως καὶ ἀσθενῶς ἔχοντα. τῶν δὲ συμβουλευτικῶν αὐτοῦ λόγων οἱ μὲν αὐτὸ τοῦτο ἔχουσιν ἐπίγραμμα, συμβουλευτικοί, οἱ δὲ οὐδὲν μὲν ἧττόν εἰσι συμβουλευτικοί, Φιλιππικοὶ δὲ οἵδε ἐπιγράφονται, ἐκ τοῦ περὶ τῶν [f] τοῦ Φιλίππου πραγμάτων εἰρῆσθαι τὴν κλῆσιν λαχόντες. καὶ τῶν Φιλιππικῶν ἕκαστος ἰδίαν τινὰ ἐπιγραφὴν ἔχει κατὰ τὴν τῶν πραγμάτων ἑκάστων ἰδιότητα.

[a] ΠΕΡΙ ΤΩΝ ΜΕΡΩΝ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ] περὶ τῆς ῥητορικῆς διαιρέσεως u.

[b] συμβ. δικαν.] δικαν. συμβ. F.

[c] οὖν om. F. O. u.

[d] αὐτοῦ λόγους] λόγους αὐτοῦ O.

[e] καὶ om. O.

[f] τοῦ Φιλίππου om. F. O. u.

# Α.

# ΟΛΥΝΘΙΑΚΟΣ Α.

## [a] ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

*Ὄλυνθος ἦν πόλις ἐπὶ [b] Θρᾴκης, Ἑλληνικὸν δὲ [c] ταύτῃ τῶν ἐνοικούντων τὸ γένος, ἀπὸ Χαλκίδος τῆς ἐν Εὐβοίᾳ· ἡ δὲ Χαλκὶς Ἀθηναίων ἄποικος. πολλοὶ* 7 *δὲ πόλεμοι καὶ ἔνδοξοι τῆς Ὀλύνθου· Ἀθηναίοις τε γὰρ ἐπολέμησεν ἄρχουσι τῶν Ἑλλήνων τὸ παλαιὸν καὶ αὖθις Λακεδαιμονίοις. χρόνῳ τε εἰς δύναμιν προῆλθε μεγάλην, καὶ τῶν συγγενῶν πόλεων [d] ἐπῆρχεν· ἦν γὰρ ἐπὶ Θρᾴκης πολύ [e] τι γένος Χαλκιδικόν. Φιλίππῳ δὲ τῷ Μακεδόνων βασιλεῖ συμμαχίαν οἱ Ὀλύνθιοι ποιησάμενοι, καὶ πολεμοῦντες μετ' αὐτοῦ πρὸς Ἀθηναίους τὸ κατ' ἀρχάς, καὶ τοῦτο μὲν Ἀνθεμοῦντα παρὰ τοῦ Μακεδόνος εἰληφότες, πόλιν ἀμφισβητήσιμον [f] Μακεδόσι καὶ Ὀλυνθίοις, τοῦτο δὲ Ποτίδαιαν, ἣν Ἀθηναίων ἐχόντων ἐκπολιορκήσας ὁ Φίλιππος Ὀλυνθίοις παρέδωκεν, [g] ὕστερον ὑποπτεύειν ἤρξαντο τὸν βασιλέα, ὁρῶντες αὐτοῦ ταχεῖαν καὶ πολλὴν τὴν αὔξησιν, οὐ πιστὴν δὲ τὴν γνώμην. ἀποδημοῦντα δὲ τηρήσαντες αὐτόν, πέμψαντες πρέσβεις πρὸς Ἀθηναίους κατελύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον, ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας [h] τὰς πρὸς Φίλιππον· [i] συνετέθειντο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς Ἀθηναίους, κἂν ἄλλο τι δόξῃ, κοινῇ σπείσασθαι. ὁ δὲ Φίλιππος πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς δεόμενος, τότε δὲ [k] ταύτην λαβών, ὡς τὰς συνθήκας παραβεβηκόσι καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις πόλεμον ἐπήνεγκεν. οἱ δὲ πεπόμφασι πρέσβεις εἰς Ἀθήνας περὶ βοηθείας, οἷς ὁ Δημοσθένης [l] συναγορεύει, βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις. καί φησι τὴν Ὀλυνθίων σωτηρίαν ἀσφάλειαν [m] εἶναι τῶν Ἀθηναίων· σωζομένων [n] γὰρ τῶν Ὀλυνθίων, οὐδέποτε ἥξειν εἰς τὴν Ἀττικὴν Φίλιππον, ἀλλὰ τοῖς Ἀθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ τὴν Μακεδονίαν κἀκεῖ ποιεῖσθαι τὸν πόλεμον· εἰ* 8

[a] ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ] *ὑπόθεσις λόγου ὀλυνθιακοῦ α.* F. *προθεωρία τοῦ πρώτου λόγου* O. *προθεωρία* u.

[b] *Θρᾴκης*] *θράκην* F.

[c] *ταύτῃ τῶν* Y. O. u. v. *ταύτην τῶν* F.

[d] *ἐπῆρχεν* F. ceteri *ὑπερεῖχεν.* margo Y. *ἔσχεν.*

[e] *τι* om. Y.

[f] *Μακεδόσι*] *καὶ μακεδόσι* O. u. v.

[g] *ὕστερον*] *ὕστερον δὲ* Y.

[h] *τὰς* post *συνθήκας* om. O.

[i] *συνετέθειντο*] *συνετέθειτο* O. u. v.

[k] *ταύτην*] *ταῦτα* u.

[l] *συναγορεύει*] *συνηγορεύει* O.

[m] *εἶναι τῶν Ἀθηναίων* Y. vulg. *τῶν ἀθηναίων εἶναι.*

[n] *γὰρ*] *δὲ* F.

δὲ ὑπὸ Φιλίππῳ [o] γένοιτο ἡ πόλις αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ [p] τοὺς Ἀθηναίους ὁδὸν τῷ βασιλεῖ. φησὶ δὲ [q] δύσμαχον εἶναι τὸν Φίλιππον [r] οὐχ ὡς ὑπείληπται, θαρσύνων ἐπ' αὐτὸν τοὺς Ἀθηναίους.

Διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων [s] χρημάτων, συμβουλεύων [t] ποιῆσαι αὐτὰ στρατιωτικὰ ἀντὶ θεωρικῶν. καὶ τὸ ἔθος οὐ [u] πρόδηλον [x] ὄν, ᾧ ἐχρῶντο οἱ Ἀθηναῖοι, [y] ἀνάγκη [z] σαφηνίσαι. οὐκ ὄντος τὸ παλαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπηγνυμένων ἰκρίων, καὶ πάντων καταλαμβάνειν [a] τόπον σπευδόντων, πληγαί τε ἐγίνοντο καί που καὶ τραύματα. τοῦτο κωλῦσαι [b] βουληθέντες οἱ προεστῶτες [c] τῶν Ἀθηναίων ὠνητοὺς ἐποιήσαντο τοὺς τόπους, καὶ ἕκαστον ἔδει διδόναι δύο ὀβολοὺς καὶ [d] καταβαλόντα θέαν ἔχειν. ἵνα δὲ μὴ δοκῶσιν οἱ πένητες τῷ ἀναλώματι [e] λυπεῖσθαι, ἐκ τοῦ δημοσίου λαμβάνειν ἕκαστον ἐτάχθη τοὺς δύο ὀβολούς. ἐντεῦθεν μὲν οὖν τὸ ἔθος ἤρξατο, προῆλθε δὲ εἰς [f] τοῦτο, ὥστε οὐκ εἰς [g] τοὺς τόπους μόνον ἐλάμβανον, ἀλλὰ ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο. ὅθεν καὶ περὶ τὰς στρατείας ὀκνηροὶ κατέστησαν. πάλαι μὲν γὰρ στρατευόμενοι μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον, τότε δὲ ἐν ταῖς θεωρίαις [h] καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες διενέμοντο τὰ χρήματα· οὐκέτι οὖν ἤθελον ἐξιέναι καὶ κινδυνεύειν, ἀλλὰ [i] καὶ νόμον ἔθεντο περὶ τῶν θεωρικῶν τούτων χρημάτων, θάνατον ἀπειλοῦντα τῷ γράψαντι μετατεθῆναι [k] ταῦτα εἰς τὴν ἀρχαίαν τάξιν καὶ γενέσθαι στρατιωτικά. [l] διὸ ὁ Δημοσθένης εὐλαβῶς ἅπτεται τῆς περὶ τούτου συμβουλῆς, καὶ [m] ὑπερωτήσας ἑαυτὸν ὅτι "σὺ γράφεις ταῦτα εἶναι στρατιωτικά;" 9
[n] ἐπιφέρει "μὰ Δί' οὐκ ἔγωγε." [o] τοσαῦτα μὲν περὶ τῶν θεωρικῶν.

Διείλεκται δὲ ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν αὐτοὺς στρατεύεσθαι καὶ μὴ διὰ ξένων, ὥσπερ εἰώθεσαν, ποιεῖσθαι τὴν βοήθειαν· τοῦτο γὰρ αἴτιον εἶναί [p] φησι τοῦ τὰ πράγματα ἀπόλλυσθαι.

ΑΝΤΙ πολλῶν [a] ἂν ὦ ἄνδρες Ἀθηναῖοι χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ

[o] γένοιτο] γένηται O. u. v.
[p] τοὺς Ἀθηναίους] τους ἀθηναιους Y.
[q] δύσμαχον] δυσμάχητον Y.
[r] οὐχ ὡς H. Wolfius: libri οὕτως.
[s] χρημάτων] πραγμάτων Y.
[t] ποιῆσαι αὐτὰ] αὐτὰ ποιῆσαι Y.
[u] πρόδηλον] πρόσδηλον u.
[x] ὂν om. Y.
[y] ἀνάγκη] ἀνάγκη οὖν rec. Y.
[z] σαφηνίσαι] σαφηνίσαι ταῦτα Y.
[a] τόπον] τὸν τόπον Y.
[b] βουληθέντες] βουλόμενοι O.
[c] τῶν om. Y.
[d] καταβαλόντα] βαλόντα Y. O. u. v. βάλλοντα F.
[e] λυπεῖσθαι ante τῷ ponit Y.
[f] τοῦτο] vulg. τοσοῦτον.
[g] τοὺς τόπους Y. ceteri τοῦτο.
[h] καὶ] καὶ ἐν Y.
[i] καὶ post ἀλλὰ om. F.
[k] ταῦτα] τε ταῦτα u. τε αὐτὰ Y.
[l] διὸ] διὰ τοῦτο Y.
[m] ὑπερωτήσας] ὑπηρώτησεν Y.
[n] ἐπιφέρει] καὶ ἐπιφέρει Y.
[o] τοσαῦτα] ταῦτα O. v.
[p] φησι] ἔφη F.
[a] ἂν om. S.

πόλει περὶ [b] ὧν νυνὶ σκοπεῖτε. ὅτε τοίνυν τοῦθ᾽ οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν· οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ᾽ ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω πολλὰ τῶν δεόντων ἐκ τοῦ παραχρῆμα ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν, ὥστ᾽ ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι.

2 Ὁ μὲν οὖν παρὼν καιρός, ὦ ἄνδρες Ἀθηναῖοι, μόνον
οὐχὶ λέγει φωνὴν ἀφιεὶς ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων
αὐτοῖς ἀντιληπτέον ἐστίν, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν
φροντίζετε· ἡμεῖς δ᾽ οὐκ οἶδ᾽ ὅντινά μοι δοκοῦμεν ἔχειν
τρόπον πρὸς αὐτά. ἔστι δὴ τά γ᾽ ἐμοὶ δοκοῦντα ψηφί-
σασθαι μὲν ἤδη τὴν βοήθειαν, καὶ [c] παρασκευάσασθαι
τὴν ταχίστην, ὅπως ἐνθένδε [d] βοηθήσετε, καὶ μὴ πάθητε
ταὐτὸν ὅπερ καὶ πρότερον, πρεσβείαν δὲ πέμπειν, ἥτις
3 ταῦτ᾽ ἐρεῖ καὶ παρέσται τοῖς πράγμασιν· ὡς ἔστι μά-
λιστα τοῦτο δέος, μὴ πανοῦργος ὢν καὶ δεινὸς [e] ἄνθρωπος
πράγμασι χρῆσθαι, τὰ μὲν εἴκων, ἡνίκα ἂν τύχῃ, τὰ δ᾽
ἀπειλῶν ([f] ἀξιόπιστος δ᾽ ἂν εἰκότως φαίνοιτο), τὰ δ᾽
ἡμᾶς διαβάλλων καὶ τὴν ἀπουσίαν τὴν ἡμετέραν, τρέψη-
4 ται καὶ παρασπάσηταί [g] τι τῶν ὅλων πραγμάτων. οὐ

[b] ὧν] οὗ Y. ὧν (οὗ) O.

[c] παρασκευάσασθαι] παρασκευά- (ζε) σασθαι F.

[d] βοηθήσετε] Libri βοηθήσητε.

[e] ἄνθρωπος] Libri ἄνθρωπος et hic et §. 24. Philipp. 1, 57. Coron. 303. Fals. Leg. 96 et 350. Mid. 224. Aristocrat. 170. Aristogit. 1, 72. Boeot. 2, 62, deficiente casum rectum, qui obliquos usque comitatur, articulo. Quod rescripsi, a S. accepi Olynth. 3, 18. et Philipp. 1, 12. Eadem causa fuit reponendi ἅνθρωποι Cherson. 16. Timocrat. 15. Epitaph. 6: ἀδελφὸς Fals. Leg. 262. Mid. 100. Aphob. 3, 20. Theocrin. 35. (conf. Fals. Leg. 136. Euerg. 72. Theocrin. 87:) ἀνὴρ Leptin. 47. 52. Epist. 3, 25. (conf. Leptin. 38.) αὐτὸς est Leptin. 54. coll. 166: reddendum fortasse Mid. 237. Simile ἂν i. e. ἃ ἂν Leptin. 104. Boeot. 1, 26. Stephan. 2, 7.

[f] ἀξιόπιστος] ἀξιόπιστα γρ. F. S.

[g] τι om. Y.

μὴν ἀλλ᾽ ἐπιεικῶς ὦ ἄνδρες Ἀθηναῖοι τοῦθ᾽, ὃ δυσμαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων, καὶ βέλτιστον ὑμῖν· τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὄντα κύριον καὶ ῥητῶν καὶ ἀποῤῥήτων, καὶ ἅμα στρατηγὸν καὶ δεσπότην καὶ ταμίαν, καὶ πανταχοῦ αὐτὸν παρεῖναι τῷ στρατεύματι, πρὸς μὲν [h]τὸ τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι πολλῷ προέχει, πρὸς δὲ τὰς καταλλαγάς, ἃς ἂν ἐκεῖνος [i]ποιήσαιτο ἄσμενος πρὸς Ὀλυνθίους,
5 ἐναντίως ἔχει. δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις ὅτι νῦν οὐ περὶ δόξης οὐδ᾽ ὑπὲρ μέρους χώρας πολεμοῦσιν, ἀλλ᾽ ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος, καὶ ἴσασιν [k]ἅ τ᾽ Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν καὶ Πυδναίων τοὺς ὑποδεξαμένους· καὶ ὅλως ἄπιστον, οἶμαι, ταῖς πολιτείαις ἡ τυραννίς, ἄλλως τε
6 κἂν ὅμορον χώραν ἔχωσι. ταῦτ᾽ οὖν ἐγνωκότας ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τἄλλ᾽ ἃ προσήκει πάντα ἐνθυμουμένους φημὶ δεῖν ἐθελῆσαι καὶ παροξυνθῆναι καὶ τῷ πολέμῳ προσέχειν, εἴ πέρ ποτε, καὶ νῦν, χρήματα εἰσφέροντας προθύμως καὶ αὐτοὺς ἐξιόντας καὶ μηδὲν ἐλλείποντας. οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις ἔθ᾽ ὑμῖν τοῦ μὴ τὰ
7 δέοντα ποιεῖν ἐθέλειν ὑπολείπεται. [l]νυνὶ γάρ, ὃ πάντες [m]ἐθρυλεῖτε, ὡς Ὀλυνθίους ἐκπολεμῶσαι [n]δεῖ Φιλίππῳ, 11
γέγονεν αὐτόματον, καὶ [o]ταῦθ᾽ ὡς ἂν ὑμῖν μάλιστα συμφέροι. εἰ μὲν γὰρ ὑφ᾽ [p]ὑμῶν πεισθέντες ἀνείλοντο τὸν πόλεμον, σφαλεροὶ σύμμαχοι καὶ μέχρι του ταῦτ᾽ ἂν ἐγνωκότες ἦσαν ἴσως· ἐπειδὴ δ᾽ ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων μισοῦσι, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτοὺς

[h] τὸ post μὲν om. S.
[i] ποιήσαιτο γρ. F. vulg. ποιήσηται.
[k] ἅ τ᾽] ἅττ᾽ O.
[l] νυνὶ] νῦν Y.
[m] ἐθρυλεῖτε F. S. Y. ἐθρύλουν τε γρ. F. S. vulg. ἐθρυλλεῖτε.
[n] δεῖ] δεῖν S. u. v.
[o] ταῦθ᾽] τοῦθ᾽ Y.
[p] ὑμῶν S. ceteri ἡμῶν.

8 ὑπὲρ ὧν φοβοῦνται καὶ πεπόνθασιν ἔχειν. οὐ [q] δεῖ δὴ
[r] τοιοῦτον ὦ [s] ἄνδρες Ἀθηναῖοι παραπεπτωκότα καιρὸν
ἀφεῖναι, οὐδὲ παθεῖν [t] ταὐτὸν ὅπερ ἤδη πολλάκις πρό-
τερον πεπόνθατε. εἰ γάρ, ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοηθη-
κότες καὶ παρῆσαν Ἀμφιπολιτῶν Ἱέραξ καὶ Στρατο-
κλῆς ἐπὶ τουτὶ τὸ βῆμα, κελεύοντες [u] ἡμᾶς πλεῖν καὶ
παραλαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ' [x] ἡμεῖς
ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν ἥνπερ ὑπὲρ τῆς Εὐβοέων σω-
τηρίας, εἴχετ' ἂν Ἀμφίπολιν τότε καὶ πάντων τῶν
9 μετὰ ταῦτα [y] ἂν ἦτε ἀπηλλαγμένοι πραγμάτων. καὶ
πάλιν ἡνίκα Πύδνα, Ποτίδαια, Μεθώνη, Παγασαί, τἆλ-
λα, ἵνα μὴ καθ' ἕκαστα λέγων διατρίβω, πολιορκούμενα
ἀπηγγέλλετο, εἰ τότε τούτων [z] ἑνί τῳ πρώτῳ προθύμως
καὶ ὡς προσῆκεν ἐβοηθήσαμεν αὐτοί, ῥᾴονι καὶ πολὺ τα-
πεινοτέρῳ νῦν [a] ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. [b] νῦν δὲ τὸ
μὲν παρὸν ἀεὶ προϊέμενοι, τὰ δὲ μέλλοντα αὐτόματ' οἰό-
μενοι σχήσειν καλῶς, [c] ηὐξήσαμεν ὦ ἄνδρες Ἀθηναῖοι Φί-
λιππον ἡμεῖς, καὶ κατεστήσαμεν τηλικοῦτον ἡλίκος οὐ-
10 δείς [d] πω βασιλεὺς [e] γέγονε Μακεδονίας. [f] νυνὶ δὴ και-
ρὸς ἥκει τις οὗτος, ὁ τῶν Ὀλυνθίων, αὐτόματος τῇ πόλει,
ὃς οὐδενός ἐστιν ἐλάττων τῶν [g] προτέρων ἐκείνων. καὶ
ἔμοιγε δοκεῖ τις ἂν ὦ ἄνδρες Ἀθηναῖοι δίκαιος λογιστὴς
τῶν παρὰ τῶν θεῶν ἡμῖν [h] ὑπηργμένων καταστάς, καί- 12

[q] δεῖ δὴ] δὴ δεῖ Y.
[r] τοιοῦτον post ἀθηναῖοι ponit Y.
[s] ἄνδρες om. Y. idque constanter.
[t] ταὐτὸν] ταυτὸ S. v.
[u] ἡμᾶς Y. ὑμᾶς (ἡ superscr.) F. vulg. ὑμᾶς.
[x] ἡμεῖς] ἡμεῖς καὶ Y. O. u. v.
[y] ἂν ἦτε] αὖ ἦτε Y.
[z] ἑνί τῳ πρώτῳ] ἑνί τῳ πρῶτον Y. ἑνὶ τῷ τρόπῳ correctus v. ceteri ἑνὶ τῷ πρώτῳ.
[a] ἂν om. O.
[b] νῦν δὲ] νυνὶ δὲ Y. u.
[c] ηὐξήσαμεν] καὶ ηὐξήσαμεν O. u. v.
[d] πω] πώποτε Y. et γρ. F. S.
[e] γέγονε Μακεδονίας] μακεδονίας γέγονε Y.
[f] νυνὶ δὴ F. νῦν ἤδη S. ceteri νυνὶ δέ.
[g] προτέρων] πρότερων (o superscr.) F. πρότερον S.
[h] ὑπηργμένων] ὑπηρετημένων F. S.

περ οὐκ ἐχόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλην ἂν ἔχειν
11 αὐτοῖς χάριν. εἰκότως· τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι κατὰ [i] τὸν πόλεμον τῆς ἡμετέρας ἀμελείας ἄν τις θείη δικαίως, τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι πεφηνέναι [k] τέ τινα [l] ἡμῖν συμμαχίαν τούτων ἀντίῤῥοπον, ἂν βουλώμεθα χρῆσθαι, τῆς παρ᾽ ἐκείνων εὐνοίας εὐεργέτημ᾽ ἂν ἔγωγε θείην. ἀλλ᾽, οἶμαι, παρόμοιόν ἐστιν, ὅπερ καὶ περὶ τῆς τῶν χρημάτων κτήσεως· ἂν μὲν γάρ, ὅσα ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν, [m] ἂν δ᾽ ἀναλώσας λάθῃ, [n] συνανάλωσε καὶ τὸ [o] μεμνῆσθαι τὴν
12 χάριν. καὶ περὶ τῶν πραγμάτων οὕτως οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς, οὐδ᾽ εἰ συνέβη τι παρὰ τῶν θεῶν χρηστόν, μνημονεύουσι· πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν [p] προϋπαρξάντων [q] ὡς τὰ πολλὰ κρίνεται. διὸ καὶ σφόδρα δεῖ τῶν λοιπῶν [r] ἡμᾶς ὦ ἄνδρες Ἀθηναῖοι [s] φροντίσαι, ἵνα ταῦτ᾽ ἐπανορθωσάμενοι τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτριψώμεθα. εἰ δὲ προησόμεθα ὦ ἄνδρες Ἀθηναῖοι καὶ τούτους τοὺς ἀνθρώπους, εἶτ᾽ Ὄλυνθον ἐκεῖνος καταστρέψεται, φρασάτω τις ἐμοὶ τί τὸ κω-
13 λῦον ἔτ᾽ αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται. ἆρά [t] γε λογίζεταί τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρεῖ τὸν τρόπον δι᾽ ὃν μέγας γέγονεν ἀσθενὴς ὢν τὸ κατ᾽ ἀρχὰς Φίλιππος; τὸ πρῶτον Ἀμφίπολιν λαβών, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη· μετὰ ταῦτα Φεράς, Παγασάς, Μαγνησίαν,

[i] τὸν om. S.
[k] τε] δὲ Y.
[l] ἡμῖν om. O. u.
[m] ἂν δ᾽—χάριν om. pr. Y.
[n] συνανάλωσε] συνανήλωσε (ά supra) O.
[o] μεμνῆσθαι] μεμνῆσθαι τῇ τύχῃ Y. O. u. v. et γρ. F. S.
[p] προϋπαρξάντων] πρὶν ὑπαρξάντων S. ὑπαρξάντων Y.
[q] ὡς τὰ πολλὰ om. pr. S.
[r] ἡμᾶς] ὑμᾶς F. S. O. u. v.
[s] φροντίσαι] φροντίσαι (ζειν supra) F.
[t] γε om. S.

πάνθ' ὃν ἐβούλετο εὐτρεπίσας τρόπον ᾤχετ' [u] εἰς Θρᾴκην· 13
εἶτ' ἐκεῖ τοὺς μὲν ἐκβαλὼν τοὺς δὲ καταστήσας τῶν βα-
σιλέων ἠσθένησε· πάλιν ῥᾴσας οὐκ [x] ἐπὶ τὸ ῥᾳθυμεῖν
ἀπέκλινεν, ἀλλ' εὐθὺς Ὀλυνθίοις ἐπεχείρησεν. τὰς δ' ἐπ'
Ἰλλυριοὺς καὶ Παίονας αὐτοῦ καὶ πρὸς [y] Ἀρύμβαν καὶ
ὅποι [z] τις ἂν εἴποι παραλείπω στρατείας.

14 Τί οὖν, τις ἂν εἴποι, ταῦτα λέγεις ἡμῖν νῦν; ἵνα γνῶτε
ὦ ἄνδρες Ἀθηναῖοι καὶ αἴσθησθε ἀμφότερα, καὶ τὸ προΐ-
εσθαι καθ' ἕκαστον ἀεί τι τῶν πραγμάτων ὡς ἀλυσι-
τελές, καὶ τὴν φιλοπραγμοσύνην ᾗ χρῆται καὶ συζῇ Φί-
λιππος, ὑφ' ἧς οὐκ ἔστιν ὅπως ἀγαπήσας τοῖς πεπραγ-
15 μένοις ἡσυχίαν σχήσει. εἰ δ' ὁ μὲν ὡς ἀεί τι μεῖζον τῶν
ὑπαρχόντων [a] δεῖ πράττειν ἐγνωκὼς ἔσται, [b] ὑμεῖς δὲ ὡς
οὐδενὸς ἀντιληπτέον ἐῤῥωμένως τῶν πραγμάτων, [c] σκοπεῖσθε
εἰς τί ποτ' ἐλπὶς ταῦτα τελευτῆσαι. πρὸς θεῶν, τίς οὕ-
τως [d] εὐήθης ἐστὶν ὑμῶν ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον
16 δεῦρο ἥξοντα, ἂν ἀμελήσωμεν; ἀλλὰ μὴν εἰ τοῦτο γενή-
σεται, δέδοικα ὦ ἄνδρες Ἀθηναῖοι μὴ τὸν αὐτὸν τρόπον,
ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις
μικρὸν εὐπορήσαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων
ἀπέστησαν, οὕτω καὶ ἡμεῖς, ἂν ἐπὶ πολλῷ φανῶμεν ἐῤ-
ῥαθυμηκότες καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ
καὶ χαλεπὰ ὧν οὐκ ἠβουλόμεθα ὕστερον εἰς ἀνάγκην
ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ
χώρᾳ.

17 Τὸ μὲν οὖν [e] ἐπιτιμᾶν ἴσως φῆσαι τις [f] ἂν ῥᾴδιον καὶ

[u] εἰς] ἐς S.
[x] ἐπὶ τὸ] ἐπὶ τῷ Y.
[y] Ἀρύμβαν] ἀρύββαν F.
[z] τις ἂν] ἄν τις Y.
[a] δεῖ] ἔτι δεῖ Y.
[b] ὑμεῖς] ἡμεῖς u.
[c] σκοπεῖσθε] σκοπεῖτε Y.
[d] εὐήθης ἐστὶν ὑμῶν] ἐστιν εὐήθης ἡμῶν Y.
[e] ἐπιτιμᾶν] ἐπιταμᾶν u.
[f] ἂν om. Y.

παντὸς εἶναι, τὸ δ' ὑπὲρ τῶν παρόντων ὅ τι δεῖ πράττειν
ἀποφαίνεσθαι, τοῦτ' εἶναι συμβούλου. ἐγὼ δὲ οὐκ ἀγνοῶ
μὲν ὦ ἄνδρες Ἀθηναῖοι τοῦθ', ὅτι πολλάκις ὑμεῖς οὐ τοὺς 14
αἰτίους ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόν-
τας ἐν ὀργῇ ποιεῖσθε, ἄν τι μὴ κατὰ γνώμην ἐκβῇ· οὐ
μὴν [g] οἶμαι δεῖν τὴν ἰδίαν ἀσφάλειαν σκοποῦνθ' ὑποστεί-
18 λασθαι περὶ ὧν [h] ὑμῖν συμφέρειν ἡγοῦμαι. φημὶ [i] δὴ
διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν, τῷ τε τὰς
[k] πόλεις τοῖς Ὀλυνθίοις σώζειν καὶ [l] τοὺς τοῦτο ποιήσον-
τας στρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν ἐκείνου χώραν
κακῶς ποιεῖν καὶ τριήρεσι καὶ στρατιώταις ἑτέροις· εἰ
δὲ θατέρου τούτων ὀλιγωρήσετε, ὀκνῶ μὴ μάταιος [m] ὑμῖν
19 ἡ [n] στρατεία γένηται. εἴτε γὰρ ὑμῶν τὴν ἐκείνου κακῶς
ποιούντων ὑπομείνας τοῦτο Ὄλυνθον παραστήσεται, ῥᾳ-
δίως ἐπὶ τὴν [o] οἰκείαν ἐλθὼν ἀμυνεῖται· εἴτε βοηθησάντων
μόνον ὑμῶν εἰς Ὄλυνθον ἀκινδύνως ὁρῶν ἔχοντα τὰ οἴκοι
προσκαθεδεῖται καὶ προσεδρεύσει τοῖς πράγμασι, περι-
έσται τῷ χρόνῳ τῶν πολιορκουμένων. δεῖ [p] δὴ πολλὴν καὶ
διχῇ τὴν βοήθειαν εἶναι.

20 Καὶ περὶ μὲν τῆς βοηθείας ταῦτα γιγνώσκω· περὶ δὲ χρημάτων πόρου, ἔστιν ὦ ἄνδρες Ἀθηναῖοι χρήματα [q] ὑμῖν, ἔστιν ὅσα οὐδενὶ τῶν ἄλλων ἀνθρώπων στρατιωτικά· ταῦτα δὲ ὑμεῖς οὕτως ὡς βούλεσθε λαμβάνετε. εἰ μὲν οὖν ταῦτα τοῖς στρατευομένοις ἀποδώσετε, οὐδενὸς ὑμῖν προσδεῖ πόρου, εἰ δὲ μή, προσδεῖ, μᾶλλον [r] δ' ἁ-

[g] οἶμαι F. O. u. v. οἴομαι S. οἴομαί γε Y.
[h] ὑμῖν] ἡμῖν Y.
[i] δὴ] δ' οὖν Y. δεῖν u.
[k] πόλεις] πύλας v.
[l] τοὺς] τῷ τοὺς Y.
[m] ὑμῖν] Libri ἡμῖν.
[n] στρατεία] στρατιὰ S. στρατιὰ F.
[o] οἰκείαν] οἰκίαν F.
[p] δὴ] δὲ F.
[q] ὑμῖν] ἡμῖν O.
[r] δ' ἅπαντος] δὲ παντὸς Y.

παντος ἐνδεῖ τοῦ πόρου. τί οὖν, ἄν τις εἴποι, σὺ γράφεις
21 ταῦτ᾽ εἶναι στρατιωτικά; μὰ Δί᾽, οὐκ ἔγωγε. ἐγὼ μὲν
γὰρ ἡγοῦμαι στρατιώτας δεῖν κατασκευασθῆναι καὶ
[ταῦτ᾽] εἶναι στρατιωτικὰ καὶ μίαν σύνταξιν εἶναι τὴν
αὐτὴν τοῦ τε λαμβάνειν καὶ τοῦ ποιεῖν τὰ δέοντα· ὑμεῖς
δὲ οὕτω πως ἄνευ πραγμάτων [s] λαμβάνετε εἰς τὰς ἑορ-
τάς. ἔστι δὴ λοιπόν, οἶμαι, πάντας εἰσφέρειν, ἂν πολ-
λῶν δέῃ, πολλά, ἂν ὀλίγων, ὀλίγα. [t] δεῖ δὲ χρημάτων,
καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων. λέγουσι
[u] δὲ καὶ ἄλλους τινὰς ἄλλοι πόρους, ὧν ἕλεσθε ὅστις
ὑμῖν συμφέρειν δοκεῖ· καὶ ἕως ἐστὶ καιρός, ἀντιλάβεσθε
τῶν πραγμάτων.

22 Ἄξιον δὲ ἐνθυμηθῆναι καὶ λογίσασθαι τὰ πράγματα,
ἐν ᾧ καθέστηκε νυνί, τὰ Φιλίππου. οὔτε γάρ, ὡς δοκεῖ
καὶ φήσειέ τις ἂν μὴ σκοπῶν ἀκριβῶς, [x] εὐτρεπῶς, οὐδ᾽
ὡς ἂν κάλλιστ᾽ αὐτῷ τὰ παρόντ᾽ [y] ἔχοι· οὔτ᾽ ἂν ἐξή-
νεγκε τὸν πόλεμόν ποτε τοῦτον ἐκεῖνος, εἰ πολεμεῖν ᾠήθη
δεήσειν αὐτόν, ἀλλ᾽ ὡς ἐπιὼν ἅπαντα τότε ἤλπιζε τὰ
23 πράγματα ἀναιρήσεσθαι, κᾆτα διέψευσται. τοῦτο δὴ
πρῶτον αὐτὸν ταράττει παρὰ γνώμην γεγονός, καὶ πολ-
λὴν ἀθυμίαν αὐτῷ παρέχει, εἶτα τὰ τῶν Θετταλῶν.
ταῦτα γὰρ ἄπιστα μὲν ἦν δήπου φύσει καὶ ἀεὶ πᾶσιν
ἀνθρώποις, κομιδῇ δ᾽, ὥσπερ ἦν, καὶ ἔστι νῦν [z] τούτῳ.
καὶ γὰρ Παγασὰς ἀπαιτεῖν αὐτόν εἰσιν ἐψηφισμένοι,
καὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν. ἤκουον δ᾽ ἔγωγέ
τινων ὡς οὐδὲ τοὺς λιμένας καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν
αὐτῷ καρποῦσθαι· τὰ γὰρ κοινὰ [a] τὰ Θετταλῶν ἀπὸ

[s] λαμβάνετε] λαμβάνειν F. S.
[t] δεῖ δὲ] δεῖ δὴ O. u.
[u] δὲ καὶ ἄλλους τινὰς ἄλλοι] δέ τινες καὶ ἄλλους Y.
[x] εὐτρεπῶς] εὐπρεπῶς Y. O. v.
[y] ἔχοι] Libri ἔχῃ.
[z] τούτῳ] τοῦτο O.
[a] τὰ Θετταλῶν] τῶν θετταλῶν Y.

τούτων δέοι διοικεῖν, οὐ Φίλιππον λαμβάνειν. [b] εἰ δὲ τού-
των [c] ἀποστερηθήσεται τῶν χρημάτων, εἰς στενὸν κομιδῇ
24 τὰ τῆς τροφῆς [d] τοῖς ξένοις αὐτῷ καταστήσεται. ἀλλὰ
μὴν τόν γε [e] Παίονα καὶ τὸν Ἰλλυριὸν καὶ ἁπλῶς τού-
τους ἅπαντας ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν καὶ
ἐλευθέρους ἢ δούλους εἶναι· καὶ γὰρ ἀήθεις τοῦ κατακού-
ειν τινός εἰσι, καὶ ἄνθρωπος ὑβριστής, ὥς φασιν. καὶ
μὰ Δί' οὐδὲν ἄπιστον ἴσως· τὸ γὰρ εὖ πράττειν παρὰ 16
τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγ-
νεται, διόπερ πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ
25 κτήσασθαι χαλεπώτερον εἶναι. δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες
Ἀθηναῖοι, τὴν ἀκαιρίαν τὴν ἐκείνου καιρὸν [f] ὑμέτερον νομί-
σαντας ἑτοίμως συνάρασθαι τὰ πράγματα, καὶ πρε-
σβευομένους ἐφ' ἃ δεῖ καὶ στρατευομένους αὐτοὺς καὶ
[g] παροξύνοντας τοὺς ἄλλους ἅπαντας, λογιζομένους, εἰ
Φίλιππος λάβοι καθ' ἡμῶν τοιοῦτον καιρὸν καὶ πόλεμος
[h] γένοιτο πρὸς τῇ χώρᾳ, πῶς [i] ἂν αὐτὸν οἴεσθε ἑτοίμως
ἐφ' [k] ὑμᾶς ἐλθεῖν. εἶτ' οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ'
ἄν, εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ
τολμήσετε;

26 Ἔτι τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι μηδὲ τοῦθ' [l] ὑμᾶς λαν-
θανέτω, ὅτι νῦν αἵρεσίς ἐστιν ὑμῖν [m] πότερ' ὑμᾶς ἐκεῖ χρὴ
πολεμεῖν ἢ παρ' ὑμῖν ἐκεῖνον. ἐὰν μὲν γὰρ ἀντέχῃ τὰ
τῶν Ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε καὶ τὴν ἐκείνου
κακῶς ποιήσετε, τὴν ὑπάρχουσαν καὶ τὴν οἰκείαν ταύτην
ἀδεῶς καρπούμενοι· ἂν δ' ἐκεῖνα Φίλιππος λάβῃ, τίς

[b] εἰ F. S. Y. vulg. ἄν.
[c] ἀποστερηθήσεται F. S. ἀποστερήσεται Y. vulg. ἀποστερηθῇ.
[d] τοῖς ξένοις om. v.
[e] Παίονα] παιόνα F.
[f] ὑμέτερον] ἡμέτερον F. u. v.
[g] παροξύνοντας] παροξύναντας O.
[h] γένοιτο] γίνοιτο Y.
[i] ἂν om. O.
[k] ὑμᾶς] ἡμᾶς O. u. v.
[l] ὑμᾶς] ἡμᾶς u.
[m] πότερ' F. S. ceteri πότερον.

27 αὐτὸν [n] ἔτι κωλύσει δεῦρο βαδίζειν; Θηβαῖοι; μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, καὶ συνεισβαλοῦσιν ἑτοίμως. ἀλλὰ Φωκεῖς; οἱ τὴν οἰκείαν οὐχ' οἷοί τε ὄντες φυλάττειν, ἐὰν μὴ βοηθήσηθ' ὑμεῖς. ἢ ἄλλος τις; ἀλλ' ὦ τᾶν οὐχὶ βουλήσεται. τῶν ἀτοπωτάτων μέντ' ἂν εἴη, εἰ ἃ νῦν ἄνοιαν ὀφλισκάνων ὅμως [o] ἐκλαλεῖ, ταῦτα δυνηθεὶς μὴ [p] πράξει.

28 ἀλλὰ μὴν ἡλίκα [q] γ' ἐστὶ τὰ διάφορα ἐνθάδε ἢ ἐκεῖ πολεμεῖν, οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι. εἰ γὰρ ὑμᾶς δεήσειεν αὐτοὺς τριάκοντα ἡμέρας [r] μόνας ἔξω γενέσθαι καὶ ὅσα ἀνάγκη στρατοπέδῳ χρωμένους [s] τῶν ἐκ τῆς χώρας λαμβάνειν, [t] μηδενὸς ὄντος ἐν αὐτῇ πολεμίου λέγω, πλέον 17 ἂν οἶμαι ζημιωθῆναι τοὺς γεωργοῦντας [u] ὑμῶν ἢ ὅσα εἰς ἅπαντα τὸν πρὸ τοῦ [x] πόλεμον [y] δεδαπάνησθε. εἰ δὲ δὴ [z] πόλεμός τις ἥξει, πόσα χρὴ νομίσαι [a] ζημιώσεσθαι; καὶ προσέσθ' ἡ ὕβρις καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων [b] ζημίας τοῖς γε σώφροσιν.

29 Πάντα δὴ ταῦτα δεῖ [c] συνιδόντας [d] ἅπαντας βοηθεῖν καὶ ἀπωθεῖν ἐκεῖσε τὸν πόλεμον, τοὺς μὲν εὐπόρους, ἵν' ὑπὲρ τῶν πολλῶν [e] ὧν καλῶς ποιοῦντες ἔχουσι μικρὰ ἀναλίσκοντες τὰ λοιπὰ [f] καρπῶνται ἀδεῶς, τοὺς δ' ἐν ἡλικίᾳ, ἵνα τὴν τοῦ πολεμεῖν ἐμπειρίαν ἐν τῇ [g] Φιλίππου χώρᾳ κτησάμενοι φοβεροὶ φύλακες τῆς οἰκείας ἀκεραίου γένωνται, τοὺς δὲ λέγοντας, ἵν' αἱ τῶν πεπολιτευμένων

[n] ἔτι om. F. v.
[o] ἐκλαλεῖ] ἐγκαλεῖ F. in litura.
[p] πράξει] πράξῃ S.
[q] γ' om. u.
[r] μόνας] μόνον O. om. Y.
[s] τῶν ἐκ] ἐκ τῶν Y.
[t] μηδενὸς] μηδενὸς (οὐ superscr.) F. οὐδενὸς Y.
[u] ὑμῶν] ἡμῶν S. O. u. v. ἡμῶν (ὑ superscr.) F.
[x] πόλεμον] πολέμου (ον superscr.) u.
[y] δεδαπάνησθε] δεδαπανῆσθαι F.
[z] πόλεμος] καὶ πόλεμος Y.
[a] ζημιώσεσθαι F. S. ceteri ζημιωθήσεσθαι.
[b] ζημίας] ζημία F. O. u. v.
[c] συνιδόντας] συνειδότας Y.
[d] ἅπαντας om. O.
[e] ὧν] ἃ Y.
[f] καρπῶνται ἀδεῶς] ἀδεῶς καρπῶνται Y.
[g] Φιλίππου] τοῦ φιλίππου F.

αὐτοῖς εὐθῦναι ῥᾴδιαι γένωνται, ὡς ὁποῖ᾽ ἄττ᾽ ἂν ὑμᾶς περιστῇ τὰ πράγματα, τοιοῦτοι κριταὶ [h] καὶ τῶν πεπραγμένων αὐτοῖς ἔσεσθε. χρηστὰ δ᾽ εἴη παντὸς εἵνεκα.

B.

# ΟΛΥΝΘΙΑΚΟΣ Β.

### ΥΠΟΘΕΣΙΣ.

Προσήκαντο [a] μὲν τὴν πρεσβείαν τῶν Ὀλυνθίων οἱ Ἀθηναῖοι, καὶ βοηθεῖν αὐτοῖς κεκρίκασι· μέλλουσι δὲ περὶ τὴν ἔξοδον καὶ δεδιόσιν ὡς δυσπολεμήτου [b] ὄντος τοῦ Φιλίππου, παρελθὼν ὁ Δημοσθένης πειρᾶται θαρσύνειν τὸν δῆμον, ἐπιδεικνὺς ὡς [c] ἀσθενῆ τὰ τοῦ Μακεδόνος πράγματα. καὶ γὰρ τοῖς συμμάχοις [d] ὕποπτον αὐτὸν εἶναί φησι καὶ κατὰ τὴν [e] ἰδίαν δύναμιν οὐκ ἰσχυρόν· τοὺς γὰρ Μακεδόνας [f] ἀσθενεῖς εἶναι καθ᾽ ἑαυτούς.

ΕΠΙ πολλῶν μὲν ἄν τις ἰδεῖν ὦ ἄνδρες Ἀθηναῖοι [g] δοκεῖ 18
μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν [h] γιγνομένην τῇ πόλει, οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασι· τὸ γὰρ τοὺς πολεμήσοντας Φιλίππῳ γεγενῆσθαι καὶ χώραν ὅμορον καὶ δύναμίν τινα κεκτημένους, καὶ τὸ μέγιστον ἁπάντων, τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας, ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς πρῶτον μὲν ἀπίστους εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν [i] εἶναι, δαιμονίᾳ
2 τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ. δεῖ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι τοῦτ᾽ ἤδη σκοπεῖν αὐτούς, ὅπως μὴ χείρους περὶ ἡμᾶς αὐτοὺς εἶναι δόξομεν τῶν ὑπαρχόντων,

[h] καὶ post κριταὶ om. Y.
[a] μὲν om. O.
[b] ὄντος om. F. Y. O.
[c] ἀσθενῆ] ἀσθενεῖ Y. O. v.
[d] ὕποπτον αὐτὸν] αὐτὸν ὕποπτον Y.
[e] ἰδίαν] οἰκείαν Y.
[f] ἀσθενεῖς εἶναι] εἶναι ἀσθενεῖς Y.
[g] δοκεῖ] δοκοῖ v.
[h] γιγνομένην F. S. vulg. γενομένην.
[i] εἶναι om. S.

ὡς ἔστι τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ [k] μόνον πόλεων καὶ τόπων ὧν ἦμέν ποτε κύριοι φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων [l] συμμάχων καὶ καιρῶν.

3 Τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι. διὰ τί; ὅτι μοι δοκεῖ πάνθ', ὅσ' ἂν [m] εἴποι τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν [n] ἔχειν φιλοτιμίαν [o] τινά, ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι. ὁ μὲν γὰρ ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται· ὑμεῖς δὲ ὅσῳ χεῖρον ἢ προσῆκε κέχρησθε τοῖς πράγμασι, 4 τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. ταῦτα μὲν οὖν παραλείψω. καὶ γὰρ εἰ μετ' ἀληθείας τις ὦ ἄνδρες 19 Ἀθηναῖοι σκοποῖτο, ἐνθένδ' ἂν αὐτὸν [p] ἴδοι μέγαν γεγενημένον, οὐχὶ παρ' αὑτοῦ. ὧν οὖν ἐκεῖνος [q] μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, [r] τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. ἃ δὲ καὶ χωρὶς τούτων [s] ἔνι, καὶ βέλτιόν ἐστιν ἀκηκοέναι πάντας ὑμᾶς, καὶ μεγάλα ὦ ἄνδρες Ἀθηναῖοι κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη βουλομένοις ὀρθῶς δοκιμάζειν, ταῦτ' εἰπεῖν πειράσομαι.

5 Τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ [t] τοῦ τὰ πεπραγμένα δεικνύναι λοιδορίαν εἶναί τις ἂν φήσειε κενὴν δικαίως· τὸ δὲ πάνθ', ὅσα πώποτ' ἔπραξε, διεξιόντα ἐφ

[k] μόνον] μόνων pr. F.
[l] συμμάχων] συμμάχων τε Y. O. u. v.
[m] εἴποι] εἴπῃ O. u. et correctus v.
[n] ἔχειν] ἔχει u.
[o] τινά om. pr. S. ante ἔχειν ponit Y.
[p] ἴδοι] ἴδῃ Y.
[q] μὲν om. Y.
[r] τούτων] ὑπὲρ τούτων F. Y. om. pr. S.
[s] ἔνι] ἔνι λέγειν Y.
[t] τοῦ om. O. u.

ἅπασι τούτοις ἐλέγχειν καὶ βραχέος λόγου συμβαίνει
δεῖσθαι, καὶ δυοῖν ἕνεκα [u] ἡγοῦμαι συμφέρειν εἰρῆσθαι,
τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνε-
σθαι, καὶ [x] τοῦ τοὺς ὑπερεκπεπληγμένους ὡς ἄμαχόν τινα
τὸν Φίλιππον ἰδεῖν ὅτι πάντα διεξελήλυθεν οἷς πρότερον
παρακρουόμενος μέγας [y] ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν
6 τελευτὴν τὰ πράγματ' [z] αὐτῷ. ἐγὼ [a] μὲν [b] γὰρ ὦ ἄνδρες
Ἀθηναῖοι σφόδρ' ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν [c] τὸν Φί-
λιππον καὶ θαυμαστόν, εἰ τὰ δίκαια πράττοντα ἑώρων
[d] αὐτὸν ηὐξημένον· νῦν δὲ θεωρῶν καὶ σκοπῶν εὑρίσκω τὴν
μὲν ἡμετέραν εὐήθειαν τὸ κατ' ἀρχάς, ὅτε Ὀλυνθίους ἀπή-
λαυνόν τινες ἐνθένδε βουλομένους [e] ἡμῖν διαλεχθῆναι, τῷ
τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν καὶ [f] τὸ θρυλούμενόν
ποτε ἀπόρρητον [g] ἐκεῖνο [h] κατασκευάσαι, τούτῳ [i] προσα-
7 γαγόμενον, τὴν δ' Ὀλυνθίων φιλίαν μετὰ ταῦτα τῷ Πο-
τίδαιαν οὖσαν ὑμετέραν ἐξελεῖν καὶ τοὺς μὲν πρότερον συμ-
μάχους [k] ὑμᾶς ἀδικῆσαι, παραδοῦναι δὲ ἐκείνοις, Θεττα-
λοὺς δὲ νῦν τὰ τελευταῖα τῷ Μαγνησίαν παραδώσειν ὑπό-
σχέσθαι καὶ τὸν Φωκικὸν πόλεμον πολεμήσειν ὑπὲρ αὐ-
τῶν ἀναδέξασθαι. ὅλως δὲ οὐδεὶς ἔστιν ὅντιν' οὐ πεφενά-
κικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων· τὴν γὰρ ἑκάστων
[l] ἄνοιαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν καὶ προσ-
8 λαμβάνων οὕτως ηὐξήθη. ὥσπερ οὖν διὰ τούτων ἤρθη μέ-

[u] ἡγοῦμαι συμφέρειν] συμφέρειν ἡγοῦμαι Y. O. u. v.

[x] τοῦ ante τοὺς om. S.

[y] ηὐξήθη] νῦν ηὐξήθη Y. O. u. v. et γρ. F.

[z] αὐτῷ] αὐτοῦ S. O. v. αὐποῦ F.

[a] μὲν om. F. S. Y.

[b] γὰρ om. O.

[c] τὸν Φίλιππον] εἶναι τὸν φίλιππον Y. O. u. v.

[d] αὐτὸν om. F.

[e] ἡμῖν] ὑμῖν F. S. O. u. v.

[f] τὸ] τῷ u. v.

[g] ἐκεῖνο om. pr. O.

[h] κατασκευάσαι] κατασκευάσαι F. v. κατασκευάσειν Y. O. u.

[i] προσαγαγόμενον S. vulg. προσαγόμενον.

[k] ὑμᾶς S. O. u. v. vulg. ἡμᾶς.

[l] ἄνοιαν] ἄγνοιαν Y.

γας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι πράξειν, οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων καὶ καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ' ἕνεκα ἑαυτοῦ [m] ποιῶν ἐξελήλεγκται. καιροῦ μὲν δὴ ὦ ἄνδρες Ἀθηναῖοι πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ [n] πράγματα· ἢ παρελθών τις ἐμοί, μᾶλλον δὲ ὑμῖν [o] δειξάτω ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ λέγω, ἢ ὡς οἱ τὰ πρῶτα ἐξηπατημένοι τὰ λοιπὰ [p] πιστεύσουσιν [q] αὐτῷ, ἢ ὡς οἱ παρὰ τὴν αὐτῶν ἀξίαν δεδουλωμένοι Θετταλοὶ νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντο ἄσμενοι.

9 Καὶ μὴν εἴ τις ὑμῶν ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖται,
οἴεται δὲ βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα τῷ τὰ χωρία
καὶ λιμένας καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ ὀρθῶς οἴε-
ται. ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα συστῇ καὶ
πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τοῦ πολέμου, καὶ
[r] συμπονεῖν καὶ φέρειν τὰς συμφορὰς καὶ μένειν ἐθέλουσιν
[s] οἱ ἄνθρωποι· ὅταν δ' ἐκ πλεονεξίας καὶ πονηρίας τις
ὥσπερ οὗτος ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ [t] μικρὸν
10 πταῖσμα ἅπαντα ἀνεχαίτισε καὶ διέλυσεν. οὐ γάρ ἐστιν,
[u] οὐκ ἔστιν ὦ ἄνδρες Ἀθηναῖοι ἀδικοῦντα καὶ ἐπιορκοῦντα
καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι, ἀλλὰ τὰ 21
τοιαῦτα εἰς [x] μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει, καὶ
σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ, τῷ χρόνῳ
δὲ φωρᾶται καὶ περὶ αὑτὰ καταῤῥεῖ. ὥσπερ γὰρ οἰκίας,
οἶμαι, καὶ πλοίου καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κά-
τωθεν [y] ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς

[m] ποιῶν ante ἑαυτοῦ ponit Y.
[n] πράγματα] γράμματα u.
[o] δειξάτω] δειξάτω ἢ F. Y. O. u. v.
[p] πιστεύσουσιν] πιστεύουσιν v.
[q] αὐτῷ om. F. S.
[r] συμπονεῖν] πονεῖν O. u.
[s] οἱ om. F. Y. O. u. v.
[t] μικρὸν] τὸ τυχὸν γρ. F.
[u] οὐκ ἔστιν om. pr. O
[x] μὲν om. v.
[y] ἰσχυρότατα] ἰσχυροτατα (ερα superscr.) F. ἰσχυρότερα Y. O. u. v.

ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσ-
ήκει. τοῦτο δὲ οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγμένοις Φιλίππῳ.
11 Φημὶ δὴ δεῖν [z] ὑμᾶς [a] ἅμα τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν,
καὶ ὅπως τις λέγει κάλλιστα καὶ τάχιστα, [b] οὕτως ἀρέ-
σκει μοι· πρὸς δὲ Θετταλοὺς πρεσβείαν πέμπειν, ἣ τοὺς
μὲν διδάξει ταῦτα, τοὺς δὲ παροξυνεῖ· καὶ γὰρ νῦν εἰσὶν
ἐψηφισμένοι Παγασὰς [c] ἀπαιτεῖν καὶ περὶ Μαγνησίας
12 λόγους ποιεῖσθαι. [d] σκοπεῖσθε μέντοι τοῦτο, ὦ ἄνδρες
Ἀθηναῖοι, ὅπως μὴ λόγους [e] ἐροῦσι μόνον οἱ παρ' ἡμῶν
πρέσβεις, ἀλλὰ καὶ ἔργον τι δεικνύειν ἕξουσιν [f] ἐξεληλυ-
θότων ἡμῶν ἀξίως τῆς πόλεως καὶ ὄντων ἐπὶ τοῖς πράγ-
μασιν, ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ [g] πράγματα, μά-
ταιόν τι φαίνεται καὶ κενόν, μάλιστα δὲ ὁ παρὰ τῆς
ἡμετέρας πόλεως· ὅσῳ γὰρ [h] ἑτοιμότατ' αὐτῷ δοκοῦμεν
χρῆσθαι, [i] τοσούτῳ μᾶλλον ἀπιστοῦσι [k] πάντες αὐτῷ.
13 πολλὴν δὴ τὴν μετάστασιν καὶ μεγάλην δεικτέον τὴν με-
ταβολήν, εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας ἑτοί-
μως, εἴπερ τις ὑμῖν προσέξει τὸν νοῦν. [l] κἂν ταῦτα ἐθε-
λήσητε ὡς προσήκει καὶ δεῖ [m] περαίνειν, οὐ μόνον ὦ ἄνδρες
Ἀθηναῖοι τὰ συμμαχικὰ ἀσθενῶς καὶ ἀπίστως ἔχοντα
φανήσεται Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας ἀρχῆς καὶ 22
δυνάμεως κακῶς ἔχοντα ἐξελεγχθήσεται.

14 Ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχὴ ἐν

[z] ὑμᾶς] ἡμᾶς S. u. v. ἡμᾶς (ὑ superscr.) F.
[a] ἅμα om. S. supra versum ponit F.
[b] οὕτως] οὗτος Y.
[c] ἀπαιτεῖν] ἀπαιτεῖν αὐτὸν F.Y.
[d] σκοπεῖσθε μέντοι τοῦτο] σκοπεῖσθαι μέντοι τοῦτο δεῖ γρ. F.
[e] ἐροῦσι] ἐροῦσι (ω superscr.) F.
[f] ἐξελ. ἡμῶν] ἐξελ. ὑμῶν S.Y.O.u.
[g] πράγματα] ἔργα Y. et margo F.
[h] ἑτοιμότατ'] ἑτοιμότερον Y. O.
[i] τοσούτῳ] τοσοῦτο O. τοσοῦτον u.
[k] πάντες] ἅπαντες Y.
[l] κἂν ταῦτα] κἀνταῦθα F.
[m] περαίνειν] παραινεῖν F.S.O.u.v.

μὲν [n] προσθήκης μέρει ἐστί τις οὐ [o] σμικρά, οἷον ὑπῆρξέ ποθ' [p] ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους· πάλιν αὖ πρὸς Ποτίδαιαν Ὀλυνθίοις ἐφάνη τι [q] τοῦτο συναμφότερον· νυνὶ [r] δὲ Θετταλοῖς [s] στασιάζουσι καὶ τεταραγμένοις ἐπὶ τὴν τυραννικὴν [t] οἰκίαν [u] ἐβοήθησε· καὶ ὅποι τις ἄν, οἶμαι,
15 προσθῇ κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ. αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστὶ μεστή. καὶ γὰρ οὗτος ἅπασι τούτοις, οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις [x] καὶ ταῖς στρατείαις, ἔτ' ἐπισφαλεστέραν [y] αὑτὴν ἢ ὑπῆρχε φύσει κατεσκεύακεν ἑαυτῷ. μὴ γὰρ οἴεσθε ὦ ἄνδρες Ἀθηναῖοι τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν
16 καὶ τοὺς ἀρχομένους, ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ καὶ τοῦτο [z] ἐζήλωκε, καὶ προῄρηται πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι, παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦτα ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων βασιλεὺς δόξαν ἀντὶ τοῦ ζῆν [a] ἀσφαλῶς ᾑρημένος· τοῖς δὲ τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι, κοπτόμενοι δὲ ἀεὶ ταῖς στρατείαις ταύταις ταῖς [b] ἄνω κάτω λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν, [c] οὔτ' ἐπὶ τοῖς ἔργοις οὔτ' ἐπὶ τοῖς αὑτῶν ἰδίοις ἐώμενοι διατρίβειν, οὔθ' ὅσ' ἂν [d] πορίσωσιν οὕτως ὅπως ἂν δύνωνται, ταῦτ' [e] ἔχοντες διαθέσθαι [f] κεκλειμένων τῶν ἐμ-
17 πορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. οἱ μὲν οὖν πολ-

[n] προσθήκης μέρει] προσθηκηι μερις F. S.
[o] σμικρά] μικρὰ S. Y.
[p] ὑμῖν] ἡμῖν Y.
[q] τοῦτο] τοιοῦτο γρ. F.
[r] δὲ om. S.
[s] στασιάζουσι] νοσοῦσι καὶ στασιάζουσι Y. O. u. v.
[t] οἰκίαν] οἰκείαν S.
[u] ἐβοήθησε] ἐβοήθησαν F. ἐβοήθησαν u. v.
[x] καὶ ταῖς] ἐν ταῖς u.
[y] αὑτὴν om. S.
[z] ἐζήλωκε] ἐζήλωσε u.
[a] ἀσφαλῶς om. u.
[b] ἄνω] ἄνω τε καὶ Y. O. u. v.
[c] οὔτ' ἐπὶ τοῖς ἔργοις—διατρίβειν om. u.
[d] πορίσωσιν] ποιήσωσιν F.
[e] ἔχοντες om. u.
[f] κεκλειμένων F. v. vulg. κεκλεισμένων. Conf. Anecdota nostra p. 1020, 25. et p. 1388. v. κέκλειμαι.

λοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις 23
σκέψαιτο οὐ χαλεπῶς· οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι
καὶ [g]πεζέταιροι δόξαν μὲν ἔχουσιν ὡς εἰσὶ θαυμαστοὶ καὶ
συγκεκροτημένοι τὰ τοῦ πολέμου, ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ
τῇ χώρᾳ [h]γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου
18 τε ψεύδεσθαι, [i]οὐδένων εἰσὶ βελτίους. εἰ μὲν γάρ τις
ἀνήρ ἐστιν ἐν αὐτοῖς οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων,
τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτὸν ἔφη, βου-
λόμενον πάντα αὐτοῦ δοκεῖν εἶναι τὰ ἔργα (πρὸς γὰρ αὖ
τοῖς ἄλλοις καὶ τὴν φιλοτιμίαν [k]τἀνδρὸς ἀνυπέρβλητον
εἶναι)· εἰ δέ τις σώφρων ἢ δίκαιος ἄλλως, τὴν καθ' ἡμέ-
ραν ἀκρασίαν τοῦ βίου καὶ μέθην καὶ κορδακισμοὺς οὐ
δυνάμενος φέρειν, [l]παρεῶσθαι καὶ ἐν οὐδενὸς εἶναι μέρει
19 τὸν τοιοῦτον. λοιποὺς δὴ περὶ αὐτὸν εἶναι [m]λῃστὰς καὶ
κόλακας [n]καὶ τοιούτους ἀνθρώπους, οἵους μεθυσθέντας ὀρ-
χεῖσθαι τοιαῦτα οἷα ἐγὼ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι.
δῆλόν τ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ· καὶ γὰρ οὓς ἐνθένδε πάν-
τες ἀπήλαυνον ὡς πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέ-
ρους ὄντας, Καλλίαν ἐκεῖνον τὸν δημόσιον καὶ τοιούτους
ἀνθρώπους, μίμους γελοίων καὶ ποιητὰς αἰσχρῶν ᾀσμά-
των ὧν εἰς τοὺς συνόντας ποιοῦσιν ἕνεκα τοῦ γελασθῆναι,
20 τούτους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει. καίτοι ταῦτα, [o]εἰ
καὶ μικρά τις ἡγεῖται, μεγάλα ὦ ἄνδρες Ἀθηναῖοι δεί-
γματα τῆς ἐκείνου γνώμης καὶ κακοδαιμονίας ἐστὶ τοῖς
εὖ φρονοῦσιν. ἀλλ', οἶμαι, νῦν μὲν [p]ἐπισκοτεῖ [q]τούτοις

[g] πεζέταιροι] πεζέτεροι S. Y. O. πεζαίτεροι v. πεζίτεροι u.

[h] γεγενημένων om. O. u. v.

[i] οὐδένων] οὐδένως F.

[k] τἀνδρὸς om. F. S.

[l] παρεῶσθαι F. S. Y. ceteri παρεωρᾶσθαι.

[m] λῃστὰς] δικελιστάς Reiskius, γελοιαστὰς Valckenar. orat. de Philippo p. 240.

[n] καὶ ante τοιούτους om. S.

[o] εἰ καὶ] καὶ εἰ S.

[p] ἐπικοτεῖ] ἐπισκοτοῖ Y.

[q] τούτοις] τοῖς τοιούτοις γρ. F.

τὸ κατορθοῦν· αἱ γὰρ εὐπραξίαι δειναὶ [r]συγκρύψαι τὰ τοιαῦτα ὀνείδη· εἰ δέ τι [s]πταίσει, τότ' ἀκριβῶς αὐτοῦ
21 [t]ταῦτ' ἐξετασθήσεται. δοκεῖ δ' ἔμοιγε ὦ ἄνδρες Ἀθηναῖοι 24
δείξειν οὐκ εἰς μακράν, ἂν οἵ τε θεοὶ θέλωσι καὶ ὑμεῖς βούλησθε. ὥσπερ γὰρ ἐν τοῖς σώμασιν [u]ἡμῶν, τέως μὲν ἂν ἐῤῥωμένος [x]ᾖ τις, οὐδὲν ἐπαισθάνεται [y]τῶν καθ' ἕκαστα [z]σαθρῶν, ἐπὰν δὲ ἀῤῥώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα κἂν στρέμμα κἂν ἄλλο τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ, οὕτω καὶ τῶν πόλεων καὶ τῶν τυράννων, ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστίν, ἐπειδὰν δὲ ὅμορος πόλεμος συμπλακῇ, πάντα ἐποίησεν ἔκδηλα.

22 Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπή, μᾶλλον δὲ [a]τὸ ὅλον ἡ τύχη παρὰ [b]πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· οὐ μὴν ἀλλ' ἔγωγε, εἴ τις αἵρεσίν μοι [c]δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ προσήκει ποιεῖν ὑμῶν αὐτῶν [d]καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ [e]ἡμῖν ἐνούσας ἢ
23 ἐκείνῳ. ἀλλ', οἶμαι, καθήμεθα οὐδὲν ποιοῦντες· οὐκ ἔνι δ' [f]αὐτὸν ἀργοῦντα οὐδὲ [g]τοῖς φίλοις ἐπιτάττειν ὑπὲρ αὐτοῦ τι ποιεῖν, μή τί γε δὴ τοῖς θεοῖς. οὐ δὴ θαυμαστόν

[r] συγκρύψαι] συσκιάσαι γρ. F. συγκρύψαι καὶ συσκιάσαι Y.O.u.v.
[s] πταίσει F.S.Y. vulg. πταίσειε.
[t] ταῦτ' ἐξετασθήσεται] πάντ' ἐξετασθήσεται ταῦτα Y.
[u] ἡμῶν om. S. Y.
[x] ᾖ τις] τις ᾖ Y.
[y] τῶν—σαθρῶν om. pr. S.
[z] σαθρῶν] σαθρῶν S.
[a] τὸ ante ὅλον solus habet Y.
[b] πάντ'] ἅπαντ' Y.
[c] δοίη] δῴη F. δωιη S.
[d] καὶ ante κατὰ om. O. u. v.
[e] ἡμῖν] ὑμῖν F. S. Y. v.
[f] αὐτὸν] αὖ τὸν O. u. v.
[g] τοῖς ante φίλοις om. Y.O.u.v. in γρ. habet F.

ἐστιν, εἰ στρατευόμενος καὶ πονῶν ἐκεῖνος αὐτὸς καὶ παρὼν ἐφ' ἅπασι καὶ [h]μηδένα καιρὸν μηδ' ὥραν παραλείπων ἡμῶν μελλόντων καὶ ψηφιζομένων καὶ πυνθανομένων περιγίγνεται. [i]οὐδὲ θαυμάζω τοῦτ' ἐγώ· τοὐναντίον γὰρ [k]ἂν ἦν θαυμαστόν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει τοῦ πάντα ποιοῦντος [l]ἃ δεῖ περιῆμεν.

24 ἀλλ' ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις μέν ποτε ὦ ἄνδρες Ἀθηναῖοι ὑπὲρ τῶν [Ἑλληνικῶν] δικαίων ἀντήρατε, καὶ πολλὰ ἰδίᾳ πλεονεκτῆσαι πολλάκις ὑμῖν ἐξὸν οὐκ ἠθελήσατε, ἀλλ' ἵν' οἱ ἄλλοι τύχωσι τῶν δικαίων, τὰ ὑμέτερ' αὐτῶν ἀνηλίσκετε εἰσφέροντες καὶ προεκινδυνεύετε στρατευόμενοι, νυνὶ δ' ὀκνεῖτε ἐξιέναι καὶ μέλλετε εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων, καὶ τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις πάντας [m]καὶ καθ' ἕνα αὐτῶν ἕκαστον ἐν μέρει, τὰ δ' ὑμέτερ' αὐτῶν ἀπολωλεκότες κάθησθε.

25 ταῦτα θαυμάζω, καὶ ἔτι πρὸς τούτοις, εἰ μηδὲ εἷς ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι δύναται λογίσασθαι πόσον πολεμεῖτε χρόνον [n]Φιλίππῳ καὶ τί ποιούντων ὑμῶν ὁ χρόνος [o]ἅπας διελήλυθεν οὗτος. ἴστε γὰρ δήπου τοῦθ', ὅτι μελλόντων [p]αὐτῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, σχεδὸν [q]ταὐτὰ ἅπερ νυνὶ [r]ποιούντων [s]ἅπας ὁ χρόνος διελήλυθεν.

26 εἶθ' οὕτως ἀγνωμόνως ἔχετε, ὦ ἄνδρες ἀθηναῖοι, ὥστε δι' ὧν ἐκ χρηστῶν φαῦλα τὰ πράγματα τῆς πόλεως γέγονε, διὰ [t]τούτων ἐλπίζετε τῶν αὐτῶν πράξεων ἐκ φαύλων αὐτὰ

[h] μηδένα] μὴ δὲ F. S.
[i] οὐδὲ] οὐδὴ F. οὐ δὴ O. u. v. et γρ. S.
[k] ἂν om. F. Y.
[l] ἃ δεῖ om. pr. S.
[m] καὶ καθ' ἕνα αὐτῶν ἕκαστον] καθ' ἕνα αὐτῶν S.
[n] Φιλίππῳ] τῷ φιλίππῳ O. u.
[o] ἅπας om. S.
[p] αὐτῶν S. vulg. ὑμῶν.
[q] ταυτὰ] ταῦτα F. Y. O. u. v.
[r] ποιούντων] ποθούντων F.
[s] ἅπας ὁ χρόνος] ὁ χρόνος ἅπας O. u. v.
[t] τούτων ἐλπίζετε τῶν αὐτῶν] τῶν αὐτῶν τούτων ἐλπίζετε Y. O. u. v.

χρηστὰ γενήσεσθαι; ἀλλ' οὔτ' εὔλογον οὔτ' ἔχον [u] ἐστὶ
φύσιν τοῦτό γε· πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν ἢ κτή-
σασθαι πάντα πέφυκεν. [x] νυνὶ δὲ ὅ τι μὲν φυλάξομεν,
οὐδέν ἐστιν ὑπὸ τοῦ πολέμου λοιπὸν τῶν πρότερον, κτήσα-
27 σθαι δὲ δεῖ. αὐτῶν οὖν ἡμῶν ἔργον τοῦτ' ἤδη. φημὶ δὴ
δεῖν εἰσφέρειν χρήματα, αὐτοὺς ἐξιέναι προθύμως, μηδέν'
αἰτιᾶσθαι πρὶν ἂν τῶν πραγμάτων κρατήσητε, τηνικαῦτα
δὲ ἀπ' αὐτῶν τῶν ἔργων κρίναντας τοὺς μὲν ἀξίους ἐπαί- 26
νου τιμᾷν τοὺς δ' ἀδικοῦντας κολάζειν, τὰς προφάσεις
δ' ἀφελεῖν καὶ τὰ καθ' ὑμᾶς ἐλλείμματα· οὐ γάρ ἐστι
πικρῶς ἐξετάσαι τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρ'
28 ὑμῶν αὐτῶν πρῶτον ὑπάρξῃ τὰ δέοντα. τίνος γὰρ ἕνεκα,
ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε τοῦτον μὲν φεύγειν τὸν πόλε-
μον πάντας ὅσους ἂν ἐκπέμψητε στρατηγούς, [y] ἰδίους δ'
εὑρίσκειν πολέμους, εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν
στρατηγῶν εἰπεῖν; ὅτι ἐνταῦθα μέν ἐστι τὰ ἆθλα, ὑπὲρ
ὧν ἐστὶν ὁ πόλεμος, ὑμέτερα· Ἀμφίπολις κἂν ληφθῇ,
παραχρῆμα αὐτὴν [z] ὑμεῖς κομιεῖσθε· οἱ δὲ κίνδυνοι τῶν
ἐφεστηκότων ἴδιοι, μισθὸς δ' οὐκ ἔστιν· ἐκεῖ δὲ κίνδυνοι
μὲν ἐλάττους, τὰ δὲ λήμματα τῶν ἐφεστηκότων καὶ τῶν
στρατιωτῶν, Λάμψακος, Σίγειον, τὰ πλοῖα ἃ συλῶσιν.
29 ἐπ' οὖν τὸ λυσιτελοῦν αὑτοῖς ἕκαστοι χωροῦσιν. ὑμεῖς δέ,
ὅταν μὲν εἰς τὰ πράγματα ἀποβλέψητε φαύλως ἔχοντα,
τοὺς ἐφεστηκότας κρίνετε· ὅταν δὲ δόντες λόγον τὰς ἀνά-
γκας ἀκούσητε ταύτας, ἀφίετε. περίεστι τοίνυν [a] ὑμῖν
ἀλλήλοις ἐρίζειν καὶ διεστάναι, τοῖς μὲν ταῦτα πεπει-
σμένοις τοῖς δὲ ταῦτα, τὰ κοινὰ δ' [b] ἔχειν φαύλως. πρό-
τερον μὲν γὰρ ὦ ἄνδρες Ἀθηναῖοι εἰσεφέρετε κατὰ συμ-

[u] ἐστὶ om. pr. O.
[x] νυνὶ] νῦν F. Y. O. u. v.
[y] ἰδίους] ἰδίᾳ O. u. v.
[z] ὑμεῖς om. pr. Y.
[a] ὑμῖν] ἡμῖν F. vulg. ἡμῖν.
[b] ἔχειν] ἔχει pr. Y. O.

μορίας, [c] νυνὶ δὲ πολιτεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμὼν ἑκατέρων, καὶ στρατηγὸς ὑπὸ [d] τούτῳ, καὶ οἱ βοησόμενοι, [e] οἱ τριακόσιοι· οἱ δ' ἄλλοι προσνενέμησθε οἱ μὲν
30 ὡς τούτους, οἱ δὲ ὡς ἐκείνους. δεῖ δὴ ταῦτα ἐπανέντας καὶ ὑμῶν αὐτῶν ἔτι καὶ νῦν γενομένους κοινὸν καὶ τὸ [f] λέγειν καὶ τὸ βουλεύεσθαι καὶ τὸ πράττειν ποιῆσαι. εἰ δὲ τοῖς μὲν ὥσπερ ἐκ τυραννίδος [g] ὑμῶν ἐπιτάττειν ἀποδώ- 27
σετε, τοῖς δ' ἀναγκάζεσθαι τριηραρχεῖν, εἰσφέρειν, στρατεύεσθαι, τοῖς δὲ ψηφίζεσθαι κατὰ τούτων μόνον, ἄλλο δὲ μηδ' ὁτιοῦν συμπονεῖν, οὐχὶ γενήσεται τῶν δεόντων ὑμῖν οὐδὲν ἐν καιρῷ· τὸ γὰρ ἠδικημένον ἀεὶ μέρος ἐλλείψει, εἶθ' ὑμῖν τούτους κολάζειν ἀντὶ τῶν ἐχθρῶν [h] περι-
31 έσται. λέγω [i] δὴ κεφάλαιον, πάντας εἰσφέρειν ἀφ' [k] ὅσων ἕκαστος ἔχει, τὸ ἴσον· πάντας ἐξιέναι κατὰ μέρος, [l] ἕως ἂν [m] ἅπαντες στρατεύσησθε· πᾶσι τοῖς παριοῦσι λόγον διδόναι, καὶ τὰ βέλτιστα ὧν ἂν ἀκούσητε [n] αἱρεῖσθαι, μὴ ἃ ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα [o] εἴπῃ. κἂν ταῦτα [p] ποιῆτε, οὐ τὸν εἰπόντα μόνον παραχρῆμα ἐπαινέσεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, [q] βέλτιον τῶν ὅλων πραγμάτων ὑμῖν ἐχόντων.

[c] νυνὶ] νῦν Y.

[d] τούτῳ] τούτωι [οις] F.

[e] οἱ post βοησόμενοι om. F. Y. O. u. v.

[f] λέγειν καὶ τὸ βουλεύεσθαι] βουλεύεσθαι καὶ τὸ λέγειν S. λέγειν καὶ τὸ βούλεσθαι Y. O. u.

[g] ὑμῶν] ὑμῶν [ῖ] v.

[h] περιέσται] ἐξέσται F. S. O. u.

[i] δὴ] δὲ Y.

[k] ὅσων S. et pr. Y. ὧν [ὅσων] F. ceteri ὧν.

[l] ἕως] ὡς pr. Y.

[m] ἅπαντες] πάντες Y.

[n] αἱρεῖσθαι] αἱρεῖσθε [αι] F.

[o] εἴπῃ] εἴποι Y.

[p] ποιῆτε] ποιήσητε Y. et γρ. O.

[q] βέλτιον] πολλῷ βέλτιον Y. O. u. v.

Γ.

# ΟΛΥΝΘΙΑΚΟΣ Γ.

## ΥΠΟΘΕΣΙΣ.

Ἔπεμψαν βοήθειαν τοῖς Ὀλυνθίοις οἱ Ἀθηναῖοι, καί τι κατορθοῦν ἔδοξαν δι' αὐτῆς, καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο. ὁ δὲ δῆμος περιχαρής, [a] οἵ τε ῥήτορες [b] παρακαλοῦσιν ἐπὶ [c] τιμωρίαν Φιλίππου. [d] δέδοικε τοίνυν ὁ Δημοσθένης, μὴ [e] θαρσήσαντες ὡς τὰ πάντα νενικηκότες καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς Ὀλυνθίοις, τῶν λοιπῶν [f] ὀλιγωρήσωσι. διὰ τοῦτο παρελθὼν [g] ἐπικόπτει τὴν ἀλαζονείαν αὐτῶν καὶ πρὸς εὐλάβειαν σώφρονα [h] τὴν γνώμην μεθίστησι, λέγων οὐ περὶ τῆς Φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας· οἶδε γὰρ ὅτι καὶ Ἀθηναῖοι καὶ ἄλλοι πού τινες τοῦ μὲν 28 μὴ τὰ οἰκεῖα προέσθαι ποιοῦνται φροντίδα, περὶ δὲ τὸ τιμωρήσασθαι τοὺς ἐναντίους ἧττον σπουδάζουσιν. ἐν δὲ τούτῳ τῷ λόγῳ καὶ τῆς περὶ τῶν θεωρικῶν χρημάτων συμβουλῆς φανερώτερον ἅπτεται, καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους τοὺς ἐπιτιθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικά, ἵν' [i] ἄδεια ᾖ τοῦ συμβουλεύειν τὰ βέλτιστα. παραινεῖ δὲ καὶ ὅλως πρὸς τὸν τῶν προγόνων ζῆλον ἀναστῆναι καὶ στρατεύεσθαι σώμασιν οἰκείοις, καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου τε ὡς ἐκλελυμένου καὶ τῶν δημαγωγῶν ὡς οὐκ ὀρθῶς προϊσταμένων τῆς πόλεως.

ΟΥΧΙ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω καὶ ὅταν πρὸς τοὺς λόγους οὓς ἀκούω· τοὺς μὲν γὰρ λόγους περὶ τοῦ τιμωρήσασθαι Φίλιππον ὁρῶ γιγνομένους, τὰ δὲ πράγματα εἰς τοῦτο προήκοντα, ὥστε ὅπως μὴ [k] πεισόμεθα αὐτοὶ πρότερον κακῶς σκέψασθαι δέον. οὐδὲν

[a] οἵ τε] οἱ δὲ Y.

[b] παρακαλοῦσιν Y. vulg. παρακαλοῦντες.

[c] τιμωρίαν] τιμωρία F.

[d] δέδοικε τοίνυν ὁ Δημοσθένης Y. ceteri ὁ δὲ Δημοσθένης δεδοικώς.

[e] θαρσήσαντες] θαρρήσαντες Y.

[f] ὀλιγωρήσωσι] ὀλιγωρήσουσι F.Y.

[g] ἐπικόπτει] ἐπισκώπτει O. u. v.

[h] τὴν γνώμην μεθίστησι om. F.

[i] ἄδεια ᾖ τοῦ Reiskius, δειχθῇ τὸ Y. O. u. v. δεήσῃ τὸ F.

[k] πεισόμεθα Y. O. u. et correctus v. vulg. πεισώμεθα.

οὖν ἄλλο μοι δοκοῦσιν οἱ [l] τὰ τοιαῦτα λέγοντες ἢ τὴν
ὑπόθεσιν, περὶ ἧς [m] βουλεύεσθε, [n] οὐχὶ τὴν οὖσαν παρ-
2 ιστάντες ὑμῖν ἁμαρτάνειν. ἐγὼ δ' ὅτι μέν ποτ' ἐξῆν
τῇ πόλει καὶ τὰ αὑτῆς ἔχειν ἀσφαλῶς καὶ Φίλιππον
τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα· ἐπ' ἐμοῦ γάρ,
οὐχὶ πάλαι γέγονε ταῦτα ἀμφότερα· νῦν μέντοι πέπει-
σμαι τοῦθ' ἱκανὸν προλαβεῖν [o] ἡμῖν εἶναι τὴν πρώτην, 29
ὅπως τοὺς συμμάχους [p] σώσομεν. ἐὰν γὰρ τοῦτο βεβαίως
ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις
ἐκεῖνον ἐξέσται σκοπεῖν· πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑπο-
θέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποι-
εῖσθαι λόγον.

3 Ὁ μὲν οὖν παρὼν καιρός, ὦ ἄνδρες Ἀθηναῖοι, εἴ πέρ
ποτε, [q] πολλῆς [r] φροντίδος καὶ βουλῆς δεῖται. ἐγὼ δὲ
οὐχ ὅ τι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι [s] χαλε-
πώτατον ἡγοῦμαι, ἀλλ' ἐκεῖν' ἀπορῶ, τίνα χρὴ τρόπον ὦ
4 ἄνδρες Ἀθηναῖοι πρὸς [t] ὑμᾶς περὶ αὐτῶν εἰπεῖν. πέπει-
σμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα, τὰ πλείω
τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι τῷ μὴ βούλεσθαι
τὰ δέοντα ποιεῖν, [u] οὐ τῷ μὴ συνιέναι. ἀξιῶ δὲ ὑμᾶς, ἂν
μετὰ παῤῥησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο
θεωροῦντας εἰ τἀληθῆ λέγω καὶ διὰ τοῦτο, ἵνα τὰ λοιπὰ
βελτίω γένηται· ὁρᾶτε γὰρ ὡς ἐκ τοῦ πρὸς χάριν δημη-
γορεῖν ἐνίους εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ [x] παρόντα.
5 Ἀναγκαῖον δὲ ὑπολαμβάνω μικρὰ τῶν γεγενημένων

l τὰ τοιαῦτα] ταῦτα Y.
m βουλεύεσθε] βούλεσθε Y.
οὐχὶ
n οὐχὶ] οὐ F.
o ἡμῖν εἶναι S. Y. ceteri εἶναι ἡμῖν.
p σώσομεν F. Y. vulg. σώσωμεν.
q πολλῆς] καὶ νῦν πολλῆς Y. O. u. v.
r φροντίδος] κοροντίδος F.
s χαλεπώτατον] χαλεπώτερον Y.
t ὑμᾶς] ἡμᾶς (ὑ above) F. ἡμᾶς S.
u οὐ] ἢ S.
x παρόντα] παρόντα πράγματα Y. O. u. v.

πρῶτον ὑμᾶς ὑπομνῆσαι. μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι,
[y]ὅτ' ἀπηγγέλθη Φίλιππος [z]ὑμῖν ἐν Θρᾴκῃ τρίτον ἢ τέταρ-
τον ἔτος τουτὶ Ἡραῖον τεῖχος πολιορκῶν, τότε τοίνυν μὴν
[a]μὲν ἦν μαιμακτηριών, πολλῶν δὲ λόγων καὶ θορύβου
[b]γιγνομένου παρ' ὑμῖν ἐψηφίσασθε τετταράκοντα τριή-
ρεις καθέλκειν καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντα
ἐτῶν αὐτοὺς ἐμβαίνειν καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν.
6 καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου ἑκατομ-
βαιών, μεταγειτνιών, βοηδρομιών· τούτου τοῦ μηνὸς [c]μό-
γις μετὰ τὰ μυστήρια δέκα ναῦς ἀπεστείλατε ἔχοντα
[d]κενὰς Χαρίδημον καὶ πέντε τάλαντα ἀργυρίου. ὡς γὰρ
ἠγγέλθη Φίλιππος ἀσθενῶν ἢ τεθνεώς (ἦλθε γὰρ ἀμ-
φότερα), οὐκέτι καιρὸν οὐδένα τοῦ βοηθεῖν νομίσαντες [e]ἀφ-
εῖτε ὦ ἄνδρες Ἀθηναῖοι τὸν ἀπόστολον. ἦν δ' οὗτος ὁ
καιρὸς αὐτός· εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥσπερ
ἐψηφισάμεθα, προθύμως, οὐκ ἂν [f]ἠνώχλει νῦν ἡμῖν ὁ Φί-
λιππος [g]σωθείς.
7 Τὰ μὲν δὴ τότε πραχθέντα οὐκ ἂν ἄλλως ἔχοι· νῦν
δ' ἑτέρου πολέμου καιρὸς ἥκει [h]τις, δι' ὃν καὶ περὶ τού-
των ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. τί δὴ χρησόμεθα ὦ
ἄνδρες Ἀθηναῖοι τούτῳ; [i]εἰ γὰρ μὴ [k]βοηθήσετε παντὶ
σθένει κατὰ τὸ δυνατόν, θεάσασθε ὃν τρόπον ὑμεῖς ἐστρα-
8 τηγηκότες [l]πάντα ἔσεσθε ὑπὲρ Φιλίππου. ὑπῆρχον Ὀλύν-
θιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' οὕτω τὰ πράγ-
ματα· οὔτε Φίλιππος ἐθάρρει τούτους οὔθ' οὗτοι Φίλιπ-

[y] ὅτ'] ὅταν Y.
[z] ὑμῖν om. O.
[a] μὲν om. O.
[b] γιγνομένου] γενομένου Y.
[c] μόγις] μόγις (λ) F. μόλις O. u.
[d] κενὰς Χαρίδημον] χαρίδημον κενὰς Y. O. u.
[e] ἀφεῖτε Y. ἀφίετε F. S. ἀφεί(η)κατε γρ. F. vulg. ἀφήκατε.
[f] ἠνώχλει] ἐνώχλει S.
[g] σωθείς] τότε σωθείς Y. O. u. v.
[h] τις] τις οὗτος O. u. v.
[i] εἰ] ἂν O. u. et correctus v.
[k] βοηθήσετε] βοηθήσητε S.O.u.v.
[l] πάντα ἔσεσθε] ἔσεσθε πάντα Y.

πον. ἐπράξαμεν ἡμεῖς κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην· ἦν
τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ καὶ δυσχερές,
πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς διηλλαγ-
μένην πρὸς ἡμᾶς. [m] ἐκπολεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀν-
θρώπους ἐκ παντὸς τρόπου· καὶ [n] ὃ πάντες ἐθρύλουν [o] τέως,
9 τοῦτο πέπρακται [p] νυνὶ ὁπωσδήποτε. τί οὖν ὑπόλοιπον, ὦ
ἄνδρες Ἀθηναῖοι, πλὴν βοηθεῖν ἐρρωμένως καὶ προθύμως;
ἐγὼ μὲν οὐχ ὁρῶ· χωρὶς γὰρ τῆς περιστάσης ἂν ἡμᾶς
αἰσχύνης, εἰ καθυφείμεθά τι τῶν πραγμάτων, οὐδὲ τὸν
φόβον ὦ ἄνδρες Ἀθηναῖοι μικρὸν ὁρῶ τὸν [[q] τῶν] μετὰ
ταῦτα, ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀπειρηκότων
δὲ χρήμασι Φωκέων, μηδενὸς δ' ἐμποδὼν ὄντος Φιλίππῳ
τὰ παρόντα καταστρεψαμένῳ πρὸς ταῦτα ἐπικλῖναι τὰ
10 πράγματα. ἀλλὰ μὴν εἴ τις [r] ὑμῶν εἰς τοῦτο ἀναβάλ- 31
λεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ
δεινά, ἐξὸν ἀκούειν ἄλλοθι γιγνόμενα, καὶ βοηθοὺς ἑαυτῷ
ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν· ὅτι γὰρ εἰς τοῦτο
περιστήσεται τὰ πράγματα, ἐὰν τὰ παρόντα προώμεθα,
σχεδὸν ἴσμεν ἅπαντες δήπου.
11 Ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι τις ἄν, πάντες
ἐγνώκαμεν, καὶ βοηθήσομεν· τὸ δὲ ὅπως, τοῦτο λέγε. μὴ
τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι θαυμάσητε, ἂν παράδοξον εἴπω
τι τοῖς πολλοῖς. νομοθέτας [s] καθίσατε. ἐν δὲ τούτοις τοῖς
νομοθέταις μὴ θῆσθε νόμον μηδένα (εἰσὶ γὰρ [t] ἱκανοὶ ὑμῖν),
ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς λύσατε.
12 λέγω [u] δὲ τοὺς περὶ τῶν θεωρικῶν, σαφῶς οὑτωσί, καὶ

[m] ἐκπολεμῶσαι] ἐκπολεμῆσαι pr. S.

[n] ὃ] ἃ pr. S.

[o] τέως om. F. S.

[p] νυνὶ] νυνὶ τοῦτο S. in F. post νυνὶ erasum quippiam.

[q] [τῶν] om. F. Y.

[r] ὑμῶν] ἡμῶν Y.

[s] καθίσατε] Ita rescripsi pro librorum omnium καθίστατε.

[t] ἱκανοὶ ὑμῖν S. vulg. ὑμῖν ἱκανοί.

[u] δὲ] δὴ Y. om. S.

τοὺς περὶ τῶν στρατευομένων ἐνίους, ὧν οἱ μὲν τὰ στρατι-
ωτικὰ τοῖς οἴκοι μένουσι διανέμουσι [x] θεωρικά, οἱ δὲ τοὺς
ἀτακτοῦντας ἀθῴους [y] καθιστᾶσιν, εἶτα καὶ τοὺς τὰ δέ-
οντα ποιεῖν βουλομένους [z] ἀθυμοτέρους ποιοῦσιν. ἐπειδὰν
δὲ ταῦτα λύσητε καὶ τὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν
παράσχητε ἀσφαλῆ, τηνικαῦτα τὸν [a] γράψοντα, ἃ πάν-
13 τες ἴστε ὅτι συμφέρει, ζητεῖτε. πρὶν δὲ ταῦτα πρᾶξαι,
μὴ σκοπεῖτε τίς εἰπὼν τὰ βέλτιστα ὑπὲρ ὑμῶν [b] ὑφ' ὑμῶν
ἀπολέσθαι βουλήσεται· οὐ γὰρ εὑρήσετε, ἄλλως τε καὶ
τούτου μόνου περιγίγνεσθαι μέλλοντος, [c] παθεῖν ἀδίκως τι
κακὸν τὸν ταῦτ' εἰπόντα καὶ γράψαντα, μηδὲν δὲ ὠφελῆ-
σαι τὰ πράγματα, ἀλλὰ καὶ εἰς τὸ λοιπὸν μᾶλλον ἔτι ἢ
14 νῦν τὸ τὰ βέλτιστα λέγειν φοβερώτερον ποιῆσαι. καὶ λύειν
γε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς νόμους δεῖ [d] τούτους τοὺς αὐτοὺς
ἀξιοῦν οἵπερ καὶ τεθείκασιν· οὐ γάρ ἐστι δίκαιον τὴν μὲν 32
χάριν, ἣ πᾶσαν [e] ἔβλαψε τὴν πόλιν, τοῖς τότε [f] θεῖσιν
ὑπάρχειν, τὴν δ' ἀπέχθειαν, δι' [g] ἧς [h] ἂν ἅπαντες ἄμεινον
πράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέ-
15 σθαι. πρὶν δὲ ταῦτα εὐτρεπίσαι, μηδαμῶς ὦ [i] ἄνδρες
Ἀθηναῖοι μηδένα ἀξιοῦτε τηλικοῦτον εἶναι παρ' ὑμῖν ὥστε
τοὺς νόμους τούτους παραβάντα μὴ δοῦναι δίκην, μηδ'
οὕτως ἀνόητον ὥστε εἰς προῦπτον κακὸν αὑτὸν ἐμβαλεῖν.
16 Οὐ μὴν οὐδ' ἐκεῖνό γ' ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες
Ἀθηναῖοι, ὅτι ψήφισμα οὐδενὸς ἄξιόν ἐστιν, ἂν μὴ προσ-
γένηται τὸ ποιεῖν ἐθέλειν τά γε δόξαντα προθύμως ὑμᾶς.

[x] θεωρικά] ὡς θεωρικά Y.
[y] καθιστᾶσιν] καθιστῶσιν Y.
[z] ἀθυμοτέρους] ῥαθυμοτέρους Y.
[a] γράψοντα] γράψαντα O. et forsitan S.
[b] ὑφ'] ἀφ' O.
[c] παθεῖν] τοῦ παθεῖν F.Y.O.u.v.
[d] τούτους τοὺς αὐτοὺς F. S. τοὺς αὐτοὺς τούτους Y. vulg. om. articulum.
[e] ἔβλαψε] ἔβλαπτε F.
[f] θεῖσιν] θήσειν F.
[g] ἧς] ἣν O.
[h] ἂν ἅπαντες] ἅπαντες ἂν Y.O.u.
[i] ἄνδρες om. O.

εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματα ἦν ἢ ὑμᾶς ἀναγκάζειν ἃ προσήκει πράττειν ἢ περὶ ὧν [k] ἂν γραφῇ διαπράξασθαι, οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι μικρά, μᾶλλον δ' οὐδὲν ἐπράττετε τούτων, οὔτε Φίλιππος τοσοῦτον ὑβρίκει χρόνον· πάλαι γὰρ [l] ἂν ἕνεκά γε ψηφισμάτων ἐδεδώκει
17 δίκην. ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει· τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστιν. τοῦτ' οὖν [m] δεῖ προσεῖναι, τὰ δ' ἄλλα [n] ὑπάρχει· καὶ γὰρ εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν [o] εἰσὶν ὦ ἄνδρες Ἀθηναῖοι δυνάμενοι, καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥηθέντα, καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν,
18 ἐὰν ὀρθῶς ποιῆτε. τίνα γὰρ χρόνον ἢ τίνα καιρόν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πράξετε, εἰ μὴ νῦν; οὐχ ἅπαντα μὲν [p] ἡμῶν [q] προείληφε τὰ χωρία [r] ἄνθρωπος, εἰ δὲ καὶ ταύτης [s] κύριος τῆς χώρας γενήσεται, πάντων αἴσχιστα πεισόμεθα; οὐχ οὓς, εἰ [t] πολεμήσαιεν, ἑτοίμως σώσειν ὑπισχνούμεθα, οὗτοι νῦν 33
[u] πολεμοῦνται; οὐκ ἐχθρός; οὐκ ἔχων τὰ [x] ἡμέτερα; οὐ
19 βάρβαρος; οὐχ ὅ τι ἂν εἴποι τις; ἀλλὰ πρὸς θεῶν [y] πάντα [z] ἐάσαντες καὶ μόνον οὐχὶ συγκατασκευάσαντες αὐτῷ τότε τοὺς αἰτίους, οἵτινές εἰσι, τούτων [a] ζητήσομεν; οὐ γὰρ [b] αὐτοί γ' αἴτιοι φήσομεν εἶναι, σαφῶς οἶδα τοῦτ' ἐγώ. οὐδὲ γὰρ ἐν τοῖς τοῦ πολέμου κινδύνοις τῶν [c] φυ-

[k] ἂν γραφῇ Y. et correctus S. γράφει (ἂν supra scr.) F. vulg. γράφει.
[l] ἂν post γὰρ om. O.
[m] δεῖ προσεῖναι] προσεῖναι δεῖ Y.
[n] ὑπάρχει] ὑπάρχειν u.
[o] εἰσὶν om. pr. S.
[p] ἡμῶν] ὑμῶν Y.
[q] προείληφεν post χωρία ponit Y.
[r] ἅνθρωπος S. vulg. ἄνθρωπος.
[s] κύριος τῆς χώρας] τῆς χώρας κύριος Y.
[t] πολεμήσαιεν] πολεμήσαιεν ἐκεῖνοι Y.
[u] πολεμοῦνται] πολεμοῦσιν pr. S.
[x] ἡμέτερα] ὑμέτερα Y.
[y] πάντα] ἅπαντα Y. ἅπαντα ταῦτα O. u. v.
[z] ἐάσαντες om. pr. F. in γρ. habet S.
[a] ζητήσομεν] ζητήσωμεν Y.
[b] αὐτοί] αὐτοῖς (οί supra scr.) F.
[c] φυγόντων S. vulg. φευγόντων.

γόντων οὐδεὶς ἑαυτοῦ κατηγορεῖ, [d] ἀλλὰ τοῦ στρατηγοῦ
καὶ [e] τῶν πλησίον καὶ πάντων μᾶλλον, ἥττηνται δ' ὅμως
διὰ πάντας τοὺς φυγόντας δήπου· μένειν γὰρ ἐξῆν τῷ
κατηγοροῦντι τῶν ἄλλων, εἰ δὲ τοῦτ' ἐποίει ἕκαστος, ἐνί-
20 κων ἄν. καὶ νῦν οὐ λέγει τις τὰ βέλτιστα; ἀναστὰς
ἄλλος εἰπάτω, μὴ τοῦτον αἰτιάσθω. ἕτερος λέγει τις
[f] βελτίω; ταῦτα ποιεῖτε ἀγαθῇ τύχῃ. ἀλλ' οὐχ ἡδέα
ταῦτα; οὐκέτι τοῦθ' ὁ λέγων ἀδικεῖ, πλὴν εἰ δέον εὔξα-
σθαι παραλείπει. εὔξασθαι μὲν [g] γὰρ ὦ ἄνδρες Ἀθηναῖοι
ῥᾴδιον, εἰς [h] ταὐτὸ πάνθ' ὅσα βούλεταί τις [i] ἁθροίσαντα
ἐν [k] ὀλίγῳ· ἑλέσθαι δέ, ὅταν περὶ πραγμάτων προτεθῇ
σκοπεῖν, οὐκέθ' ὁμοίως εὔπορον, ἀλλὰ δεῖ τὰ βέλτιστα
ἀντὶ τῶν ἡδέων, ἂν [l] μὴ [m] συναμφότερα ἐξῇ, λαμβάνειν.
21 εἰ δέ τις [n] ἡμῖν ἔχει καὶ τὰ θεωρικὰ ἐᾶν καὶ πόρους ἑτέ-
ρους λέγειν στρατιωτικούς, οὐχ οὗτος κρείττων; [o] εἴποι
τις ἄν. φήμ' ἔγωγε, εἴπερ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι·
ἀλλὰ θαυμάζω εἴ τῳ ποτὲ ἀνθρώπων ἢ γέγονεν ἢ γενή-
σεται, ἂν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν
22 ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ. ἀλλ', οἶμαι, μέγα τοῖς
τοιούτοις ὑπάρχει λόγοις ἡ παρ' ἑκάστου βούλησις, διό-
περ [p] ῥᾷστον ἁπάντων ἐστὶν αὑτὸν ἐξαπατῆσαι· ὃ γὰρ
βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται, τὰ δὲ πράγματα 34
[q] πολλάκις οὐχ οὕτω πέφυκεν. ὁρᾶτε οὖν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, [r] ταῦθ' οὕτως, ὅπως καὶ τὰ πράγματα ἐνδέχεται
23 καὶ δυνήσεσθε ἐξιέναι καὶ μισθὸν ἕξετε. οὔ [s] τοι σωφρόνων

[d] ἀλλὰ] ἀλλὰ καὶ F. ἀλλὰ καὶ O. u. v.
[e] τῶν] τῶν (οὗ superscr.) F. τοῦ Y.
[f] βελτίω] τὰ βελτίω O.
[g] γὰρ om. S. Y.
[h] ταὐτὸ] ταυτὸν Y. O.
[i] ἁθροίσαντα F. vulg. ἀθροίσαντα.
[k] ὀλίγῳ] ὀλίγῳ χρόνῳ Y.
[l] μὴ] μήτε u.
[m] συναμφότερα] ἀμφότερα O. u.
[n] ἡμῖν] ὑμῖν F. Y. O. u. v.
[o] εἴποι] ἂν εἴποι Y.
[p] ῥᾷστον] ῥᾷον Y.
[q] πολλάκις om. O.
[r] ταῦθ'] τοῦθ' u.
[s] τοι] τι O. u. et correctus v.

οὐδὲ γενναίων ἐστὶν ἀνθρώπων, [t] ἐλλείποντάς τι δι' ἔνδειαν
χρημάτων [u] τῶν τοῦ πολέμου εὐχερῶς τὰ τοιαῦτα ὀνείδη
φέρειν, οὐδ' ἐπὶ [x] μὲν Κορινθίους καὶ Μεγαρέας ἁρπάσαν-
τας τὰ ὅπλα πορεύεσθαι, Φίλιππον δ' ἐᾶν πόλεις Ἑλ-
ληνίδας ἀνδραποδίζεσθαι δι' ἀπορίαν ἐφοδίων τοῖς στρα-
τευομένοις.

24 Καὶ ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν [y] ὑμῶν, τὴν ἄλλως
προῄρημαι λέγειν· οὐ γὰρ οὕτως ἄφρων οὐδ' ἀτυχής εἰμι
ἐγώ, ὥστε ἀπεχθάνεσθαι βούλεσθαι μηδὲν ὠφελεῖν νομί-
ζων· ἀλλὰ δικαίου πολίτου κρίνω τὴν τῶν πραγμάτων
25 σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι. καὶ
γὰρ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας [z] ἀκούω,
ὥσπερ ἴσως καὶ ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν οἱ [a] παριόντες
ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ ἔθει καὶ τῷ
τρόπῳ τῆς πολιτείας χρῆσθαι, τὸν Ἀριστείδην ἐκεῖνον,
26 τὸν Νικίαν, τὸν ὁμώνυμον ἐμαυτῷ, τὸν Περικλέα. ἐξ οὗ
δ' οἱ [b] διερωτῶντες ὑμᾶς οὗτοι πεφήνασι ῥήτορες, "τί
" βούλεσθε; τί γράψω; τί ὑμῖν [c] χαρίσωμαι;" προ-
πέποται τῆς παραυτίκα [d] χάριτος τὰ τῆς πόλεως πράγ-
ματα καὶ τοιαυτὶ συμβαίνει, καὶ τὰ μὲν τούτων πάντα
27 καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς. καίτοι σκέψασθε,
ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν κεφάλαια εἰπεῖν [e] ἔχοι τῶν
τ' ἐπὶ τῶν προγόνων ἔργων καὶ τῶν ἐφ' ὑμῶν. ἔσται δὲ
βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος· οὐ γὰρ ἀλλοτρίοις
ὑμῖν χρωμένοις παραδείγμασιν ἀλλ' οἰκείοις, ὦ ἄνδρες
28 Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γενέσθαι. ἐκεῖνοι τοίνυν, οἷς

[t] ἐλλείποντάς] λείποντας S.
[u] τῶν om. O. u. v.
[x] μὲν om. pr. O.
[y] ἡμῶν] ὑμῶν Y.
[z] ἀκούω] ἀκούων pr. S.
[a] παριόντες] παρόντες Y. O. u. v.
[b] διερωτῶντες] ἐρωτῶντες O.
[c] χαρίσωμαι Y. et margo F. vulg. χαρίσομαι.
[d] χάριτος] ἡδονῆς καὶ χάριτος O. u. v. et γρ. F.
[e] ἔχοι] ἔχη O. et correcti u. v.

οὐκ ἐχαρίζονθ' οἱ λέγοντες οὐδ' ἐφίλουν αὐτοὺς ὥσπερ
ὑμᾶς οὗτοι [f] νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν
Ἑλλήνων ἦρξαν ἑκόντων, πλείω δ' ἢ μύρια τάλαντα εἰς
τὴν ἀκρόπολιν [g] ἀνήγαγον, [h] ὑπήκουε δὲ ὁ ταύτην τὴν χώ-
ραν ἔχων αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβα-
ρον Ἕλλησι, πολλὰ δὲ καὶ καλὰ καὶ [i] πεζῇ καὶ ναυμα-
χοῦντες ἔστησαν τρόπαια αὐτοὶ στρατευόμενοι, μόνοι δὲ
ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούν-
29 των κατέλιπον. ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι·
ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτὴν θεάσασθε ὁποῖοι, ἔν τε
τοῖς κοινοῖς καὶ [k] ἐν τοῖς ἰδίοις. δημοσίᾳ μὲν τοίνυν οἰκο-
δομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύα-
σαν ἡμῖν ἱερῶν καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε
30 μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι· ἰδίᾳ δ'
οὕτω σώφρονες ἦσαν καὶ σφόδρα [l] ἐν τῷ τῆς πολιτείας
ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου καὶ τὴν Μιλτιάδου
καὶ τῶν τότε λαμπρῶν οἰκίαν εἴ τις ἄρα [m] οἶδεν ὑμῶν
ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν
οὖσαν· οὐ γὰρ εἰς περιουσίαν [n] ἐπράττετο αὐτοῖς τὰ τῆς
πόλεως, ἀλλὰ τὸ κοινὸν [o] αὔξειν ἕκαστος ᾤετο δεῖν. ἐκ
δὲ τοῦ τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς
εὐσεβῶς, τὰ δ' ἐν αὑτοῖς ἴσως διοικεῖν μεγάλην εἰκότως
31 ἐκτήσαντο εὐδαιμονίαν. τότε μὲν δὴ τοῦτον τὸν τρόπον
εἶχε τὰ πράγματα ἐκείνοις, χρωμένοις οἷς εἶπον προστά-
ταις· [p] νυνὶ δὲ πῶς [q] ὑμῖν ὑπὸ τῶν χρηστῶν [r] τῶν νῦν τὰ

[f] νῦν om. O. v.
[g] ἀνήγαγον] συνήγαγον O. u. v. et γρ. S.
[h] ὑπήκουε] ὑπήκουσε Anecd. p. 176, 17.
[i] πεζῇ] πεζοὶ correctus O.
[k] ἐν post καὶ om. Y.
[l] ἐν om. F. S.
[m] οἶδεν] εἶδεν Y.
[n] ἐπράττετο αὐτοῖς] αὐτοῖς ἐπράττετο Y.
[o] αὔξειν ἕκαστος] ἕκαστος αὔξειν Y.
[p] νυνὶ] νῦν Y.
[q] ὑμῖν] $\overset{\upsilon}{\eta}$μῖν F. ἡμῖν S. O. u. v.
[r] τῶν νῦν] τούτων Y.

πράγματα ἔχει; ἆρά γε [s]ὁμοίως καὶ παραπλησίως; 36
[t]οἷς τὰ μὲν ἄλλα σιωπῶ, πόλλ᾽ ἂν ἔχων εἰπεῖν· ἀλλ᾽ ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων, Θηβαίων δ᾽ ἀσχόλων ὄντων, τῶν δ᾽ ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων [u]ἡμῖν ἀντιτάξασθαι, ἐξὸν [δ᾽] ἡμῖν καὶ τὰ ἡμέτερ᾽ αὐτῶν ἀσφαλῶς ἔχειν καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν,
32 ἀπεστερήμεθα μὲν χώρας [x]οἰκείας, πλείω δ᾽ ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν εἰς οὐδὲν δέον, οὓς δ᾽ ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης ἀπολωλέκασιν οὗτοι, ἐχθρὸν δ᾽ ἐφ᾽ ἡμᾶς αὐτοὺς τηλικοῦτον [y]ἠσκήκαμεν. ἢ φρασάτω τις ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν ἢ παρ᾽ ἡμῶν αὐτῶν, [z]Φίλιππος.
33 ἀλλ᾽ ὦ τᾶν, εἰ ταῦτα φαύλως, τά γ᾽ ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει. καὶ τί ἂν εἰπεῖν τις [a]ἔχοι; τὰς ἐπάλξεις ἃς κονιῶμεν, καὶ τὰς ὁδοὺς ἃς ἐπισκευάζομεν, καὶ κρήνας, καὶ λήρους; ἀποβλέψατε δὴ πρὸς [b]τοὺς [c]ταῦτα πολιτευομένους, ὧν οἱ μὲν ἐκ πτωχῶν [d]πλούσιοι γεγόνασιν, οἱ δ᾽ ἐξ ἀδόξων ἔντιμοι, ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι, ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ τὰ τούτων [e]ηὔξηται.

34 Τί δὴ τὸ πάντων αἴτιον τούτων, καὶ τί δήποτε [f]ἅπαντ᾽ εἶχε καλῶς τότε καὶ νῦν οὐκ ὀρθῶς; ὅτι τὸ μὲν πρῶτον καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος δεσπότης τῶν [g]πολιτευομένων ἦν καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγα-

[s] ὁμοίως καὶ] ὁμοίως ἢ Y.
[t] οἷς] καὶ Y.
[u] ἡμῖν ἀντ.] ὑμῖν ἀντ. Y.
[x] οἰκείας] οἰκίας F.
[y] ἠσκήκαμεν] ἠσκήσαμεν Y. O.
[z] Φίλιππος] ὁ φίλιππος Y.
[a] ἔχοι] ἔχῃ S.
[b] τοὺς post πρὸς om. pr. O.
[c] ταῦτα] τὰ τοιαῦτα Y. O. u. v.
[d] πλούσιοι] ταχὺ πλούσιοι Y.
[e] ηὔξηται] ηὔξηκεν (ται) F. ηὔξηκεν S.
[f] ἅπαντ᾽ om. pr. O.
[g] πολιτευομένων] πεπολιτευμένων Y.

θῶν, καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκά-
στῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινὸς μεταλαβεῖν·
35 νῦν δὲ τοὐναντίον κύριοι μὲν [h] οἱ πολιτευόμενοι τῶν ἀγα- 37
θῶν, καὶ διὰ τούτων ἅπαντα πράττεται, ὑμεῖς δ᾽ ὁ δῆμος
ἐκνενευρισμένοι καὶ περιῃρημένοι χρήματα [i] καὶ συμμά-
χους ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγα-
πῶντες ἐὰν [k] μεταδιδῶσι [l] θεωρικῶν ὑμῖν ἢ [m] Βοΐδια πέμ-
ψωσιν οὗτοι, καὶ τὸ πάντων [n] ἀνανδρότατον, τῶν ὑμετέρων
36 αὐτῶν χάριν [o] προσοφείλετε. οἱ δ᾽ ἐν αὐτῇ τῇ πόλει
καθείρξαντες [p] ὑμᾶς ἐπάγουσιν ἐπὶ ταῦτα καὶ [q] τιθασεύ-
ουσι χειροήθεις αὐτοῖς ποιοῦντες. ἔστι δ᾽ οὐδέποτ᾽, οἶμαι,
[r] μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μικρὰ καὶ φαῦλα
πράττοντας· ὁποῖ᾽ ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν
ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν.
37 ταῦτα μὰ τὴν [s] Δήμητρα οὐκ ἂν θαυμάσαιμι, εἰ [t] μείζων
εἰπόντι ἐμοὶ γένοιτο [u] παρ᾽ ὑμῶν βλάβη [x] τῶν πεποιηκό-
των αὐτὰ γενέσθαι· οὐδὲ γὰρ παῤῥησία περὶ πάντων αἰεὶ
παρ᾽ [y] ὑμῖν ἐστίν, ἀλλ᾽ ἔγωγε ὅτι καὶ νῦν γέγονε θαυ-
μάζω.
38 Ἐὰν οὖν [z] ἀλλὰ νῦν γ᾽ ἔτι ἀπαλλαγέντες τούτων τῶν
ἐθῶν ἐθελήσητε στρατεύεσθαί [a] τε καὶ πράττειν ἀξίως
ὑμῶν αὐτῶν, καὶ ταῖς περιουσίαις ταῖς οἴκοι ταύταις

[h] οἱ πολιτ. τῶν ἀγ.] τῶν ἀγ. οἱ πολιτ. Y.

[i] καὶ post χρήματα om. F. O. u. v.

[k] μεταδιδῶσι] μεταδῶσι Y.

[l] θεωρικῶν] θεωρικῶν (ὸ superscr.) F.

[m] βοΐδια] βοηδρόμια F.S.O.u.v.

[n] ἀνανδρότατον] ἀνδρειότατον S. γρ. ἀνδρειότατον εἰρωνικῶς F.

[o] προσοφείλετε] προσωφείλετε S.

[p] ὑμᾶς] ἡμᾶς (ὑ superscr.) F. ἡμᾶς S. u. v.

[q] τιθασεύουσι F. S. τιθασεύσουσι O. vulg. τιθασσεύουσι.

[r] μέγα καὶ om. pr. O.

[s] Δήμητρα] δήμητραν Y.

[t] μείζων] μεῖζον (ω superscr.) F.

[u] παρ᾽ ὑμῶν om. O.

[x] τῶν] ἢ τῶν F.

[y] ὑμῖν] ἡμῖν Y. u. v.

[z] ἀλλὰ νῦν γ᾽ ἔτι] ἔτι καὶ νῦν Y. correctus O. γρ. F.

[a] τε om. Y.

ἀφορμαῖς ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν [b] χρήσησθε, ἴσως ἄν,
[c] ἴσως ὦ ἄνδρες Ἀθηναῖοι τέλειόν τι καὶ μέγα [d] κτήσαισθε
39 ἀγαθόν, καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ
τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε.
καὶ γὰρ οὔτ' ἰσχὺν ἐκεῖνα ἐντίθησιν οὔτ' ἀποθνήσκειν ἐᾷ·
καὶ ταῦτα, ἃ νέμεσθε νῦν ὑμεῖς, οὔτε τοσαῦτά ἐστιν ὥστε
[e] ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ' ἀπογνόντας ἄλλο τι
πράττειν ἐᾷ, ἀλλ' ἔστι ταῦτα τὴν ἑκάστου ῥαθυμίαν
40 [f] ὑμῶν ἐπαυξάνοντα. οὐκοῦν σὺ μισθοφορὰν λέγεις; φή- 38
σει τις. καὶ παραχρῆμά γε τὴν αὐτὴν σύνταξιν [g] ἁπάν-
των, ὦ ἄνδρες Ἀθηναῖοι, ἵνα τῶν [h] κοινῶν ἕκαστος τὸ
μέρος λαμβάνων, ὅτου δέοιτο ἡ πόλις, [i] τοῦθ' ὑπάρχοι.
ἔξεστιν ἄγειν ἡσυχίαν; οἴκοι μένων [k] εἶ βελτίων, τοῦ δι'
41 ἔνδειαν ἀνάγκῃ τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος. συμ-
βαίνει [l] τι τοιοῦτον οἷον καὶ [m] τὰ νῦν; στρατιώτης αὐτὸς
ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων [n] λημμάτων, ὥσπερ ἐστὶ
δίκαιον ὑπὲρ τῆς πατρίδος. ἔστι τὶς ἔξω τῆς ἡλικίας
[o] ὑμῶν; [p] ὅσα οὗτος ἀτάκτως [q] νῦν λαμβάνων οὐκ [r] ὠφε-
λεῖ, ταῦτ' ἐν ἴσῃ τάξει [s] λαμβανέτω πάντ' ἐφορῶν καὶ
42 διοικῶν ἃ χρὴ [t] πράττεσθαι. ὅλως δὲ οὔτ' ἀφελὼν οὔτε

[b] χρήσησθε] χρήσεσθε u. v. χρῆσθαι Y. O.
[c] Alterum ἴσως om. O.
[d] κτήσαισθε] κτήσαισθε [η] F. κτήσοισθε Y. O.
[e] ὠφέλειαν ἔχειν] ἔχειν ὠφέλειαν Y.
[f] ὑμῶν] ημῶν [ὑ] F. ἡμῶν S.
[g] ἁπάντων] ἀπ' αὐτῶν F.
[h] κοινῶν] καινῶν F.
[i] τοῦθ' ὑπάρχοι F. S. u. v. εἰς τοῦτο ἕτοιμος ὑπάρχῃ Y. et correctus S. qui ὑπάρχοι: εἰς τοῦθ' ἑτοίμως χρήσιμον ἑαυτὸν παρέχοι O. et γρ. F. u.
[k] εἶ om. F. et pr. S.
[l] τι] δή τι Y.
[m] τὰ] τα [ὁ] F.
[n] λημμάτων] λημάτων pr. F.
[o] ὑμῶν] ἡμῶν F. S O. u. v.
[p] ὅσα om. v. et. pr. O. u.
[q] νῦν om. O. ante ἀτάκτως ponit Y.
[r] ὠφελεῖ] ὠφελεῖται F. S.
[s] λαμβανέτω] λαμβάνων F. S.
[t] πράττεσθαι] πράττεσθαι [ειν] F.

προσθείς, πλὴν [u] μικρὸν τὴν ἀταξίαν ἀνελὼν εἰς τάξιν
ἤγαγον τὴν πόλιν τὴν αὐτὴν τοῦ λαβεῖν, τοῦ στρατεύ-
εσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ' ὅ τι καθ' ἡλικίαν
ἕκαστος [x] ἔχοι καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας. οὐκ
ἔστιν ὅπου [y] μηδὲν [z] ποιοῦσιν ἐγὼ τὰ τῶν [a] ποιησόντων εἶ-
πον ὡς δεῖ νέμειν, οὐδ' αὐτοὺς μὲν ἀργεῖν καὶ σχολάζειν
καὶ ἀπορεῖν, ὅτι δὲ οἱ τοῦ δεῖνος νικῶσι ξένοι, ταῦτα πυν-
43 θάνεσθαι· ταῦτα γὰρ νυνὶ [b] γίγνεται. καὶ οὐχὶ μέμφο-
μαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ [c] ὑμῶν, ἀλλὰ καὶ
[d] ὑμᾶς ὑπὲρ ὑμῶν [e] αὐτῶν ἀξιῶ πράττειν ταῦτα ἐφ' οἷς
ἑτέρους τιμᾶτε, καὶ μὴ παραχωρεῖν ὦ ἄνδρες Ἀθηναῖοι
τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν
καὶ [f] καλῶν κινδύνων κτησάμενοι κατέλιπον.

44 Σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν· ὑμεῖς δ' ἕλοισθε ὅ τι καὶ τῇ πόλει καὶ ἅπασι συνοίσειν ὑμῖν μέλλει.

---

## Δ.

# ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Α.

### ΥΠΟΘΕΣΙΣ.

Κακῶς ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ Ἀθηναῖοι φερόμενοι συνεληλύ- 39
θασιν εἰς ἐκκλησίαν ἀθυμοῦντες. ὁ τοίνυν ῥήτωρ τήν τε ἀθυμίαν πειρᾶται παύειν, [a] λέγων οὐδὲν εἶναι θαυμαστὸν εἰ ῥᾳθυμοῦντες κεκράτηνται, καὶ εἰσηγεῖται πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖεν. κελεύει [b] δὲ [c] δύο δυνά-

[u] μικρόν] μικρον (ῶν) u. v. μικρῶν S. et pr. O.
[x] ἔχοι] ἔχει Y. O.
[y] μηδὲν] τοῖς μηδὲν Y. O. u. v.
[z] ποιοῦσιν ἐγὼ] ἐγὼ ποιοῦσιν F. O. u. v.
[a] ποιησόντων] ποιούντων Y. et fortasse pr. S.
[b] γίγνεται] γέγονε Y.
[c] ὑμῶν] ἡμῶν Y.
[d] ὑμᾶς] ὑμᾶς αὐτοὺς F. u.
[e] αὐτῶν om. O.
[f] καλῶν] καλῶν καὶ μεγάλων Y. u.
[a] λέγων om. u.
[b] δὲ F. O. u. v. vulg. δή.
[c] δύο om. F. O. u. v.

μεις παρασκευάσασθαι, μίαν μὲν μείζω, πολιτικήν, ἥτις οἴκοι μένουσα πρὸς τὰς [d] τῶν ἐπικαίρων χρείας ἕτοιμος ὑπάρξει, ἑτέραν δὲ [e] ἐλάττονα, ξένων ὄντων [f] τῶν στρατευομένων, παραμεμιγμένων δέ. [g] καὶ [h] ταύτην κελεύει τὴν δύναμιν μὴ Ἀθήνησι μένειν, μηδὲ ἐκ τῆς πόλεως ποιεῖσθαι τὰς βοηθείας, ἀλλὰ περὶ τὴν Μακεδονίαν ἀναστρέφεσθαι πολεμοῦσαν ἀδιαλείπτως, ἵνα μὴ τοὺς [i] ἐτησίας πνέοντας ἐπιτηρήσας ὁ Φίλιππος ἢ καὶ τὸν χειμῶνα, ἡνίκα Ἀθήνηθεν εἰς Μακεδονίαν πλεῖν οὐ δυνατόν, ἐπιχειρῇ τοῖς πράγμασι καὶ παρὰ τὴν ἀπουσίαν τὴν τῶν Ἀθηναίων ἁπάντων κρατῇ, ἀλλ' ἐγγὺς ἡ πρὸς [k] αὐτὸν ἀντιταξομένη δύναμις [l] ὑπάρχῃ.

ΕΙ μὲν περὶ καινοῦ τινὸς πράγματος προὐτίθετο ὦ ἄνδρες 40 Ἀθηναῖοι λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον, εἰ δὲ μή, τότ' ἂν [m] αὐ-

2 τὸς ἐπειρώμην ἃ γιγνώσκω λέγειν· ἐπειδὴ δὲ [n] περὶ ὧν πολλάκις εἰρήκασιν οὗτοι πρότερον συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς εἰκότως ἂν συγγνώμης τυγχάνειν. εἰ γὰρ ἐκ τοῦ παρεληλυθότος χρόνου τὰ δέοντα οὗτοι [o] συνεβούλευσαν, οὐδὲν ἂν [p] ὑμᾶς νῦν ἔδει [q] βουλεύεσθαι.

3 Πρῶτον μὲν οὖν οὐκ ἀθυμητέον ὦ ἄνδρες Ἀθηναῖοι τοῖς παροῦσι πράγμασιν, οὐδ' εἰ πάνυ φαύλως ἔχειν [r] δοκεῖ. ὃ γάρ ἐστι χείριστον αὐτῶν ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν ἐστὶ τοῦτο; ὅτι οὐδὲν ὦ ἄνδρες Ἀθηναῖοι τῶν δεόντων ποιούντων ὑμῶν κακῶς τὰ πράγματα ἔχει, [s] ἐπεί τοι εἰ πάνθ'

[d] τῶν ἐπικαίρων] κατὰ καιρὸν S. ἐπὶ καιρῶν correctus Y.
[e] ἐλάττονα] ἐλάττω S.
[f] τῶν om. u.
[g] καὶ om. F. S.
[h] ταύτην addidit Reiskius.
[i] ἐτησίας] ἐτησίους O.
[k] αὐτὸν] αὐτῶν correctus u.
[l] ὑπάρχῃ] πρὸς αὐτὸν ὑπάρχῃ F. Y. O. u. v.
[m] αὐτὸς] καὶ αὐτὸς Y.
[n] περὶ] ὑπὲρ S. Y.
[o] συνεβούλευσαν] συνεβούλευσαν (ον) F. συνεβούλευον Y. O. et correctus v.
[p] ὑμᾶς] ἡμᾶς F.
[q] βουλεύεσθαι] βουλεύεσθαι περὶ αὐτῶν Y. et rec. O.
[r] δοκεῖ] δοκῇ O. u.
[s] ἐπεί τοι εἰ] ἐπεὶ εἴ τοι F. S. ἐπειτοίγε εἰ ceteri.

ἃ [t] προσῆκε πραττόντων οὕτως εἶχεν, οὐδ' ἂν ἐλπὶς ἦν
4 αὐτὰ βελτίω γενέσθαι. ἔπειτα ἐνθυμητέον καὶ παρ' ἄλλων ἀκούουσι καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνησκομένοις, ἡλίκην πότ' ἐχόντων δύναμιν Λακεδαιμονίων, ἐξ οὗ χρόνος οὐ πολύς, ὡς καλῶς καὶ προσηκόντως οὐδὲν ἀνάξιον [u] ὑμεῖς ἐπράξατε τῆς πόλεως, ἀλλ' ὑπεμείνατε ὑπὲρ τῶν
5 [v] δικαίων τὸν πρὸς ἐκείνους πόλεμον. τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ [x] θεά- 41
σησθε ὅτι οὐδὲν οὔτε φυλαττομένοις [y] ὑμῖν ἐστι φοβερὸν οὔτ', ἂν ὀλιγωρῆτε, τοιοῦτον οἷον ἂν ὑμεῖς βούλησθε, παραδείγμασι χρώμενοι τῇ τότε ῥώμῃ τῶν Λακεδαιμονίων, ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν, καὶ τῇ νῦν ὕβρει τούτου, δι' ἣν ταραττόμεθα ἐκ τοῦ μηδὲν
6 φροντίζειν ὧν ἐχρῆν. εἰ δέ τις ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό τε πλῆθος [z] τῆς ὑπαρχούσης αὐτῷ δυνάμεως καὶ [a] τὸ τὰ χωρία πάντα ἀπολωλέναι τῇ πόλει, ὀρθῶς μὲν οἴεται, λογισάσθω μέντοι τοῦθ', ὅτι εἴχομέν [b] ποτε ἡμεῖς ὦ ἄνδρες Ἀθηναῖοι Πύδναν καὶ Ποτίδαιαν καὶ Μεθώνην καὶ πάντα τὸν τόπον τοῦτον οἰκεῖον κύκλῳ, καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε καὶ μᾶλλον [c] ἡμῖν ἐβούλετ' [d] ἔχειν οἰκείως ἢ [e] 'κείνῳ.
7 εἰ τοίνυν ὁ Φίλιππος [f] τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν [g] ἐστὶν Ἀθηναίοις ἔχουσι [h] τοσαῦτα

[t] προσῆκε] προσῆκε [ει] F. προσήκει Y.
[u] ὑμεῖς ἐπράξατε τῆς πόλεως] τῆς πόλεως ὑμεῖς ἐπράξατε Y.
[v] δικαίων] ἑλληνικῶν δικαίων Y. et margo F.
[x] θεάσησθε] λογίσησθε F.
[y] ὑμῖν om. Y. O.
[z] τῆς] τῆς νῦν Y. O. u. v.
[a] τὸ] τῶι F.
[b] ποτε] τότε O. v.
[c] ἡμῖν] ὑμῖν F. S. Y.
[d] ἔχειν οἰκείως] οἰκείως ἔχειν Y.
[e] 'κείνῳ S. quæ est perpetua, hujus pronominis in bonis libris vel elisio vel crasis: ceteri ἐκείνῳ.
[f] τότε om. Y.
[g] ἐστὶν Ἀθηναίοις] ἀθηναίοις ἐστὶν Y.
[h] τοσαῦτα S. vulg. τοιαῦτα.

ἐπιτειχίσματα [i] τῆς αὑτοῦ χώρας [k] ἔρημον ὄντα συμμά-
χων, οὐδὲν ἂν ὧν νυνὶ πεποίηκεν ἔπραξεν, οὐδὲ τοσαύτην
[l] ἐκτήσατο δύναμιν. ἀλλ' [m] εἶδεν ὦ ἄνδρες Ἀθηναῖοι τοῦτο
καλῶς ἐκεῖνος, ὅτι ταῦτα μέν ἐστιν ἅπαντα [n] τὰ χωρία
ἆθλα τοῦ πολέμου κείμενα ἐν μέσῳ, φύσει δ' ὑπάρχει
τοῖς παροῦσι τὰ τῶν [o] ἀπόντων καὶ τοῖς ἐθέλουσι πονεῖν
8 καὶ κινδυνεύειν τὰ τῶν ἀμελούντων. καὶ γάρ [p] τοι ταύτῃ
χρησάμενος τῇ γνώμῃ πάντα κατέστραπται καὶ ἔχει,
τὰ μὲν ὡς ἂν ἑλών τις ἔχοι [q] πολέμῳ, τὰ δὲ σύμμαχα
καὶ φίλα ποιησάμενος· καὶ γὰρ συμμαχεῖν καὶ προσέ- 42
χειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁρῶσι
9 παρεσκευασμένους καὶ πράττειν ἐθέλοντας ἃ χρή. ἂν
τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι καὶ ὑμεῖς ἐπὶ τῆς τοιαύτης ἐθε-
λήσητε γενέσθαι γνώμης νῦν, ἐπειδήπερ οὐ πρότερον, καὶ
ἕκαστος ὑμῶν, οὗ δεῖ καὶ δύναιτ' ἂν [r] παρασχεῖν αὑτὸν
χρήσιμον τῇ πόλει, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν [s] ἕτοιμος
[t] πράττειν ὑπάρξῃ, ὁ μὲν χρήματ' ἔχων εἰσφέρειν, ὁ δ' ἐν
10 ἡλικίᾳ στρατεύεσθαι,—συνελόντι δ' [u] ἁπλῶς ἢν ὑμῶν
αὐτῶν ἐθελήσητε γενέσθαι καὶ παύσησθε αὐτὸς μὲν οὐδὲν
ἕκαστος ποιήσειν ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ
[x] αὑτοῦ πράξειν, καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε, ἂν θεὸς
[y] ἐθέλῃ, καὶ τὰ κατερραθυμημένα πάλιν ἀναλήψεσθε,
11 κἀκεῖνον τιμωρήσεσθε. μὴ γὰρ ὡς θεῷ νομίζετ' ἐκείνῳ τὰ
παρόντα πεπηγέναι πράγματα ἀθάνατα, ἀλλὰ καὶ μι-

[i] τῆς αὑτοῦ χώρας] τῇ αὑτοῦ χώρᾳ Hemsterhusius ad Lucian. Nigrin. 23. Conf. de Rhod. 13.

[k] ἔρημον ὄντα] ἔρημος ὢν Y. O. ἔρημος ὢν τότε correctus S.

[l] ἐκτήσατο] ἐκτήσατ' ἂν Y.

[m] εἶδεν] οἶδεν Y. O. u. v.

[n] τὰ om. Y.

[o] ἀπόντων] ἀπόντων πράγματα Y. et rec. O.

[p] τοι ταύτῃ] τοιαύτῃ F. O.

[q] πολέμῳ] πολέμου νόμῳ γρ. F.

[r] παρασχεῖν αὑτὸν post πόλει ponit Y.

[s] ἕτοιμος] ἑτοίμως F. S. ἑτοίμως v.

[t] πράττειν om. pr. v.

[u] ἁπλῶς] ἁπλῶς εἰπεῖν Y. O. u. v.

[x] αὑτοῦ] αὑτῶν O.

[y] ἐθέλῃ F. ceteri θέλῃ.

σεῖ τις ἐκεῖνον καὶ δέδιεν ὦ ἄνδρες Ἀθηναῖοι καὶ φθονεῖ, καὶ τῶν πάνυ νῦν δοκούντων οἰκείως ἔχειν [z] αὐτῷ· καὶ [a] ἅπανθ' ὅσα [b] περ καὶ ἐν ἄλλοις τισὶν ἀνθρώποις ἔνι, ταῦτα κἀν τοῖς μετ' ἐκείνου χρὴ νομίζειν [c] ἐνεῖναι. κατέπτηχε μέντοι πάντα [d] ταῦτα νῦν, οὐκ ἔχοντ' ἀποστροφὴν διὰ τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥᾳθυμίαν, ἣν ἀποθέσθαι
12 φημὶ δεῖν ἤδη. ὁρᾶτε γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τὸ πρᾶγμα, οἷ προελήλυθεν ἀσελγείας [e] ἅνθρωπος, ὃς οὐδ' αἵρεσιν [f] ὑμῖν δίδωσι τοῦ πράττειν ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ καὶ λόγους ὑπερηφάνους, ὥς φασι, λέγει, καὶ οὐχ [g] οἷός ἐστιν ἔχων [h] ἃ κατέστραπται [i] μένειν ἐπὶ [k] τούτων, ἀλλ' ἀεί τι προσπεριβάλλεται [l] καὶ κύκλῳ πανταχῇ 43
13 μέλλοντας ἡμᾶς καὶ καθημένους περιστοιχίζεται. πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πότε ἃ χρὴ πράξετε; ἐπειδὰν τί γένηται; ἐπειδὰν νὴ Δί' ἀνάγκη [m] τις ᾖ. νῦν δὲ τί χρὴ τὰ γιγνόμενα ἡγεῖσθαι; ἐγὼ μὲν γὰρ [n] οἴομαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην εἶναι. ἢ βούλεσθε, εἰπέ μοι, [o] περιιόντες αὑτῶν πυνθάνεσθαι [[p] κατὰ τὴν ἀγοράν]· λέγεταί τι καινόν; [q] γένοιτο γὰρ ἄν τι καινότερον ἢ Μακεδὼν ἀνὴρ Ἀθηναίους
14 καταπολεμῶν καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; τέθνηκε Φίλιππος; οὐ μὰ Δί'. ἀλλ' ἀσθενεῖ; τί δ' ὑμῖν διαφέρει; καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον

[z] αὐτῷ om. S.
[a] ἅπανθ'] πάνθ' Y.
[b] περ om. O.
[c] ἐνεῖναι] εἶναι Y.
[d] ταῦτα om. Y. ante πάντα ponunt F. O. u. v.
[e] ἅνθρωπος S. vulg. ἄνθρωπος.
[f] ὑμῖν] ἡμῖν Y. O.
[g] οἷός] οἷός τ' Y. O. u. v.
[h] ἃ] ἃ καὶ u.
[i] μένειν] καὶ μένειν O.
[k] τούτων] τούτοις Y.
[l] καὶ κύκλῳ] κύκλῳ καὶ Y. et correctus F.
[m] τις om. S.
[n] οἴομαι] οἶμαι O. u. v. ἡγοῦμαι Y.
[o] περιιόντες] περιόντες F. u. et pr. S. v.
[p] [κατὰ τὴν ἀγοράν] om. F. in margine habet rec. S.
[q] γένοιτο γὰρ ἄν τι] τί δ' ἂν γένοιτο Y.

ποιήσετε, ἄνπερ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν·
οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον [r] ἐπηύξη-
15 ται ὅσον παρὰ τὴν [s] ἡμετέραν [t] ἀμέλειαν. καίτοι καὶ
τοῦτο. εἴ [u] τι πάθοι καὶ [x] τὰ τῆς τύχης ἡμῖν [y] ὑπάρξαι,
[z] ἥπερ ἀεὶ βέλτιον ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελούμεθα,
καὶ τοῦτ᾽ ἐξεργάσαιτο, ἴσθ᾽ ὅτι πλησίον μὲν ὄντες, ἅπα-
σιν [a] ἂν τοῖς πράγμασι τεταραγμένοις ἐπιστάντες ὅπως
[b] βούλεσθε [c] διοικήσαισθε, ὡς δὲ νῦν ἔχετε, οὐδὲ [d] διδόντων
τῶν καιρῶν Ἀμφίπολιν δέξασθαι [e] δύναισθ᾽ ἄν, ἀπηρτη-
μένοι καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις.

16 Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν [f] ἐθέλοντας ὑπάρ-
χειν ἅπαντας [g] ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπει-
σμένων, παύομαι λέγων· τὸν δὲ τρόπον τῆς παρασκευῆς
ἣν ἀπαλλάξαι ἂν τῶν τοιούτων πραγμάτων [h] ὑμᾶς [i] ἡγοῦ-
μαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους οὕστινας χρημάτων,
καὶ τἄλλα ὡς ἄν μοι βέλτιστα καὶ τάχιστα [k] δοκεῖ
παρασκευασθῆναι, καὶ δὴ πειράσομαι λέγειν, δεηθεὶς 44
17 ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι τοσοῦτον. ἐπειδὰν ἅπαντα ἀκού-
σητε, κρίνατε, [l] μὴ πρότερον προλαμβάνετε· μηδ᾽ ἂν ἐξ
ἀρχῆς δοκῶ τινὶ καινὴν παρασκευὴν λέγειν, [m] ἀναβάλλειν

[r] ἐπηύξηται] ἐπηύξηκεν S. ἐπ-ηύξηκεν F. (ται superscr.)

[s] ἡμετέραν] ἡμετέραν F. (ὑ superscr.) ὑμετέραν u. v.

[t] ἀμέλειαν] ἀμέλειαν καὶ ῥαθυμίαν Y. rec. O. γρ. F.

[u] τι] τοι F. delent S. u.

[x] τὰ] τὰ F. τὸ Y.

[y] ὑπάρξαι margo S. ὑπάρξει Y. u. v. ὑπάρξει O. ὑπάρξη F.

[z] ἥπερ—ἐπιμελούμεθα καὶ τοῦτ᾽] Reiskius ἡ γὰρ—ἐπιμελουμένη καὶ τοῦτ᾽ ἄν.

[a] ἂν post ἅπασιν om. Y.

[b] βούλεσθε] βούλεσθε F. ἂν βούλησθε Y.

[c] διοικήσαισθε] διοικήσεσθε O. u. διοικήσετε Y.

[d] διδόντων] διδόντων ὑμῖν F.Y.O. u. v.

[e] δύναισθ᾽] δυνήσεσθ᾽ Y.

[f] ἐθέλοντας] ἐθελοντὰς F.

[g] ἑτοίμως] ἑτοίμως (ους superscr.) v. ἑτοίμους (ως superscr.) F. u. ἑτοίμους Y.

[h] ὑμᾶς] ἡμᾶς F. ἡμᾶς S.

[i] ἡγοῦμαι] οἴομαι F. S.

[k] δοκεῖ] δοκῆι S.

[l] μὴ] καὶ μὴ F. Y. O. u. v.

[m] ἀναβάλλειν] ἀναβάλλεσθαι Y. O. u. v.

με τὰ πράγματα ἡγείσθω. [n]οὐ γὰρ οἱ ταχὺ καὶ τήμε-
ρον εἰπόντες μάλιστα εἰς δέον λέγουσιν (οὐ γὰρ [o]ἂν τά
γε ἤδη γεγενημένα τῇ νυνὶ βοηθείᾳ κωλῦσαι δυνηθείημεν),
18 ἀλλ' [p]ὃς ἂν δείξῃ τίς πορισθεῖσα παρασκευὴ καὶ πόση
[q]καὶ πόθεν διαμεῖναι δυνήσεται, [r]ἕως ἂν ἢ διαλυσώμεθα
πεισθέντες τὸν πόλεμον ἢ περιγενώμεθα τῶν ἐχθρῶν· οὕτω
γὰρ οὐκέτι τοῦ λοιποῦ πάσχοιμεν ἂν κακῶς. οἶμαι τοί-
νυν ἐγὼ ταῦτα λέγειν ἔχειν, μὴ [s]κωλύων εἴ τις ἄλλος
ἐπαγγέλλεταί τι. ἡ μὲν οὖν ὑπόσχεσις οὕτω μεγάλη, τὸ
δὲ πρᾶγμα ἤδη τὸν ἔλεγχον δώσει· κριταὶ δ' ὑμεῖς ἔσεσθε.
19 Πρῶτον μὲν [t]τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι τριήρεις πεντή-
κοντα παρασκευάσασθαι φημὶ δεῖν, εἶτ' αὐτοὺς οὕτω τὰς
γνώμας ἔχειν ὡς, ἐάν τι δέῃ, πλευστέον εἰς ταύτας αὐτοῖς
ἐμβᾶσιν. πρὸς δὲ τούτοις τοῖς ἡμίσεσι τῶν ἱππέων ἱπ-
παγωγοὺς τριήρεις καὶ πλοῖα ἱκανὰ εὐτρεπίσαι κελεύω.
20 ταῦτα μὲν οἶμαι δεῖν ὑπάρχειν ἐπὶ τὰς ἐξαίφνης ταύτας
[u]ἀπὸ τῆς οἰκείας χώρας αὐτοῦ [x]στρατείας εἰς Πύλας καὶ
Χεῤῥόνησον καὶ Ὄλυνθον καὶ ὅποι βούλεται· δεῖ γὰρ
ἐκείνῳ τοῦτο ἐν τῇ γνώμῃ [y]παραστῆναι, ὡς ὑμεῖς ἐκ τῆς
ἀμελείας ταύτης τῆς ἄγαν, ὥσπερ εἰς Εὔβοιαν καὶ πρό-
τερόν ποτέ φασιν εἰς Ἁλίαρτον καὶ τὰ τελευταῖα πρώην
21 εἰς Πύλας, ἴσως ἂν ὁρμήσαιτε. [z]οὔτοι παντελῶς οὐδ' εἰ
μὴ [a]ποιήσαιτ' ἂν τοῦτο, ὡς ἔγωγέ φημι δεῖν, εὐκαταφρό- 45
νητόν ἐστιν, ἵν' ἢ διὰ τὸν φόβον εἰδὼς [b]εὐτρεπεῖς ὑμᾶς
(εἴσεται γὰρ ἀκριβῶς· εἰσὶ γάρ, εἰσὶν οἱ πάντ' ἐξαγγέλ-

[n] οὐ—λέγουσιν om. u.
[o] ἂν om. Y.
[p] ὃς] ὡς S.
[q] καὶ πόθεν om. u. v.
[r] ἕως] τέως F.
[s] κωλύων] καταλύων S.
[t] τοίνυν om. Y.
[u] ἀπὸ] ἐπὶ Y. in litura, ἐπὶ O. u. v. (διὰ)
[x] στρατείας] στρατιὰς Y.
[y] παραστῆναι] παραστῆσαι S.
[z] οὔτοι] οὔτι O. u. et correctus v.
[a] ποιήσαιτ'] ποιήσητ' Y.
[b] εὐτρεπεῖς] εὐπρεπεῖς Y.

λοντες ἐκείνῳ παρ' ἡμῶν αὐτῶν πλείους τοῦ δέοντος) ἡσυχίαν ἔχῃ, ἢ παριδὼν ταῦτα ἀφύλακτος ληφθῇ, μηδενὸς ὄντος ἐμποδὼν πλεῖν ἐπὶ τὴν ἐκείνου χώραν ὑμῖν, ἂν ἐνδῷ
22 [c] καιρόν. ταῦτα μέν ἐστιν ἃ πᾶσι δεδόχθαι φημὶ δεῖν καὶ [d] παρεσκευάσθαι προσήκειν οἶμαι· [e] πρὸς δὲ τούτοις δύναμίν τινα ὦ ἄνδρες Ἀθηναῖοι φημὶ προχειρίσασθαι δεῖν [f] ὑμᾶς, ἣ συνεχῶς πολεμήσει καὶ κακῶς ἐκεῖνον ποιήσει. μή μοι μυρίους μηδὲ δισμυρίους ξένους, μηδὲ τὰς ἐπιστολιμαίους ταύτας δυνάμεις, ἀλλ' ἣ τῆς πόλεως [g] ἔσται, κἂν ὑμεῖς ἕνα κἂν πλείους κἂν τὸν δεῖνα κἂν [h] ὁντινοῦν χειροτονήσητε στρατηγόν, τούτῳ πείσεται καὶ ἀκολουθήσει.
23 καὶ τροφὴν ταύτῃ πορίσαι κελεύω. ἔσται δ' αὕτη τίς ἡ δύναμις καὶ πόση, καὶ πόθεν τὴν τροφὴν ἕξει, καὶ πῶς ταῦτ' [i] ἐθελήσετε ποιεῖν; ἐγὼ φράσω, [k] καθ' ἕκαστον τούτων διεξιὼν χωρίς. ξένους μὲν λέγω—καὶ ὅπως μὴ [l] ποιήσετε [m] ὃ πολλάκις ὑμᾶς ἔβλαψεν· [n] πάντ' ἐλάττω νομίζοντες εἶναι τοῦ δέοντος, καὶ τὰ μέγιστ' ἐν τοῖς ψηφίσμασιν αἱρούμενοι, ἐπὶ τῷ πράττειν οὐδὲ τὰ μικρὰ ποιεῖτε· ἀλλὰ τὰ μικρὰ ποιήσαντες καὶ πορίσαντες τούτοις προστίθετε, ἂν ἐλάττω
24 φαίνηται. λέγω δὴ τοὺς πάντας στρατιώτας δισχιλίους, τούτων δὲ Ἀθηναίους φημὶ δεῖν εἶναι πεντακοσίους, ἐξ ἧς ἄν τινος ὑμῖν ἡλικίας καλῶς ἔχειν [o] δοκῇ, χρόνον τακτὸν στρατευομένους, μὴ μακρὸν τοῦτον, ἀλλ' ὅσον ἂν δοκῇ καλῶς ἔχειν, ἐκ διαδοχῆς ἀλλήλοις· τοὺς δ' ἄλλους ξένους 46
εἶναι κελεύω. καὶ μετὰ τούτων ἱππέας διακοσίους, καὶ

[c] καιρόν S. ceteri καιρός.
[d] παρεσκευάσθαι F. S. vulg. παρασκευάσασθαι.
[e] πρὸς δὲ τούτοις] πρὸ δὲ τούτων F. S. u. v.
[f] ὑμᾶς] ἡμᾶς F. S. O. u. v.
[g] ἔσται F. ἔσται S. ceteri ἔστω·
[h] ὁντινοῦν] τινοῦν S. ὁτινοῦν pr. O.
[i] ἐθελήσετε] ἐθελήσει S.
[k] καθ'] καὶ καθ' O.
[l] ποιήσετε] Libri ποιήσητε.
[m] ὃ] τοῦθ' ὃ F. Y. O. u. v.
[n] πάντ'] ἅπαντ' Y. O. u. v.
[o] δοκῇ] δοκεῖ O.

[p]τούτων πεντήκοντα Ἀθηναίους τοὐλάχιστον, ὥσπερ τοὺς
πεζούς, τὸν αὐτὸν τρόπον στρατευομένους· καὶ ἱππαγω-
25 γοὺς τούτοις. εἶεν· [q]τί πρὸς τούτοις ἔτι; ταχείας τριήρεις
δέκα· δεῖ γάρ, ἔχοντος ἐκείνου ναυτικόν, καὶ ταχειῶν
[r]τριήρων ἡμῖν, ὅπως ἀσφαλῶς ἡ δύναμις πλέῃ. πόθεν
δὴ τούτοις ἡ τροφὴ γενήσεται; ἐγὼ καὶ τοῦτο φράσω καὶ
δείξω, ἐπειδάν, διότι τηλικαύτην ἀποχρῆν οἶμαι τὴν δύ-
ναμιν καὶ πολίτας τοὺς στρατευομένους εἶναι κελεύω,
διδάξω.

26 Τοσαύτην μὲν ὦ ἄνδρες Ἀθηναῖοι διὰ ταῦτα, ὅτι οὐκ
ἔνι νῦν [s]ἡμῖν πορίσασθαι δύναμιν τὴν ἐκείνῳ παραταξο-
μένην, ἀλλὰ λῃστεύειν ἀνάγκη καὶ τούτῳ τῷ τρόπῳ [t]τοῦ
πολέμου χρῆσθαι τὴν πρώτην· οὐ τοίνυν [u]ὑπέρογκον αὐτήν
(οὐ γὰρ ἔστι μισθὸς οὐδὲ τροφή) οὐδὲ παντελῶς ταπεινὴν
27 εἶναι δεῖ. πολίτας δὲ παρεῖναι καὶ συμπλεῖν διὰ ταῦτα
κελεύω, ὅτι καὶ πρότερόν ποτ' ἀκούω ξενικὸν τρέφειν ἐν
Κορίνθῳ τὴν πόλιν, οὗ [x]Πολύστρατος ἡγεῖτο καὶ Ἰφικρά-
της καὶ Χαβρίας καὶ ἄλλοι τινές, καὶ [y]αὐτοὺς ὑμᾶς συ-
στρατεύεσθαι· καὶ οἶδα ἀκούων ὅτι Λακεδαιμονίους πα-
ραταττόμενοι μεθ' [z]ὑμῶν ἐνίκων οὗτοι οἱ ξένοι καὶ ὑμεῖς
28 μετ' ἐκείνων. ἐξ οὗ δ' αὐτὰ καθ' αὑτὰ τὰ ξενικὰ ὑμῖν
στρατεύεται, τοὺς φίλους νικᾷ καὶ τοὺς συμμάχους, οἱ
δ' ἐχθροὶ μείζους τοῦ δέοντος γεγόνασιν. καὶ παρακύ-
ψαντα ἐπὶ τὸν τῆς πόλεως πόλεμον, πρὸς Ἀρτάβαζον
καὶ [a]πανταχοῖ μᾶλλον οἴχεται πλέοντα, ὁ δὲ στρατηγὸς

p τούτων] τούτων εἶναι F.
q τί om. F.
r τριήρων] τριηρῶν F. S. Y. τριήρεων O.
s ἡμῖν] ἧμιν F. ὑμῖν Y.
t τοῦ om. Y.
u Ante ὑπέρογκον cum S. omisi οὐθ'.
x Πολύστρατος] πολὺς στρατὸς pr. S.
y αὐτοὺς ὑμᾶς S. Y. ὑμᾶς αὐτοὺς vulg.
z ὑμῶν] ἡμῶν F.
a πανταχοῖ S. vulg. πανταχοῦ.

ἀκολουθεῖ. εἰκότως· οὐ γὰρ ἔστιν ἄρχειν μὴ διδόντα μι- 47
29 σθόν. τί οὖν κελεύω; τὰς προφάσεις ἀφελεῖν καὶ τοῦ
στρατηγοῦ καὶ τῶν στρατιωτῶν, μισθὸν πορίσαντας καὶ
στρατιώτας οἰκείους ὥσπερ ἐπόπτας τῶν στρατηγουμένων
παρακαταστήσαντας, ἐπεὶ νῦν γε γέλως ἔσθ' ὡς χρώ-
μεθα τοῖς πράγμασιν. εἰ γὰρ ἔροιτό τις ὑμᾶς, εἰρήνην
ἄγετε, ὦ ἄνδρες Ἀθηναῖοι; μὰ Δί' οὐχ ἡμεῖς [b] γε, εἴποιτ'
30 ἄν, ἀλλὰ Φιλίππῳ πολεμοῦμεν. οὐκ ἐχειροτονεῖτε δὲ ἐξ
ὑμῶν αὐτῶν δέκα ταξιάρχους καὶ στρατηγοὺς καὶ [c] φυ-
λάρχους καὶ ἱππάρχους δύο; τί οὖν οὗτοι ποιοῦσιν; πλὴν
ἑνὸς ἀνδρός, ὃν ἂν [d] ἐκπέμψητε ἐπὶ τὸν πόλεμον, οἱ λοι-
ποὶ τὰς πομπὰς πέμπουσιν ὑμῖν μετὰ τῶν ἱεροποιῶν·
ὥσπερ γὰρ οἱ πλάττοντες τοὺς πηλίνους, εἰς τὴν ἀγορὰν
χειροτονεῖτε τοὺς ταξιάρχους καὶ [e] τοὺς φυλάρχους, οὐκ
31 ἐπὶ τὸν πόλεμον. οὐ γὰρ ἐχρῆν ὦ ἄνδρες Ἀθηναῖοι τα-
ξιάρχους παρ' ὑμῶν, [f] ἱππάρχους παρ' ὑμῶν ἄρχοντας
οἰκείους εἶναι, ἵν' ἦν ὡς ἀληθῶς τῆς πόλεως ἡ δύναμις;
ἀλλ' εἰς μὲν Λῆμνον τὸν παρ' [g] ὑμῶν ἵππαρχον δεῖ πλεῖν,
τῶν δ' ὑπὲρ [h] τῶν τῆς πόλεως κτημάτων ἀγωνιζομένων
Μενέλαον ἱππαρχεῖν; καὶ οὐ τὸν ἄνδρα μεμφόμενος ταῦτα
λέγω, ἀλλ' ὑφ' ὑμῶν ἔδει κεχειροτονημένον εἶναι τοῦτον,
ὅστις ἂν ᾖ.

32 Ἴσως δὲ ταῦτα μὲν ὀρθῶς ἡγεῖσθε λέγεσθαι, τὸ δὲ τῶν
χρημάτων, πόσα καὶ πόθεν ἔσται, μάλιστα ποθεῖτε ἀκοῦ-
σαι. τοῦτο δὴ καὶ [i] περαίνω. χρήματα τοίνυν, ἔστι μὲν
ἡ τροφή, σιτηρέσιον [k] μόνον τῇ δυνάμει ταύτῃ, τάλαντα

[b] γε post ἡμεῖς om. Y.
[c] φυλάρχους καὶ ἱππάρχους] ἱππάρχους καὶ φυλάρχους Y.
[d] ἐκπέμψητε] πέμψητε Y.
[e] τοὺς ante φυλάρχους om. u.
[f] ἱππάρχους] ἵππαρχον S.
[g] ὑμῶν ἵππ.] ἡμῶν ἵππ. Y.
[h] τῶν ante τῆς om. F.Y.O.u.v.
[i] περαίνω S. vulg. περανῶ.
[k] μόνον] τοῖς στρατευομένοις μόνον F. Y. O. u. v.

[l]ἐνενήκοντα καὶ μικρόν τι πρός, δέκα μὲν ναυσὶ ταχείαις τετταράκοντα τάλαντα, εἴκοσιν εἰς τὴν ναῦν [m]μναῖ τοῦ 48 μηνὸς ἑκάστου, στρατιώταις δὲ δισχιλίοις τοσαῦθ᾽ ἕτερα, ἵνα δέκα τοῦ μηνὸς ὁ στρατιώτης δραχμὰς σιτηρέσιον λαμβάνῃ, τοῖς δ᾽ ἱππεῦσι διακοσίοις οὖσιν, ἐὰν τριάκοντα δραχμὰς ἕκαστος λαμβάνῃ τοῦ μηνός, δώδεκα τάλαντα.

33 εἰ δέ τις οἴεται μικρὰν [n]ἀφορμὴν [o]σιτηρέσιον τοῖς στρατευομένοις ὑπάρχειν, οὐκ ὀρθῶς ἔγνωκεν· ἐγὼ γὰρ οἶδα σαφῶς ὅτι, [p]τοῦτ᾽ ἂν γένηται, προσποριεῖ τὰ λοιπὰ αὐτὸ τὸ στράτευμα ἀπὸ τοῦ πολέμου, οὐδένα τῶν Ἑλλήνων ἀδικοῦν οὐδὲ τῶν συμμάχων, ὥστ᾽ ἔχειν μισθὸν ἐντελῆ. ἐγὼ συμπλέων ἐθελοντὴς πάσχειν ὁτιοῦν ἕτοιμος, ἐὰν μὴ ταῦθ᾽ οὕτως ἔχῃ. πόθεν οὖν ὁ πόρος τῶν χρημάτων, ἃ παρ᾽ ὑμῶν κελεύω [q]γενέσθαι, τοῦτ᾽ ἤδη λέξω.

34 ΠΟΡΟΥ ΑΠΟΔΕΙΞΙΣ.

Ἃ [r]μὲν ἡμεῖς ὦ ἄνδρες Ἀθηναῖοι δεδυνήμεθα εὑρεῖν, ταῦτά ἐστιν. ἐπειδὰν [s]δ᾽ ἐπιχειροτονῆτε τὰς γνώμας, ἃ ἂν ὑμῖν ἀρέσκῃ [t]χειροτονήσατε, ἵνα μὴ μόνον [[u]ἐν] τοῖς ψηφίσμασι [x]καὶ ταῖς ἐπιστολαῖς πολεμῆτε Φιλίππῳ, ἀλλὰ καὶ τοῖς ἔργοις.

35 Δοκεῖτε δέ μοι πολὺ βέλτιον ἂν περὶ τοῦ πολέμου καὶ ὅλης τῆς παρασκευῆς βουλεύσασθαι, εἰ [y]τὸν τόπον ὦ ἄνδρες Ἀθηναῖοι τῆς χώρας, πρὸς ἣν [z]πολεμεῖτε, ἐνθυμηθείητε, καὶ λογίσαισθε ὅτι τοῖς πνεύμασι καὶ ταῖς ὥραις

[l] ἐνενήκοντα F. S. O. vulg. ἐνενήκοντα.
[m] μναῖ] μνᾶς O.
[n] ἀφορμὴν] ἀφορμὴν εἶναι F. S.
[o] σιτηρ. τοῖς στρατ.] τοῖς στρατ. σιτηρ. Y.
[p] τοῦτ᾽ ἂν] ἂν τοῦτο Y.
[q] γενέσθαι S. ceteri γενήσεται.
[r] μὲν] μὲν οὖν Y.
[s] δ᾽ om. pr. O.
[t] χειροτονήσατε] χειροτονήσετε F. S.
[u] [ἐν] om. Y. delet O.
[x] καὶ] καὶ ἐν S.
[y] τὸν om. S.
[z] πολεμεῖτε F. S. πολεμήσητε u. ceteri πολεμήσετε.

τοῦ ἔτους τὰ πολλὰ [a] προλαμβάνων διαπράττεται Φίλιπ-
πος καὶ φυλάξας τοὺς ἐτησίας ἢ τὸν χειμῶνα [b] ἐπιχειρεῖ,
36 ἡνίκ' ἂν ἡμεῖς μὴ [c] δυναίμεθα ἐκεῖσε ἀφικέσθαι. δεῖ τοί-
νυν [d] ταῦτ' ἐνθυμουμένους μὴ βοηθείαις πολεμεῖν (ὑστερι- 49
οῦμεν γὰρ ἁπάντων) ἀλλὰ παρασκευῇ συνεχεῖ καὶ δυ-
νάμει. ὑπάρχει δ' ὑμῖν χειμαδίῳ μὲν χρῆσθαι τῇ δυνά-
μει Λήμνῳ καὶ Θάσῳ καὶ Σκιάθῳ καὶ [e] ταῖς ἐν τούτῳ
τῷ τόπῳ νήσοις, ἐν αἷς καὶ λιμένες καὶ σῖτος καὶ ἃ χρὴ
[f] στρατεύματι πάνθ' ὑπάρχει· τὴν δ' ὥραν τοῦ ἔτους, ὅτε
καὶ πρὸς τῇ γῇ γενέσθαι ῥᾴδιον καὶ τὸ τῶν πνευμάτων
ἀσφαλές, πρὸς αὐτῇ τῇ χώρᾳ καὶ πρὸς τοῖς τῶν [g] ἐμπο-
ρίων στόμασι ῥᾳδίως [h] ἔσται.

37 Ἃ μὲν οὖν χρήσεται καὶ πότε τῇ δυνάμει, παρὰ τὸν
καιρὸν ὁ τούτων κύριος καταστὰς ὑφ' ὑμῶν [i] βουλεύσεται·
[k] ἃ δ' ὑπάρξαι δεῖ παρ' ὑμῶν, ταῦτ' ἐστὶν ἃ ἐγὼ γέ-
γραφα. ἂν ταῦτα ὦ ἄνδρες Ἀθηναῖοι πορίσητε τὰ χρή-
ματα πρῶτον ἃ λέγω, εἶτα καὶ [l] τἆλλα παρασκευάσαντες,
τοὺς στρατιώτας, τὰς τριήρεις, τοὺς ἱππέας, ἐντελῆ πᾶ-
σαν τὴν δύναμιν νόμῳ κατακλείσητε ἐπὶ τῷ πολέμῳ μέ-
νειν, τῶν μὲν χρημάτων αὐτοὶ ταμίαι καὶ πορισταὶ [m] γιγ-
νόμενοι, τῶν δὲ πράξεων παρὰ τοῦ στρατηγοῦ τὸν λόγον
38 ζητοῦντες, [n] παύσεσθ' ἀεὶ περὶ τῶν αὐτῶν βουλευόμενοι
καὶ πλέον οὐδὲν ποιοῦντες, καὶ ἔτι πρὸς [o] τούτῳ πρῶτον

[a] προλαμβάνων] προσλαμβάνων u. v. O. v.
[b] ἐπιχειρεῖ] ἐπιτηρεῖ F.
[c] δυναίμεθα S. δυνάμεθα F. ceteri δυνώμεθα.
[d] ταῦτ'] ὑμᾶς ταῦτ' F. v. ἡμᾶς ταῦτ' O. u.
[e] ταῖς] ταῖς ἄλλαις ταῖς O. u. v.
[f] στρατεύματι] στρατεύμασι O.
[g] ἐμπορίων] ἐμποριῶν u. v.
[h] ἔσται] Immo εἴσεσθε.
[i] βουλεύσεται] βουλεύεται F.
[k] ἃ om. S.
[l] τἆλλα] τἆλλα πάντα F.O.u.v.
[m] γιγνόμενοι] γενόμενοι Y.
[n] παύσεσθ'] παύσασθ' O.
[o] τούτῳ S. ceteri τούτοις.

μὲν ὦ ἄνδρες Ἀθηναῖοι τὸν μέγιστον [p] τῶν ἐκείνου πόρων
ἀφαιρήσεσθε. ἔστι δ' οὗτος τίς; ἀπὸ τῶν ὑμετέρων ὑμῖν
πολεμεῖ συμμάχων, ἄγων καὶ φέρων τοὺς πλέοντας τὴν
θάλατταν. ἔπειτα τί πρὸς τούτῳ; τοῦ πάσχειν αὐτοὶ
39 κακῶς ἔξω γενήσεσθε, οὐχ ὥσπερ τὸν παρελθόντα χρόνον
εἰς Λῆμνον καὶ Ἴμβρον ἐμβαλὼν αἰχμαλώτους πολίτας
ὑμετέρους ᾤχετ' [q] ἔχων, [r] πρὸς τῷ [s] Γεραιστῷ τὰ πλοῖα
συλλαβὼν ἀμύθητα χρήματ' ἐξέλεξε, τὰ τελευταῖα [t] εἰς
Μαραθῶνα ἀπέβη καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ' 50
ἔχων τριήρη, ὑμεῖς δ' οὔτε ταῦτα [u] ἠδύνασθε κωλύειν οὔτ'
40 εἰς τοὺς χρόνους, οὓς ἂν [x] προθῆσθε, βοηθεῖν. καίτοι τί δή-
ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε τὴν μὲν τῶν Παναθη-
ναίων ἑορτὴν καὶ τὴν τῶν Διονυσίων ἀεὶ τοῦ καθήκοντος
χρόνου γίγνεσθαι, ἄν τε δεινοὶ λάχωσιν ἄν τε ἰδιῶται οἱ
τούτων ἑκατέρων [y] ἐπιμελούμενοι, εἰς ἃ τοσαῦτ' [z] ἀναλί-
σκετε χρήματα ὅσα οὐδ' εἰς ἕνα τῶν ἀποστόλων, καὶ το-
σοῦτον ὄχλον καὶ [a] τοσαύτην παρασκευὴν ὅσην οὐκ οἶδ' εἴ
[b] τι τῶν ἁπάντων ἔχει, τοὺς δ' ἀποστόλους πάντας ὑμῖν
ὑστερίζειν τῶν καιρῶν, [c] τὸν εἰς Μεθώνην, τὸν εἰς [d] Παγα-
41 σάς, τὸν εἰς Ποτίδαιαν; ὅτι ἐκεῖνα μὲν ἅπαντα νόμῳ τέ-
τακται, καὶ [e] πρόοιδεν ἕκαστος [f] ὑμῶν ἐκ πολλοῦ [g] τίς χο-
ρηγὸς ἢ γυμνασίαρχος τῆς φυλῆς, πότε καὶ παρὰ τοῦ
[h] καὶ τί λαβόντα τί δεῖ ποιεῖν, οὐδὲν ἀνεξέταστον οὐδ'

[p] τῶν—πόρων] τὸν—πόρον u.
[q] ἔχων S. Y. ceteri ἄγων.
[r] πρὸς] καὶ πρὸς F. Y. O. u. v.
[s] Γεραιστῷ] γεραστῷ O. u.
[t] εἰς] δ' εἰς F. Y. O. u. v.
[u] ἠδύνασθε] δύνασθε S. Y. O.
[x] προθῆσθε S. πρόθησθε Y. προθησθε F. προέλ[οι]ησθε O. προέλησθε u. v. προέλθῃ margo O.
[y] ἐπιμελούμενοι] ἐπιμελησόμενοι F. O. u. v.
[z] ἀναλίσκετε] ἀναλίσκεται S.
[a] τοσαύτην om. S. Y.
[b] τι S. vulg. τις.
[c] τὸν — τὸν — τὸν] τῶν — τῶν —τῶν S. τῶν—τ[ῶ]ὸν—τ[ῶ]ὸν Y.
[d] Παγασάς] παγάσας F.
[e] προοῖδεν] προεῖδεν pr. v.
[f] ὑμῶν] [ἡ]ὑμῶν F.
[g] τίς] τίς ὁ O.
[h] καὶ τί] καὶ τίνα S.

ἀόριστον ἐν τούτοις ἠμέληται, ἐν δὲ τοῖς περὶ τοῦ πολέμου
καὶ [i] τῇ τούτου παρασκευῇ ἄτακτα [k] ἀδιόρθωτα ἀόριστα
42 [l] ἅπαντα. τοιγαροῦν ἅμα ἀκηκόαμέν τι καὶ τριηράρχους
καθίσταμεν καὶ τούτοις ἀντιδόσεις ποιούμεθα καὶ περὶ
χρημάτων πόρου σκοποῦμεν, καὶ μετὰ ταῦτα ἐμβαίνειν
τοὺς μετοίκους ἔδοξε καὶ τοὺς χωρὶς οἰκοῦντας, εἶτ' αὐ-
τοὺς πάλιν [m] ἀντεμβιβάζειν, εἶτ' ἐν ὅσῳ ταῦτα [n] μέλλετε,
43 προαπόλωλεν [o] ἐφ' ἃ ἂν ἐκπλέωμεν· τὸν γὰρ τοῦ πράτ-
τειν χρόνον εἰς τὸ παρασκευάζεσθαι ἀναλίσκομεν, οἱ δὲ
τῶν πραγμάτων [p] καιροὶ οὐ [q] μένουσι τὴν [r] ἡμετέραν βρα-
δυτῆτα καὶ [s] εἰρωνείαν. [t] ἃς δὲ τὸν μεταξὺ χρόνον δυνάμεις
οἰόμεθ' ἡμῖν ὑπάρχειν, οὐδὲν οἷαί τε οὖσαι ποιεῖν ἐπ' αὐτῶν
τῶν καιρῶν ἐξελέγχονται. ὁ δ' εἰς τοῦθ' ὕβρεως ἐλήλυθεν 51
ὥστ' ἐπιστέλλειν Εὐβοεῦσιν ἤδη τοιαύτας ἐπιστολάς.

## ΕΠΙΣΤΟΛΑΙ.

44 [u] Τούτων ὦ ἄνδρες Ἀθηναῖοι τῶν ἀνεγνωσμένων ἀληθῆ
μέν ἐστι τὰ πολλά, ὡς οὐκ ἔδει, οὐ μὴν ἀλλ' ἴσως οὐχ
ἡδέα ἀκούειν. ἀλλ' εἰ μέν, ὅσα ἄν τις ὑπερβῇ τῷ λόγῳ,
ἵνα μὴ λυπήσῃ, καὶ τὰ πράγματα ὑπερβήσεται, δεῖ
πρὸς ἡδονὴν δημηγορεῖν· εἰ δ' ἡ τῶν λόγων χάρις, ἂν ᾖ
μὴ προσήκουσα, ἔργῳ ζημία γίγνεται, αἰσχρόν ἐστιν ὦ
ἄνδρες Ἀθηναῖοι φενακίζειν ἑαυτούς, καὶ [x] ἅπαντ' ἀνα-
βαλλομένους [y] ὅσα ἂν ᾖ δυσχερῆ πάντων ὑστερίζειν τῶν
45 ἔργων, καὶ μηδὲ τοῦτο δύνασθαι μαθεῖν, ὅτι δεῖ τοὺς ὀρ-

[i] τῇ—παρασκευῇ S. Y. et correcti F. u. vulg. τῆς—παρασκευῆς.
[k] ἀδιόρθ. ἀόρ. S. Y. vulg. ἀόρ. ἀδιόρθ.
[l] ἅπαντα] πάντα F.
[m] ἀντεμβιβάζειν] εἶτ' ἀντεμβιβάζειν S.
[n] μέλλετε] μέλλεται S.
[o] ἐφ' ἃ] τὸ ἐφ' ὃ S.
[p] καιροὶ ante τὴν ponit S.
[q] μένουσι] ἀναμένουσι Y. et γρ. F.
[r] ἡμετέραν] ὑμετέραν F. Y. u. v.
[s] εἰρωνείαν] ῥαθυμίαν Y.
[t] ἃς δὲ S. vulg. ἃς δ' εἰς.
[u] Τούτων] τούτων οὖν O. u. v. et rec. F.
[x] ἅπαντ'] πάντ' Y.
[y] ὅσα] ἃ S.

θῶς πολέμῳ χρωμένους [z] οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν,
ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων, καὶ τὸν
αὐτὸν τρόπον ὥσπερ τῶν στρατευμάτων ἀξιώσειεν [a] ἄν τις
τὸν στρατηγὸν ἡγεῖσθαι, οὕτω καὶ τῶν πραγμάτων τοὺς
[b] εὖ [c] βουλευομένους, ἵν' ἃ ἂν ἐκείνοις δοκῇ, ταῦτα πράτ-
τηται καὶ μὴ τὰ [d] συμβάντα ἀναγκάζωνται διώκειν.
46 ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πλείστην δύναμιν ἁπάντων
ἔχοντες, τριήρεις, [e] ὁπλίτας, ἱππέας, χρημάτων πρόσοδον,
τούτων μὲν μέχρι τῆς τήμερον ἡμέρας οὐδενὶ πώποτε [f] ἐν
δέοντι κέχρησθε, οὐδενὸς δ' [g] ἀπολείπεσθε. ὥσπερ [h] δὲ οἱ
βάρβαροι πυκτεύουσιν, οὕτω [i] πολεμεῖτε Φιλίππῳ. καὶ
γὰρ ἐκείνων ὁ πληγεὶς ἀεὶ τῆς πληγῆς ἔχεται, κἂν ἑτέ-
ρωσε [k] πατάξῃ τις, ἐκεῖσέ εἰσιν αἱ χεῖρες· [l] προβάλ-
47 λεσθαι δ' ἢ βλέπειν ἐναντίον οὔτ' οἶδεν οὔτ' ἐθέλει. καὶ
ὑμεῖς, ἐὰν ἐν Χερρονήσῳ πύθησθε Φίλιππον, ἐκεῖσε βοη-
θεῖν ψηφίζεσθε, ἐὰν ἐν Πύλαις, ἐκεῖσε, ἐὰν ἄλλοθί [m] που, 52
συμπαραθεῖτε [n] ἄνω κάτω, καὶ στρατηγεῖσθε μὲν ὑπ'
ἐκείνου, βεβούλευσθε δ' οὐδὲν [o] αὐτοὶ συμφέρον περὶ τοῦ
πολέμου, οὐδὲ [p] πρὸ τῶν [q] πραγμάτων προορᾶτε οὐδέν,
πρὶν ἂν ἢ [r] γεγενημένον ἢ γιγνόμενόν τι πύθησθε. ταῦτα
δ' ἴσως πρότερον μὲν [s] ἐνῆν· νῦν δὲ ἐπ' αὐτὴν ἥκει τὴν
48 ἀκμήν, ὥστ' οὐκέτ' ἐγχωρεῖ. δοκεῖ δέ μοι θεῶν τις, ὦ
ἄνδρες Ἀθηναῖοι, τοῖς γιγνομένοις ὑπὲρ τῆς πόλεως αἰ-

[z] οὐκ] μὴ Y.
[a] ἄν τις] τις ἂν S. Y.
[b] εὖ om. S.
[c] βουλευομένους] βουλευομένους ἡγεῖσθαι χρή F. Y. O. u. v.
[d] συμβάντα] συμβαίνοντα Y. O. u. v.
[e] ὁπλίτας ἱππέας] ἱππέας ὁπλίτας Y.
[f] ἐν δέοντι] εἰς δέον τι F. S.
[g] ἀπολείπεσθε] ἀπολείπετε S.
[h] δὲ om. S.
[i] πολεμεῖτε] πολεμεῖν pr. S.
[k] πατάξῃ τις] πατάξῃς S.
[l] προβάλλεσθαι] προβαλέσθαι Y.
[m] που] ποι S. πῃ Y.
[n] ἄνω] ἄνω καὶ F. Y. O. u. v.
[o] αὐτοὶ] αὐτοῖς v. αὐτοῖς F. O. u.
[p] πρὸ] περὶ F. Y. O. u. v.
[q] πραγμάτων] χρημάτων O. u. v.
[r] γεγενημένον ἢ γιγνόμενόν] γιγνόμενον ἢ γεγενημένον Y.
[s] ἐνῆν] ἦν ποιεῖν F. ἐνῆν ποιεῖν Y. O. u. v.

σχυνόμενος τὴν φιλοπραγμοσύνην ταύτην ἐμβαλεῖν [t] Φιλίππῳ. εἰ γὰρ ἔχων ἃ κατέστραπται καὶ [u] προείληφεν ἡσυχίαν ἔχειν ἤθελε καὶ μηδὲν ἔπραττεν ἔτι, ἀποχρῆν ἐνίοις ὑμῶν ἄν μοι [x] δοκεῖ, ἐξ ὧν αἰσχύνην καὶ ἀνανδρίαν καὶ πάντα τὰ αἴσχιστα ὠφληκότες ἂν ἦμεν δημοσίᾳ· νῦν δ' ἐπιχειρῶν ἀεί [y] τινι καὶ τοῦ πλείονος ὀρεγόμενος ἴσως ἂν ἐκκαλέσαιθ' ὑμᾶς, εἴπερ μὴ παντάπασιν [z] ἀπε-
49 γνώκατε. θαυμάζω δ' ἔγωγε, εἰ μηδεὶς ὑμῶν μήτ' ἐνθυμεῖται μήτ' [a] ὀργίζεται, ὁρῶν ὦ ἄνδρες Ἀθηναῖοι τὴν μὲν ἀρχὴν τοῦ πολέμου γεγενημένην περὶ τοῦ τιμωρήσασθαι Φίλιππον, τὴν δὲ τελευτὴν οὖσαν ἤδη ὑπὲρ τοῦ μὴ [b] παθεῖν κακῶς ὑπὸ [c] Φιλίππου. ἀλλὰ μὴν ὅτι γε οὐ στήσεται, δῆλον, εἰ μή τις [d] κωλύσει. εἶτα τοῦτ' ἀναμενοῦμεν, καὶ τριήρεις [e] κενὰς καὶ τὰς [f] παρὰ τοῦ δεῖνος ἐλπίδας ἐὰν ἀποστείλητε, πάντ' ἔχειν οἴεσθε καλῶς; οὐκ [g] ἐμβησόμεθα; οὐκ ἔξιμεν αὐτοὶ μέρει γέ τινι στρατιωτῶν οἰκείων νῦν, εἰ καὶ μὴ πρότερον; οὐκ ἐπὶ τὴν ἐκείνου [h] πλευσού-
50 μεθα; ποῖ [i] οὖν προσορμιούμεθα; ἤρετό τις. εὑρήσει τὰ σαθρά ὦ ἄνδρες Ἀθηναῖοι τῶν ἐκείνου πραγμάτων αὐτὸς 53
ὁ πόλεμος, ἂν ἐπιχειρῶμεν· ἂν μέντοι [k] καθώμεθα οἴκοι, λοιδορουμένων ἀκούοντες καὶ αἰτιωμένων ἀλλήλους τῶν λεγόντων, οὐδέποτ' οὐδὲν ἡμῖν [l] οὐ μὴ γένηται τῶν δεόν-

[t] Φιλίππῳ] τῷ φιλίππῳ O.
[u] προείληφεν] προσήλειφεν Y.
[x] δοκεῖ] δοκῆι F. Y. O. u.
[y] τινι] τι Y.
[z] ἀπεγνώκατε] ἑαυτῶν ἀπεγνώκατε F. Y. αὐτῶν ἀπεγνώκατε u. v. αὐτῶν ἀπεγνώκατε O.
[a] ὀργίζεται S. Y. vulg. λογίζεται.
[b] παθεῖν] παθεῖν αὐτοὶ F. παθεῖν αὐτοὺς Y. O. u. v.
[c] Φιλίππου] τοῦ φιλίππου O. u. v.
[d] κωλύσει] κωλύσηι S. αὐτὸν κωλύσηι F. αὐτὸν κωλύσει Y. O. u. v.
[e] κενὰς] πολιτικῆς δυνάμεως κενὰς margo F.
[f] παρὰ] $\overset{\text{απο}}{\text{παρα}}$ F. ἀπὸ Y.
[g] ἐμβησόμεθα] ἐκβησόμεθα F. Y. u. v. et correctus O.
[h] πλευσούμεθα] πλευσόμεθα S. Y.
[i] οὖν S. ceteri δή.
[k] καθώμεθα] $\overset{\text{ω}}{\text{καθῆμεθα}}$ F. καθήμεθα Y.
[l] οὐ om. Y.

51 των. ὅποι μὲν γὰρ ἄν, οἶμαι, μέρος τι τῆς πόλεως συναποσταλῇ, κἂν μὴ πᾶσα [m] παρῇ, καὶ τὸ τῶν θεῶν εὐμενὲς καὶ τὸ τῆς τύχης [n] ἡμῖν συναγωνίζεται· ὅποι δ' ἂν στρατηγὸν καὶ ψήφισμα κενὸν καὶ τὰς ἀπὸ τοῦ βήματος ἐλπίδας ἐκπέμψητε, οὐδὲν [o] ὑμῖν τῶν δεόντων γίγνεται, ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶσιν, οἱ δὲ σύμμαχοι τεθνᾶσι
52 τῷ δέει τοὺς τοιούτους ἀποστόλους. οὐ γάρ ἔστιν, οὐκ ἔστιν ἕνα [p] ἄνδρα δυνηθῆναί ποτε ταῦθ' ὑμῖν πρᾶξαι [q] πάνθ' ὅσα βούλεσθε· ὑποσχέσθαι μέντοι καὶ φῆσαι καὶ τὸν δεῖνα αἰτιάσασθαι καὶ τὸν δεῖνα ἔστιν τὰ δὲ πράγματα ἐκ τούτων ἀπόλωλεν· ὅταν γὰρ [r] ἡγῆται μὲν ὁ στρατηγὸς ἀθλίων ἀπομίσθων ξένων, οἱ δ' ὑπὲρ ὧν ἂν ἐκεῖνος [s] ἐκεῖ πράξῃ πρὸς ὑμᾶς ψευδόμενοι ῥᾳδίως ἐνθάδ' ὦσιν, ὑμεῖς δ' ἐξ ὧν [t] ἂν ἀκούσητε ὅ τι ἂν [u] τύχητε [x] ψηφίζησθε, τί [y] καὶ [z] χρὴ προσδοκᾶν;

53 Πῶς οὖν ταῦτα [a] παύσεται; ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς αὐτοὺς ἀποδείξητε στρατιώτας καὶ μάρτυρας τῶν στρατηγουμένων καὶ δικαστὰς οἴκαδ' ἐλθόντας τῶν εὐθυνῶν, [b] ὥστε μὴ ἀκούειν [c] μόνον ὑμᾶς τὰ ὑμέτερ'
54 αὐτῶν, ἀλλὰ καὶ παρόντας ὁρᾶν. νῦν δ' εἰς τοῦθ' ἥκει τὰ πράγματα αἰσχύνης, ὥστε τῶν στρατηγῶν ἕκαστος δὶς καὶ τρὶς κρίνεται παρ' ὑμῖν περὶ θανάτου, πρὸς δὲ τοὺς ἐχθροὺς οὐδεὶς [d] οὐδὲ ἅπαξ [e] αὐτῶν ἀγωνίσασθαι περὶ

[m] παρῇ om. S.
[n] ἡμῖν] ἡμιν F. ὑμῖν Y. om. S.
[o] ὑμῖν F. Y. ceteri ἡμῖν.
[p] ἄνδρα] ἄνδρα αὖ F. ἄνδρα ἂν O. u. v.
[q] πάνθ' S. ceteri ἅπανθ'.
[r] ἡγῆται Y.O.u. et correctus v. ἡττῆται F. vulg. ἡττῆται.
[s] ἐκεῖ om. S.
[t] ἂν post ὧν om. S.
[u] τύχητε S. τύχη F. τύχῃ ῥᾳδίως Y.O.u. v.
[x] ψηφίζησθε] ψηφίζεσθε F.
[y] καὶ om. Y.
[z] χρὴ] χρῆν O. v.
[a] παύσεται] παύσετε correctus O.
[b] ὥστε μὴ—ὁρᾶν] οὐ γὰρ—ὁρᾶν δεῖ Y. O. u. et γρ. F.
[c] μόνον ὑμᾶς] ὑμᾶς μόνον Y.
[d] οὐδὲ om. pr. O.
[e] αὐτῶν om. pr. F.

θανάτου τολμᾷ, ἀλλὰ τὸν τῶν ἀνδραποδιστῶν καὶ λωπο-
δυτῶν θάνατον μᾶλλον αἱροῦνται τοῦ προσήκοντος· κα- 54
κούργου μὲν γάρ ἐστι κριθέντ' ἀποθανεῖν, στρατηγοῦ δὲ
55 μαχόμενον τοῖς πολεμίοις. [f] ὑμῶν δ' οἱ μὲν [g] περιιόντες
μετὰ Λακεδαιμονίων [h] φασὶ Φίλιππον πράττειν τὴν Θη-
βαίων κατάλυσιν καὶ τὰς πολιτείας διασπᾶν, οἱ δ' ὡς
πρέσβεις πέπομφεν [i] ὡς βασιλέα, οἱ δ' ἐν Ἰλλυριοῖς πό-
λεις τειχίζειν, οἱ δὲ λόγους πλάττοντες [k] ἕκαστος περιερ-
56 χόμεθα. ἐγὼ δ' οἶμαι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, νὴ τοὺς
θεοὺς ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων καὶ
πολλὰ τοιαῦτα ὀνειροπολεῖν ἐν τῇ γνώμῃ, τήν τ' ἐρημίαν
τῶν κωλυσόντων ὁρῶντα καὶ τοῖς πεπραγμένοις ἐπηρ-
μένον, οὐ μέντοι [l] γε [m] μὰ Δί' οὕτω προαιρεῖσθαι πράτ-
τειν, ὥστε τοὺς ἀνοητοτάτους τῶν παρ' ἡμῖν εἰδέναι τί
μέλλει ποιεῖν ἐκεῖνος· ἀνοητότατοι γάρ εἰσιν οἱ λογοποι-
57 οῦντες. ἀλλ' ἐὰν ἀφέντες ταῦτ' ἐκεῖνο εἰδῶμεν, ὅτι ἐχθρὸς
ἄνθρωπος καὶ τὰ ἡμέτερα ἡμᾶς ἀποστερεῖ καὶ χρόνον
πολὺν ὕβρικε, καὶ [n] ἅπανθ' ὅσα πώποτ' ἠλπίσαμέν τινα
πράξειν ὑπὲρ ἡμῶν καθ' ἡμῶν εὕρηται, καὶ τὰ λοιπὰ ἐν
[o] αὐτοῖς ἡμῖν ἐστί, κἂν μὴ νῦν ἐθέλωμεν ἐκεῖ πολεμεῖν
αὐτῷ, ἐνθάδ' ἴσως ἀναγκασθησόμεθα τοῦτο ποιεῖν, ἂν
ταῦτα εἰδῶμεν, καὶ τὰ δέοντα ἐσόμεθα ἐγνωκότες καὶ
λόγων ματαίων ἀπηλλαγμένοι· οὐ γὰρ ἅττα ποτ' [p] ἔσται
δεῖ σκοπεῖν, ἀλλ' ὅτι φαῦλ', [q] ἂν μὴ προσέχητε τοῖς
πράγμασι τὸν νοῦν καὶ [r] τὰ προσήκοντα [s] ποιεῖν ἐθέλητ',
εὖ εἰδέναι.

[f] ὑμῶν] ἡμῶν S. ἡμῶν (υ superscr.) Y.
[g] περιιόντες] περιόντες F. S.
[h] φασὶ Φίλιππον] φίλιππόν φασι Y.
[i] ὡς β.] ὡς πρὸς β. F.
[k] ἕκαστος] ἕκαστοι Y.
[l] γε om. Y.
[m] μὰ] οὐ μὰ F.
[n] ἅπανθ'] πάνθ' Y.
[o] αὐτοῖς ἡμῖν S. vulg. ἡμῖν αὐτοῖς.
[p] ἔσται] ἐστὶ Y.
[q] ἂν] ἐὰν u. v.
[r] τὰ om. Y.
[s] ποιεῖν om. F.

58 Ἐγὼ μὲν [t] οὖν οὔτ' ἄλλοτε [u] πώποτε πρὸς χάριν [x] εἱλόμην λέγειν, ὅ τι ἂν μὴ καὶ συνοίσειν [y] ὑμῖν πεπεισμένος ὦ, νῦν [z] τε ἃ γιγνώσκω πάνθ' ἁπλῶς, οὐδὲν ὑποστειλάμενος, πεπαῤῥησίασμαι. ἐβουλόμην δ' ἄν, ὥσπερ ὅτι 55 ὑμῖν [a] συμφέρει [b] τὰ βέλτιστα ἀκούειν οἶδα, οὕτως εἰδέναι [c] συνοῖσον καὶ τῷ τὰ βέλτιστα εἰπόντι· πολλῷ γὰρ ἂν ἥδιον [d] εἶπον. νῦν δ' ἐπ' ἀδήλοις οὖσι τοῖς ἀπὸ τούτων ἐμαυτῷ γενησομένοις, ὅμως ἐπὶ τῷ συνοίσειν [e] ὑμῖν, ἐὰν πράξητε, ταῦτα πεπεῖσθαι λέγειν αἱροῦμαι. νικῴη δ' ὅ τι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.

---

## Ε.

# ΠΕΡΙ ΕΙΡΗΝΗΣ.

---

### ΥΠΟΘΕΣΙΣ.

Μηκυνομένου [a] τοῦ πολέμου τοῦ περὶ Ἀμφιπόλεως εἰρήνης ἐπεθύμησαν ὅ τε Φίλιππος καὶ οἱ Ἀθηναῖοι, οἱ μὲν Ἀθηναῖοι κακῶς ἐν τῷ πολέμῳ φερόμενοι, ὁ δὲ Φίλιππος βουλόμενος ἃ [b] ὑπέσχετο Θετταλοῖς τε καὶ Θηβαίοις ἐπιτελέσαι. ὑπέσχετο δὲ τοῖς μὲν Θηβαίοις Ὀρχομενὸν παραδώσειν καὶ Κορώνειαν, πόλεις Βοιωτίας, ἀμφοτέροις δὲ τὸν Φωκικὸν καταλύσειν πόλεμον. τοῦτο δὲ ἦν ἀδύνατον αὐτῷ πολεμίων ὄντων Ἀθηναίων· καὶ γὰρ πρότερον βουληθεὶς εἰσβαλεῖν εἰς τὴν Φωκίδα τῶν Ἀθηναίων περιπλευσάντων ταῖς ναυσὶν εἰς τὰς καλουμένας Πύλας, ὑπ' ἐνίων δὲ Θερμοπύλας, [c] ἀπεκρούσθη τῆς εἰσόδου. νῦν τοίνυν εἰρήνην ποιησάμενος πρὸς τοὺς Ἀθηναίους, μηδενὸς [d] κωλύσαντος παρελθὼν εἴσω Πυλῶν, [e] τὸ Φωκέων ἔθνος ἀνάστατον πεποίηκε, καὶ τὴν Φωκέων ἐν τοῖς [f] Ἀμ-

[t] οὖν om. pr. F.
[u] πώποτε] ποτε Y.
[x] εἱλόμην] ἀνειλόμην Y.
[y] ὑμῖν om. S.
[z] τε] δ' Y.
[a] συμφέρει] συμφέρον Y.
[b] τὰ] τὸ τὰ F. Y. O. u. v.
[c] συνοῖσον] συνοίσων S.
[d] εἶπον] εἶχον S.
[e] ὑμῖν om. S.
[a] τοῦ ante πολέμου om. O.
[b] ὑπέσχετο] ὑπέθετο F.
[c] ἀπεκρούσθη Y. vulg. ἀπεκωλύθη.
[d] κωλύσαντος] κωλύοντος Y.
[e] τὸ] τῶν F.
[f] Ἀμφικτύοσι] ἀμφικτυόσι F. O.

φικτύοσι χώραν καὶ τὰς ἐκείνων ἐν τῷ συνεδρίῳ ψήφους παρὰ τῶν ἄλλων Ἑλλήνων εἴληφε. πέπομφε δὲ καὶ πρὸς Ἀθηναίους πρέσβεις, ἀξιῶν καὶ αὐτοὺς 56 ταῦτα συγχωρεῖν. καὶ ὁ Δημοσθένης παραινεῖ συγχωρεῖν, [g] οὐ τῷ πράγματι συνιστάμενος ὡς ὀρθῶς ἔχοντι, οὐδὲ δίκαιον εἶναι λέγων [h] μετέχειν Ἑλληνικοῦ συνεδρίου τὸν Μακεδόνα, ἀλλὰ δεδιέναι φάσκων μὴ καταναγκασθῶσι κοινὸν πόλεμον πρὸς ἅπαντας τοὺς Ἕλληνας ἔχειν. προσκεκρουκέναι γὰρ λέγει τοῖς Ἀθηναίοις ἄλλους δι' ἄλλας τινὰς αἰτίας, τούτους [i] δὴ κοινῇ πολεμήσειν [k] αὐτοῖς· δώσομεν, φησί, κοινὴν αἰτίαν ταύτην καθ' ἡμῶν, ὅτι μόνοι τοῖς τῶν Ἀμφικτυόνων ἐνιστάμεθα δόγμασιν, ὥστε κάλλιον τὴν εἰρήνην τηρεῖν, καὶ ταῦτα Φιλίππου [l] παρεληλυθότος εἴσω Πυλῶν [m] καὶ ἐπελθεῖν δυναμένου [n] τῇ Ἀττικῇ, [o] ἢ περὶ μικροῦ [p] τηλικοῦτον κίνδυνον ἄρασθαι.

Οὗτος δὲ ὁ λόγος παρεσκευάσθη μέν, οὐ μὴν εἰρῆσθαί μοι δοκεῖ. κατηγορῶν γὰρ ὁ ῥήτωρ Αἰσχίνου καὶ τοῦτο μετὰ τῶν ἄλλων αὐτοῦ διαβάλλει, ὅτι [q] συνεβούλευε Φίλιππον Ἀμφικτύονα εἶναι ψηφίσασθαι, μηδενὸς ἄλλου τολμῶντος τοῦτο εἰσηγήσασθαι, μηδὲ Φιλοκράτους τοῦ πάντων ἀναιδεστάτου. οὐκ ἂν οὖν [r] αὐτὸς περὶ τούτων συμβεβουλευκὼς τὸν Αἰσχίνην ἐπ' αὐτοῖς διέβαλλεν, ἀλλὰ δηλονότι τὴν ὑπόνοιαν [s] ἔδεισε, μὴ δόξῃ φιλιππίζειν καὶ χρήμασιν ὑπὸ τοῦ βασιλέως πεισθεὶς τοιαύτην γνώμην ἀποφήνασθαι, ἐπεὶ καὶ ἐν τῷ λόγῳ πρὸς τοιαύτην τινὰ ὑπόνοιαν ἱστάμενος φαίνεται, συνιστὰς ἑαυτὸν ὡς εὔνουν τῇ πόλει καὶ ἀδωροδόκητον.

ΟΡΩ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ παρόντα [t] πράγματα 57 πολλὴν δυσκολίαν ἔχοντα καὶ ταραχὴν οὐ μόνον τῷ πολλὰ [u] προεῖσθαι καὶ μηδὲν εἶναι προὔργου περὶ αὐτῶν εὖ λέγειν, ἀλλὰ καὶ [x] τῷ περὶ τῶν ὑπολοίπων κατὰ [y] ταὐτὰ μηδὲ καθ' ἓν τὸ συμφέρον [z] πάντας ἡγεῖσθαι, ἀλλὰ τοῖς
2 μὲν ὡδὶ τοῖς δὲ [a] ἑτέρως δοκεῖν· δυσκόλου δ' ὄντος φύσει καὶ χαλεποῦ τοῦ βουλεύεσθαι, ἔτι πολλῷ χαλεπώτερον ὑμεῖς αὐτὸ πεποιήκατε, ὦ ἄνδρες Ἀθηναῖοι· οἱ μὲν γὰρ

[g] οὐ om. F.
[h] μετέχειν] ἀντέχειν F.
[i] δὴ Y. vulg. δέ.
[k] αὐτοῖς] αὐτοὺς F. Y. O. u. v.
[l] παρεληλυθότος] παρελθόντος O.
[m] καὶ om. O. u.
[n] τῇ Ἀττικῇ] τὴν ἀττικὴν F.
[o] ἢ om. F.
[p] τηλικοῦτον] τηλικούτου τὸν F.
[q] συνεβούλευε] συνεβούλευσε O.
[r] αὐτὸς] αὐτὸν ὁ Y.
[s] ἔδεισε] ἐδήλωσε F.
[t] πράγματα om. pr. O.
[u] προεῖσθαι] προέσθαι S.
[x] τῷ om. S. τῷ περὶ om. γρ. u.
[y] ταὐτὰ] ταῦτα Y.
[z] πάντας] ἅπαντας Y.
[a] ἑτέρως] ἑτέρωσε F.

ἄλλοι πάντες ἄνθρωποι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι, ὑμεῖς δὲ μετὰ τὰ πράγματα. ἐκ δὲ τούτου συμβαίνει [b] παρὰ πάντα τὸν χρόνον ὃν οἶδ' ἐγώ, τὸν μὲν οἷς [c] ἂν ἁμάρτητε ἐπιτιμῶντα εὐδοκιμεῖν καὶ δοκεῖν [d] εὖ λέγειν, τὰ δὲ πράγματα καὶ περὶ ὧν
3 βουλεύεσθε ἐκφεύγειν [e] ὑμᾶς. [f] οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόντων οἶμαι καὶ πεπεικὼς ἐμαυτὸν ἀνέστηκα, ἂν ἐθελήσητε τοῦ θορυβεῖν καὶ φιλονεικεῖν ἀποστάντες ἀκούειν, ὡς ὑπὲρ πόλεως βουλευομένοις καὶ τηλικούτων πραγμάτων προσήκει, ἕξειν καὶ λέγειν καὶ συμβουλεύειν [g] δι' ὧν καὶ τὰ παρόντα ἔσται βελτίω καὶ τὰ [h] προειμένα σωθήσεται.

4 Ἀκριβῶς δὲ εἰδὼς ὦ ἄνδρες Ἀθηναῖοι τὸ λέγειν περὶ ὧν αὐτὸς εἶπέ τις καὶ περὶ αὐτοῦ παρ' ὑμῖν ἀεὶ τῶν πάνυ λυσιτελούντων τοῖς τολμῶσιν ὄν, οὕτως ἡγοῦμαι φορτικὸν καὶ ἐπαχθὲς ὥστε ἀνάγκην οὖσαν ὁρῶν ὅμως ἀποκνῶ. νομίζω δ' ἄμεινον ἂν ὑμᾶς περὶ ὧν [i] νῦν ἐρῶ κρῖναι, μικρὰ 58
τῶν πρότερόν ποτε ῥηθέντων ὑπ' ἐμοῦ μνημονεύσαντας.
5 ἐγὼ γάρ ὦ ἄνδρες Ἀθηναῖοι πρῶτον μέν, ἡνίκ' [k] ἔπειθόν [l] τινες ὑμᾶς τῶν [m] ἐν Εὐβοίᾳ [n] πραγμάτων ταραττομένων βοηθεῖν Πλουτάρχῳ καὶ πόλεμον [o] ἄδοξον καὶ δαπανηρὸν ἄρασθαι, [p] πρῶτος καὶ μόνος παρελθὼν ἀντεῖπον καὶ μόνον οὐ διεσπάσθην ὑπὸ τῶν ἐπὶ μικροῖς λήμμασι πολλὰ καὶ μεγάλα [q] ὑμᾶς ἁμαρτάνειν πεισάντων· καὶ χρό-

[b] παρὰ πάντα τὸν] τὸν πάντα O. u. v.
[c] ἂν om. S.
[d] εὖ λέγειν] εὐλογειν pr. S.
[e] ὑμᾶς] ἡμᾶς F.
[f] οὐ μὴν ἀλλὰ] ἀλλὰ μὴν Y.
[g] δι'] ἐξ Y.
[h] προειμένα] προειρημένα correctus S. qui vulgatam ne a prima quidem manu habuit.
[i] νῦν om. Y.
[k] ἔπειθόν] ἔπιθον S.
[l] τινες om. pr. S.
[m] ἐν om. u.
[n] πραγμ. ταρατт.] ταρατт. πραγμ. F. O. u. v.
[o] ἄδοξον] καὶ ἄδοξον S.
[p] πρῶτος καὶ μόνος] μόνος καὶ μόνος S.
[q] ὑμᾶς ἁμαρτάνειν] ἁμαρτάνειν ὑμᾶς S.

νου βραχέος διελθόντος, μετὰ τοῦ προσόφλειν αἰσχύνην
καὶ παθεῖν οἷα τῶν ὄντων ἀνθρώπων οὐδένες πώποτε πε-
πόνθασιν ὑπὸ τούτων οἷς ἐβοήθησαν, πάντες [r] ὑμεῖς ἔγνωτε
τήν τε τῶν [s] ταῦτα πεισάντων κακίαν καὶ [t] τὸν τὰ βέλ-
6 τιστα εἰρηκότα ἐμέ. πάλιν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι,
κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτὴν τῷ μὲν τῆς τέχνης
προσχήματι τυγχάνοντ' ἀδείας, κακὰ δ' ἐργαζόμενον τὰ
μέγιστα τὴν πόλιν καὶ τὰ παρ' [u] ὑμῖν διοικοῦντα Φι-
λίππῳ καὶ πρυτανεύοντα, παρελθὼν εἶπον εἰς ὑμᾶς, οὐ-
δεμιᾶς [x] ἰδίας οὔτ' ἔχθρας οὔτε συκοφαντίας ἕνεκεν, ὡς
7 ἐκ τῶν μετὰ ταῦτα ἔργων γέγονε δῆλον. καὶ οὐκέτ' ἐν
τούτοις αἰτιάσομαι τοὺς ὑπὲρ Νεοπτολέμου λέγοντας
(οὐδὲ εἷς γὰρ ἦν) ἀλλ' [y] αὐτοὺς ὑμᾶς· εἰ γὰρ ἐν [z] Διονύ-
σου τραγῳδοὺς [a] ἐθεᾶσθε, ἀλλὰ μὴ περὶ σωτηρίας καὶ
κοινῶν πραγμάτων ἦν ὁ λόγος, οὐκ ἂν οὕτως οὔτ' ἐκείνου
8 πρὸς χάριν οὔτ' ἐμοῦ πρὸς ἀπέχθειαν [b] ἠκούσατε. καίτοι
ταὐτό [c] γε ὑμᾶς οἶμαι [d] νῦν ἅπαντας ᾐσθῆσθαι, ὅτι [e] τὴν
τότ' ἄφιξιν εἰς τοὺς πολεμίους [f] ἐποιήσατο ὑπὲρ τοῦ τἀ-
κεῖ χρήματ' ὀφειλόμενα, ὡς ἔφη, κομίσας δεῦρο λειτουρ- 59
γεῖν· καὶ τούτῳ τῷ λόγῳ πλείστῳ χρησάμενος, ὡς δει-
νὸν εἴ τις ἐγκαλεῖ τοῖς ἐκεῖθεν ἐνθάδε τὰς εὐπορίας ἄγου-
σιν, [g] ἐπειδὴ διὰ τὴν εἰρήνην ἀδείας ἔτυχεν, ἣν ἐνθάδ'
ἐκέκτητο οὐσίαν φανεράν, ταύτην ἐξαργυρίσας πρὸς ἐκεῖνον
9 ἀπάγων [h] ᾤχετο. δύο μὲν δὴ ταῦτα ὧν προεῖπον ἐγώ,

[r] ὑμεῖς ἔγνωτε] ἐγνώκατε ὑμεῖς Y.
[s] ταῦτα] τότε S.
[t] τὸν om. S.
[u] ὑμῖν] ὑμῶν S. ὑμῖν F.
[x] ἰδίας—ἕνεκεν S. ceteri ἕνεκα—ἰδίας.
[y] αὐτοὺς ὑμᾶς] ὑμᾶς αὐτούς Y.
[z] Διονύσου] διονύσῳ Y.
[a] ἐθεᾶσθε] ἐθεάσασθε Y. O. u. v. et pr. S.
[b] ἠκούσατε] ἠκούετε (σα) F. ἠκούετε u. v.
[c] γε om. Y.
[d] νῦν ἅπαντας ᾐσθῆσθαι] γινώσκειν Y.
[e] τὴν om. O.
[f] ἐποιήσατο om. pr. S.
[g] ἐπειδὴ] ἐπεὶ δὲ Y.
[h] ᾤχετο] οἴχεται S. οἴχεται (ῳ, ο) F.

μαρτυρεῖ τοῖς [i] γεγενημένοις λόγοις, ὀρθῶς καὶ δικαίως,
οἷά περ ἦν, ἀποφανθέντα ὑπ' [k] ἐμοῦ· [l] τρίτον δ', ὦ ἄνδρες
Ἀθηναῖοι, καὶ μόνον ἓν τοῦτ' εἰπὼν ἔτι [m] καὶ δὴ περὶ ὧν
παρελήλυθα ἐρῶ. ἡνίκα τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης
10 ἀπειληφότες ἥκομεν οἱ πρέσβεις, τότε Θεσπιάς [n] τινων
καὶ Πλαταιὰς ὑπισχνουμένων οἰκισθήσεσθαι καὶ τοὺς
μὲν Φωκέας τὸν Φίλιππον, ἂν γένηται κύριος, σώσειν,
τὴν δὲ Θηβαίων πόλιν [o] διοικιεῖν, καὶ τὸν Ὠρωπὸν ὑμῖν
ὑπάρξειν, καὶ τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ἀποδοθή-
σεσθαι, καὶ τοιαύτας ἐλπίδας καὶ φενακισμούς, οἷς
[p] ἐπαχθέντες ὑμεῖς οὔτε συμφόρως οὔτ' ἴσως [q] οὔτε καλῶς
προεῖσθε Φωκέας, οὐδὲν τούτων οὔτ' ἐξαπατήσας οὔτε σι-
γήσας ἐγὼ φανήσομαι, ἀλλὰ [r] προειπὼν ὑμῖν, ὡς [s] οἶδ'
ὅτι μνημονεύετε, ὅτι ταῦτα οὔτε οἶδα οὔτε προσδοκῶ, [t] νο-
μίζω δὲ τὸν λέγοντα ληρεῖν.

11 Ταῦτα [u] τοίνυν ἅπανθ', ὅσα φαίνομαι βέλτιον τῶν ἄλ-
λων προορῶν, οὐδ' εἰς μίαν ὦ ἄνδρες Ἀθηναῖοι οὔτε δεινό-
τητα οὔτε ἀλαζονείαν ἐπανοίσω, [x] οὐδὲ προσποιήσομαι δι'
οὐδὲν ἄλλο γιγνώσκειν καὶ προαισθάνεσθαι πλὴν δι' ἃ
ἂν ὑμῖν εἴπω δύο, ἓν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δι' εὐτυ-
χίαν, ἣν συμπάσης ἐγὼ τῆς ἐν ἀνθρώποις οὔσης δεινότη- 60
12 τος καὶ [y] σοφίας ὁρῶ κρατοῦσαν, ἕτερον δέ, [z] ὅτι προῖκα
τὰ πράγματα κρίνω καὶ λογίζομαι, καὶ οὐδὲν λῆμμ'
[a] ἂν οὐδεὶς ἔχοι πρὸς οἷς ἐγὼ πεπολίτευμαι καὶ λέγω

[i] γεγενημένοις] προγεγενημένοις F. τότε γεγενημένοις Y. O. u. v.
[k] ἐμοῦ] ἐκείνου O.
[l] τρίτον] τὸ τρίτον S.
[m] καὶ δὴ] καὶ δὴ καὶ F.
[n] τινων καὶ] και τινων pr. S.
[o] διοικιεῖν pr. Y. ceteri διοικεῖν.
[p] ἐπαχθέντες—συμφόρως S. vulg. ὑπαχθέντες—συμφερόντως.
[q] οὔτε ante καλῶς om. pr. S.
[r] προειπὼν] προεῖπον correctus S.
[s] οἶδ'] εὖ οἶδ' F. Y. O. u. v.
[t] νομίζω δὲ] νομίζων O. u. v.
[u] τοίνυν ἅπανθ'] πάντα τοίνυν F. τοίνυν πάντα O. u. v.
[x] οὐδὲ] οὔτε S.
[y] σοφίας] φιλοσοφίας O.
[z] ὅτι om. S.
[a] ἂν post οὐδεὶς ponunt F. Y. O. u. v.

δεῖξαι προσηρτημένον. ὀρθὸν οὖν, ὅ τι ἄν ποτε ἀπ' αὐτῶν ὑπάρχῃ τῶν πραγμάτων, τὸ συμφέρον φαίνεταί μοι. ὅταν δ' ἐπὶ θάτερα ὥσπερ εἰς τρυτάνην ἀργύριον προσενέγκῃς, οἴχεται φέρον καὶ [b] καθείλκυκε τὸν λογισμὸν ἐφ' αὑτό, καὶ [c] οὐκ ἂν ἔτ' ὀρθῶς οὐδ' ὑγιῶς ὁ τοῦτο ποιήσας περὶ οὐδενὸς [d] λογίσαιτο.

13 Ἓν μὲν [e] οὖν ἔγωγε πρῶτον ὑπάρχειν φημὶ δεῖν, ὅπως εἴτε [f] συμμάχους εἴτε σύνταξιν εἴτ' ἄλλο [g] τι βούλεταί τις κατασκευάζειν τῇ πόλει, τὴν ὑπάρχουσαν εἰρήνην μὴ λύων τοῦτο [h] ποιήσει, οὐχ ὡς θαυμαστὴν οὐδ' ὡς ἀξίαν οὖσαν ὑμῶν· ἀλλ' ὁποία [i] τίς ποτ' ἐστὶν αὕτη, μὴ γενέσθαι μᾶλλον εἶχε τοῖς πράγμασι καιρὸν ἢ [k] γεγενημένην νῦν δι' [l] ἡμᾶς λυθῆναι· πολλὰ γὰρ [m] προείμεθα, ὧν ὑπαρχόντων τότ' ἂν ἢ νῦν ἀσφαλέστερος καὶ ῥᾴων ἦν ἡμῖν
14 ὁ πόλεμος. δεύτερον δέ, ὁρᾶν ὅπως μὴ [n] προαξόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς συνεληλυθότας τούτους καὶ φάσκοντας Ἀμφικτύονας [o] νῦν εἶναι εἰς ἀνάγκην καὶ πρόφασιν κοινοῦ πολέμου πρὸς [p] ὑμᾶς. ἐγὼ γάρ, εἰ γένοιθ' ἡμῖν πρὸς Φίλιππον πάλιν πόλεμος δι' Ἀμφίπολιν ἤ τι [q] τοιοῦτον ἔγκλημα ἴδιον, οὗ μὴ μετέχουσι Θετταλοὶ μηδ' Ἀργεῖοι μηδὲ Θηβαῖοι, οὐκ ἂν [r] ἡμῖν οἴομαι τούτων οὐ-
15 δένα πολεμῆσαι, καὶ πάντων ἥκιστα (καί μοι μὴ [s] θορυβήσῃ μηδεὶς πρὶν [t] ἀκοῦσαι) Θηβαίους, οὐχ ὡς ἡδέως

[b] καθείλκυκε F. S. ceteri καθείλκυσε.
[c] οὐκ ἂν ἔτ' S. vulg. οὐκέτ' ἄν.
[d] λογίσαιτο] ἀνλογίσαιτο Y. O. u. v.
[e] οὖν] γὰρ O. om. u. v.
[f] συμμάχους εἴτε σύνταξιν S. Y. ceteri σύνταξιν εἴτε συμμάχους.
[g] τι om. S.
[h] ποιήσει S. Y. vulg. ποιήσῃ.
[i] τίς addidi sumptum a S.
[k] γεγενημένην] γεγενημένη F. O. u. v.
[l] ἡμᾶς F. S. ceteri ὑμᾶς.
[m] προείμεθα] προϊέμεθα S.
[n] προαξόμεθα Y. O. u. et correctus v. vulg. προαξώμεθα.
[o] νῦν εἶναι] εἶναι νῦν Y.
[p] ὑμᾶς] ἡμᾶς Y.
[q] τοιοῦτον] τοιοῦτο S.
[r] ἡμῖν] ὑμῖν S.
[s] θορυβήσῃ] θορυβῆσαι Y.
[t] ἀκοῦσαι S. Y. ἂν ἀκούσαι O. ἂν ἀκούσῃ F. u. v.

ἔχουσιν ἡμῖν, οὐδ' ὡς [u] οὐκ ἂν χαρίζοιντο [x] Φιλίππῳ, ἀλλ'
ἴσασιν ἀκριβῶς, εἰ καὶ πάνυ [y] φήσειέ τις αὐτοὺς ἀναι- 61
σθήτους εἶναι, ὅτι εἰ γενήσεται πόλεμος πρὸς ὑμᾶς [z] αὐ-
τοῖς, τὰ μὲν κακὰ πάνθ' ἕξουσιν αὐτοί, τοῖς δ' ἀγαθοῖς
ἐφεδρεύων ἕτερος καθεδεῖται. οὔκουν [a] προεῖντ' ἂν ἑαυτοὺς
εἰς τοῦτο, μὴ κοινῆς τῆς ἀρχῆς καὶ τῆς αἰτίας οὔσης τοῦ
16 πολέμου. οὐδέ γε εἰ πάλιν πρὸς τοὺς Θηβαίους πολεμή-
σαιμεν δι' Ὠρωπόν, ἤ τι τῶν ἰδίων, οὐδὲν ἂν ἡμᾶς πα-
θεῖν ἡγοῦμαι· καὶ γὰρ ἡμῖν κἀκείνοις τοὺς [b] βοηθήσοντας
ἂν οἶμαι, εἰς τὴν οἰκείαν εἴ τις ἐμβάλοι, βοηθεῖν, οὐ
[c] συνεπιστρατεύσειν οὐδετέροις. καὶ γὰρ αἱ συμμαχίαι
τοῦτον ἔχουσι τὸν τρόπον, [d] ὧν καὶ φροντίσειεν ἄν τις, καὶ
17 τὸ πρᾶγμα φύσει τοιοῦτόν ἐστιν. οὐκ ἄχρι τῆς ἴσης ἕκα-
στός ἐστιν εὔνους οὔθ' ἡμῖν οὔτε Θηβαίοις, [e] ὥστε εἶναι
καὶ κρατεῖν τῶν ἄλλων, ἀλλὰ [f] σῶς μὲν εἶναι [g] πάντες
ἂν βούλοιντο [h] ἕνεχ' αὐτῶν, κρατήσαντας δὲ τοὺς ἑτέρους
δεσπότας ὑπάρχειν αὐτῶν οὐδὲ εἷς. τί οὖν ἡγοῦμαι φο-
βερόν, καὶ τί φυλάξασθαι [i] φημὶ δεῖν [k] ἡμᾶς; [l] ὅπως μὴ
κοινὴν πρόφασιν καὶ κοινὸν ἔγκλημα ὁ μέλλων πόλεμος
18 πρὸς ἅπαντας λάβῃ. [m] εἰ γὰρ Ἀργεῖοι μὲν καὶ Μεσσή-
νιοι καὶ Μεγαλοπολῖται καί τινες τῶν λοιπῶν Πελοπον-
νησίων, [n] ὅσοι τὰ αὐτὰ τούτοις φρονοῦσι, διὰ τὴν πρὸς
Λακεδαιμονίους ἡμῖν ἐπικηρυκείαν ἐχθρῶς σχήσουσι καὶ
τὸ δοκεῖν ἐνδέχεσθαί τι τῶν ἐκείνοις πεπραγμένων, Θη-

[u] οὐκ om. pr. S.
[x] Φιλίππῳ] ἂν φιλίππωι F.
[y] φήσειέ] φήσει Y. φησιν S.
[z] αὐτοῖς] αὐτοὺς F. S. O. v.
[a] προεῖντο u. v. προοιντ' F. S.
[b] βοηθήσοντας] βοηθοῦντας S.
[c] συνεπιστρατεύσειν] συνεπιστρατεύειν O.
[d] ὧν] ὧν ὃν u. ὃν O. et correctus Y.
[e] ὥστε] σῶς τε Reiskius.
[f] σῶς] ὡς pr. S. σώιους F.
[g] πάντες] ἅπαντες F. O. u. v.
[h] ἕνεχ' αὐτῶν S. ἕνεκα ἑαυτῶν F. O. u. v. ἕνεκά γε ἑαυτῶν Y.
[i] φημὶ om. Y.
[k] ἡμᾶς] ὑμᾶς ἡ F. ὑμᾶς Y. O. v.
[l] ὅπως om. S.
[m] εἰ] οἱ correctus u.
[n] ὅσοι] ὅσοι γε δὴ O. u. v.

βαῖοι δὲ ἔχουσι μέν, ὡς λέγουσιν, ἀπεχθῶς, ἔτι δὲ ἐχθρο-
τέρως σχήσουσιν, ὅτι τοὺς παρ' ἐκείνων φεύγοντας σώζο-
μεν καὶ πάντα τρόπον τὴν δυσμένειαν [o]ἐνδεικνύμεθ' αὐ-
19 τοῖς, Θετταλοὶ δ', ὅτι τοὺς Φωκέων φυγάδας σώζομεν,
Φίλιππος δέ, ὅτι κωλύομεν αὐτὸν κοινωνεῖν τῆς ἀμφικτυ- 62
ονίας, φοβοῦμαι μὴ πάντες περὶ τῶν ἰδίων ἕκαστος [p]ὀρ-
γιζόμενοι κοινὸν ἐφ' ἡμᾶς ἀγάγωσι τὸν πόλεμον, τὰ τῶν
Ἀμφικτυόνων [q]δόγματα προστησάμενοι, εἶτ' ἐπισπασθῶ-
σιν ἕκαστοι [r]πέρα τοῦ συμφέροντος ἑαυτοῖς ἡμῖν πολεμῆ-
20 σαι, ὥσπερ καὶ περὶ Φωκέας. ἴστε γὰρ δήπου τοῦθ', ὅτι
νῦν Θηβαῖοι καὶ Φίλιππος καὶ Θετταλοὶ οὐχὶ ταὐτὰ
[s]ἕκαστοι μάλιστα ἐσπουδακότες ταὐτὰ πάντες ἔπραξαν,
οἷον Θηβαῖοι [t]τὸν μὲν Φίλιππον παρελθεῖν καὶ λαβεῖν
τὰς παρόδους οὐκ ἠδύναντο κωλῦσαι, οὐδέ γε τῶν αὑτοῖς
21 πεπονημένων ὕστατον ἐλθόντα τὴν δόξαν ἔχειν· νυνὶ γὰρ
Θηβαίοις πρὸς μὲν τὸ τὴν χώραν [u]κεκομίσθαι [x]κάλ-
λιστα πέπρακται, πρὸς δὲ τιμὴν καὶ δόξαν αἴσχιστα·
εἰ γὰρ μὴ παρῆλθε Φίλιππος, οὐδὲν ἂν αὐτοῖς ἐδόκει εἶ-
ναι. ταῦτα δ' οὐκ [y]ἠβούλοντο, ἀλλὰ τῷ τὸν Ὀρχομενὸν
καὶ τὴν Κορώνειαν λαβεῖν ἐπιθυμεῖν, μὴ δύνασθαι δέ,
22 [z]πάντα ταῦθ' ὑπέμειναν. Φίλιππον τοίνυν τινὲς μὲν δή-
που τολμῶσι λέγειν ὡς [a]οὐκ ἐβούλετο Θηβαίοις Ὀρχο-
μενὸν καὶ Κορώνειαν παραδοῦναι, ἀλλ' ἠναγκάσθη· ἐγὼ
δὲ τούτοις μὲν ἐρρῶσθαι λέγω, ἐκεῖνο δὲ οἶδ', ὅτι οὐ μᾶλ-

[o] ἐνδεικνύμεθ'] δεικνύμεθ' Y.
[p] ὀργιζόμενοι] ὀργιζόμενος F. S. O. u. v.
[q] δόγματα προστησάμενοι] προστησάμενοι δόγματα Y.
[r] πέρα] περὶ F. O. u. v. et correctus Y.
[s] ἕκαστοι μάλιστα] μάλιστα ἕκαστοι F. O. u. v.
[t] τὸν μὲν Φίλιππον om. Y.
[u] κεκομίσθαι] ἔχειν καὶ κεκομίσθαι F.
[x] κάλλιστα πέπρακται] πέπρακταί τι S.
[y] ἠβούλοντο] ἐβούλοντο v.
[z] πάντα ταῦθ'] ταῦτα πάνθ' F. O. u. v.
[a] οὐκ] οὐδ' F. S.

λόν γε ταῦτ' ἔμελεν αὐτῷ [b] ἢ τὰς παρόδους λαβεῖν
[c] ἠβούλετο καὶ τὴν δόξαν τοῦ πολέμου τοῦ δοκεῖν δι' αὐ-
τὸν κρίσιν εἰληφέναι, καὶ τὰ Πύθια θεῖναι δι' ἑαυτοῦ·
23 καὶ ταῦτ' ἦν ὧν μάλιστ' ἐγλίχετο. Θετταλοὶ δέ γε οὐ-
δέτερ' ἠβούλοντο τούτων, οὔτε Θηβαίους οὔτε [d] τὸν Φίλιπ-
πον μέγαν [e] γίγνεσθαι ([f] ταῦτα γὰρ πάντ' ἐφ' ἑαυτοὺς
ἡγοῦντο [g] εἶναι), τῆς πυλαίας δ' ἐπεθύμουν καὶ τῶν ἐν
Δελφοῖς, πλεονεκτημάτων δυοῖν, κύριοι γενέσθαι· τῷ δὲ 63
τούτων γλίχεσθαι τάδε συγκατέπραξαν. τῶν τοίνυν ἰδίων
[h] ἕνεχ' εὑρήσετε ἕκαστον [i] πολλὰ προηγμένον, ὧν οὐδὲν
ἠβούλετο, πρᾶξαι. τοῦτο μὲν [k] τοίνυν, ὅτι [l] τοιοῦτόν ἐστι,
φυλακτέον [m] ἡμῖν.

24 [n] Τὰ κελευόμενα ἡμᾶς ἄρα δεῖ ποιεῖν ταῦτα φοβου-
μένους; καὶ σὺ ταῦτα κελεύεις; πολλοῦ γε καὶ δέω.
ἀλλ' ὡς οὔτε πράξομεν οὐδὲν ἀνάξιον ἡμῶν αὐτῶν οὔτ'
ἔσται πόλεμος, νοῦν [o] δὲ δόξομεν πᾶσιν ἔχειν καὶ τὰ δί-
25 καια λέγειν, τοῦτ' οἶμαι [p] δεῖν ποιεῖν. πρὸς δὲ τοὺς θρα-
σέως ὁτιοῦν οἰομένους [q] ὑπομένειν δεῖν καὶ μὴ προορωμέ-
νους τὸν πόλεμον ἐκεῖνα βούλομαι λογίσασθαι. ἡμεῖς Θη-
βαίους ἐῶμεν ἔχειν Ὠρωπόν· καὶ εἴ τις ἔροιτο ἡμᾶς, κε-
λεύσας εἰπεῖν τἀληθῆ, διὰ τί; ἵνα μὴ πολεμῶμεν, [r] φαῖ-
μεν ἄν. καὶ Φιλίππῳ [s] νυνὶ κατὰ [t] τὰς συνθήκας Ἀμ-
φιπόλεως παρακεχωρήκαμεν, καὶ Καρδιανοὺς ἐῶμεν ἔξω

[b] ἢ] ἢ τὸ O. u. v. et rec. F.
[c] ἠβούλετο—ἠβούλοντο] ἐβούλετο—ἐβούλοντο v.
[d] τὸν om. F.
[e] γίγνεσθαι] γενέσθαι Y. O. u. v.
[f] ταῦτα γὰρ πάντ'] πάντα γὰρ ταῦτα F. O. u. v.
[g] εἶναι om. S.
[h] ἕνεχ' εὑρήσε ἕκαστον S. Y. ceteri ἕνεκα ἕκαστον εὑρήσετε.
[i] πολλὰ] εἰς πολλὰ F. O. u. v. ἐς τὰ πολλὰ margo S.
[k] τοίνυν] τοι F.
[l] τοιοῦτόν] τοῦτ' S.
[m] ἡμῖν] ὑμῖν Y.
[n] Τὰ] τὰ δὲ O.
[o] δὲ S. vulg. τε.
[p] δεῖν ποιεῖν S. et γρ. F. ceteri δείξειν.
[q] ὑπομένειν] ὑπομεῖναι S.
[r] φαῖμεν S. vulg. φαίημεν.
[s] νυνὶ] νῦν F.
[t] τὰς om. S.

[u] Χεῤῥονησιτῶν τῶν ἄλλων τετάχθαι, καὶ τὸν Κᾶρα τὰς νήσους καταλαμβάνειν, Χίον καὶ [x] Κῶν καὶ Ῥόδον, καὶ Βυζαντίους κατάγειν τὰ πλοῖα, δῆλον ὅτι τὴν ἀπὸ τῆς εἰρήνης ἡσυχίαν πλειόνων ἀγαθῶν αἰτίαν εἶναι νομίζοντες
26 ἢ τὸ προσκρούειν καὶ [y] φιλονεικεῖν περὶ τούτων. οὐκοῦν εὔηθες καὶ κομιδῇ σχέτλιον, πρὸς ἑκάστους καθ' ἕνα [z] οὕτω προσενηνεγμένους περὶ τῶν οἰκείων καὶ ἀναγκαιοτάτων, πρὸς [a] πάντας περὶ τῆς ἐν Δελφοῖς σκιᾶς νυνὶ πολεμῆσαι.

ϛ.

# ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Β.

## ΥΠΟΘΕΣΙΣ.

Παραινεῖ διὰ τούτου τοῦ λόγου τοῖς Ἀθηναίοις ὁ ῥήτωρ πολέμιον ὑποπτεύειν 64
τὸν Φίλιππον καὶ τῇ εἰρήνῃ μὴ πάνυ πιστεύειν, ἀλλὰ ἐγείρεσθαι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασι καὶ εὐτρεπίζεσθαι [a] πρὸς πόλεμον· ἐπιβουλεύειν γὰρ αἰτιᾶται καὶ τοῖς Ἀθηναίοις καὶ πᾶσι τοῖς Ἕλλησι τὸν Φίλιππον, καὶ τοῦτο αὐτοῦ [b] καταμαρτυρεῖν τὰς πράξεις φησίν. ἐπαγγέλλεται [c] δὲ καὶ ἀποκρίσεις δώσειν πρός τινας πρέσβεις [d] ἥκοντας, ἀπορούντων τῶν Ἀθηναίων [e] ὁπότε ἀποκρίνασθαι δεῖ. πόθεν δὲ οὗτοι καὶ [f] περὶ τίνων ἥκουσιν, ἐν τῷ λόγῳ μὲν οὐ δηλοῦται, ἐκ δὲ τῶν Φιλιππικῶν ἱστοριῶν μαθεῖν δυνατόν. κατὰ γὰρ τοῦτον τὸν καιρὸν ἔπεμψε πρέσβεις ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους, αἰτιώμενος ὅτι διαβάλλουσιν αὐτὸν μάτην πρὸς τοὺς Ἕλληνας ὡς [g] ἐπαγγειλάμενον αὐτοῖς πολλὰ καὶ μεγάλα, ψευσάμενον δέ· οὐδὲν γὰρ ὑπεσχῆσθαί φησιν

[u] Χεῤῥονησιτῶν] χερρονησιωτῶν S.
[x] Κῶν] κῶ Y. O. u. v.
[y] φιλονεικεῖν] τὸ φιλονεικεῖν F.u.v.
[z] οὕτω] οὑτωσὶ Y. οὕτως ἤδη F. u. v. οὑτωσὶ ἤδη O.
[a] πάντας S. ceteri ἅπαντας.
[a] πρὸς Y. vulg. εἰς.
[b] καταμαρτυρεῖν τὰς πράξεις] καταμαρτυροῦντος πράξειν F.Y.O.u.v.
[c] δὲ om. v.
[d] ἥκοντας—οὗτοι om. F.
[e] ὁπότε] Immo ὅπως vel τίποτε.
[f] περὶ] παρὰ Y.
[g] ἐπαγγειλάμενον—ψευσάμενον—ὑπεσχῆσθαι Y. vulg. ἐπαγγελλόμενον—ψευδόμενον—ὑπισχνεῖσθαι.

οὐδὲ ἐψεῦσθαι, καὶ περὶ τούτων ἐλέγχους ἀπαιτεῖ. ἔπεμψαν δὲ μετὰ Φιλίππου καὶ Ἀργεῖοι καὶ Μεσσήνιοι πρέσβεις εἰς Ἀθήνας, αἰτιώμενοι καὶ οὗτοι τὸν δῆμον ὅτι Λακεδαιμονίοις καταδουλουμένοις τὴν Πελοπόννησον εὔνους τέ ἐστι καὶ συγκροτεῖ, αὐτοῖς δὲ περὶ ἐλευθερίας πολεμοῦσιν ἐναντιοῦται. ἀποροῦσιν οὖν οἱ Ἀθηναῖοι καὶ πρὸς τὸν Φίλιππον ἀποκρίσεως καὶ πρὸς τὰς πόλεις, ὅτι εὖνοι μέν εἰσι Λακεδαιμονίοις καὶ τὴν τῶν Ἀργείων καὶ Μεσσηνίων μετὰ Φιλίππου σύστασιν καὶ μισοῦσι καὶ ὑποπτεύουσιν, οὐ μὴν ἀποφήνασθαι δύνανται 65 δίκαια πράττειν τοὺς Λακεδαιμονίους. πρὸς δὲ τὸν Φίλιππον διημαρτήκασι μὲν ὧν ἤλπισαν, οὐ μὴν ὑπ' ἐκείνου γε αὐτοῦ δοκοῦσιν ἐξηπατῆσθαι· οὔτε γὰρ ταῖς ἐπιστολαῖς ἐνέγραψεν ὁ Φίλιππος ἐπαγγελίαν οὐδεμίαν, [h] οὔτε διὰ τῶν ἰδίων [i] πρέσβεων ἐποιήσατό τινα ὑπόσχεσιν, ἀλλὰ Ἀθηναίων τινὲς ἦσαν οἱ τὸν δῆμον εἰς ἐλπίδα καταστήσαντες ὡς Φίλιππος Φωκέας σώσει καὶ τὴν [k] Θηβαίων ὕβριν καταλύσει. διὰ τοῦτο ὁ Δημοσθένης τῶν ἀποκρίσεων μνησθεὶς ἐπαγγέλλεται μὲν αὐτὰς δώσειν, φησὶ δὲ ὅτι δίκαιον ἦν τοὺς τὴν δυσχέρειαν πεποιηκότας ἐκείνους καὶ τὰς ἀποκρίσεις ἀπαιτεῖσθαι, τοὺς ἀπατήσαντας, φησί, τὸν δῆμον καὶ ἀνοίξαντας Φιλίππῳ [l] Πύλας. ταῦτα δὲ εἰς τὸν Αἰσχίνην αἰνίττεται, προκατασκευαζόμενος, ὥς φασι, τὴν κατ' αὐτοῦ κατηγορίαν τῆς παραπρεσβείας, ἣν ὕστερον ἐνεστήσατο, καὶ [m] προδιαβάλλων αὐτὸν πρὸς τοὺς Ἀθηναίους.

ΟΤΑΝ ὦ ἄνδρες Ἀθηναῖοι λόγοι γίγνωνται περὶ ὧν [n] Φίλιππος πράττει καὶ βιάζεται παρὰ τὴν εἰρήνην, ἀεὶ τοὺς ὑπὲρ [o] ἡμῶν λόγους καὶ δικαίους καὶ φιλανθρώπους ὁρῶ φαινομένους, καὶ λέγειν μὲν ἅπαντας ἀεὶ τὰ δέοντα δοκοῦντας τοὺς κατηγοροῦντας Φιλίππου, [p] γιγνόμενον δ' οὐδὲν ὡς ἔπος [q] εἰπεῖν τῶν δεόντων οὐδ' ὧν [r] ἕνεκα ταῦτ'
2 ἀκούειν ἄξιον· ἀλλ' εἰς τοῦτο ἤδη προηγμένα τυγχάνει 66
πάντα τὰ πράγματα τῇ πόλει, ὥσθ' ὅσῳ τις ἂν μᾶλλον καὶ φανερώτερον [s] ἐξελέγχῃ Φίλιππον καὶ τὴν πρὸς [t] ὑμᾶς

[h] οὔτε διὰ] οὔτε δὲ διὰ Y. O. u. v.

[i] πρέσβεων Y. O. u. v. vulg. πρεσβειῶν.

[k] Θηβαίων ὕβριν καταλύσει] ἀθηναίων ὕβριν καταστήσει F.

[l] Πύλας] τὰς πύλας O.

[m] προδιαβάλλων] προδιαβαλὼν F.

[n] Φίλιππος] ὁ φίλιππος Y. O.

[o] ἡμῶν] ὑμῶν (ἡ) F.

[p] γιγνόμενον] γενόμενον Y.

[q] εἰπεῖν om. S.

[r] ἕνεκα] εἵνεκα F. O. u. v.

[s] ἐξελέγχῃ] ἐξελέγχῃι (ξ) F. ἐλέγξῃι Y.

[t] ὑμᾶς] ἡμᾶς Y.

εἰρήνην παραβαίνοντα καὶ πᾶσι τοῖς Ἕλλησιν ἐπιβουλεύ-
οντα, τοσούτῳ [u]τὸ τί χρὴ ποιεῖν συμβουλεῦσαι χαλεπώ-
3 τερον [x]εἶναι. αἴτιον δὲ τούτων, ὅτι [y]πάντας ὦ ἄνδρες
Ἀθηναῖοι τοὺς πλεονεκτεῖν ζητοῦντας ἔργῳ κωλύειν καὶ
πράξεσιν, [z]οὐχὶ λόγοις δέον πρῶτον μὲν ἡμεῖς οἱ παρι-
όντες τούτων μὲν ἀφέσταμεν, καὶ γράφειν καὶ συμβου-
λεύειν [a]διὰ τὴν πρὸς [b]ὑμᾶς ἀπέχθειαν ὀκνοῦντες, οἷα
ποιεῖ [c]δέ, ὡς δεινὰ καὶ [d]χαλεπά, [e]ταῦτα διεξερχόμεθα·
4 ἔπειθ' ὑμεῖς οἱ καθήμενοι, ὡς μὲν ἂν [f]εἴποιτε δικαίους
λόγους καὶ λέγοντος ἄλλου [g]συνείητε, ἄμεινον Φιλίππου
παρεσκεύασθε, ὡς δὲ κωλύσαιτ' ἂν ἐκεῖνον πράττειν ταῦ-
5 τα ἐφ' ὧν ἐστι νῦν, παντελῶς ἀργῶς ἔχετε. συμβαίνει
δὴ πρᾶγμα ἀναγκαῖον, οἶμαι, καὶ ἴσως εἰκός· ἐν οἷς
ἑκάτεροι διατρίβετε καὶ περὶ ἃ σπουδάζετε, ταῦτ' ἄμει-
νον ἑκατέροις [h]ἔχει, ἐκείνῳ μὲν αἱ πράξεις, [i]ὑμῖν δ' οἱ
λόγοι. εἰ μὲν οὖν καὶ νῦν λέγειν δικαιότερα ὑμῖν ἐξαρκεῖ,
6 ῥᾴδιον, καὶ πόνος οὐδεὶς πρόσεστι τῷ πράγματι· εἰ δ'
ὅπως τὰ παρόντ' ἐπανορθωθήσεται, δεῖ σκοπεῖν, καὶ μὴ
προελθόντα ἔτι πορρωτέρω λήσει πάντας [k]ἡμᾶς, μηδ'
ἐπιστήσεται μέγεθος δυνάμεως πρὸς ἣν οὐδ' ἀντᾶραι
δυνησόμεθα, οὐχ ὁ αὐτὸς τρόπος [l]ὅσπερ πρότερον τοῦ
[m]βουλεύεσθαι, ἀλλὰ [n]καὶ τοῖς λέγουσιν ἅπασι καὶ

[u] τὸ om. O.
[x] εἶναι om. pr. S.
[y] πάντας] πάντες pr. S.
[z] οὐχὶ λόγοις] Syllabas χι. λο. in litura habet S.
[a] διὰ om. S.
[b] ὑμᾶς] ἡμᾶς u. v.
[c] δὲ] δὴ Y.
[d] χαλεπὰ om. pr. S.
[e] ταῦτα] καὶ τοιαῦτα Y. O. u. v. et γρ. F.
[f] εἴποιτε] εἴπητε Y.
[g] συνείητε] συνίειτε (η superscr.) u. συνίοιτε correctus v. συνίητε ceteri.
[h] ἔχει] ἔχειν F. S. O. u. v.
[i] ὑμῖν] ἡμῖν F.
[k] ἡμᾶς om. Y.
[l] ὅσπερ] ὥσπερ O. ὥσπερ καὶ Y.
[m] βουλεύεσθαι] βουλεύσασθαι (ε superscr.) F. βουλεύσασθαι O. u. v.
[n] καὶ post ἀλλὰ om. Y.

τοῖς ἀκούουσιν ὑμῖν τὰ βέλτιστα καὶ τὰ σώσοντα [o] τῶν
[p] ῥᾴστων καὶ [q] τῶν ἡδίστων προαιρετέον.
7 Πρῶτον μὲν [r] οὖν, εἴ τις ὦ ἄνδρες Ἀθηναῖοι θαῤῥεῖ ὁρῶν
ἡλίκος ἤδη καὶ ὅσων κύριός ἐστι Φίλιππος, καὶ μηδένα 67
οἴεται κίνδυνον φέρειν τοῦτο τῇ πόλει μηδ' ἐφ' [s] ὑμᾶς
[t] πάντα παρασκευάζεσθαι, θαυμάζω, καὶ δεηθῆναι πάν-
των ὁμοίως ὑμῶν βούλομαι τοὺς λογισμοὺς ἀκοῦσαί μου
διὰ βραχέων, δι' οὓς τἀναντία [u] ἐμοὶ παρέστηκε προσδο-
κᾷν καὶ δι' ὧν ἐχθρὸν ἡγοῦμαι Φίλιππον, ἵν' ἐὰν μὲν ἐγὼ
δοκῶ [x] βέλτιον προορᾷν, ἐμοὶ πεισθῆτε, ἐὰν δ' οἱ θαῤῥοῦν-
8 τες καὶ πεπιστευκότες αὐτῷ, τούτοις [y] προσθῆσθε. ἐγὼ
τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι λογίζομαι, τίνων ὁ Φίλιππος
κύριος πρῶτον μετὰ τὴν εἰρήνην κατέστη; Πυλῶν καὶ τῶν
ἐν Φωκεῦσι πραγμάτων. τί οὖν; πῶς τούτοις ἐχρήσατο;
ἃ Θηβαίοις συμφέρει καὶ οὐχ ἃ τῇ πόλει, πράττειν
προείλετο. τί δήποτε; ὅτι πρὸς πλεονεξίαν, οἶμαι, καὶ
τὸ πάνθ' ὑφ' ἑαυτῷ ποιήσασθαι τοὺς λογισμοὺς ἐξε-
τάζων, καὶ οὐ πρὸς εἰρήνην οὐδ' ἡσυχίαν οὐδὲ δίκαιον οὐ-
9 δέν, [z] εἶδε τοῦτο ὀρθῶς, ὅτι τῇ μὲν ἡμετέρᾳ πόλει καὶ
[a] τοῖς ἤθεσι τοῖς ἡμετέροις οὐδὲν ἂν [b] ἐνδείξαιτο τοιοῦτον
οὐδὲ [c] ποιήσειεν, ὑφ' οὗ πεισθέντες ὑμεῖς τῆς ἰδίας ἕνεκ'
ὠφελείας τῶν ἄλλων τινὰς [d] Ἑλλήνων ἐκείνῳ [e] προεῖσθε,
ἀλλὰ καὶ τοῦ δικαίου λόγον ποιούμενοι, καὶ τὴν προσ-

[o] τῶν] ἀντὶ τῶν F. Y. O. u. v.
[p] ῥᾴστων] ραιδίων Y.
[q] τῶν om. Y.
[r] οὖν om. F. S.
[s] ὑμᾶς] ἡμᾶς O.
[t] πάντα] ταῦτα πάντα Y. πάντα ταῦτα F. O. u. v.
[u] ἐμοὶ S. Y. vulg. μοι.
[x] βέλτιον] βέλτιον τῶν ἄλλων F. Y. O. u. v.
[y] προσθῆσθε] προσθήσεσθε S.
[z] εἶδε] οἶδε Y. O. u. v.
[a] τοῖς ἤθεσι τοῖς ἡμετέροις Y. τοῖς ἤθεσι τοῖς ὑμετέροις S. τοῖς ἡμετέροις ἤθεσιν ceteri.
[b] ἐνδείξαιτο τοιοῦτον] ἐνδειξαι τοσουτον S.
[c] ποιήσειεν] ποιήσαιτο Y.
[d] Ἑλλήνων] ἕλληνας Y.
[e] προεῖσθε O. u. v. vulg. πρόοισθε.

οὖσαν ἀδοξίαν τῷ πράγματι φεύγοντες, καὶ πάνθ' ἃ προσήκει προορώμενοι, ὁμοίως ἐναντιώσεσθε, ἄν τι τοιοῦτον ἐπιχειρῇ πράττειν, ὥσπερ ἂν εἰ πολεμοῦντες τύχοιτε.
10 τοὺς δὲ Θηβαίους ἡγεῖτο, [f]ὅπερ συνέβη, ἀντὶ τῶν ἑαυτοῖς γιγνομένων τὰ λοιπὰ ἐάσειν ὅπως βούλεται πράττειν [g]ἑαυτόν, καὶ οὐχ ὅπως ἀντιπράξειν καὶ διακωλύσειν, ἀλλὰ καὶ [h]συστρατεύσειν, ἂν αὐτοὺς κελεύῃ. καὶ νῦν 68
τοὺς Μεσσηνίους καὶ τοὺς Ἀργείους [i]ταὐτὰ ὑπειληφὼς εὖ [k]ποιεῖ. ὃ καὶ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον, ὦ
11 ἄνδρες Ἀθηναῖοι· κέκρισθε γὰρ ἐκ τούτων τῶν ἔργων μόνοι τῶν [l]πάντων μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλλήνων προέσθαι, μηδ' ἀνταλλάξασθαι μηδεμιᾶς χάριτος μηδ' ὠφελείας τὴν εἰς τοὺς Ἕλληνας εὔνοιαν. καὶ ταῦτ' εἰκότως καὶ περὶ ὑμῶν οὕτως ὑπείληφε καὶ κατ' Ἀργείων καὶ Θηβαίων ὡς ἑτέρως, οὐ μόνον εἰς τὰ παρόντα ὁρῶν, ἀλλὰ καὶ τὰ πρὸ τούτων λογιζόμενος.
12 εὑρίσκει γάρ, οἶμαι, καὶ ἀκούει τοὺς μὲν ὑμετέρους προγόνους, ἐξὸν αὐτοῖς τῶν [m]λοιπῶν ἄρχειν Ἑλλήνων ὥστ' αὐτοὺς ὑπακούειν βασιλεῖ, οὐ μόνον οὐκ ἀνασχομένους τὸν λόγον τοῦτον, ἡνίκ' ἦλθεν Ἀλέξανδρος ὁ τούτων πρό-
13 γονος περὶ τούτων κῆρυξ, ἀλλὰ καὶ τὴν [n]χώραν ἐκλιπεῖν προελομένους καὶ παθεῖν ὁτιοῦν ὑπομείναντας, καὶ μετὰ ταῦτα πράξαντας ταῦθ' ἃ πάντες [o]μὲν ἀεὶ γλίχονται λέγειν, ἀξίως δ' [p]οὐδεὶς εἰπεῖν δεδύνηται, διόπερ κἀγὼ παραλείψω δικαίως (ἔστι γὰρ [q]μείζω τἀκείνων ἔργα ἢ ὡς τῷ λόγῳ τις ἂν εἴποι), τοὺς δὲ Θηβαίων καὶ Ἀρ-

[f] ὅπερ] ὅπως O.
[g] ἑαυτὸν S. ἑαυτῷ F. O. u. v. αὐτὸν Y.
[h] συστρατεύσειν] συστρατεύειν Y.
[i] ταὐτὰ] ταῦτα F. Y. O. u. v.
[k] ποιεῖ] ἐποίει S.
[l] πάντων] ἁπάντων Y.
[m] λοιπῶν] ἄλλων F.
[n] χώραν] πόλιν Y. O. u. v.
[o] μὲν om. S.
[p] οὐδεὶς εἰπεῖν] εἰπεῖν οὐδεὶς F. O. u. v.
[q] μείζω] μείζονα S.

γείων προγόνους τοὺς μὲν συστρατεύσαντας τῷ βαρβάρῳ,
τοὺς δ' οὐκ ἐναντιωθέντας. οἶδεν οὖν ἀμφοτέρους ἰδίᾳ τὸ
λυσιτελοῦν ἀγαπήσοντας, οὐχ ὅ τι συνοίσει κοινῇ τοῖς
14 Ἕλλησι σκεψομένους. ἡγεῖτ' οὖν, εἰ μὲν ὑμᾶς ἕλοιτο
φίλους, ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι, εἰ δ' ἐκείνοις [r]προσ-
θεῖτο, συνεργοὺς ἕξειν τῆς αὑτοῦ πλεονεξίας. διὰ ταῦτ'
ἐκείνους ἀνθ' ὑμῶν καὶ τότε καὶ νῦν αἱρεῖται. οὐ γὰρ δὴ
τριήρεις γε ὁρᾷ πλείους αὐτοῖς ἢ ὑμῖν [s]οὔσας· οὐδ' ἐν 69
[t]μὲν τῇ μεσογείᾳ τιν' ἀρχὴν εὕρηκε, τῆς δ' ἐπὶ τῇ θα-
λάττῃ καὶ τῶν ἐμπορίων ἀφέστηκεν· οὐδ' ἀμνημονεῖ τοὺς
λόγους οὐδὲ τὰς ὑποσχέσεις, ἐφ' αἷς τῆς εἰρήνης ἔτυχεν.
15 Ἀλλὰ νὴ Δί', εἴποι τις ἂν ὡς πάντα ταῦτ' εἰδώς, οὐ
πλεονεξίας ἕνεκεν οὐδ' ὧν ἐγὼ κατηγορῶ τότε ταῦτ'
ἔπραξεν, ἀλλὰ τῷ [u]δικαιότερ' [x]ἀξιοῦν τοὺς Θηβαίους ἢ
ὑμᾶς. ἀλλὰ τοῦτον καὶ μόνον [y]πάντων τῶν λόγων οὐκ
ἔνεστ' αὐτῷ νῦν εἰπεῖν· ὁ γὰρ Μεσσήνην [z]Λακεδαιμονίους
ἀφιέναι κελεύων, πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε
Θηβαίοις παραδοὺς [a]τῷ δίκαια νομίζειν ταῦτ' εἶναι πε-
ποιηκέναι σκήψαιτο;
16 Ἀλλ' ἐβιάσθη νὴ Δία (τοῦτο γάρ ἐσθ' ὑπόλοιπον) καὶ
παρὰ γνώμην, τῶν Θετταλῶν ἱππέων καὶ τῶν Θηβαίων
ὁπλιτῶν ἐν μέσῳ ληφθείς, συνεχώρησε ταῦτα. καλῶς.
οὐκοῦν φασὶ μὲν μέλλειν πρὸς [b]τοὺς Θηβαίους αὐτὸν
ὑπόπτως ἔχειν, καὶ λογοποιοῦσι [c]περιιόντες τινὲς ὡς
17 Ἐλάτειαν τειχιεῖ· ὁ δὲ ταῦτα μὲν μέλλει καὶ μελλήσει

[r] προσθεῖτο S. πρόσθειτο O. u. v. vulg. πρόσθοιτο.

[s] οὔσας S. ceteri ἐνούσας.

[t] μὲν om. S. Y.

[u] δικαιότερ'] δικαιοτέρους O. u. v.

[x] ἀξιοῦν post ὑμᾶς ponit S.

[y] πάντων τῶν λόγων] τῶν λόγων πάντων F. O. u. v.

[z] Λακεδαιμονίους] λακεδαιμονίους (superscr. οις) u.

[a] τῷ] τω (superscr. ὃ) u.

[b] τοὺς om. Y. O. u.

[c] περιιόντες τινὲς] τινὲς περιιόντες O. u. v. τινες περιόντες F.

[d] γε, ὡς ἐγὼ κρίνω, τοῖς Μεσσηνίοις δὲ καὶ τοῖς Ἀργείοις ἐπὶ τοὺς Λακεδαιμονίους [e] συμβάλλειν οὐ μέλλει, ἀλλὰ [f] καὶ ξένους εἰσπέμπει καὶ χρήματ' ἀποστέλλει καὶ δύναμιν μεγάλην ἔχων αὐτός ἐστι προσδόκιμος. τοὺς [g] μὲν ὄντας ἐχθροὺς Θηβαίων Λακεδαιμονίους ἀναιρεῖ, οὓς δ'
18 ἀπώλεσεν αὐτὸς πρότερον Φωκέας νῦν σώζει; καὶ τίς ἂν ταῦτα πιστεύσειεν; ἐγὼ [h] μὲν γὰρ [i] οὐκ ἂν [k] ἡγοῦμαι Φίλιππον, οὔτ' εἰ τὰ πρῶτα βιασθεὶς ἄκων ἔπραξεν οὔτ' [l] ἂν εἰ νῦν ἀπεγίγνωσκε Θηβαίους, τοῖς ἐκείνων ἐχθροῖς συνεχῶς ἐναντιοῦσθαι, ἀλλ' ἀφ' ὧν νῦν ποιεῖ, κἀκεῖνα ἐκ προαιρέσεως δῆλός ἐστι ποιήσας. ἐκ πάντων δ', ἄν τις ὀρθῶς [m] θεωρῇ, [n] πάντα πραγματεύεται κατὰ τῆς πόλεως
19 συντάττων. καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τιν' αὐτῷ νῦν γε δὴ συμβαίνει. λογίζεσθε γάρ. ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτο αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν [o] ὑμετέροις [p] ἔχει, τούτοις πάντα τἆλλα ἀσφαλῶς κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτίδαιαν
20 [q] προεῖτο, οὐδ' ἂν οἴκοι μένειν βεβαίως ἡγεῖτο. ἀμφότερα οὖν οἶδε, καὶ ἑαυτὸν ὑμῖν ἐπιβουλεύοντα καὶ ὑμᾶς αἰσθανομένους· εὖ φρονεῖν [r] δ' ὑμᾶς ὑπολαμβάνων, δικαίως [ἂν] αὐτὸν μισεῖν [s] νομίζει καὶ παρώξυνται, πείσεσθαί [t] τι προσδοκῶν, [u] ἂν καιρὸν λάβητε, ἐὰν μὴ [x] φθάσῃ ποι-

[d] γε om. S.
[e] συμβάλλειν S. Y. vulg. συνεισβάλλειν.
[f] καὶ post ἀλλὰ om. O. u. v.
[g] μὲν] μὲν οὖν F. Y.
[h] μὲν om. O.
[i] οὐκ] οὐδ' S. Y. O. u. v. et γρ. F.
[k] ἡγοῦμαι post γὰρ ponit F.
[l] ἂν] ἃ O.
[m] θεωρῇ] θεωρεῖ S. θεωροῖ correctus Y. θεωροίη reliqui.
[n] πάντα] ὅτι πάντα F. Y. et rec. O.
[o] ὑμετέροις] ἡμετέροις F. O. u. v.
[p] ἔχει] ἔχει χρήσασθαι F. ἔχει χρῆσθαι Y. O. u. v.
[q] προεῖτο omnes: vulg. πρόειτο.
[r] δ' ὑμᾶς] δ' ἡμᾶς Y.
[s] νομίζει] νομίζει (οι superscr.) F. νομίζοι S. Y. O. u. v.
[t] τι] τι κακὸν F. Y. O. u. v.
[u] ἂν] ἐὰν F. u. v.
[x] φθάσῃ ποιήσας πρότερος] πρό-

ήσας πρότερος. διὰ ταῦτ' ἐγρήγορεν, ἐφέστηκεν, ἐπὶ τῇ
πόλει θεραπεύει τινὰς [y] Θηβαίων καὶ [z] Πελοποννησίων
21 τοὺς ταὐτὰ [a] βουλομένους [b] τούτοις, οὓς διὰ μὲν πλεο-
νεξίαν τὰ παρόντα ἀγαπήσειν οἴεται, διὰ δὲ σκαιότητα
τρόπων τῶν μετὰ ταῦτ' οὐδὲν προόψεσθαι. καίτοι σωφρο-
νοῦσί γε καὶ μετρίως ἐναργῆ παραδείγματ' ἔστιν ἰδεῖν, ἃ
καὶ πρὸς Μεσσηνίους καὶ [c] πρὸς Ἀργείους ἔμοιγ' εἰπεῖν
συνέβη, βέλτιον δ' ἴσως καὶ πρὸς ὑμᾶς [d] ἐστὶν εἰρῆσθαι.
22 Πῶς γὰρ οἴεσθ', ἔφην, ὦ ἄνδρες Μεσσήνιοι, δυσχερῶς
ἀκούειν Ὀλυνθίους, εἴ τίς [e] τι λέγοι κατὰ Φιλίππου κατ'
ἐκείνους τοὺς χρόνους, ὅτ' Ἀνθεμοῦντα μὲν αὐτοῖς [f] ἠφίει,
[g] ἧς πάντες οἱ πρότερον [h] Μακεδονίας βασιλεῖς ἀντεποι-
οῦντο, Ποτίδαιαν δ' ἐδίδου τοὺς Ἀθηναίων [i] ἀποίκους [k] ἐκ- 71
βαλών, καὶ τὴν μὲν ἔχθραν τὴν πρὸς [l] ἡμᾶς αὐτὸς ἀνῄ-
ρητο, τὴν χώραν δ' ἐκείνοις [m] ἐδεδώκει καρποῦσθαι; ἆρα
προσδοκᾶν αὐτοὺς τοιαῦτα πείσεσθαι, ἢ λέγοντος ἄν τινος
23 πιστεῦσαι [n] οἴεσθε; ἀλλ' ὅμως, ἔφην ἐγώ, μικρὸν χρόνον
τὴν ἀλλοτρίαν καρπωσάμενοι πολὺν τῆς ἑαυτῶν ὑπ' ἐκεί-
νου στέρονται, αἰσχρῶς ἐκπεσόντες, οὐ κρατηθέντες μόνον,
ἀλλὰ καὶ προδοθέντες ὑπ' ἀλλήλων καὶ πραθέντες· οὐ
γὰρ ἀσφαλεῖς ταῖς πολιτείαις αἱ πρὸς τοὺς τυράννους [o] αὖ-

τερος φθάσῃ ποιήσας F. u. v. et qui πρότερον habet, O.

[y] Θηβαίων] θηβαίους S.

[z] Πελοποννησίων] πελοποννησίους O.

[a] βουλομένους] βουλευομένους Y.

[b] τούτοις] τούτοις (ωι superscr.) F. τούτῳ Y. O. u. v.

[c] πρὸς ante Ἀργείους om. F.

[d] ἐστι ante καὶ ponunt F. O. u. v.

[e] τι om. Y. O. u. v. in γρ. habet F.

[f] ἠφίει] ἀφίει S. ἀφίει (ἠ superscr.) F.

[g] ἧς] οὗ (ἧς superscr.) F. οὗ O. u. v.

[h] Μακεδονίας] μακεδονίων O.

[i] ἀποίκους] ἐποίκους (α superscr.) F. ἐποίκους O. u. v.

[k] ἐκβαλών] ἐκβάλλων S. et γρ. F.

[l] ἡμᾶς] ὑμᾶς (η superscr.) F. ὑμᾶς O. u. v.

[m] ἐδεδώκει] δεδώκει pr. O.

[n] οἴεσθε] οἴεσθέ γε F. οὐκ οἴεσθέ γε Y. O. u. v.

[o] αὗται om. F. O. u. v.

24 ται λίαν ὁμιλίαι. τί δ' οἱ Θετταλοί; ἆρ' οἴεσθ', ἔφην,
ὅτ' [p] αὐτοῖς τοὺς τυράννους ἐξέβαλλε καὶ πάλιν Νίκαιαν
καὶ Μαγνησίαν ἐδίδου, προσδοκᾶν τὴν καθεστῶσαν νῦν
δεκαδαρχίαν ἔσεσθαι παρ' αὐτοῖς; ἢ τὸν τὴν πυλαίαν
ἀποδόντα [q] τοῦτον τὰς ἰδίας αὐτῶν προσόδους παραιρή-
σεσθαι; οὐκ ἔστι ταῦτα. ἀλλὰ μὴν γέγονε ταῦτα καὶ
25 πᾶσιν ἔστιν εἰδέναι. ὑμεῖς δ', ἔφην ἐγώ, διδόντα μὲν καὶ
ὑπισχνούμενον θεωρεῖτε [r] Φίλιππον, ἐξηπατηκότα δ' ἤδη
καὶ [s] παρακεκρουμένον [t] ἀπεύχεσθε, [u] ἂν σωφρονῆτ', ἰδεῖν.
ἔστι τοίνυν νὴ Δί', ἔφην ἐγώ, παντοδαπὰ εὑρημένα ταῖς
πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα
26 καὶ τείχη καὶ τάφροι [x] καὶ τἆλλα ὅσα τοιαῦτα. καὶ
ταῦτα μέν [y] ἐστιν ἅπαντα χειροποίητα, καὶ [z] δαπάνης
προσδεῖται· ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων [a] ἐν
ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μέν ἐστιν ἀγαθὸν
καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράν-
νους. τί [b] οὖν ἐστὶ τοῦτο; ἀπιστία. ταύτην φυλάττετε,
ταύτης ἀντέχεσθε· ἐὰν ταύτην σώζητε, οὐδὲν [c] μὴ δεινὸν
27 πάθητε. [d] τί ζητεῖτε; ἔφην. ἐλευθερίαν. εἶτ' οὐχ ὁρᾶτε
Φίλιππον ἀλλοτριωτάτας ταύτῃ καὶ τὰς προσηγορίας 72
ἔχοντα; βασιλεὺς γὰρ [e] καὶ τύραννος ἅπας ἐχθρὸς ἐλευ-
θερίᾳ καὶ νόμοις ἐναντίος. οὐ φυλάξεσθ', [f] ἔφην, ὅπως μὴ
πολέμου ζητοῦντες ἀπαλλαγῆναι δεσπότην εὕρητε;

[p] αὐτοῖς S. Y. ceteri αὐτῶν.
[q] τοῦτον] τούτων pr. F.
[r] Φίλιππον] τὸν φίλιππον Y.
[s] παρακεκρουμένον S. vulg. παρακεκρουσμένον.
[t] ἀπεύχεσθε] ἀπεύχεσθε F. ἀπεύξασθε Y.
[u] ἂν σωφρονῆτ'] εἰ σωφρονεῖτε δὴ S.
[x] καὶ τἆλλα] τὰ δ' ἄλλα Y.
[y] ἐστιν ἅπαντα] εἰσὶ O.
[z] δαπάνης] δαπάνης πολλῆς F. Y. O. u. v.
[a] ἐν om. S.
[b] οὖν om. pr. O.
[c] μὴ δεινὸν S. ceteri δεινὸν μή.
[d] τί] τί οὖν F. O. u. v.
[e] καὶ τύραννος ἅπας] ἅπας καὶ τύραννος Y.
[f] ἔφην, ὅπως] ὅπως ἔφην F. S. O. u. v.

28 Ταῦτ' ἀκούσαντες ἐκεῖνοι, καὶ θορυβοῦντες ὡς ὀρθῶς
λέγεται, καὶ πολλοὺς ἑτέρους λόγους [g] παρὰ τῶν πρέσ-
βεων καὶ παρόντος ἐμοῦ καὶ πάλιν [h] ὕστερον, ὡς ἔοικεν,
οὐδὲν μᾶλλον ἀποσχήσονται τῆς Φιλίππου φιλίας οὐδ'
29 ὧν ἐπαγγέλλεται. καὶ οὐ τοῦτό ἐστιν ἄτοπον, εἰ Μεσ-
σήνιοι καὶ Πελοποννησίων τινὲς παρ' ἃ τῷ λογισμῷ βέλ-
τισθ' ὁρῶσί [i] τι πράξουσιν, ἀλλ' [k] εἰ [l] ὑμεῖς οἱ καὶ συνι-
έντες [m] αὐτοὶ καὶ τῶν λεγόντων ἀκούοντες ἡμῶν ὡς ἐπι-
βουλεύεσθε, ὡς [n] περιστοιχίζεσθε, [o] ἐκ τοῦ μηδὲν ἤδη
[p] ποιεῖν [q] λήσεθ', ὡς ἐμοὶ δοκεῖ, πάντα [r] ταῦθ' ὑπομείναν-
τες· οὕτως ἡ παραυτίχ' ἡδονὴ καὶ ῥᾳστώνη μεῖζον ἰσχύει
τοῦ ποθ' ὕστερον συνοίσειν μέλλοντος.
30 Περὶ [s] μὲν δὴ τῶν ὑμῖν πρακτέων καθ' ὑμᾶς αὐτοὺς
ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε· ἃ δὲ νῦν ἀποκρινά-
μενοι τὰ δέοντ' ἂν εἴητ' ἐψηφισμένοι, ταῦτ' [t] ἤδη λέξω.
ἦν μὲν [u] οὖν δίκαιον ὦ ἄνδρες Ἀθηναῖοι τοὺς ἐνεγκόντας
[x] τὰς ὑποσχέσεις, ἐφ' αἷς ἐπείσθητε [y] ποιήσασθαι τὴν εἰ-
31 ρήνην, καλεῖν· οὔτε γὰρ αὐτὸς ἄν ποτε ὑπέμεινα πρεσ-
βεύειν, οὔτ' ἂν ὑμεῖς [z] οἶδ' ὅτι ἐπαύσασθε πολεμοῦντες, εἰ
τοιαῦτα πράξειν τυχόντα εἰρήνης Φίλιππον ᾤεσθε· ἀλλ'
ἦν πολὺ τούτων ἀφεστηκότα τὰ τότε λεγόμενα. καὶ πά-
λιν γ' ἑτέρους καλεῖν. τίνας; τοὺς ὅτ' ἐγὼ γεγονυίας
ἤδη τῆς εἰρήνης ἀπὸ τῆς ὑστέρας ἥκων πρεσβείας τῆς ἐπὶ

[g] παρὰ] καὶ παρὰ Y.
[h] ὕστερον] ὕστερον ἀκούσαντες S. Y.
[i] τι in margine Y.
[k] εἰ post ἀλλ' om. mei omnes.
[l] ὑμεῖς] ὑμεῖς αὐτοὶ F. S. v.
[m] αὐτοὶ om. F.
[n] περιστοιχίζεσθε] περιτειχίζεσθε F. S. O. u. v.
[o] ἐκ τοῦ] ὥστε S. ὡς ἐκ τοῦ F. O. u. v.
[p] ποιεῖν in litura S. ποιῆσαι F. O. v.
[q] λήσεθ'] λήσεσθ' F. S.
[r] ταῦθ' om. S.
[s] μὲν δὴ] δὲ pr. Y.
[t] ἤδη] δὴ S.
[u] οὖν om. O.
[x] τὰς om. S.
[y] ποιήσασθαι] ποιῆσαι F.
[z] οἶδ'] εὖ οἶδ' F. O. u. v.

τοὺς ὅρκους, αἰσθόμενος φενακιζομένην τὴν πόλιν, προὔ- 73
λεγον καὶ διεμαρτυρόμην καὶ οὐκ εἴων προέσθαι Πύλας
32 οὐδὲ Φωκέας, λέγοντας ὡς ἐγὼ μὲν ὕδωρ πίνων εἰκότως
[a] δύσκολος καὶ δύστροπός εἰμί τις ἄνθρωπος, Φίλιππος
δ', [b] ἅπερ εὔξαισθ' ἂν ὑμεῖς, ἐὰν παρέλθῃ, πράξει, καὶ
Θεσπιὰς μὲν καὶ Πλαταιὰς τειχιεῖ, Θηβαίους δὲ παύ-
σει τῆς ὕβρεως, [c] Χεῤῥόνησον δὲ τοῖς αὑτοῦ τέλεσι διορύξει,
Εὔβοιαν δὲ καὶ τὸν Ὠρωπὸν ἀντ' Ἀμφιπόλεως ὑμῖν
ἀποδώσει· ταῦτα γὰρ ἅπαντα ἐπὶ τοῦ βήματος [d] ἐν-
ταυθοῖ μνημονεύετ' οἶδ' ὅτι ῥηθέντα, καίπερ ὄντες οὐ δεινοὶ
33 τοὺς ἀδικοῦντας μεμνῆσθαι. καὶ τὸ πάντων αἴσχιστον,
καὶ τοῖς [e] ἐγγόνοις πρὸς τὰς ἐλπίδας τὴν [f] αὐτὴν εἰρήνην
εἶναι ταύτην [g] ἐψηφίσασθε· οὕτω τελέως ὑπήχθητε. τί δὴ
ταῦτα νῦν λέγω καὶ καλεῖν φημὶ δεῖν τούτους; ἐγὼ νὴ
τοὺς θεοὺς τἀληθῆ μετὰ παῤῥησίας ἐρῶ πρὸς ὑμᾶς καὶ
34 οὐκ ἀποκρύψομαι. οὐχ ἵν' εἰς λοιδορίαν ἐμπεσὼν ἐμαυτῷ
μὲν ἐξ ἴσου λόγον παρ' ὑμῖν ποιήσω, τοῖς δ' ἐμοὶ προσ-
κρούσασιν ἐξ ἀρχῆς [h] καινὴν παράσχω πρόφασιν τοῦ
[i] πάλιν τι λαβεῖν παρὰ Φιλίππου· οὐδ' ἵνα [k] τὴν ἄλλως
ἀδολεσχῶ. ἀλλ' οἶμαί ποθ' ὑμᾶς λυπήσειν, ἃ Φίλιππος
35 πράττει, μᾶλλον ἢ τὰ [l] νυνί· [m] τὸ γὰρ πρᾶγμα ὁρῶ
προβαῖνον, καὶ οὐχὶ βουλοίμην [n] μὲν ἂν [o] εἰκάζειν ὀρθῶς,

[a] δύσκολος καὶ δύστροπος] δύστροπος καὶ δύσκολος S.

[b] ἅπερ] ὅπερ S. O. u. v. ἅπερ F.

[c] Χεῤῥόνησον v. vulg. Χεῤῥόννησον.

[d] ἐνταυθοῖ] ἐνταῦθα S. Præstat ἐνταυθὶ et hoc loco et Aristocrat. 77. et Spud. 23.

[e] ἐγγόνοις] ἐκγόνοις S.Y. ἐγγόνοις F.

[f] αὐτὴν] αὐτοῦ O.

[g] ἐψηφίσασθε] προσεψηφίσασθε F. O. u. v.

[h] καινὴν παράσχω πρόφασιν] καὶ νῦν παρ. πρόφ. S. Y. παρ. πρόφ. καὶ νῦν F. παρ. πρόφ. κενὴν u. v. παρ. πρόφ. καινὴν O.

[i] πάλιν] πάλιν γέ O. u. v.

[k] τὴν] ὡς F. S.

[l] νυνί] νῦν F.

[m] τὸ—πρᾶγμα—προβαῖνον] τὰ—πράγματα—προβαίνοντα F. O. u. v.

[n] μὲν om. S. O.

[o] εἰκάζειν ὀρθῶς] ὀρθῶς εἰκάζειν Y.

[p] φοβοῦμαι δὲ μὴ λίαν ἐγγὺς ᾖ τοῦτ' ἤδη. ὅταν οὖν μηκέθ' ὑμῖν ἀμελεῖν ἐξουσία [q] γίγνηται τῶν συμβαινόντων, μηδ' ἀκούηθ' ὅτι ταῦτ' ἐφ' ὑμᾶς ἐστὶν ἐμοῦ μηδὲ τοῦ δεῖνος, ἀλλ' αὐτοὶ [r] πάντες ὁρᾶτε καὶ εὖ εἰδῆτε, ὀργίλους
36 καὶ τραχεῖς ὑμᾶς ἔσεσθαι νομίζω. φοβοῦμαι [s] δὴ μὴ τῶν [t] πρέσβεων σεσιωπηκότων, ἐφ' οἷς [u] αὐτοῖς συνίσασι 74
δεδωροδοκηκόσι, τοῖς ἐπανορθοῦν τι πειρωμένοις τῶν διὰ τούτους ἀπολωλότων τῇ παρ' ὑμῶν ὀργῇ περιπεσεῖν συμβῇ· ὁρῶ γὰρ ὡς τὰ πολλὰ ἐνίους οὐκ εἰς τοὺς [x] αἰτίους, ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα [y] μάλιστα τὴν ὀργὴν ἀφιέντας.
37 ἕως οὖν ἔτι μέλλει καὶ συνίσταται τὰ πράγματα καὶ κατακούομεν ἀλλήλων, ἕκαστον ὑμῶν, καίπερ ἀκριβῶς εἰδότα, ὅμως [z] ἐπαναμνῆσαι βούλομαι τίς ὁ Φωκέας [a] πείσας καὶ Πύλας ὑμᾶς προέσθαι, ὧν καταστὰς ἐκεῖνος κύριος τῆς ἐπὶ τὴν Ἀττικὴν ὁδοῦ καὶ τῆς εἰς Πελοπόννησον κύριος γέγονε, καὶ [b] πεποίηχ' ὑμῖν [c] μὴ περὶ τῶν δικαίων [d] μηδ' ὑπὲρ τῶν ἔξω πραγμάτων εἶναι τὴν βουλήν, ἀλλ' ὑπὲρ τῶν ἐν τῇ χώρᾳ καὶ τοῦ πρὸς τὴν Ἀττικὴν πολέμου, ὃς λυπήσει μὲν ἕκαστον, ἐπειδὰν παρῇ,
38 γέγονε [e] δ' ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. εἰ γὰρ μὴ παρεκρούσθητε τόθ' ὑμεῖς, [f] οὐδὲν ἂν ἦν τῇ πόλει πρᾶγμα· οὔτε γὰρ ναυσὶ δήπου κρατήσας εἰς τὴν Ἀττικὴν ἦλθεν ἄν ποτε στόλῳ Φίλιππος, οὔτε πεζῇ βαδίζων ὑπὲρ τὰς Πύλας

φοβοῦμαι
[p] φοβοῦμαι] βούλομαι F.
[q] γίγνηται] γένηται Y.
[r] πάντες] πάνθ' Y. O. u. v.
[s] δὴ] δὲ O. u. v.
[t] πρέσβεων] αἰτίων Y. et γρ. O.
[u] αὐτοῖς] αὐτοὶ Y.
[x] αἰτίους] πολλοὺς γρ. F.
[y] μάλιστα om. Y.
[z] ἐπαναμνῆσαι] ἐπαναμιμνήσκεσθαι S.
[a] πείσας καὶ πύλας ποιήσας S. πείσας ὑμᾶς καὶ πύλας Y. καὶ πύλας πεί σωσας ὑμᾶς F. καὶ πύλας πείσας ὑμᾶς O. u. v.
[b] πεποίηχ'] πεποίηκεν O. u. v.
[c] μὴ S. μήτε F. u. v. μηκέτι Y. O.
[d] μηδ'] μήθ' F. O. u.
[e] δ' ἐν] δὲ F.
[f] οὐδὲν] οὐδ' O.

καὶ Φωκέας, ἀλλ' ἢ τὰ δίκαι' ἂν ἐποίει καὶ τὴν εἰρήνην ἄγων ἡσυχίαν εἶχεν, ἢ παραχρῆμ' ἂν ἦν [g] ἐν ὁμοίῳ πο-
39 λέμῳ δι' ὃν [h] τότε τῆς εἰρήνης ἐπεθύμησεν. ταῦτ' οὖν, ὡς μὲν ὑπομνῆσαι, νῦν ἱκανῶς εἴρηται, ὡς δ' ἂν ἐξετασθείη μάλιστ' ἀκριβῶς, μὴ γένοιτο, ὦ πάντες θεοί· οὐδένα γὰρ βουλοίμην [i] ἂν ἔγωγε, οὐδ' εἰ δίκαιός ἐστ' ἀπολωλέναι, μετὰ τοῦ πάντων κινδύνου καὶ τῆς ζημίας δίκην ὑποσχεῖν.

# Ζ.

# ΠΕΡΙ [a] ΑΛΟΝΝΗΣΟΥ.

## ΥΠΟΘΕΣΙΣ.

Οὗτος ὁ λόγος ἐπιγράφεται μὲν περὶ Ἁλοννήσου, τάχα δὲ ὀρθότερον ἐπιγράφειν "πρὸς τὴν ἐπιστολὴν [b] τὴν Φιλίππου" 75 πέπομφε γὰρ πρὸς τοὺς Ἀθηναίους ἐπιστολὴν περὶ πολλῶν διαλεγόμενος, ὧν [c] ἕν ἐστι καὶ τὸ κατὰ τὴν Ἁλόννησον, ἥτις ἦν μὲν τῶν Ἀθηναίων ἀρχαῖον κτῆμα, κατὰ δὲ τοὺς Φιλίππου καιροὺς ὑπὸ λῃστῶν κατείχετο, οὓς ἐκβαλὼν ὁ Φίλιππος ἀπαιτοῦσι μὲν τοῖς Ἀθηναίοις τὴν νῆσον οὐκ ἀποδίδωσιν (ἑαυτοῦ γὰρ εἶναί φησιν), [d] αἰτοῦσι δὲ ὑπισχνεῖται δώσειν. ὁ δὲ λόγος οὐ δοκεῖ μοι Δημοσθένους εἶναι. δηλοῖ [e] δὲ ἡ φράσις καὶ ἡ τῆς συνθέσεως ἁρμονία, πολὺ τὸν Δημοσθενικὸν πεφευγυῖα τύπον, [f] ἀνειμένη τε καὶ διαλελυμένη παρὰ τὴν ἰδέαν τούτου τοῦ ῥήτορος. καὶ μὴν καὶ τὸ ἐπὶ τέλει ῥηθὲν οὐ μικρὸν μαρτύριον τοῦ νόθον εἶναι τὸν λόγον, "εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις καὶ "μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε." ὁ μὲν γὰρ Δημοσθένης εἴωθε παῤῥησίᾳ χρῆσθαι, τοῦτο δὲ ὕβρις ἐστὶ καὶ λοιδορία μέτρον οὐκ ἔχουσα. εὐτέλειά τε αὐτῷ δεινὴ πρόσεστι κατὰ τὴν ἑρμηνείαν. πρὸς δὲ τούτοις καὶ εὔηθές [g] τὸ νομίζειν ἐν τοῖς κροτάφοις ἔχειν τοὺς ἀνθρώπους τὸν ἐγκέφαλον.

[g] ἐν om. pr. S.
[h] τότε] πρότερον Y. et γρ. F. τότε πρότερον O. u. v.
[i] ἂν ἔγωγε] ἔγωγε ἂν S.
[a] ΑΛΟΝΝΗΣΟΥ] ἀλλονήσου S. ἀλοννήσου F.
[b] τὴν Φιλίππου] τοῦ φιλίππου O.
[c] ἓν om. pr. O.
[d] αἰτοῦσι] ἀποῦσι F.
[e] δὲ] δὲ καὶ u. v.
[f] ἀνειμένη — διαλελυμένη] ἀνειμένον—διαλελυμένον F.
[g] τὸ νομίζειν Y. vulg. τι νομίζεται τό.

ὑπώπτευσαν δὲ καὶ οἱ πρεσβύτεροι τὸν λόγον, ὡς οὐ τοῦ ῥήτορος. καὶ πεφωράκασί γέ τινες ὄντα Ἡγησίππου καὶ ἀπὸ τῆς ἰδέας τῶν λόγων (τοιαύτῃ γὰρ κέχρηται) καὶ ἀπὸ τῶν πραγμάτων· κατὰ [h] Καλλίππου γὰρ τοῦ Παιανιέως 76 φησὶν ὁ τὸν λόγον γεγραφὼς ἀπενηνοχέναι γραφὴν παρανόμων, φαίνεται δὲ οὐχ ὁ Δημοσθένης ἀλλ' ὁ Ἡγήσιππος τὴν κατὰ τοῦ Καλλίππου γραφὴν ἐνστησάμενος. νὴ Δία, ἀλλ' ὁ λόγος συμβουλεύει περὶ τῆς Ἁλοννήσου τοῖς Ἀθηναίοις μὴ λαμβάνειν αὐτὴν ἀλλ' ἀπολαμβάνειν, καὶ διαφέρεται περὶ τῶν ὀνομάτων, ταῦτα δὲ Αἰσχίνης φησὶ τὸν Δημοσθένην συμβεβουλευκέναι τοῖς Ἀθηναίοις. εἶτα τί τοῦτο; δύναται γὰρ τὴν αὐτὴν πεποιῆσθαι συμβουλὴν καὶ Δημοσθένης καὶ Ἡγήσιππος, ἐπεὶ καὶ τὰ ἄλλα τῆς αὐτῆς ἦσαν ἐν τῇ πολιτείᾳ προαιρέσεως καὶ τοῖς φιλιππίζουσι τῶν ῥητόρων ἀντέλεγον. καὶ μέμνηται καὶ ὁ Δημοσθένης τοῦ Ἡγησίππου ὡς καὶ πρεσβεύσαντος μεθ' ἑαυτοῦ καὶ ἀντιταχθέντος τῷ Μακεδόνι. δῆλον οὖν ὅτι ὁ μὲν τοῦ Δημοσθένους λόγος ὁ περὶ τῆς Ἁλοννήσου ῥηθεὶς οὐ σώζεται, ἐκείνου δὲ οὐκ ὄντος τὸν εὑρεθέντα προσέθεσαν αὐτῷ, ἀφορμὴν ἔχοντες τὸ περὶ Ἁλοννήσου λόγον εἰρῆσθαι τῷ ῥήτορι, οὐκέτι δὲ ἐξετάζοντες εἰ τοῦτον εἰκὸς εἶναι τὸν ἐκείνου.

[i] ΑΝΔΡΕΣ Ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἱ αἰτίαι, ἃς Φίλιππος αἰτιᾶται, τοὺς ὑπὲρ τῶν δικαίων πρὸς ὑμᾶς λέγοντας [k] κωλύσουσι συμβούλους ἡμᾶς γίγνεσθαι ὑπὲρ τῶν ὑμῖν συμφερόντων· δεινὸν γὰρ ἂν εἴη, εἰ τὴν ἐπὶ τοῦ 77 βήματος παῤῥησίαν αἱ παρ' ἐκείνου πεμπόμεναι ἐπιστολαὶ ἀνέλοιεν. ἐγὼ δ' ὑμῖν ὦ ἄνδρες Ἀθηναῖοι βούλομαι πρῶτον μὲν περὶ ὧν Φίλιππος [l] ἐπέσταλκε, περὶ τούτων διεξελθεῖν· ὕστερον δέ, περὶ ὧν οἱ πρέσβεις λέγουσι, καὶ ἡμεῖς λέξομεν.

2 Φίλιππος γὰρ ἄρχεται μὲν περὶ Ἁλοννήσου [m] λέγων, ὡς [n] ὑμῖν δίδωσιν ἑαυτοῦ οὖσαν· ὑμᾶς δὲ οὔ φησι δικαίως αὐτὸν ἀπαιτεῖν· οὐ γὰρ ὑμετέραν οὖσαν οὔτε λαβεῖν οὔτε νῦν ἔχειν. ἔλεγε δὲ καὶ πρὸς ἡμᾶς τοιούτους λόγους, ὅτε πρὸς αὐτὸν ἐπρεσβεύσαμεν, ὡς λῃστὰς ἀφελόμενος ταύτην τὴν νῆσον κτήσαιτο, καὶ προσήκειν αὐτὴν

[h] Καλλίππου — Καλλίππου] καλίππου—καλίππου Y.
[i] ΑΝΔΡΕΣ] ὦ ἄνδρες S.
[k] κωλύσουσι] κωλύουσι Y.
[l] ἐπέσταλκε] ἀπέσταλκε F.
[m] λέγων] λέγειν Y.
[n] ὑμῖν] ἡμῖν O.

3 ἑαυτοῦ εἶναι. τοῦτον δὲ τὸν λόγον, ὡς οὐκ ἔστι δίκαιος, οὐ χαλεπόν ἐστιν αὐτοῦ ἀφελέσθαι. ἅπαντες γὰρ οἱ λῃσταὶ τοὺς ἀλλοτρίους τόπους καταλαμβάνοντες καὶ τούτους [o] ὀχυροὺς ποιούμενοι ἐντεῦθεν τοὺς ἄλλους κακῶς ποιοῦσιν. ὁ δὴ τοὺς λῃστὰς τιμωρησάμενος καὶ κρατήσας οὐκ ἂν δήπου εἰκότα λέγοι, εἰ φαίη, ἃ ἐκεῖνοι ἀδί-
4 κως καὶ ἀλλότρια εἶχον, ταῦθ' ἑαυτοῦ γίγνεσθαι. εἰ γὰρ ταῦτα συγχωρήσετε, τί κωλύει, καὶ εἴ τινα τῆς Ἀττικῆς λῃσταὶ τόπον καταλάβοιεν ἢ Λήμνου ἢ Ἴμβρου ἢ Σκύρου, καί τινες τούτους [p] τοὺς λῃστὰς ἐκκόψαιεν, εὐθὺς καὶ τὸν τόπον τοῦτον, οὗ ἦσαν οἱ λῃσταί, τὸν ὄντα ἡμέτερον,
5 τῶν τιμωρησαμένων τοὺς λῃστὰς γίγνεσθαι; Φίλιππος δ' οὐκ ἀγνοεῖ ταῦτ' οὐ δίκαια λέγων, [q] ἀλλ' εἰ καί τις ἄλλος, ἐπιστάμενος παρακρουσθῆναι ἂν ὑμᾶς οἴεται ὑπὸ τῶν [r] τἀνταῦθα διοικήσειν [μελλόντων,] ὡς ἂν αὐτὸς ἐκεῖνος βούληται, καὶ πρὶν ὑπεσχημένων, [s] καὶ νῦν δὲ πραττόντων. ἀλλὰ μὴν οὐδ' ἐκεῖνό γε λανθάνει αὐτόν, ὅτι [t] δι' 78
ἀμφοτέρων τῶν ὀνομάτων ὁποτέρῳ ἂν χρῆσθε ὑμεῖς, ἕξετε
6 τὴν νῆσον, ἄν τε λάβητε ἄν τ' ἀπολάβητε. τί οὖν αὐτῷ διαφέρει μὴ τῷ δικαίῳ ὀνόματι χρησάμενον ἀποδοῦναι ὑμῖν, ἀλλὰ δωρεὰν δεδωκέναι, τῷ ἀδίκῳ; οὐχ ἵν' εὐεργέτημά τι καταλογίσηται πρὸς ὑμᾶς (γελοῖον γὰρ ἂν εἴη τοῦτό [u] γε τὸ εὐεργέτημα), ἀλλ' ἵν' ἐνδείξηται [x] ἅπασι τοῖς Ἕλλησιν, ὅτι Ἀθηναῖοι τὰ ἐν τῇ θαλάττῃ χωρία ἀγαπῶσι παρὰ τοῦ Μακεδόνος λαμβάνοντες. τοῦτο δ' ὑμῖν οὐ ποιητέον ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι.

[o] ὀχυροὺς] ὀχυροὺς F. ἐχυροὺς S.
τοὺς
[p] τοὺς λῃστὰς] προσληιστας F.
[q] ἀλλ' εἰ—πραττόντων om. S.
[r] τἀνταῦθα] ἐνταῦθα F. O.
[s] καὶ ante νῦν om. Y.
[t] δι' om. u.
[u] γε om. S.
[x] ἅπασι] πᾶσι F. u. v.

7 Ὅταν δὲ λέγῃ περὶ τούτων ὡς ἐθέλει [y] διαδικάσασθαι,
οὐδὲν ἄλλο ἢ χλευάζει ὑμᾶς, πρῶτον μὲν ἀξιῶν Ἀθηναί-
ους ὄντας πρὸς τὸν ἐκ Πέλλης ὁρμώμενον περὶ τῶν νήσων
[z] διαδικάζεσθαι, [a] πότερον ὑμέτεραι ἢ ἐκείνου εἰσίν· ὁπότε
γὰρ ἡ μὲν δύναμις ἡ [b] ὑμετέρα, ἡ ἐλευθερώσασα τοὺς Ἕλ-
ληνας, μὴ [c] δύναται ὑμῖν [d] τὰ ἐν τῇ θαλάττῃ χωρία [e] σώ-
ζειν, οἱ δὲ δικασταί, οἷς ἂν ἐπιτρέψητε, οἱ κύριοι τῆς
ψήφου, οὗτοι ὑμῖν [f] σώσουσιν, ἐὰν μὴ Φίλιππος αὐτοὺς
8 πρίηται, πῶς [g] ὑμεῖς οὐχ ὁμολογουμένως, ὅταν ταῦτα
διαπράττησθε, τῶν ἐν τῇ ἠπείρῳ [h] ἁπάντων ἀφεστήκατε,
καὶ [i] ἐπιδείκνυτε [k] ἅπασιν ἀνθρώποις ὅτι οὐδὲ περὶ ἑνὸς
[l] ἂν [m] αὐτῷ [n] διαγωνίσαισθε, [o] εἴγε [p] περὶ τῶν ἐν τῇ θα-
λάττῃ, οὗ φατὲ ἰσχύειν, μὴ διαγωνιεῖσθε ἀλλὰ [q] διαδι-
κάσεσθε;

9 Ἔτι περὶ συμβόλων φησὶ πεπομφέναι πρὸς ὑμᾶς τοὺς
ποιησομένους, ταῦτα δὲ κύρια ἔσεσθαι οὐκ ἐπειδὰν ἐν τῷ
δικαστηρίῳ τῷ παρ' ὑμῖν κυρωθῇ, [r] ὥσπερ ὁ νόμος κελεύει,
ἀλλ' ἐπειδὰν ὡς ἑαυτὸν [s] ἐπανενεχθῇ, ἐφέσιμον τὴν παρ'
ὑμῶν γενομένην γνῶσιν ὡς ἑαυτὸν ποιούμενος· βούλεται 79
γὰρ ὑμῶν τοῦτο [t] προλαβεῖν, καὶ ὁμολογούμενον ἐν τοῖς

[y] διαδικάσασθαι S. Y. διαδικάζε- [σα] σθαι F. διαδικάζεσθαι ceteri.
[z] διαδικάζεσθαι] δικάζεσθαι Y.
[a] πότερον] πότερα Y.
[b] ὑμετέρα] ἡμετέρα F.
[c] δύναται] δύνηται [α] F. δύνηται S.
[d] τὰ ἐν τῇ θαλάττῃ χωρία] τὰ χωρία τὰ ἐν τῇ θαλάττῃ F. O. u. v.
[e] σώζειν] διασώζειν F. Y. O. u. v.
[f] σώσουσιν S. σώζουσιν Y. u. v. σώζουσιν [ω] F. σώζωσιν O.
[g] ὑμεῖς οὐχ ὁμολογουμένως] ἡμεῖς οὐχ ὁμολογοῦμεν ὡς S.
[h] ἁπάντων] πάντων Y.
[i] ἐπιδείκνυτε] ἐπιδείκνυται F. S. v.
[k] ἅπασιν] πᾶσιν Y.
[l] ἂν om. S.
[m] αὐτῷ] αὐτῶν S. om. pr. Y.
[n] διαγωνίσαισθε Y. διαγωνίζησθε [εῖσθε] O. u. v. διαγωνίζεσθε F. διαγωνιεῖσθε S.
[o] εἴγε] εἰ F. O. u. v.
[p] περὶ] ὑπὲρ F. O. u. v.
[q] διαδικάσεσθε] δικάσεσθε S. διαδικάζεσθε [σ] F. διαδικάζεσθε O. u. v.
[r] ὥσπερ S. Y. vulg. ὡς.
[s] ἐπανενεχθῇ] ἐπαναχθῇ Y.
[t] προλαβεῖν] προσλαβεῖν Y.

συμβόλοις καταστῆσαι, ὅτι τῶν περὶ Ποτίδαιαν γεγενημένων ἀδικημάτων οὐδὲν ἐγκαλεῖτε αὐτῷ ὡς ἀδικούμενοι, ἀλλὰ βεβαιοῦτε δικαίως αὐτὴν ἐκεῖνον καὶ λαβεῖν καὶ
10 κεκτῆσθαι. καίτοι Ἀθηναίων οἱ ἐν Ποτιδαίᾳ κατοικοῦντες, οὐκ ὄντος αὐτοῖς πολέμου πρὸς Φίλιππον ἀλλὰ συμμαχίας, καὶ ὅρκων [u] ὀμωμοσμένων, οὓς Φίλιππος τοῖς οἰκοῦσιν ἐν Ποτιδαίᾳ ὤμοσεν, ἀφῃρέθησαν ὑπ' αὐτοῦ τὰ κτήματα. ταῦτα [x] δὴ βούλεται τἀδικήματα [y] πανταχῶς παρ' ὑμῖν βεβαιώσασθαι, ὅτι οὔτ' ἐγκαλεῖτε [z] αὐτῷ οὔθ'
11 ἡγεῖσθε ἀδικεῖσθαι, ἐπεὶ ὅτι γε συμβόλων οὐδὲν δέονται Μακεδόνες πρὸς Ἀθηναίους, ὁ παρεληλυθὼς [a] ὑμῖν χρόνος τεκμήριον γενέσθω· οὔτε γὰρ Ἀμύντας [b] ὁ πατὴρ [c] ὁ Φιλίππου οὔθ' οἱ ἄλλοι [d] Μακεδονίας βασιλεῖς οὐδεπώποτε σύμβολα ἐποιήσαντο πρὸς τὴν πόλιν τὴν ἡμετέραν.
12 [e] καίτοι πλείους γε ἦσαν αἱ ἐπιμιξίαι τότε πρὸς ἀλλήλους ἢ νῦν εἰσίν· ἐφ' ἡμῖν γὰρ ἦν [f] ἡ Μακεδονία καὶ φόρους [g] ἡμῖν [h] ἔφερε, καὶ τοῖς [i] ἐμπορίοις τότε μᾶλλον ἢ νῦν [k] ἡμεῖς τοῖς ἐκεῖ κἀκεῖνοι τοῖς παρ' ἡμῖν ἐχρῶντο, καὶ ἐμπορικαὶ δίκαι οὐκ ἦσαν, ὥσπερ νῦν, ἀκριβεῖς, αἱ κατὰ μῆνα, ποιοῦσαι μηδὲν δεῖσθαι συμβόλων τοὺς τοσοῦτον
13 ἀλλήλων ἀπέχοντας. ἀλλ' ὅμως οὐδενὸς [l] τοιούτου ὄντος τότε οὐκ ἐλυσιτέλει σύμβολα ποιησαμένους οὔτ' ἐκ Μακεδονίας πλεῖν Ἀθήναζε δίκας ληψομένους, οὔθ' ἡμῖν εἰς

[u] ὀμωμοσμένων] ὀμωσμένων (ω superscr.) O.
[x] δὴ] δὲ O.
[y] πανταχῶς] πολλάκις πανταχόσε S. πανταχόσε Y. O. u. v.
[z] αὐτῷ om. S. in γρ. habet F.
[a] ὑμῖν] ἡμῖν (υ superscr.) F.
[b] ὁ ante πατὴρ om. O. u. v. delet Y.
[c] ὁ post πατὴρ om. pr. F.
[d] Μακεδονίας] μακεδόνες O. om. S. Y.
[e] καίτοι] καίτοιγε S.
[f] ἡ om. O.
[g] ἡμῖν] ὑμῖν (ἡ superscr.) F.
[h] ἔφερε] ἔφερον S.
[i] ἐμπορίοις] ἐμπόροις pr. O.
[k] ἡμεῖς] ἡμεῖς τε Y. O. u. v.
[l] τοιούτου ὄντος] ὄντος τοιούτου Y.

Μακεδονίαν, ἀλλ' ἡμεῖς τε τοῖς [m] ἐκεῖ [n] νομίμοις ἐκεῖνοί τε τοῖς παρ' ἡμῖν τὰς δίκας ἐλάμβανον. μὴ οὖν ἀγνοεῖτε [o] ὅτι τὰ σύμβολα ταῦτα γίγνεται εἰς ὑποδοχὴν τοῦ 80
[p] μηδ' ἀμφισβητῆσαι [q] ὑμᾶς εὐλόγως ἔτι [r] Ποτιδαίας.

14 Περὶ δὲ τῶν λῃστῶν δίκαιόν φησιν εἶναι κοινῇ φυλάττειν τοὺς ἐν τῇ θαλάττῃ κακουργοῦντας ὑμᾶς τε καὶ αὐτόν, οὐδὲν ἄλλο ἢ τοῦτ' ἀξιῶν, ὑφ' [s] ἡμῶν εἰς τὴν θάλατταν κατασταθῆναι, καὶ ὁμολογῆσαι ὑμᾶς ὡς ἄνευ Φιλίππου οὐδὲ τὴν ἐν τῇ θαλάττῃ φυλακὴν δυνατοί ἐστε
15 φυλάττειν, ἔτι δὲ [t] καὶ δοθῆναι αὐτῷ ταύτην τὴν ἄδειαν, περιπλέοντι καὶ ὁρμιζομένῳ εἰς τὰς νήσους ἐπὶ προφάσει τῇ τῶν λῃστῶν φυλακῇ [u] διαφθείρειν τοὺς νησιώτας καὶ ἀφιστάναι [x] ὑμῶν, καὶ μὴ μόνον τοὺς φυγάδας [y] τοὺς παρ' ἑαυτοῦ εἰς Θάσον [z] κεκομικέναι διὰ τῶν ὑμετέρων στρατηγῶν, ἀλλὰ καὶ τὰς ἄλλας νήσους οἰκειώσασθαι, συμπέμπων τοὺς [a] συμπλευσομένους μετὰ [b] τῶν στρατηγῶν τῶν ὑμετέρων ὡς κοινωνήσοντας τῆς κατὰ θάλατταν
16 φυλακῆς. καίτοι οὔ φασί τινες αὐτὸν προσδεῖσθαι τῆς θαλάττης. ὁ δ' οὐδὲν δεόμενος τριήρεις κατασκευάζεται, καὶ νεωσοίκους οἰκοδομεῖται, καὶ ἀποστόλους ἀποστέλλειν βούλεται καὶ δαπάνας οὐ μικρὰς δαπανᾷν εἰς τοὺς κατὰ θάλατταν κινδύνους, ὧν οὐδὲν προτιμᾷ.

[m] ἐκεῖ] ἐκεῖ γε F.
[n] νομίμοις] νόμοις Y.
[o] ὅτι om. pr. O.
[p] μηδ'] μὴ Y.
[q] ὑμᾶς εὐλόγως] εὐλόγως ὑμᾶς S. et pr. F.
[r] Ποτιδαίας] περὶ ποτιδαίας Y. O. u. v.
[s] ἡμῶν] ὑμῶν Y.
[t] καὶ post δοθῆναι ponit Y. om. u.
[u] διαφθείρειν] ἢ λόγῳ ἢ χρήμασι διαφθείρειν Y. λόγοις ἢ χρήμασι διαφθείρειν rec. O.
[x] ὑμῶν] ἀφ' ὑμῶν F. O. u. v.
[y] τοὺς παρ'] τοὺς τὰ αὐτῶ φρονοῦντας παρ' Y.
[z] κεκομικέναι] διακεκομικέναι F.
[a] συμπλευσομένους] πλευσομένους F.
[b] τῶν στρατηγῶν τῶν ὑμετέρων] τῶν στρατηγῶν τῶν ἡ ὑμετέρων F. τῶν ὑμετέρων στρατηγῶν Y. τῶν ἡμετέρων στρατηγῶν S.

17 Ταῦτ' [c] οὖν οἴεσθ' [d] ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον
ἀξιῶσαι ὑμᾶς συγχωρῆσαι αὐτῷ, εἰ μὴ ὑμῶν μὲν κατε-
φρόνει, οὓς δ' ἐνθάδε προῄρηται φίλους κεκτῆσθαι, τού-
τοις διεπίστευεν; οἳ οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες
[e] καὶ οὐ τῇ ἑαυτῶν πατρίδι, καὶ τὰς παρ' ἐκείνου δωρεὰς
λαμβάνοντες οἴονται οἴκαδε λαμβάνειν, τὰ οἴκοι πω-
λοῦντες.

18 Περὶ δὲ [[f] τῆς ἐπανορθώσεως] τῆς εἰρήνης, ἣν ἔδοσαν 81
[g] ἡμῖν οἱ πρέσβεις οἱ παρ' ἐκείνου πεμφθέντες ἐπανορθώ-
σασθαι, ὅτι ἐπηνωρθωσάμεθα, ὃ παρὰ πᾶσιν ἀνθρώποις
ὁμολογεῖται δίκαιον εἶναι, ἑκατέρους [h] ἔχειν τὰ ἑαυτῶν,
ἀμφισβητεῖ μὴ δεδωκέναι μηδὲ τοὺς πρέσβεις ταῦτ' εἰρη-
κέναι πρὸς ὑμᾶς, οὐδὲν ἄλλο ἢ πεπεισμένος ὑπὸ τούτων,
οἷς χρῆται φίλοις, ὡς ὑμεῖς οὐ μνημονεύετε τὰ ἐν τῷ
19 δήμῳ εἰρημένα. μόνον δὲ τοῦτο οὐχ οἷόν τέ [i] ἐστιν ὑμῖν
ἀμνημονῆσαι· ἐν γὰρ τῇ αὐτῇ ἐκκλησίᾳ καὶ οἱ πρέσβεις
[k] ὑμῖν οἱ παρ' ἐκείνου ἥκοντες διελέγοντο καὶ τὸ ψήφισμα
ἐγράφη, ὥστε οὐχ οἷόν τέ [l] ἐστι παραχρῆμα τῶν λόγων
εἰρημένων καὶ εὐθὺς τοῦ ψηφίσματος ἐπαναγιγνωσκο-
μένου τὴν καταψευδομένην γνώμην τῶν πρέσβεων, ταύτην
[m] ὑμᾶς χειροτονῆσαι· ὥστε τοῦτο μὲν οὐ κατ' ἐμοῦ ἀλλὰ
καθ' ὑμῶν ἐπέσταλκεν, ὡς ὑμεῖς περὶ ὧν οὐκ ἠκούσατε,
περὶ τούτων ἀποκρινάμενοι τὴν γνώμην [n] ἀπεστείλατε.
20 καὶ οἱ μὲν πρέσβεις αὐτοί, ὧν κατεψεύδετο τὸ ψή-
φισμα, ὅτ' [o] ἀπεκρίνεσθε αὐτοῖς ἀναγιγνώσκοντες καὶ

[c] οὖν om. S.
[d] ἂν post ἀξιῶσαι ponunt F. O. u. v.
[e] καὶ ante οὐ om. u.
[f] [τῆς ἐπανορθώσεως] om. S.
[g] ἡμῖν] ὑμῖν O.
[h] ἔχειν τὰ ἑαυτῶν] τὰ ἑαυτῶν ἔχειν F. O. u. v.
[i] ἐστιν ὑμῖν] ὑμῖν ἐστὶν Y.
[k] ὑμῖν post ἥκοντες ponunt S. Y.
[l] ἐστι om. S.
[m] ὑμᾶς] ἡμᾶς S.
[n] ἀπεστείλατε] ἀπεστάλκατε Y.
[o] ἀπεκρίνεσθε S. vulg. ἀπεκρίνασθε.

ἐπὶ [p] ξενίαν αὐτοὺς ἐκαλεῖτε, οὐκ ἐτόλμησαν παρελθεῖν, οὐδ' εἰπεῖν ὅτι "καταψεύδεσθε ἡμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, "καὶ φατὲ ἡμᾶς εἰρηκέναι ἃ οὐκ εἰρήκαμεν," ἀλλὰ σι-
21 ωπῇ ἀπιόντες ᾤχοντο. βούλομαι δ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι (καὶ γὰρ εὐδοκίμησεν [q] ὁ Πύθων παρ' [r] ὑμῖν ἐν τῇ δημηγορίᾳ, ὁ τότε πρεσβεύων) αὐτοὺς τοὺς λόγους, οὓς ἔλεγεν, ὑπομνῆσαι· οἶδα γὰρ ὅτι [s] μνησθήσεσθε. παραπλήσιοι δ' ἦσαν οἷς καὶ νῦν ἐπέσταλκε Φίλιππος· ἐγκαλῶν γὰρ ἡμῖν τοῖς διαβάλλουσι [t] τὸν Φίλιππον, καὶ ὑμῖν
22 ἐμέμφετο ὅτι ὡρμηκότος αὐτοῦ εὖ ποιεῖν ὑμᾶς καὶ προῃρη- 82
μένου μάλιστα τῶν Ἑλλήνων φίλους κεκτῆσθαι [u] αὐτοὶ κωλύετε, ἀποδεχόμενοι [[x] τοὺς λόγους] τῶν συκοφαντούντων καὶ χρήματα ἐκεῖνον αἰτούντων καὶ διαβαλλόντων· τοὺς γὰρ τοιούτους λόγους, ὅταν ἀπαγγελλόντων ἀκούῃ, ὅτι κακῶς ἤκουεν, ὑμεῖς δ' [y] ἀπεδέχεσθε, μεταβάλλειν αὐτοῦ τὴν γνώμην, ὅταν ἄπιστος φαίνηται τούτοις ὧν [z] προῄρη-
23 ται εὐεργέτης εἶναι. [a] ἐκέλευεν οὖν τοὺς λέγοντας ἐν τῷ δήμῳ τῇ μὲν εἰρήνῃ μὴ ἐπιτιμᾶν· οὐ γὰρ ἄξιον εἶναι εἰρήνην λύειν· εἰ δέ τι μὴ καλῶς γέγραπται ἐν τῇ εἰρήνῃ, τοῦτ' [b] ἐπανορθώσασθαι, ὡς ἅπαντα Φίλιππον ποιήσοντα, ὅσ' ἂν ὑμεῖς [c] ψηφίσησθε. ἐὰν δὲ διαβάλλωσι μέν, αὐτοὶ δὲ μηδὲν γράφωσι δι' οὗ ἡ μὲν εἰρήνη ἔσται παύσεται δὲ ἀπιστούμενος [d] Φίλιππος, μὴ προσέχειν τὸν νοῦν τοῖς
24 τοιούτοις ἀνθρώποις. καὶ τούτους τοὺς λόγους ὑμεῖς ἀκούοντες ἀπεδέχεσθε, καὶ δίκαια ἔφατε τὸν Πύθωνα λέγειν.

p ξενίαν] ξενίαι F. ξενια Y.
q ὁ Πύθων post ὑμῖν ponit Y.
r ὑμῖν] ἡμῖν (υ superscr.) F. ἡμῖν S. O. u. v.
s μνησθήσεσθε] μέμνησθε S.
t τὸν om. pr. F.
u αὐτοὶ] οὗτοι (αὐτοὶ superscr.) F. οὗτοι O. u. v.
x [τοὺς λόγους] om. S.
y ἀπεδέχεσθε] ἀπεδέχεσθε (ο superscr.) F. ἀποδέχεσθε S. u.
z προῄρηται] προείρηται (ηι superscr.) F.
a ἐκέλευεν] ἐκέλευσεν Y. O. u. v.
b ἐπανορθώσασθαι] ἐπανορθώσασθε S.
c ψηφίσησθε] ψηφίσασθε O.
d Φίλιππος] ὁ φίλιππος S.

καὶ ἦν δίκαια. ἔλεγε [e] δὲ [f] τούτους τοὺς λόγους οὐχ ὅπως λυθείη ἐκ τῆς εἰρήνης, ἃ ἦν ἐκείνῳ συμφέροντα καὶ ὧν πολλὰ χρήματα ἀνηλώκει ὥστε γενέσθαι, ἀλλ' ὑπὸ τῶν ἐνθάδε διδασκάλων προδεδιδαγμένος, οἳ οὐκ ᾤοντο εἶναι τὸν [g] γράψοντα ἐναντία τῷ Φιλοκράτους ψηφίσματι, τῷ

25 ἀπολλύντι Ἀμφίπολιν. ἐγὼ δὲ ὦ ἄνδρες Ἀθηναῖοι παράνομον μὲν οὐδὲν ἐτόλμησα γράψαι, τῷ δὲ Φιλοκράτους ψηφίσματι, [h] ὃ ἦν παράνομον, τἀναντία ἔγραψα, ὡς [i] ἐγὼ ἐπιδείξω· τὸ γὰρ ψήφισμα τὸ [k] Φιλοκράτους, καθ' ὃ ὑμεῖς [l] ἀπώλλυτε Ἀμφίπολιν, ἐναντίον ἦν τοῖς προτέροις ψηφίσμασι, καθ' ἃ ὑμεῖς [m] ἐκτήσασθε ταύτην τὴν χώραν. 83

26 τοῦτο μὲν οὖν παράνομον ἦν τὸ ψήφισμα τὸ τοῦ Φιλοκράτους, καὶ οὐχ οἷόν τε ἦν τὸν τὰ ἔννομα [n] γράφοντα ταὐτὰ τῷ παρανόμῳ ψηφίσματι γράφειν. ἐκείνοις δὲ τοῖς [o] προτέροις ψηφίσμασι, τοῖς οὖσιν ἐννόμοις καὶ σῴζουσι τὴν ὑμετέραν χώραν, ταὐτὰ γράφων ἔννομά τ' [p] ἔγραφον καὶ [q] ἐξήλεγχον τὸν Φίλιππον, ὅτι ἐξηπάτα ὑμᾶς καὶ οὐκ ἐπανορθώσασθαι ἐβούλετο τὴν εἰρήνην, ἀλλὰ τοὺς ὑπὲρ

27 [r] ὑμῶν λέγοντας ἀπίστους καταστῆσαι. καὶ ὅτι μὲν δοὺς τὴν ἐπανόρθωσιν νῦν ἔξαρνός ἐστιν, ἅπαντες ἴστε. φησὶ δ' Ἀμφίπολιν ἑαυτοῦ εἶναι· ὑμᾶς γὰρ ψηφίσασθαι ἐκείνου εἶναι, ὅτ' [s] ἐψηφίσασθε ἔχειν αὐτὸν ἃ εἶχεν. ὑμεῖς δὲ τὸ

[e] δὲ in margine Y.
[f] τούτους τοὺς λόγους] τοὺς λόγους τούτους F. O. u. v.
[g] γράψοντα] γράψοντα (φ supra) F. γράφοντα Y.
[h] ὃ—ἔγραψα] οὐκ—γράφειν S.
[i] ἐγὼ] ἐγὼ μὲν u.
[k] Φιλοκράτους] τοῦ φιλοκράτους Y. O. u. v.
[l] ἀπώλλυτε] ἀπόλλυτε F. S. O. u. v.
[m] ἐκτήσασθε] ἐκέκτησθε O. u. v.
[n] γράφοντα] γράψαντα O.
[o] προτέροις] πρότερον (οις supra) F.
[p] ἔγραφον] ἔγραφον (ψα supra) F. ἔγραψα S. Y.
[q] ἐξήλεγχον F. (ξα supra) ἐξήλεγξα Y.
[r] ὑμῶν] ἡμῶν Y.
[s] ἐψηφίσασθε S. ἐψηφίζεσθε (σα supra) F. ceteri ἐψηφίζεσθε.

μὲν ψήφισμα τοῦτ᾽ ἐψηφίσασθε, οὐ μέντοι γ᾽ ἐκείνου εἶ-
ναι Ἀμφίπολιν· ἔστι γὰρ ἔχειν καὶ τἀλλότρια, καὶ οὐχ
ἅπαντες [t] οἱ ἔχοντες τὰ ἑαυτῶν ἔχουσιν, ἀλλὰ πολλοὶ καὶ
[u] τἀλλότρια κέκτηνται· ὥστε τοῦτό γε τὸ σοφὸν αὐτοῦ
28 ἠλίθιόν ἐστιν. καὶ τοῦ μὲν Φιλοκράτους [x] ψηφίσματος
μέμνηται, τῆς δ᾽ ἐπιστολῆς, ἣν πρὸς [y] ὑμᾶς ἔπεμψεν ὅτ᾽
Ἀμφίπολιν [z] ἐπολιόρκει, ἐπιλέλησται, ἐν ᾗ ὡμολόγει τὴν
Ἀμφίπολιν ὑμετέραν εἶναι· ἔφη γὰρ ἐκπολιορκήσας ὑμῖν
29 ἀποδώσειν ὡς οὖσαν ὑμετέραν καὶ οὐ τῶν ἐχόντων. κά-
κεῖνοι μέν, ὡς ἔοικεν, οἱ πρότερον ἐν Ἀμφιπόλει οἰκοῦντες
πρὶν Φίλιππον λαβεῖν, τὴν Ἀθηναίων χώραν εἶχον, ἐπειδὴ
δὲ Φίλιππος αὐτὴν εἴληφεν, οὐ τὴν Ἀθηναίων χώραν ἀλλὰ
τὴν ἑαυτοῦ ἔχει. οὐδ᾽ Ὄλυνθόν γε, οὐδ᾽ Ἀπολλωνίαν
οὐδὲ Παλλήνην οὐκ ἀλλοτρίας, ἀλλὰ τὰς ἑαυτοῦ χώρας
30 κέκτηται. ἆρ᾽ ὑμῖν δοκεῖ πεφυλαγμένως ἅπαντα πρὸς
ὑμᾶς ἐπιστέλλειν, ὅπως ἂν φαίνηται καὶ λέγων καὶ
πράττων ἃ παρὰ πᾶσιν ἀνθρώποις ὁμολογεῖται δίκαια 84
εἶναι, ἀλλ᾽ οὐ σφόδρα καταπεφρονηκέναι, ὃς τὴν χώραν,
ἣν οἱ Ἕλληνες καὶ [a] βασιλεὺς ὁ Περσῶν ἐψηφίσαντο καὶ
ὡμολογήκασιν ὑμετέραν εἶναι, ταύτην φησὶν ἑαυτοῦ καὶ
οὐχ ὑμετέραν εἶναι;

31 Περὶ δὲ τοῦ ἑτέρου ἐπανορθώματος, ὃ ὑμεῖς ἐν τῇ εἰρήνῃ
[b] ἐπηνωρθώσασθε, τοὺς ἄλλους [c] Ἕλληνας, ὅσοι μὴ κοινω-
νοῦσι τῆς εἰρήνης, ἐλευθέρους καὶ αὐτονόμους εἶναι, καὶ
ἐάν τις ἐπ᾽ αὐτοὺς στρατεύῃ, βοηθεῖν τοὺς κοινωνοῦντας
32 τῆς εἰρήνης, ἡγούμενοι καὶ δίκαιον [d] εἶναι τοῦτο καὶ φι-

[t] οἱ om. pr. O.
[u] τἀλλότρια] ἀλλότρια S.
[x] ψηφίσματος om. pr. Y.
[y] ὑμᾶς] ἡμᾶς S. Y.
[z] ἐπολιόρκει] ἐπιορκεῖ u.
[a] βασιλεὺς] ὁ βασιλεὺς O. u. v. et pr. Y.
[b] ἐπηνωρθώσασθε] ἐπανορθοῦσθε S.
[c] Ἕλληνας om. pr. O.
[d] εἶναι om. S.

λάνθρωπον, μὴ μόνον ἡμᾶς καὶ τοὺς [e]συμμάχους τοὺς [f]ἡμετέρους καὶ Φίλιππον καὶ τοὺς συμμάχους τοὺς ἐκείνου ἄγειν τὴν εἰρήνην, τοὺς δὲ μήθ' ἡμετέρους ὄντας μήτε Φιλίππου συμμάχους ἐν μέσῳ κεῖσθαι καὶ ὑπὸ τῶν κρειττόνων ἀπόλλυσθαι, ἀλλὰ καὶ τούτοις διὰ τὴν ὑμετέραν εἰρήνην ὑπάρχειν σωτηρίαν, καὶ τῷ ὄντι εἰρήνην ἡμᾶς ἄγειν
33 καταθεμένους τὰ ὅπλα, τοῦτο [g]δὲ τὸ ἐπανόρθωμα ὁμολογῶν ἐν τῇ ἐπιστολῇ, ὡς ἀκούετε, δίκαιόν τ' εἶναι καὶ δέχεσθαι, Φεραίων μὲν ἀφῄρηται τὴν πόλιν καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν, ἵνα δὴ αὐτόνομοι ὦσιν, ἐπὶ δ' Ἀμβρακίαν στρατεύεται, τὰς δ' ἐν Κασσωπίᾳ τρεῖς πόλεις, Πανδοσίαν καὶ Βούχεταν καὶ [h]Ἐλάτειαν, Ἠλείων ἀποικίας, κατακαύσας τὴν χώραν καὶ εἰς τὰς πόλεις βιασάμενος παρέδωκεν Ἀλεξάνδρῳ [i]τῷ κηδεστῇ τῷ ἑαυτοῦ δουλεύειν. [k]σφόδρα γε βούλεται τοὺς Ἕλληνας ἐλευθέρους εἶναι καὶ αὐτονόμους, ὡς δηλοῖ τὰ ἔργα.

34 Περὶ δὲ τῶν ὑποσχέσεων ὧν [l]ὑμῖν διατελεῖ ὑπισχνούμενος ὡς μεγάλα ὑμᾶς εὐεργετήσων, καταψεύδεσθαί μέ 85
φησιν αὐτοῦ διαβάλλοντα πρὸς τοὺς Ἕλληνας· οὐδὲν γὰρ ὑμῖν πώποτέ φησιν ὑπεσχῆσθαι. οὕτως ἀναιδής ἐστιν ὁ ἐν ἐπιστολῇ γεγραφώς, ἥ ἐστι νῦν ἐν τῷ βουλευτηρίῳ, ὅτ' [m]ἐπιστομιεῖν ἡμᾶς ἔφη τοὺς [n]ἑαυτῷ ἀντιλέγοντας, ἐὰν [o]ἡ εἰρήνη γένηται, τοσαῦτα [p]ὑμᾶς ἀγαθὰ ποιήσειν, ἃ γράφειν ἂν ἤδη, εἰ ᾔδει τὴν εἰρήνην ἐσομένην, δῆλον ὡς προ-

[e] συμμάχους S.Y.u. ceteri ξυμμάχους.
[f] ἡμετέρους] ὑμετέρους F.O.u.v.
[g] δὲ om. Y.
[h] Ἐλάτειαν] ἐλάτρειαν Harpocratio.
[i] τῷ κηδεστῇ τῷ ἑαυτοῦ] τῷ ἑαυτοῦ κηδεστῇ Y.
[k] σφόδρα] καὶ σφόδρα O.u.
[l] ὑμῖν S. vulg. ἡμῖν.
[m] ἐπιστομιεῖν] ἐπιστομεῖν pr. S.
[n] ἑαυτῷ F.S. ceteri αὑτῷ.
[o] ἡ om. F.Y.O.u.v.
[p] ὑμᾶς ἀγαθὰ ποιήσειν S.Y. ἀγαθὰ ἡμᾶς ποιήσειν F.u.v. ἀγαθὰ ποιήσειν ἡμᾶς O.

κεχειρισμένων καὶ ἑτοίμων ὄντων [q]τῶν ἀγαθῶν, ἃ ἐμέλ-
35 λομεν πείσεσθαι τῆς εἰρήνης [r]γενομένης. γενομένης δὲ τῆς
εἰρήνης, ἃ μὲν ἡμεῖς ἐμέλλομεν ἀγαθὰ πείσεσθαι, ἐκπο-
δών ἐστι, [s]φθορὰ δὲ τῶν Ἑλλήνων τοσαύτη γέγονεν ὅσην
ὑμεῖς ἴστε. ὑμῖν δ' ἐν τῇ [t]νυνὶ ἐπιστολῇ ὑπισχνεῖται,
ἐὰν τοῖς μὲν αὐτοῦ φίλοις καὶ ὑπὲρ αὐτοῦ λέγουσι πι-
στεύητε, ἡμᾶς δὲ τοὺς διαβάλλοντας αὐτὸν πρὸς ὑμᾶς
36 τιμωρήσησθε, ὡς μεγάλα [u]ὑμᾶς [x]εὐεργετήσει. τὰ μέντοι
εὐεργετήματα τοιαῦτα ἔσται· οὔτε τὰ ὑμέτερα ὑμῖν ἀπο-
δώσει (ἑαυτοῦ γάρ φησιν εἶναι), οὔτ' ἐν τῇ οἰκουμένῃ αἱ
δωρεαὶ ἔσονται, ἵνα μὴ διαβληθῇ πρὸς τοὺς Ἕλληνας,
ἀλλ' ἄλλη τις χώρα καὶ [y]ἄλλος, ὡς ἔοικε, τόπος φα-
νήσεται, [z]οὗ [a]ὑμῖν αἱ δωρεαὶ δοθήσονται.
37 Περὶ δ' ὧν ἐν τῇ εἰρήνῃ εἴληφε χωρίων, ὑμῶν ἐχόντων,
παρασπονδῶν καὶ [b]λύων τὴν εἰρήνην, ἐπειδὴ οὐκ ἔχει ὅ τι
[c]εἴπῃ ἀλλ' ἀδικῶν φανερῶς ἐξελέγχεται, ἐπιτρέπειν φησὶ
περὶ τούτων ἕτοιμος εἶναι ἴσῳ καὶ κοινῷ δικαστηρίῳ, περὶ
ὧν [d]μόνων οὐδὲν δεῖ ἐπιτροπῆς, ἀλλ' ἀριθμὸς ἡμερῶν ἐστὶν
ὁ κρίνων. ἅπαντες γὰρ ἴσμεν τίνι μηνὶ καὶ [e]ποίᾳ ἡμέρᾳ
38 ἡ εἰρήνη ἐγένετο. ὥσπερ δὲ [f]ταῦτα ἴσμεν, κἀκεῖνα ἴσμεν,
τίνι μηνὶ [g]καὶ τίνι ἡμέρᾳ [h]Σέῤῥιον τεῖχος καὶ Ἐργίσκη καὶ
Ἱερὸν ὄρος ἑάλω. οὐ δὴ ἀφανῆ ἐστι [i]τὰ οὕτω πραχθέντα, 86
οὐδὲ κρίσεως δεόμενα, ἀλλὰ πᾶσι γνώριμα, [k]πότερος

[q] τῶν om. O.
[r] γενομένης] ἐσομένης F.Y.O.u.v.
[s] φθορὰ] καὶ φθορὰ O.
[t] νυνὶ S. ceteri νῦν.
[u] ὑμᾶς om. F. S.
[x] εὐεργετήσει] εὐεργετήσειν F. Y. O. u. v.
[y] ἄλλος] ἄλλος τις F. Y. O. u. v.
[z] οὗ] οὐχ S.
[a] ὑμῖν] ἡμῖν u.
[b] λύων] κωλύων O. u.
[c] εἴπῃ] εἴποι O. u. et correctus v.
[d] μόνων] μόνον S.
[e] ποίᾳ] τίνι F. v.
[f] ταῦτα ἴσμεν] ἴσμεν ταῦτα Y.
[g] καὶ τίνι] καὶ ποίᾳ Y. et γρ. F.
[h] Σέῤῥιον] σέρρειον F.
[i] τὰ S. ceteri ταῦτα.
[k] πότερος] πότερον correctus S.

πρότερος [l] μήν ἐστιν, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο ἢ ἐν ᾧ τὰ χωρία ἑάλω.

39 Φησὶ δὲ καὶ τοὺς αἰχμαλώτους ἡμῶν, ὅσοι ἐν τῷ πολέμῳ ἑάλωσαν, ἀποδεδωκέναι· ὃς τὸν μὲν Καρύστιον, τὸν πρόξενον τῆς [m] ἡμετέρας πόλεως, ὑπὲρ οὗ ὑμεῖς τρεῖς [n] πρεσβείας ἐπέμψατε [o] ἀπαιτοῦντες, τοῦτον τὸν ἄνδρα ἐκεῖνος οὕτω σφόδρα ὑμῖν ἐβούλετο χαρίσασθαι, ὥστ' ἀπέκτεινε καὶ οὐδ' ἀναίρεσιν [p] ἔδωκεν, ἵνα ταφῇ.

40 Περὶ δὲ Χεῤῥονήσου ἅ τ' ἐπιστέλλει πρὸς [q] ὑμᾶς ἄξιόν ἐστιν ἐξετάσαι, ἔτι δὲ καὶ ἃ πράττει, καὶ ταῦτ' εἰδέναι. τὸν μὲν γὰρ τόπον ἅπαντα τὸν ἔξω ἀγορᾶς ὡς ἑαυτοῦ ὄντα καὶ ὑμῖν οὐδὲν προσήκοντα δέδωκε καρποῦσθαι Ἀπολλωνίδῃ τῷ Καρδιανῷ. καίτοι Χεῤῥονήσου οἱ ὅροι εἰσίν, οὐκ ἀγορά, [r] ἀλλὰ βωμὸς τοῦ Διὸς τοῦ [s] ὁρίου, ὅς ἐστι μεταξὺ Πτελεοῦ καὶ Λευκῆς ἀκτῆς, [t] οὗ ἡ [u] διωρυχὴ
41 ἔμελλε Χεῤῥονήσου ἔσεσθαι, ὡς [x] γε τὸ ἐπίγραμμα τὸ ἐπὶ [y] τοῦ βωμοῦ τοῦ Διὸς τοῦ ὁρίου δηλοῖ. ἔστι δὲ τουτί·

[z] Τόνδε καθιδρύσαντο θεῷ περικαλλέα βωμὸν
Λευκῆς καὶ Πτελεοῦ μέσσον ὅρον θέμενοι
ἐνναέται χώρης σημήϊον· [a] ἀμμορίης δὲ
αὐτὸς ἄναξ μακάρων ἐστὶ μέσος Κρονίδης.

42 ταύτην μέντοι τὴν χώραν [b] τοσαύτην οὖσαν ὅσην οἱ πολλοὶ ὑμῶν ἴσασιν, ὡς ἑαυτοῦ οὖσαν τὴν μὲν αὐτὸς καρποῦται, τὴν δὲ ἄλλοις δωρεὰν δέδωκε καὶ ἅπαντα τὰ κτήματα

[l] μὴν] ὁ μὴν S.
[m] ἡμετέρας] ὑμετέρας O. u. v.
[n] πρεσβείας] πρέσβεις S.
[o] ἀπαιτοῦντες τοῦτον] τοῦτον ἀπαιτοῦντες F. O. u. v.
[p] ἔδωκεν] δέδωκεν Y.
[q] ὑμᾶς S. Y. vulg. ἡμᾶς.
[r] ἀλλὰ S. et correctus Y. ceteri ἀλλ' ὁ.
[s] ὁρίου] ὀρείου F.O.u.v. et pr. Y.
[t] οὗ] ᾗι S.
[u] διωρυχὴ] διορυχὴ S.
[x] γε om. F. O. u. v.
[y] τοῦ βωμοῦ om. S.
[z] Epigrammatis titulum omisi cum S. est enim ΕΠΙΓΡΑΜΜΑ in O. u. vulg. ἐπιγράμματος ἀνάγνωσις
[a] ἀμμορίης] ὁμορίης margo O.
[b] τοσαύτην οὖσαν om. S.

τὰ ὑμέτερα ὑφ' ἑαυτῷ ποιεῖται. καὶ οὐ μόνον τὴν ἔξω ἀγορᾶς χώραν σφετερίζεται, ἀλλὰ καὶ πρὸς Καρδιανούς, 87
οἳ οἰκοῦσιν [c]ἔσω ἀγορᾶς, [d]ἐπιστέλλει ἐν τῇ [e]νυνὶ ἐπιστολῇ ὡς δεῖ ὑμᾶς διαδικάζεσθαι πρὸς Καρδιανοὺς τοὺς [f]κατοικοῦντας ἐν τῇ ὑμετέρᾳ, εἴ τι πρὸς αὐτοὺς [g]διαφέρεσθε.

43 διαφέρονται δὲ πρὸς ὑμᾶς, [h]σκέψασθε εἰ περὶ μικροῦ. ἑαυτῶν φασὶ τὴν χώραν οὖσαν οἰκεῖν καὶ οὐχ [i]ὑμετέραν, καὶ τὰ μὲν [k]ὑμέτερα εἶναι [l]ἐγκτήματα ὡς [m]ἐν ἀλλοτρίᾳ, τὰ δὲ αὑτῶν κτήμαθ' ὡς ἐν οἰκείᾳ, καὶ ταῦθ' ὑμέτερον πολίτην γράψαι ἐν ψηφίσματι, [n]Κάλλιππον Παιανιέα.

44 καὶ τοῦτό γ' [o]ἀληθὲς λέγουσιν· ἔγραψε γάρ, καὶ ἐμοῦ γ' αὐτὸν γραψαμένου παρανόμων γραφὴν ὑμεῖς ἀπεψηφίσασθε· τοιγάρτοι ἀμφισβητήσιμον [p]ὑμῖν τὴν χώραν κατεσκεύακεν. ὁπότε δὲ περὶ τούτου [q]τολμήσετε πρὸς Καρδιανοὺς διαδικάζεσθαι, εἴθ' ὑμετέρα ἐστὶν εἴτ' ἐκείνων ἡ χώρα, διὰ τί οὐ καὶ πρὸς τοὺς ἄλλους Χερρονησίτας τὸ

45 αὐτὸ δίκαιον [r]ἔσται; καὶ οὕτως ὑβριστικῶς ὑμῖν κέχρηται ὥστε φησίν, ἐὰν μὴ θέλωσι διαδικάζεσθαι οἱ Καρδιανοί, αὐτὸς [s]ἀναγκάσειν, ὡς ὑμῶν γ' οὐκ ἂν δυναμένων [t]οὐδ' ἀναγκάσαι Καρδιανοὺς [u]τὰ δίκαια [x]ὑμῖν [y]ποιῆσαι· ἐπειδὴ δ' ὑμεῖς οὐ δύνασθε, αὐτός φησι τοῦτ' ἀναγκάσειν

[c] ἔσω] ἔξω S. ἔξω ceteri.
[d] ἐπιστέλλει] ἐπιστέλλειν u. et pr. O.
[e] νυνὶ] νῦν S. Y. O. u. v.
[f] κατοικοῦντας] οἰκοῦντας F. u. v.
[g] διαφέρεσθε] διεφέρεσθε S.
[h] σκέψασθε] σκέψεσθε O.
[i] ὑμετέραν] ὑμετέραν εἶναι F. O. u. v.
[k] ὑμέτερα] ἡμέτερα u.
[l] ἐγκτήματα] ἐγκτήματά φασιν F. Y. O. u. v.
[m] ἐν] ἐπ' S.
[n] Κάλλιππον] κάλιππον u. v.
[o] ἀληθὲς] ἀληθῆ S. ἀληθῶς F. v.
[p] ὑμῖν] υμῶν F. ὑμῶν Y. O. u. v.
[q] τολμήσετε] τολμήσητε O.
[r] ἔσται] ἐστὶν F. ἐστι O. u. v.
[s] ἀναγκάσειν] ἀναγκάζειν F. ἀναγκάζειν O. u. v.
[t] οὐδ'] οὐδὲν S.
[u] τὰ δίκαια om. S. post ποιῆσαι ponit Y.
[x] ὑμῖν] πρὸς ὑμᾶς F. O. u. v.
[y] ποιῆσαι] ποιεῖσθαι F. O. u. v.

αὐτοὺς ποιῆσαι. ἆρ' οὐ μεγάλα [z] φαίνεται ὑμᾶς εὐεργε-
τῶν; καὶ ταύτην τὴν ἐπιστολήν τινες εὖ ἔφασαν γεγρά-
46 φθαι, οἳ πολὺ ἂν δικαιότερον ὑφ' ὑμῶν ἢ Φίλιππος μι-
σοῖντο. ἐκεῖνος [a] μέν γ' ἑαυτῷ κτώμενος [b] δόξαν καὶ με-
γάλ' ἀγαθὰ [c] ἅπαντα καθ' ὑμῶν πράττει· ὅσοι δ' Ἀθη-
ναῖοι ὄντες μὴ τῇ πατρίδι [d] ἀλλὰ Φιλίππῳ εὔνοιαν ἐνδεί-
κνυνται, προσήκει αὐτοὺς ὑφ' ὑμῶν κακοὺς κακῶς ἀπο-
λωλέναι, εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις 88
[e] καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε.

47 Ὑπόλοιπόν μοί ἐστιν ἔτι πρὸς ταύτην τὴν ἐπιστολὴν τὴν εὖ ἔχουσαν καὶ τοὺς λόγους τῶν πρέσβεων γράψαι τὴν ἀπόκρισιν, ἣν ἡγοῦμαι δικαίαν τ' εἶναι καὶ συμφέρουσαν [f] ὑμῖν.

---

## Η.

# ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ.

### ΥΠΟΘΕΣΙΣ.

Ὁ λόγος οὗτος ὑπὲρ Διοπείθους εἴρηται καὶ ὧν ἐκεῖνος παρὰ Ἀθηναίοις κατηγόρητο. ἦν μὲν γὰρ Χεῤῥόνησος ἡ πρὸς Θράκην τῶν Ἀθηναίων κτῆμα ἀρχαῖον, εἰς δὲ ταύτην ἀπέστειλαν κατὰ τοὺς Φιλίππου καιροὺς κληρούχους ἑαυτῶν. ἔθος δὲ ἦν τοῦτο παλαιὸν τοῖς Ἀθηναίοις, ὅσοι πένητες ἦσαν αὐτῶν καὶ ἀκτήμονες οἴκοι, τούτους πέμπειν ἐποίκους εἰς τὰς [a] ἔξω πόλεις τὰς ἑαυτῶν· καὶ ἐλάμβανον πεμπόμενοι ὅπλα τε ἐκ τοῦ δημοσίου καὶ ἐφόδιον. καὶ νῦν τοίνυν τοῦτο γέγονε, καὶ πεπόμφασιν ἐποίκους εἰς τὴν Χεῤῥόνησον, στρατηγὸν αὐτοῖς δόντες [b] Διοπείθη. οἱ μὲν οὖν ἄλλοι Χεῤῥονησῖται τοὺς ἐπελθόντας ἐδέ-

[z] φαίνεται ὑμᾶς] ὑμᾶς φαίνεται F. O. u. v.
[a] μέν γ' S. ceteri μὲν γάρ.
[b] δόξαν] καὶ δόξαν Y.
[c] ἅπαντα] πάντα Y.
[d] ἀλλὰ supra versum Y.
[e] καὶ μὴ] ἀλλὰ μὴ Y. et γρ. F.
[f] ὑμῖν] ἡμῖν S.
[a] ἔξω om. Y.
[b] Διοπείθη] διοπείθην O.

ξαντο καὶ μετέδωκαν αὐτοῖς καὶ οἰκιῶν καὶ γῆς, Καρδιανοὶ δὲ οὐκ ἐδέξαντο, λέγοντες ἰδίαν χώραν οἰκεῖν καὶ οὐκ Ἀθηναίων. ἐντεῦθεν οὖν Διοπείθης [c] ἐπολέμει Καρδιανοῖς. οἱ δὲ παρὰ Φίλιππον καταφεύγουσι, [d] καὶ ὃς ἐπιστέλλει τοῖς Ἀθηναίοις μὴ βιάζεσθαι Καρδιανοὺς ὡς αὐτῷ προσήκοντας, ἀλλὰ δικάσασθαι πρὸς αὐτούς, εἴ [e] τί φασιν ἠδικῆσθαι. ὡς δὲ οὐκ ἤκουον [f] τούτων οἱ 89
Ἀθηναῖοι, βοήθειαν τοῖς Καρδιανοῖς ἔπεμψεν. ἐφ' οἷς ἀγανακτήσας [g] ὁ Διοπείθης, τοῦ Φιλίππου περὶ τὴν μεσόγειαν τὴν ἄνω Θρᾴκην πολεμοῦντος πρὸς τὸν Ὀδρυσῶν βασιλέα, τὴν παράλιον Θρᾴκην ὑπήκοον οὖσαν τοῦ Μακεδόνος κατέδραμε καὶ [h] ἐπόρθησε [i] καὶ ἔφθη, πρὶν Φίλιππον ἐπανελθεῖν, ἀναχωρήσας εἰς τὴν Χεῤῥόνησον καὶ ἐν [k] ἀσφαλεῖ γενόμενος. διόπερ ὁ Φίλιππος οὐ δυνηθεὶς ὅπλοις αὐτὸν ἀμύνασθαι πέπομφεν ἐπιστολὴν πρὸς τοὺς Ἀθηναίους, κατηγορῶν τοῦ στρατηγοῦ καὶ λέγων αὐτὸν παραβεβηκέναι τὴν εἰρήνην ἄντικρυς. καὶ οἱ φιλιππίζοντες τῶν ῥητόρων κατατρέχουσι τοῦ Διοπείθους, καὶ κολάζειν ἀξιοῦσιν αὐτόν. πρὸς οὓς ὁ Δημοσθένης ἐναντιούμενος διχῇ ὑπὲρ [l] τοῦ Διοπείθους ἵσταται. οὔτε γὰρ ἄδικά φησιν αὐτὸν πεποιηκέναι· Φιλίππου γὰρ πολὺ [m] πρότερον παραβάντος τὴν εἰρήνην καὶ ἀδικοῦντος τὴν τῶν Ἀθηναίων πόλιν, εἰκότως καὶ τοῦτον ἔργα [n] πολεμίου διαπράττεσθαι· οὔτε συμφέρειν λέγει τοῖς Ἀθηναίοις κολάσαι τὸν στρατηγὸν καὶ διαλῦσαι τὴν ὑπ' [o] ἐκείνου δύναμιν, ἥτις νῦν ἀποκρούεται Χεῤῥονήσου Φίλιππον. τὸ δὲ ὅλον ἐπὶ πόλεμον παρακαλεῖ, καὶ τοῦ Φιλίππου [p] πολλὴν ποιεῖται κατηγορίαν ὡς ἀδίκου καὶ παρασπόνδου καὶ τοῖς Ἀθηναίοις καὶ τοῖς Ἕλλησιν ἐπιβουλεύοντος.

ΕΔΕΙ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς λέγοντας ἅπαντας 90
[q] ἐν ὑμῖν μήτε πρὸς ἔχθραν ποιεῖσθαι λόγον μηδένα μήτε πρὸς χάριν, ἀλλ' ὃ βέλτιστον ἕκαστος ἡγεῖτο, [r] τοῦτ' ἀποφαίνεσθαι, ἄλλως τε καὶ περὶ κοινῶν πραγμάτων καὶ μεγάλων ὑμῶν βουλευομένων· [s] ἐπειδὴ δ' ἔνιοι τὰ μὲν [t] φιλονεικίᾳ τὰ δ' ἡτινιδήποτ' αἰτίᾳ προάγονται λέγειν, ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι τοὺς πολλοὺς δεῖ πάντα

[c] ἐπολέμει] ἐπολέμησε Y.
[d] καὶ ὃς] ὃς καὶ Y.
[e] τι] γε Y.
[f] τούτων] τοῦτον O. u. v.
[g] ὁ om. Y.
[h] ἐπόρθησε] ἐπόρθησεν αἰφνίδιον F. O. u. v.
[i] καὶ ἔφθη om. O. u. v.
[k] ἀσφαλεῖ Y. ceteri ἀσφαλείᾳ.
[l] τοῦ recepi ex Y.
[m] πρότερον] προτέρου Y.
[n] πολεμίου] πολέμου F.
[o] ἐκείνου] ἐκείνω O.
[p] πολλὴν ποιεῖται F. Y. vulg. ποιεῖται πολλήν.
[q] ἐν ὑμῖν om. S.
[r] τοῦτ'] καὶ τουτο O. ταῦτ' F.
[s] ἐπειδὴ] ἐπεὶ S.
[t] φιλονεικίᾳ] φιλονικία O.

τἄλλ' [u] ἀφελόντας, ἃ τῇ πόλει νομίζετε συμφέρειν, ταῦ-
2 τα καὶ ψηφίζεσθαι καὶ πράττειν. ἡ μὲν οὖν σπουδὴ
περὶ τῶν ἐν Χεῤῥονήσῳ πραγμάτων ἐστὶ καὶ τῆς [x] στρα-
τείας, ἣν ἑνδέκατον μῆνα τουτονὶ Φίλιππος ἐν Θρᾴκῃ ποι-
εῖται· τῶν δὲ λόγων οἱ πλεῖστοι περὶ ὧν Διοπείθης
πράττει καὶ μέλλει ποιεῖν εἴρηνται. ἐγὼ δ' ὅσα μέν τις
αἰτιᾶταί τινα τούτων, οὓς κατὰ τοὺς νόμους ἐφ' ὑμῖν
ἐστὶν ὅταν βούλησθε κολάζειν, κἂν ἤδη [y] δοκῇ κἂν [z] ἐπι-
σχοῦσι περὶ αὐτῶν σκοπεῖν [a] ἐγχωρεῖν ἡγοῦμαι, καὶ οὐ
πάνυ [b] δεῖ περὶ τούτων οὔτ' ἐμὲ οὔτ' ἄλλον οὐδένα [c] ἰσχυ-
3 ρίζεσθαι· ὅσα δ' ἐχθρὸς ὑπάρχων τῇ πόλει [d] Φίλιππος
καὶ δυνάμει πολλῇ περὶ Ἑλλήσποντον ὢν πειρᾶται προ-
λαβεῖν, κἂν ἅπαξ [e] ὑστερήσωμεν, οὐκέθ' ἕξομεν σῶσαι,
περὶ τούτων δ' οἶμαι τὴν ταχίστην συμφέρειν καὶ βεβου-
λεῦσθαι καὶ [f] παρεσκευάσθαι, καὶ μὴ τοῖς περὶ τῶν ἄλ- 91
λων θορύβοις καὶ ταῖς κατηγορίαις ἀπὸ τούτων ἀποδρᾶναι.
4 Πολλὰ δὲ θαυμάζων τῶν εἰωθότων λέγεσθαι παρ'
ὑμῖν, [g] οὐδενὸς ἧττον ὦ ἄνδρες Ἀθηναῖοι τεθαύμακα ὃ καὶ
πρώην τινὸς ἤκουσα εἰπόντος ἐν τῇ βουλῇ, ὡς ἄρα δεῖ τὸν
συμβουλεύοντα ἢ πολεμεῖν ἁπλῶς ἢ [h] τὴν εἰρήνην ἄγειν
5 συμβουλεύειν. ἔστι δέ, εἰ μὲν ἡσυχίαν Φίλιππος ἄγει
καὶ μήτε τῶν ἡμετέρων ἔχει παρὰ τὴν εἰρήνην μηδὲν μήτε
[i] συσκευάζεται πάντας ἀνθρώπους ἐφ' [k] ἡμᾶς, [l] οὐδὲν

[u] ἀφελόντας S. ceteri ἀφέντας.
[x] στρατείας] στρατιᾶς Y.
[y] δοκῇ] δοκειν (ῆ superscript) F.
[z] ἐπισχοῦσι] ἐπισχωσιν S. μικρὸν ἐπισχῶσι F. O. u. v. et pr. Y.
[a] ἐγχωρεῖν] ἐκχωρεῖν correctus S.
[b] δεῖ F. S. Y. O. u. v. vulg. δεῖν.
[c] ἰσχυρίζεσθαι S. Y. ceteri διισχυρίζεσθαι.
[d] Φίλιππος om. S.
[e] ὑστερήσωμεν] ὑστερίσωμεν correctus Y.
[f] παρεσκευάσθαι] παρασκευάσασθαι O.
[g] οὐδενὸς ἧττον—ὃ] οὐδὲν—οὗ Anecd. p. 148, 18.
[h] τὴν εἰρήνην ἄγειν S. Y. ceteri ἄγειν τὴν εἰρήνην.
[i] συσκευάζεται] παρασκευάζεται O.
[k] ἡμᾶς] ὑμᾶς (ἡ superscript) F. vulg. ὑμᾶς.
[l] οὐδὲν] οὐκέτι S.

[m] δεῖ λέγειν, ἀλλ᾽ ἁπλῶς εἰρήνην ἀκτέον, καὶ τά γε ἀφ᾽
ὑμῶν ἕτοιμα ὑπάρχοντα ὁρῶ· εἰ δ᾽ ἃ μὲν [[n] ἡμεῖς] ὠμό-
σαμεν καὶ ἐφ᾽ οἷς τὴν εἰρήνην ἐποιησάμεθα, ἔστιν ἰδεῖν
6 καὶ γεγραμμένα κεῖται, φαίνεται δ᾽ ἀπ᾽ ἀρχῆς ὁ Φί-
λιππος, πρὶν Διοπείθην ἐκπλεῦσαι καὶ τοὺς κληρούχους
οὓς νῦν αἰτιῶνται πεποιηκέναι [o] τὸν πόλεμον, πολλὰ μὲν
τῶν ἡμετέρων ἀδίκως εἰληφώς, ὑπὲρ ὧν ψηφίσμαθ᾽ ὑμέ-
τερα ἐγκαλοῦντα κύρια ταυτί, πάντα δὲ τὸν [p] χρόνον
συνεχῶς τὰ τῶν ἄλλων Ἑλλήνων καὶ βαρβάρων λαμβά-
νων καὶ ἐφ᾽ [q] ἡμᾶς συσκευαζόμενος, τί τοῦτο λέγουσιν,
7 ὡς [r] πολεμεῖν ἢ ἄγειν εἰρήνην δεῖ; οὐ γὰρ αἵρεσίς ἐστιν
ἡμῖν τοῦ πράγματος, ἀλλ᾽ ὑπολείπεται τὸ δικαιότατον
[s] καὶ ἀναγκαιότατον τῶν ἔργων, ὃ ὑπερβαίνουσιν ἑκόντες
οὗτοι. τί οὖν ἐστὶ τοῦτο; [t] ἀμύνεσθαι τὸν πρότερον πολε-
μοῦνθ᾽ [u] ἡμῖν. πλὴν [x] εἰ μὴ τοῦτο λέγουσι νὴ Δία, [y] ὡς
ἂν ἀπέχηται τῆς Ἀττικῆς καὶ τοῦ Πειραιῶς [z] ὁ Φίλιπ-
8 πος, οὔτ᾽ ἀδικεῖ τὴν πόλιν οὔτε ποιεῖ [a] πόλεμον. εἰ δ᾽ ἐκ
τούτων τὰ δίκαια τίθενται καὶ τὴν εἰρήνην [b] ταύτῃ ὁρίζον-
ται, ὅτι μὲν δήπουθεν οὔθ᾽ ὅσια οὔτ᾽ ἀνεκτὰ λέγουσιν οὔθ᾽ 92
[c] ὑμῖν ἀσφαλῆ, δῆλόν ἐστιν ἅπασιν, οὐ μὴν ἀλλ᾽ ἐναντία
συμβαίνει ταῖς κατηγορίαις [d] ἃς Διοπείθους κατηγοροῦσι
καὶ αὐτὰ ταῦτα λέγειν αὐτούς. τί γὰρ δήποτε τῷ μὲν
Φιλίππῳ πάντα τἆλλα ποιεῖν ἐξουσίαν δώσομεν, ἂν τῆς

[m] δεῖ] δεῖ^ν v. δεῖν u.
[n] [ἡμεῖς] om. S. post ὠμόσαμεν ponit Y.
[o] τὸν om. pr. O.
[p] χρόνον] ἄλλον χρόνον F. Y. O. u. v.
[q] ἡμᾶς] ὑμᾶς Y.
[r] πολεμεῖν] πολεμεῖν ἁπλῶς Y.
[s] καὶ ἀναγκαιότατον om. S.
[t] ἀμύνεσθαι] ἀμύνεσθαι F. ἀμύνασθαι Y.
[u] ἡμῖν] ἡμῖν F. ὑμῖν S. om. pr. Y.
[x] εἰ μὴ] εἰ S. et γρ. Y.
[y] ἕως] ὡς pr. S.
[z] ὁ om. S.
[a] πόλεμον] τὸν πόλεμον F. O. u. v.
[b] ταύτῃ margo O. ταύτην ceteri.
[c] ὑμῖν—ἅπασιν] ἡμῖν—πᾶσιν Y.
[d] ἃς] αις F. αἷς O. u.

Ἀττικῆς ἀπέχηται, τῷ [e] Διοπείθει δ' οὐδὲ βοηθεῖν τοῖς
9 Θρᾳξὶν ἐξέσται, ἢ πόλεμον ποιεῖν αὐτὸν φήσομεν; ἀλλὰ
νὴ Δία, ταῦτα μὲν ἐξελέγχονται, δεινὰ [f] δὲ ποιοῦσιν οἱ
ξένοι περικόπτοντες [g] τὰ ἐν Ἑλλησπόντῳ, καὶ Διοπεί-
θης ἀδικεῖ κατάγων τὰ πλοῖα, καὶ δεῖ μὴ ἐπιτρέπειν
αὐτῷ. ἔστω, γιγνέσθω ταῦτα, οὐδὲν ἀντιλέγω. οἶμαι
[h] μέντοι δεῖν, εἴπερ ὡς ἀληθῶς ἐπὶ πᾶσι δικαίοις ταῦτα
10 συμβουλεύουσιν, ὥσπερ τὴν ὑπάρχουσαν τῇ πόλει δύνα-
μιν καταλῦσαι ζητοῦσι τὸν ἐφεστηκότα καὶ πορίζοντα
χρήματα ταύτῃ διαβάλλοντες ἐν ὑμῖν, οὕτω τὴν Φιλίππου
δύναμιν δεῖξαι διαλυθησομένην, ἂν ὑμεῖς ταῦτα πεισθῆτε.
εἰ δὲ μή, σκοπεῖτε ὅτι οὐδὲν ἄλλο ποιοῦσιν ἢ καθιστᾶσι
τὴν πόλιν εἰς τὸν αὐτὸν τρόπον δι' οὗ τὰ [i] παρελθόντα
11 πράγματα ἅπαντ' [k] ἀπολώλεκεν. ἴστε γὰρ δήπου τοῦθ',
ὅτι οὐδενὶ τῶν [l] πάντων πλέον κεκράτηκε [m] τῆς πόλεως
Φίλιππος ἢ τῷ πρότερος πρὸς τοῖς πράγμασι γίγνεσθαι.
ὁ μὲν γὰρ ἔχων δύναμιν [n] συνεστηκυῖαν ἀεὶ περὶ αὑτόν,
καὶ προειδὼς ἃ βούλεται πρᾶξαι, ἐξαίφνης ἐφ' οὓς ἂν
αὐτῷ δόξῃ πάρεστιν· ἡμεῖς δ' ἐπειδὰν πυθώμεθά τι γιγ-
νόμενον, τηνικαῦτα θορυβούμεθα καὶ παρασκευαζόμεθα.
12 εἶτ', οἶμαι, συμβαίνει τῷ μέν, ἐφ' ἃ ἂν ἔλθῃ, ταῦτ' ἔχειν
κατὰ πολλὴν ἡσυχίαν, ἡμῖν δ' ὑστερίζειν, καὶ ὅσα ἂν
δαπανήσωμεν, ἅπαντα μάτην [o] ἀνηλωκέναι, καὶ τὴν μὲν 93
ἔχθραν καὶ τὸ βούλεσθαι κωλύειν ἐνδεδεῖχθαι, ὑστερίζον-
τας δὲ τῶν ἔργων αἰσχύνην προσοφλισκάνειν.
13 Μὴ τοίνυν ἀγνοεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι καὶ [p] νῦν

[e] Διοπείθει] διοπείθη O.
[f] δὲ ποιοῦσιν] ποιοῦσιν δὲ S.
[g] τὰ et κατάγων om. pr. Y.
[h] μέντοι om. pr. O.
[i] παρελθόντα] παρόντα S. Y.
[k] ἀπολώλεκεν S. ceteri ἀπόλωλεν.
[l] πάντων] ἁπάντων O.
[m] τῆς πόλεως om. S.
[n] συνεστηκυῖαν ἀεὶ] αἰεὶ συνεστηκυῖαν Y.
[o] ἀνηλωκέναι] ἀνηλωκέναι F. (α superscr.)
[p] νῦν] τὰ νῦν S.

τἄλλα μέν ἐστι λόγοι ταῦτα καὶ προφάσεις, πράττεται
δὲ [q] τοῦτο καὶ κατασκευάζεται, ὅπως ὑμῶν μὲν οἴκοι
μενόντων, ἔξω δὲ μηδεμιᾶς οὔσης τῇ πόλει δυνάμεως,
μετὰ πλείστης ἡσυχίας [r] ἅπανθ᾽ ὅσα βούλεται Φίλιππος
διοικήσεται. θεωρεῖτε γὰρ τὸ παρὸν πρῶτον, ὃ γίγνεται.
14 νυνὶ δύναμιν μεγάλην ἐκεῖνος ἔχων ἐν Θρᾴκῃ διατρίβει,
καὶ μεταπέμπεται πολλήν, ὥς φασιν οἱ παρόντες, ἀπὸ
Μακεδονίας καὶ Θετταλίας. ἐὰν οὖν [s] περιμείνας τοὺς
ἐτησίας ἐπὶ Βυζάντιον ἐλθὼν πολιορκῇ, πρῶτον μὲν οἴεσθε
τοὺς Βυζαντίους μενεῖν ἐπὶ [t] τῆς ἀνοίας τῆς αὐτῆς ὥσπερ
νῦν, καὶ οὔτε παρακαλέσειν ὑμᾶς οὔτε [u] βοηθεῖν αὐτοῖς
15 ἀξιώσειν; ἐγὼ μὲν οὐκ οἶμαι, ἀλλὰ καὶ εἴ τισι μᾶλλον
ἀπιστοῦσιν ἢ ἡμῖν, καὶ τούτους εἰσφρήσεσθαι μᾶλλον ἢ
[x] ᾽κείνῳ παραδώσειν τὴν πόλιν, ἄν περ μὴ φθάσῃ λαβὼν
αὐτούς. οὐκοῦν ἡμῶν μὲν μὴ δυναμένων ἐνθένδ᾽ ἀναπλεῦ-
σαι, ἐκεῖ δὲ μηδεμιᾶς ὑπαρχούσης ἑτοίμου βοηθείας,
16 οὐδὲν αὐτοὺς ἀπολωλέναι κωλύσει. νὴ Δία, κακοδαιμον-
οῦσι γὰρ ἄνθρωποι καὶ ὑπερβάλλουσιν ἀνοίᾳ. πάνυ γε,
ἀλλ᾽ ὅμως αὐτοὺς δεῖ σῶς εἶναι· συμφέρει γὰρ τῇ πόλει.
καὶ μὴν οὐδ᾽ ἐκεῖνό γε δῆλόν ἐστιν ἡμῖν, ὡς ἐπὶ Χεῤῥόνη-
σον οὐχ ἥξει· ἀλλ᾽ εἴγε ἐκ τῆς ἐπιστολῆς δεῖ σκοπεῖν
[y] ἧς ἔπεμψε πρὸς [z] ὑμᾶς, ἀμυνεῖσθαί φησι τοὺς ἐν Χεῤ-
17 ῥονήσῳ. ἂν μὲν τοίνυν ᾖ τὸ συνεστηκὸς [a] τοῦτο στράτευμα,
καὶ τῇ χώρᾳ βοηθῆσαι δυνήσεται καὶ τῶν ἐκείνου τι κα- 94
κῶς ποιῆσαι· εἰ δ᾽ ἅπαξ [b] διαλυθήσεται, τί ποιήσομεν,

[q] τοῦτο post κατασκευάζεται ponit S.

[r] ἅπανθ᾽ S. Y. vulg. πάνθ᾽.

[s] περιμείνας] παραμείνας S.

[t] τῆς ἀνοίας τῆς αὐτῆς S. τῆς αὐτῆς ἀγνοίας F. τῆς αὐτῆς ἀνοίας ceteri.

[u] βοηθεῖν] βοηθήσειν S.

[x] κείνῳ S. ceteri ἐκείνῳ.

[y] ἧς] ἧς F. ἣν Y.

[z] ὑμᾶς] ἡμᾶς Y.

[a] τοῦτο om. S.

[b] διαλυθήσεται] διαφθαρήσεται καὶ διαλυθήσεται F. Y. O. u. v.

ἂν ἐπὶ Χεῤῥόνησον ἴῃ; κρινοῦμεν [c] Διοπείθη νὴ Δία. καὶ τί τὰ πράγματα ἔσται βελτίω; ἀλλ᾿ ἐνθένδε [d] βοηθήσομεν [e] αὐτῷ. ἂν δ᾿ ὑπὸ τῶν πνευμάτων μὴ [f] δυνώμεθα; ἀλλὰ μὰ Δί᾿ οὐχ ἥξει. καὶ τίς ἐγγυητής ἐστι τούτου;
18 ἆρ᾿ ὁρᾶτε καὶ λογίζεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἐπιοῦσαν ὥραν τοῦ ἔτους, εἰς ἣν ἔρημόν τινες οἴονται δεῖν τὸν Ἑλλήσποντον ὑμῶν ποιῆσαι καὶ παραδοῦναι Φιλίππῳ; τί [g] δ᾿, ἂν ἀπελθὼν ἐκ Θρᾴκης [h] καὶ μηδὲ προσελθὼν Χεῤῥονήσῳ μηδὲ Βυζαντίῳ (καὶ [i] γὰρ ταῦτα λογίζεσθε) ἐπὶ Χαλκίδα [k] ἢ Μέγαρα ἥκῃ τὸν αὐτὸν τρόπον ὅνπερ ἐπ᾿ Ὠρεὸν [l] πρώην, πότερον κρεῖττον ἐνθάδε αὐτὸν ἀμύνεσθαι καὶ προσελθεῖν τὸν πόλεμον πρὸς τὴν Ἀττικὴν ἐᾶσαι, ἢ κατασκευάζειν ἐκεῖ τιν᾿ ἀσχολίαν αὐτῷ; ἐγὼ μὲν οἶμαι τοῦτο.

19 Ταῦτα τοίνυν ἅπαντας εἰδότας καὶ [m] λογιζομένους χρὴ μὰ Δί᾿ οὐχ ἣν Διοπείθης πειρᾶται [n] τῇ πόλει δύναμιν [o] παρασκευάζειν, ταύτην βασκαίνειν καὶ [p] διαλῦσαι πειρᾶσθαι, ἀλλ᾿ ἑτέραν αὐτοὺς προσπαρασκευάζειν καὶ συνευποροῦντας ἐκείνῳ χρημάτων καὶ τἆλλα οἰκείως συν-
20 αγωνιζομένους. εἰ γάρ τις ἔροιτο Φίλιππον, εἰπέ μοι, πότερ᾿ [q] ἂν βούλοιο τούτους τοὺς στρατιώτας οὓς Διοπείθης [r] νῦν ἔχει, τοὺς ὁποιουστινασοῦν (οὐδὲν γὰρ ἀντιλέγω)

[c] Διοπείθη F. Y. v. vulg. Διοπείθην.
[d] βοηθήσομεν] ἂν βοηθήσαιμεν S.
[e] αὐτῶι S. αὐτοὶ F. Y. O. u. v. αὐτοῖς γρ. F.
[f] δυνώμεθα] δυνηθώμεθα O.
[g] δ᾿] δαὶ F.
[h] καὶ μηδὲ] καὶ μὴ F.
[i] γὰρ om. S.
[k] ἢ] καὶ S.
[l] πρώην ante ἐπ᾿ ponunt F. O. u. v.
[m] λογιζομένους] λογισαμένους O.
[n] τῇ πόλει δύναμιν] δύναμιν τῇ πόλει Y.
[o] παρασκευάζειν] κατασκευάζειν F. κατασκευάζειν O. u. v.
[p] διαλῦσαι S. ceteri διαλύειν.
[q] ἂν om. F. O. u. v. in γρ. habet Y.
[r] νῦν om. pr. Y.

[s] εὐθενεῖν καὶ παρ᾽ Ἀθηναίους εὐδοξεῖν καὶ πλείους γίγ-
νεσθαι τῆς πόλεως συναγωνιζομένης, ἢ διαβαλλόντων
τινῶν καὶ κατηγορούντων διασπασθῆναι καὶ διαφθαρῆναι;
[t] τοῦτ᾽ ἂν οἶμαι φήσειεν. εἶθ᾽ ἃ Φίλιππος ἂν εὔξαιτο τοῖς
θεοῖς, ταῦθ᾽ ἡμῶν τινὲς ἐνθάδε πράττουσιν; εἶτα ἔτι ζη- 95
τεῖτε πόθεν τὰ τῆς πόλεως ἀπόλωλεν ἅπαντα;
21 Βούλομαι τοίνυν [[u] πρὸς] ὑμᾶς μετὰ παῤῥησίας ἐξε-
τάσαι τὰ παρόντα πράγματα τῇ πόλει, καὶ [x] σκέψα-
σθαι τί ποιοῦμεν αὐτοὶ νῦν καὶ ὅπως χρώμεθ᾽ αὐτοῖς.
ἡμεῖς οὔτε χρήματα εἰσφέρειν βουλόμεθα, οὔτε αὐτοὶ
στρατεύεσθαι [y] τολμῶμεν, οὔτε τῶν κοινῶν ἀπέχεσθαι
22 δυνάμεθα, οὔτε τὰς συντάξεις [z] Διοπείθει δίδομεν, οὔθ᾽
ὅσ᾽ ἂν αὐτὸς αὑτῷ πορίσηται ἐπαινοῦμεν, [a] ἀλλὰ βα-
σκαίνομεν καὶ σκοποῦμεν πόθεν καὶ τί μέλλει ποιεῖν καὶ
πάντα τὰ τοιαῦτα, οὔτ᾽ ἐπειδήπερ οὕτως ἔχομεν, τὰ
ἡμέτερ᾽ αὐτῶν πράττειν ἐθέλομεν, ἀλλ᾽ ἐν μὲν τοῖς λόγοις
τοὺς τῆς πόλεως λέγοντας ἄξια ἐπαινοῦμεν, ἐν δὲ τοῖς ἔρ-
23 γοις τοῖς ἐναντιουμένοις τούτοις συναγωνιζόμεθα. ὑμεῖς
μὲν [b] τοίνυν εἰώθατε ἑκάστοτε τὸν παριόντα ἐρωτᾷν τί οὖν
χρὴ ποιεῖν; ἐγὼ δ᾽ ὑμᾶς ἐρωτῆσαι βούλομαι τί οὖν χρὴ
λέγειν; εἰ γὰρ μήτε εἰσοίσετε, μήτε αὐτοὶ [c] στρατεύσεσθε,
μήτε τῶν κοινῶν ἀφέξεσθε, μήτε τὰς συντάξεις [d] Διοπεί-
θει δώσετε, μήτε ὅσ᾽ ἂν αὐτὸς αὑτῷ πορίσηται [e] ἐάσετε,
μήτε τὰ ὑμέτερ᾽ αὐτῶν πράττειν ἐθελήσετε, οὐκ ἔχω τί
λέγω. [f] εἰ γὰρ ἤδη τοσαύτην ἐξουσίαν τοῖς αἰτιᾶσθαι καὶ

[s] εὐθενεῖν F. S. Y. v. εὐσθενεῖν O. u.

[t] τοῦτ᾽] τοῦτ᾽ (α) F. ταῦτ᾽ S.

[u] [πρὸς] om. F. S. Y. O. u. v.

[x] σκέψασθαι] σκέψασθε (αι) F.

[y] τολμῶμεν om. S.

[z] Διοπείθει] διοπείθη O.

[a] ἀλλὰ βασκαίνομεν in margine S.

[b] τοίνυν] τοι S.

[c] στρατεύσεσθε] στρατεύεσθε S.

[d] Διοπείθει om. S.

[e] ἐάσετε] ἐάσατε O.

[f] εἰ] οἱ S.

διαβάλλειν [g] βουλομένοις [h] δίδοτε, ὥστε καὶ περὶ ὧν
[i] φασὶ μέλλειν αὐτὸν ποιεῖν, καὶ περὶ τούτων προκατη-
γορούντων [k] ἀκροᾶσθε, τί ἄν τις λέγοι;
24 Ὅ τι τοίνυν δύναται ταῦτα ποιεῖν, ἐνίους [l] μαθεῖν ὑμῶν
δεῖ. λέξω δὲ μετὰ παῤῥησίας· καὶ γὰρ οὐδ' ἂν ἄλλως
δυναίμην. [m] πάντες ὅσοι [n] πώποτ' ἐκπεπλεύκασι παρ'
ὑμῶν στρατηγοί, ἢ ἐγὼ πάσχειν ὁτιοῦν τιμῶμαι, καὶ 96
παρὰ Χίων καὶ παρὰ Ἐρυθραίων καὶ παρ' ὧν ἂν ἕκαστοι
δύνωνται, τούτων τῶν τὴν Ἀσίαν οἰκούντων λέγω, χρήμα-
25 τα λαμβάνουσιν. λαμβάνουσι δὲ οἱ μὲν ἔχοντες μίαν ἢ
δύο ναῦς ἐλάττονα, οἱ δὲ μείζω δύναμιν πλείονα. καὶ
διδόασιν οἱ διδόντες οὔτε τὰ μικρὰ οὔτε τὰ πολλὰ ἀντ'
οὐδενός (οὐ γὰρ οὕτω μαίνονται), ἀλλ' ὠνούμενοι [o] μὴ ἀδι-
κεῖσθαι τοὺς παρ' αὐτῶν ἐκπλέοντας ἐμπόρους, [p] μὴ συ-
λᾶσθαι, [q] παραπέμπεσθαι τὰ πλοῖα τὰ αὑτῶν, τὰ τοι-
αῦτα· φασὶ δ' [r] εὐνοίας διδόναι, καὶ τοῦτο τοὔνομα ἔχει
26 τὰ λήμματα ταῦτα. καὶ [s] δὴ καὶ νῦν τῷ Διοπείθει στρά-
τευμ' ἔχοντι σαφῶς ἐστὶ τοῦτο δῆλον ὅτι δώσουσι χρήματα
πάντες οὗτοι· πόθεν γὰρ οἴεσθε ἄλλοθεν τὸν μήτε [t] λαβόντα
παρ' ὑμῶν μηδὲν μήτε αὐτὸν ἔχοντα ὁπόθεν μισθοδοτήσει
στρατιώτας τρέφειν; ἐκ τοῦ οὐρανοῦ; οὐκ ἔστι ταῦτα, ἀλλ'
ἀφ' ὧν ἀγείρει καὶ προσαιτεῖ καὶ δανείζεται, ἀπὸ τούτων
27 διάγει. οὐδὲν οὖν ἄλλο ποιοῦσιν οἱ κατηγοροῦντες ἐν ὑμῖν, ἢ
προλέγουσιν ἅπασι μηδ' ὁτιοῦν ἐκείνῳ διδόναι, ὡς καὶ τοῦ

[g] βουλομένοις] βουλευομένοις u.
[h] δίδοτε] διδόντες S.
[i] φασὶ] ἂν φασι F. S. u. v.
[k] ἀκροᾶσθε] ἀκροᾶσθαι F. Y. u. v.
[l] μαθεῖν ὑμῶν S. Y. ceteri ὑμῶν μαθεῖν.
[m] πάντες] ἅπαντες Y.
[n] πώποτ'] ποτ' S.
[o] μὴ] τὸ μὴ Y.
[p] μὴ συλ.] μηδὲ συλ. F. O. u. v.
[q] παραπέμπεσθαι] παραπέμπεσθαι δὲ rec. O.
[r] εὐνοίας] εὐνοίᾳ F. Y. O. u. v.
[s] δὴ καὶ om. Y.
[t] λαβόντα] λαμβάνοντα v. et pr. Y.

μελλῆσαι δώσοντι δίκην, μή τι ποιήσαντί γε ἢ [u] συγκα-
ταπραξαμένῳ. τοῦτ᾽ εἰσὶν [x] οἱ λόγοι· μέλλει πολιορκεῖν,
τοὺς Ἕλληνας ἐκδίδωσι· μέλει γάρ τινι τούτων τῶν τὴν
Ἀσίαν οἰκούντων Ἑλλήνων, ἀμείνους μέντ᾽ ἂν εἶεν τῶν
28 ἄλλων ἢ τῆς πατρίδος κήδεσθαι. καὶ τό γε εἰς τὸν Ἑλ-
λήσποντον [y] ἐκπέμπειν ἕτερον στρατηγὸν τοῦτ᾽ ἐστίν. εἰ
γὰρ δεινὰ ποιεῖ Διοπείθης καὶ κατάγει τὰ πλοῖα, μι-
κρόν, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν πινάκιον ταῦτα πάντα
κωλῦσαι δύναιτ᾽ ἄν, καὶ λέγουσιν οἱ νόμοι ταῦτα, τοὺς 97
ἀδικοῦντας εἰσαγγέλλειν, οὐ μὰ Δί᾽ [z] δαπάναις καὶ τρι-
ήρεσι τοσαύταις [a] ἡμᾶς αὐτοὺς φυλάττειν, ἐπεὶ τοῦτό γ᾽
29 ἐστὶν ὑπερβολὴ μανίας· ἀλλ᾽ ἐπὶ μὲν τοὺς ἐχθρούς, οὓς
οὐκ ἔστι λαβεῖν ὑπὸ τοῖς νόμοις, καὶ στρατιώτας τρέ-
φειν καὶ τριήρεις ἐκπέμπειν καὶ χρήματα εἰσφέρειν δεῖ
καὶ ἀναγκαῖόν ἐστιν, ἐπὶ δ᾽ ἡμᾶς αὐτοὺς ψήφισμα, εἰσ-
αγγελία, πάραλος, ταῦτ᾽ ἐστὶν [b] ἱκανά. ταῦτ᾽ ἦν εὖ φρο-
νούντων ἀνθρώπων, ἐπηρεαζόντων δὲ καὶ διαφθειρόντων τὰ
30 πράγματα, ἃ νῦν οὗτοι ποιοῦσιν. καὶ τὸ μὲν τούτων τι-
νὰς εἶναι τοιούτους, δεινὸν ὂν οὐ δεινόν ἐστιν· ἀλλ᾽ ὑμεῖς
οἱ καθήμενοι οὕτως ἤδη διάκεισθε ὥστε, ἂν μέν τις εἴπῃ
παρελθὼν ὅτι Διοπείθης ἐστὶ [c] τῶν κακῶν πάντων αἴτιος
ἢ Χάρης ἢ Ἀριστοφῶν ἢ ὃν ἂν [d] εἴπῃ τις τῶν πολιτῶν,
31 εὐθέως φατὲ καὶ θορυβεῖτε ὡς ὀρθῶς λέγει· ἂν δὲ παρελ-
θὼν λέγῃ τις [e] τἀληθῆ, ὅτι “ληρεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι·
“πάντων τῶν κακῶν καὶ τῶν πραγμάτων τούτων Φίλιπ-
“πός ἐστιν αἴτιος· εἰ γὰρ ἐκεῖνος ἦγεν ἡσυχίαν, οὐδὲν

[u] συγκαταπραξαμένῳ] καταπραξαμένῳ S. Y.
[x] οἱ om. O. u.
[y] ἐκπέμπειν] εἰσπέμπειν S.
[z] δαπάναις] οὐ δαπάναις F. O. u. v.
[a] ἡμᾶς] ὑμᾶς F.
[b] ἱκανά om. S.
[c] τῶν κακῶν πάντων] πάντων τῶν κακῶν F. Y. O. u. v.
[d] εἴπῃ τις post πολιτῶν ponunt S. Y.
[e] τἀληθῆ] ἀληθῆ O.

“ ἂν ἦν πρᾶγμα τῇ πόλει,” ὡς μὲν οὐκ ἀληθῆ ταῦτ’
ἐστὶν [f] οὐκ ἔχετε ἀντιλέγειν, ἄχθεσθαι δέ μοι δοκεῖτε καὶ
32 ὥσπερ ἀπολλύναι τι νομίζειν. αἴτιον δὲ τούτων (καί μοι
πρὸς θεῶν, ὅταν ἕνεκα τοῦ βελτίστου λέγω, ἔστω παῤῥη-
σία)· παρεσκευάκασιν ὑμᾶς [g] ἐκ πολλοῦ τῶν πολιτευ-
ομένων ἔνιοι ἐν μὲν ταῖς ἐκκλησίαις φοβεροὺς καὶ χαλε-
πούς, ἐν δὲ ταῖς παρασκευαῖς ταῖς τοῦ πολέμου ῥᾳθύ-
μους καὶ εὐκαταφρονήτους. ἂν μὲν οὖν τὸν αἴτιον εἴπῃ
τις ὃν ἴστε ὅτι λήψεσθε παρ’ ὑμῖν αὐτοῖς, φατὲ καὶ βού-
λεσθε· ἂν δὲ τοιοῦτον λέγῃ τις, ὃν κρατήσαντας τοῖς 98
ὅπλοις, ἄλλως δ’ οὐκ ἔστι κολάσαι, οὐκ ἔχετ’ οἶμαι τί
33 ποιήσετε, ἐξελεγχόμενοι δὲ ἄχθεσθε. ἐχρῆν [h] δέ, ὦ ἄνδρες
Ἀθηναῖοι, τοὐναντίον ἢ νῦν ἅπαντας τοὺς πολιτευομένους
ἐν μὲν ταῖς ἐκκλησίαις πρᾴους καὶ φιλανθρώπους ὑμᾶς
ἐθίζειν εἶναι· πρὸς γὰρ ὑμᾶς αὐτοὺς καὶ τοὺς συμμά-
χους ἐν ταύταις ἐστὶ τὰ δίκαια· ἐν δὲ ταῖς παρασκευαῖς
[i] ταῖς τοῦ πολέμου φοβεροὺς καὶ χαλεποὺς ἐπιδεικνύναι·
πρὸς γὰρ τοὺς ἐχθροὺς καὶ τοὺς ἀντιπάλους [k] ἐν ἐκείναις
34 ἔσθ’ ὁ ἀγών. νῦν δὲ δημαγωγοῦντες ὑμᾶς καὶ χαριζόμε-
νοι καθ’ ὑπερβολὴν οὕτω διατεθείκασιν, ὥστ’ ἐν [l] μὲν ταῖς
ἐκκλησίαις τρυφᾶν καὶ κολακεύεσθαι [m] πάντα πρὸς ἡδο-
νὴν ἀκούοντας, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις
περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν. φέρε γὰρ πρὸς Διός,
εἰ λόγον ὑμᾶς ἀπαιτήσειαν [n] οἱ Ἕλληνες ὧν νυνὶ [o] παρεί-
35 κατε καιρῶν διὰ ῥᾳθυμίαν, καὶ ἔροινθ’ ὑμᾶς, “ ἄνδρες
“ Ἀθηναῖοι, πέμπετε ὡς ἡμᾶς [p] ἑκάστοτε πρέσβεις, καὶ

[f] οὐκ ἔχετε] οὐκ ἔχετε (χ, ξ superscr.) F. οὐχ ἕξετε S.
[g] ἐκ πολλοῦ om. S.
[h] δὲ] γὰρ S. et fortasse pr. F.
[i] ταῖς ante τοῦ om. S.
[k] ἐν ἐκείναις] ἐκεῖνος S.
[l] μὲν om. S.
[m] πάντα] πάντας O.
[n] οἱ om. O. v.
[o] παρείκατε Y. παρήκατε (ει superscr.) F. παρήκατε ceteri.
[p] ἑκάστοτε πρέσβεις om. pr. Y.

“ λέγετε ὡς ἐπιβουλεύει Φίλιππος ἡμῖν καὶ [q] πᾶσι τοῖς
“ Ἕλλησι καὶ ὡς φυλάττεσθαι δεῖ τὸν ἄνθρωπον καὶ
“ πάντα τὰ [r] τοιαῦτα,” ἀνάγκη φάσκειν καὶ ὁμολογεῖν·
ποιοῦμεν γὰρ ταῦτα. “ εἶτ᾽, ὦ πάντων ἀνθρώπων φαυ-
“ λότατοι, δέκα μῆνας ἀπογενομένου τἀνθρώπου καὶ νόσῳ
36 “ καὶ χειμῶνι καὶ πολέμοις [s] ἀποληφθέντος ὥστε μὴ
“ ἂν δύνασθαι ἐπανελθεῖν οἴκαδε, οὔτε τὴν Εὔβοιαν [t] ἠλευ-
“ θερώσατε οὔτε τῶν ὑμετέρων αὐτῶν οὐδὲν ἐκομίσασθε,
“ ἀλλ᾽ ἐκεῖνος μὲν ὑμῶν οἴκοι μενόντων, σχολὴν ἀγόντων,
“ ὑγιαινόντων,” εἰ [u] δὴ τοὺς τὰ τοιαῦτα ποιοῦντας ὑγιαί-
νειν φήσαιεν “ δύο ἐν Εὐβοίᾳ κατέστησε τυράννους, τὸν 99
“ μὲν ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπιτειχίσας, τὸν δ᾽ ἐπὶ
37 “ [x] Σκιάθῳ, ὑμεῖς δ᾽ οὐδὲ ταῦτ᾽ ἀπελύσασθε, εἰ μηδὲν
“ ἄλλο ἐβούλεσθε, ἀλλ᾽ εἰάκατε [y] καὶ ἀφέστατε δῆλον
“ ὅτι αὐτῷ, καὶ φανερὸν πεποιήκατε ὅτι οὐδ᾽ ἂν δεκάκις
“ ἀποθάνῃ, οὐδὲν μᾶλλον [z] ὑμεῖς γε κινήσεσθε. τί οὖν
“ [a] πρεσβεύεσθε καὶ κατηγορεῖτε καὶ πράγμαθ᾽ ἡμῖν
“ παρέχετε;” ἂν ταῦτα λέγωσι, τί ἐροῦμεν ἢ τί φήσομεν,
[b] ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ μὲν [c] γὰρ οὐχ ὁρῶ.

38 Εἰσὶ τοίνυν τινὲς οἳ τότ᾽ ἐξελέγχειν τὸν παριόντα οἴον-
ται, ἐπειδὰν [d] ἐρωτήσωσι τί οὖν χρὴ ποιεῖν; οἷς ἐγὼ μὲν
τὸ δικαιότατον [e] καὶ ἀληθέστατον τοῦτο ἀποκρινοῦμαι,
ταῦτα μὴ ποιεῖν ἃ νυνὶ ποιεῖτε, οὐ μὴν ἀλλὰ καὶ καθ᾽
ἕκαστον ἀκριβῶς ἐρῶ. καὶ ὅπως, ὥσπερ ἐρωτῶσι προθύ-

[q] πᾶσι—πάντα] ἅπασι—ἅπαντα F. O. u. v.
[r] τοιαῦτα] τοιαυτί S.
[s] ἀποληφθέντος] ἀπολειφθέντος S.
[t] ἠλευθερώσατε] ἠλευθερώσασθε O.
[u] δὴ—φήσαιεν] δεῖ—φῆσαι F. Y. O. u. v. (ον)
[x] Σκιάθῳ] σκιάθωι F. σκίαθον S.
[y] καὶ ante ἀφέστατε om. S.
[z] ὑμεῖς γε om. S.
[a] πρεσβεύεσθε] πρεσβεύετε (σθε) F. πρεσβεύετε S. u. v.
[b] ὦ ἄνδρες om. S.
[c] γὰρ om. u. v.
[d] ἐρωτήσωσι] ἐρωτήσηι S.
[e] καὶ ἀληθέστατον om. pr. O.

39 μως, οὕτω καὶ ποιεῖν [f] ἐθελήσουσιν. πρῶτον μέν, ὦ ἄνδρες
Ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ
πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκε (καὶ
παύσασθε περὶ [g] τούτου κατηγοροῦντες ἀλλήλων) καὶ κα-
κόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πό-
40 λεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει πᾶσιν
ἀνθρώποις, καὶ τοῖς μάλιστ' οἰομένοις αὐτῷ χαρίζεσθαι
(εἰ δὲ μή, [h] σκεψάσθωσαν [i] Εὐθυκράτη καὶ Λασθένη τοὺς
Ὀλυνθίους, οἳ δοκοῦντες οἰκειότατ' αὐτῷ διακεῖσθαι, ἐπει-
δὴ τὴν πόλιν προὔδοσαν, πάντων κάκιστ' ἀπολώλασιν),
οὐδενὶ μέντοι μᾶλλον ἢ τῇ πολιτείᾳ πολεμεῖ οὐδ' ἐπιβου-
λεύει, καὶ σκοπεῖ μᾶλλον οὐδὲ ἓν τῶν πάντων ἢ [k] ὅπως
41 ταύτην [l] καταλύσει. καὶ τοῦτ' εἰκότως τρόπον τινὰ [m] πράτ-
τει· οἶδε γὰρ ἀκριβῶς ὅτι οὐδ' ἂν πάντων τῶν ἄλλων
γένηται κύριος, οὐδὲν [n] ἔστ' αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν 100
ὑμεῖς δημοκρατῆσθε, ἀλλ' ἐάν ποτε συμβῇ [o] τι πταῖσμα,
[p] ἃ πολλὰ [q] γένοιτ' ἂν ἀνθρώπῳ, ἥξει πάντα τὰ νῦν [r] συμ-
42 βεβιασμένα καὶ καταφεύξεται πρὸς ὑμᾶς. ἐστὲ γὰρ
ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ
πεφυκότες, ἀλλ' ἕτερον λαβεῖν κωλῦσαι καὶ ἔχοντ' ἀφε-
λέσθαι δεινοί, καὶ ὅλως ἐνοχλῆσαι τοῖς ἄρχειν βουλομέ-
νοις καὶ πάντας ἀνθρώπους εἰς [s] ἐλευθερίαν ἀφελέσθαι
ἕτοιμοι. οὔκουν βούλεται τοῖς ἑαυτοῦ καιροῖς τὴν παρ'

[f] ἐθελήσουσιν] ἐθελήσωσιν F. O. u. v.

[g] τούτου] τούτων F. τούτων (ου) O. u. v.

[h] σκεψάσθωσαν] σκεψεσθ' ὡς ἂν S.

[i] Εὐθυκράτη καὶ Λασθένη] εὐθυκράτην καὶ λασθένην O. u.

[k] ὅπως] πῶς S.

[l] καταλύσει S. et correctus Y. ceteri καταλύσῃ.

[m] πράττει] νῦν γε δὴ πράττει F. O. u. v.

[n] ἔστ' S. vulg. ἔσται.

[o] τι] τινι S.

[p] ἃ] ἢ (ἃ) v. οἷα correctus u.

[q] γένοιτ' ἂν] ἂν γένοιτο Y.

[r] συμβεβιασμένα] βεβιασμένα F. Y. O. u. v.

[s] ἐλευθ. ἀφελέσθαι S. ceteri ἐλευθ. ἐξαφελέσθαι.

ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, [t] οὐδὲ πολλοῦ δεῖ, οὐ κακῶς
43 οὐδ' ἀργῶς ταῦτα λογιζόμενος. πρῶτον μὲν [u] δὴ διὰ τοῦτο
δεῖ ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δημοκρα-
τίας ἀδιάλλακτον ἐκεῖνον· εἰ γὰρ μὴ τοῦτο πεισθήσεσθε
ταῖς ψυχαῖς, οὐκ ἐθελήσετε ὑπὲρ τῶν πραγμάτων σπου-
δάζειν· δεύτερον δ' εἰδέναι σαφῶς ὅτι πάνθ' ὅσα πραγ-
ματεύεται καὶ κατασκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν
πόλιν [x] παρασκευάζεται, καὶ ὅπου τις ἐκεῖνον ἀμύνεται,
44 ἐνταῦθ' ὑπὲρ [y] ἡμῶν [z] ἀμυνεῖται. οὐ γὰρ [a] οὕτω γ' εὐήθης
ἐστὶν [b] ὑμῶν οὐδεὶς [c] ὃς ὑπολαμβάνει τὸν Φίλιππον τῶν
μὲν ἐν Θρᾴκῃ κακῶν ([d] τί γὰρ [e] ἄλλο τις ἂν εἴποι Δρογ-
γίλον καὶ [f] Καβύλην [g] καὶ Μάστειραν καὶ ἃ νῦν ἐξαιρεῖ
καὶ κατασκευάζεται;) τούτων μὲν ἐπιθυμεῖν, καὶ ὑπὲρ
τοῦ ταῦτα λαβεῖν καὶ πόνους καὶ χειμῶνας καὶ τοὺς
45 ἐσχάτους κινδύνους ὑπομένειν, τῶν δὲ [h] Ἀθήνῃσι λιμένων
καὶ νεωρίων καὶ [i] τριήρων καὶ [k] τῶν ἔργων τῶν [l] ἀργυρείων
καὶ τοσούτων προσόδων οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν
[m] ἐάσειν ὑμᾶς ἔχειν, ὑπὲρ δὲ τῶν [n] μελινῶν καὶ τῶν ὀλυ-
ρῶν τῶν ἐν τοῖς Θρᾳκίοις [o] σιροῖς ἐν τῷ βαράθρῳ χειμά- 101
ζειν. οὐκ ἔστι ταῦτα, ἀλλὰ κἀκεῖνα ὑπὲρ [p] τοῦ τούτων
46 γενέσθαι κύριος καὶ τἆλλα πάντα πραγματεύεται. τί οὖν

[t] οὐδὲ] οὐ pr. O.
[u] δὴ διὰ] ἂν S.
[x] παρασκευάζεται] π̊ αρ̊ ασκευάζεται u. v.
[y] ἡμῶν] ὑμῶν S. Y. O. ηυμῶν F.
[z] ἀμυνεῖται] ἀμύνεται S. et correctus Y.
[a] οὕτω γ' εὐήθης ἐστὶν] οὕτως ἐστὶν εὐήθης Y.
[b] ὑμῶν om. S.
[c] ὃς ὑπολαμβάνει] ὥστε ὑπολαμβάνειν F. Y. O. u. v.
[d] τί] οὐ S.
[e] ἄλλο τις ἂν] ἂν ἄλλο τις Y.
[f] Καβύλην] καβυδην S.
[g] καὶ Μάστειραν om. pr. S.
[h] Ἀθήνῃσι] ἀθηναίων S.
[i] τριήρων O. u. vulg. τριηρῶν.
[k] τῶν ἔργων om. pr. O.
[l] ἀργυρείων] ἀργυριων F.
[m] ἐάσειν ὑμᾶς] ἐάσειν ἡμᾶς S. ἐάσειν ὑ(ἡ)μᾶς F. ὑμᾶς ἐάσειν Y.
[n] μελινῶν] μελίνῶν F. μελίνων u. μελίων v.
[o] σιροῖς] σειροις pr. F. S.
[p] τοῦ om. O.

εὖ φρονούντων ἀνθρώπων ἐστίν; εἰδότας ταῦτα καὶ ἐγνωκό-
τας τὴν μὲν ὑπερβάλλουσαν καὶ [q] ἀνήκεστον ταύτην ῥαθυ-
μίαν ἀποθέσθαι, χρήματα δ' εἰσφέρειν, καὶ τοὺς συμμά-
χους ἀξιοῦν, καὶ ὅπως τὸ συνεστηκὸς τοῦτο [r] συμμενεῖ
στράτευμα ὁρᾶν καὶ πράττειν, ἵν' ὥσπερ ἐκεῖνος [s] ἕτοιμον
ἔχει δύναμιν τὴν ἀδικήσουσαν καὶ καταδουλωσομένην ἅ-
παντας τοὺς Ἕλληνας, οὕτω τὴν σώσουσαν ὑμεῖς καὶ βοη-
47 θήσουσαν ἅπασιν ἕτοιμον ἔχητε. οὐ γὰρ [t] ἔστι βοηθείαις
χρωμένους οὐδέποτ' οὐδὲν τῶν δεόντων πρᾶξαι, ἀλλὰ κα-
τασκευάσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας
καὶ ταμίας [u] καὶ δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν χρη-
48 μάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι, οὕτω ποιήσαντας,
τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβάνειν, τὸν
δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ. κἂν οὕτω ποιήσητε
καὶ [x] ταῦτ' ἐθελήσητε ὡς ἀληθῶς, ἄγειν εἰρήνην δικαίαν
[y] καὶ μένειν ἐπὶ τῆς αὑτοῦ Φίλιππον ἀναγκάσετε, οὗ μεῖ-
ζον [z] οὐδὲν ἂν γένοιτ' ἀγαθόν, ἢ πολεμήσετ' ἐξ ἴσου.
49 Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης [a] μεγάλης καὶ
πόνων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς
δοκεῖ· ἀλλ' ἐὰν [b] λογίζηται τὰ τῇ πόλει μετὰ ταῦτα
γενησόμενα, ἂν ταῦτα μὴ ἐθέλῃ [c] ποιεῖν, εὑρήσει λυσιτε-
50 λοῦν τὸ [d] ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις
ἐγγυητὴς [e] ὑμῖν [f] θεῶν (οὐ γὰρ ἀνθρώπων γ' οὐδεὶς ἂν γέ-
νοιτο ἀξιόχρεως τηλικούτου πράγματος) ὡς, ἂν ἄγηθ'

[q] ἀνήκεστον] ἀνεικαστον S.
[r] συμμενεῖ] συμμένει F. Y. O. u. et correctus v. συμμένοι S.
[s] ἕτοιμον—ἕτοιμον S. ἑτοιμὴν—ἑτοιμὴν F. ceteri ἑτοίμην.
[t] ἔστι] ἔνεστι F.
[u] καὶ ante δημοσίους expungit O.
[x] ταῦτ'] τότε S.
[y] καὶ ante μένειν om. S.
[z] οὐδὲν] οὐθὲν u.
[a] μεγάλης] πολλῆς F.
[b] λογίζηται S. ceteri λογίσηται.
[c] ποιεῖν om. S.
[d] ἑκόντας] ἑκόντα Y.
[e] ὑμῖν] ἡμῖν F. Y. O. u. v. om. S.
[f] θεῶν] τῶν θεῶν O.

ἡσυχίαν καὶ ἅπαντα πρόησθε, οὐκ [g] ἐπ' αὐτοὺς ὑμᾶς τε-
λευτῶν ἐκεῖνος ἥξει, αἰσχρὸν [h] μὲν νὴ τὸν Δία καὶ πάντας 102
[i] τοὺς θεοὺς καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ
πόλει καὶ πεπραγμένων τοῖς προγόνοις, τῆς ἰδίας [k] ἕνε-
κα ῥᾳθυμίας τοὺς ἄλλους [l] πάντας Ἕλληνας εἰς δουλείαν
προέσθαι, καὶ ἔγωγε αὐτὸς [m] μὲν τεθνάναι μᾶλλον [n] ἂν
ἢ ταῦτ' εἰρηκέναι βουλοίμην· οὐ μὴν ἀλλ' εἴ τις ἄλλος
λέγει καὶ ὑμᾶς πείθει, ἔστω, μὴ ἀμύνεσθε, ἅπαντα πρό-
51 εσθε. εἰ δὲ [o] μηδενὶ τοῦτο [p] δοκεῖ, τοὐναντίον [q] δὲ πρόϊσμεν
ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων [r] ἐάσωμεν ἐκεῖνον γενέσθαι
κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθα
ἐχθρῷ, ποῖ ἀναδυόμεθα ἢ τί μέλλομεν; ἢ πότε, ὦ ἄνδρες
52 Ἀθηναῖοι, τὰ δέοντα ποιεῖν ἐθελήσομεν; ὅταν νὴ Δί' [s] ἀνάγκη
τις ᾖ. ἀλλ' ἣν μὲν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴ-
ποι, οὐ μόνον ἤδη πάρεστιν ἀλλὰ καὶ πάλαι παρελήλυ-
θε· τὴν δὲ τῶν δούλων ἀπεύχεσθαι [t] δήπου μὴ γενέσθαι δεῖ.
διαφέρει δὲ τί; ὅτι ἐστὶν ἐλευθέρῳ μὲν ἀνθρώπῳ μεγίστη
ἀνάγκη ἡ ὑπὲρ τῶν [u] γιγνομένων αἰσχύνη, καὶ μείζω ταύ-
της οὐκ οἶδ' ἥντιν' [x] ἂν [y] εἴποι τις· δούλῳ δὲ πληγαὶ καὶ
ὁ τοῦ σώματος αἰκισμός, ἃ μήτε γένοιτ' οὔτε λέγειν
ἄξιον.

53 Πάντα τοίνυν τἄλλ' [z] εἰπὼν ἂν ἡδέως, καὶ δείξας ὃν

[g] ἐπ' αὐτοὺς ὑμᾶς] ἐφ' ὑμᾶς αὐτοὺς Y. ἐπ' αὐτοὺς ἡμᾶς O. u. v.
[h] μὲν] μὲν γὰρ F.
[i] τοὺς om. Y.
[k] ἕνεκα] ἕνεκεν O. u. v.
[l] πάντας ἕλληνας S. ἅπαντας ἕλληνας F. Y. ἕλληνας ἅπαντας O. u. v.
[m] μὲν] ἂν F. O. u. v. om. Y.
[n] ἂν om. F. O. u. v.
[o] μηδενὶ] μηδενὶ μὲν Y. O. u. v.
[p] δοκεῖ] μήτε δοκῆι S.
[q] δὲ] τε F. (δε superscript)
[r] ἐάσωμεν ἐκεῖνον] ἐκεῖνον ἐάσωμεν Y.
[s] ἀνάγκη τις] ἀναγκαῖον S.
[t] δήπου μὴ γενέσθαι om. S.
[u] γιγνομένων] πραγμάτων F. O. u. v.
[x] ἂν om. pr. Y.
[y] εἴποι τις] εἴπη τις O. u. et correctus v. εἴποιμεν S.
[z] εἰπὼν] εἴπω μὲν S.

τρόπον ὑμᾶς ἔνιοι καταπολιτεύονται, τὰ μὲν ἄλλα ἐάσω·
ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμπέσῃ, εὐθὺς ἀνα-
στάς τις λέγει τὸ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθὸν καὶ τὸ
τρέφειν δύναμιν μεγάλην ὡς χαλεπόν, καὶ "διαρπάζειν
"τινὲς τὰ χρήματα βούλονται" καὶ τοιούτους λόγους, ἐξ
ὧν ἀναβάλλουσι μὲν ὑμᾶς, ἡσυχίαν δὲ ποιοῦσιν ἐκείνῳ
54 πράττειν ὅ τι βούλεται. ἐκ δὲ τούτων περιγίγνεται [a] ὑμῖν
μὲν ἡ σχολὴ καὶ τὸ μηδὲν [b] ἤδη ποιεῖν, ἃ δέδοιχ' [c] ὅπως 103
μήποθ' [d] ἡγήσησθε ἐπὶ πολλῷ γεγενῆσθαι, τούτοις δὲ αἱ
χάριτες καὶ ὁ μισθὸς ὁ τούτων. ἐγὼ δ' οἶμαι τὴν [e] μὲν
εἰρήνην ἄγειν οὐχ ὑμᾶς δεῖν πείθειν, οἳ πεπεισμένοι κάθη-
55 σθε, ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖ-
νος πεισθῇ, τά γ' ἀφ' ὑμῶν ἕτοιμα [f] ὑπάρχει· νομίζειν
δ' εἶναι [g] χαλεπὰ οὐχ ὅσ' ἂν εἰς σωτηρίαν δαπανῶμεν,
ἀλλ' ἃ πεισόμεθα, [h] ἂν ταῦτα μὴ ἐθέλωμεν ποιεῖν· καὶ
τὸ "[i] διαρπασθήσεται τὰ χρήματα" τῷ φυλακὴν εἰπεῖν,
δι' [k] ἧς σωθήσεται, κωλύειν, οὐχὶ τῷ τοῦ συμφέροντος
56 ἀφεστάναι. [l] καίτοι ἔγωγ' ἀγανακτῶ καὶ αὐτὸ τοῦτο, ὦ
ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν χρήματα λυπεῖ τινὰς [m] ὑμῶν,
εἰ διαρπασθήσεται, ἃ καὶ φυλάττειν καὶ κολάζειν τοὺς
ἀδικοῦντας ἐφ' ὑμῖν ἐστί, τὴν δὲ Ἑλλάδα πᾶσαν [n] ἐφεξῆς
οὑτωσὶ Φίλιππος ἁρπάζων οὐ λυπεῖ, καὶ ταῦτ' ἐφ' [o] ὑμᾶς
ἁρπάζων.

57 Τί ποτ' οὖν ἐστὶ τὸ αἴτιον ὦ ἄνδρες Ἀθηναῖοι [p] τοῦ τὸν

[a] ὑμῖν] ημῖν (ὑ) F.
[b] ἤδη] εἶναι S.
[c] ὅπως om. pr. O.
[d] ἡγήσησθε] ἡγήσεσθε O.
[e] μὲν om. Y.
[f] ὑπάρχει] ὑπάρχειν pr. S.
[g] χαλεπὰ] τὰ χαλεπὰ O.
[h] ἂν ταῦτα μὴ ἐθέλωμεν om. pr. Y.
[i] διαρπασθήσεται] διαρπασθήσεσθαι Y. u. v. correctus O. pr. S.
[k] ἧς] ἣν F.
[l] καίτοι] καίτοιγε F.
[m] ὑμῶν—ὑμῖν] ἡμῶν—ἡμῖν (ὑ) F.
[n] ἐφεξῆς post Φίλιππον ponit S.
[o] ὑμᾶς] ἡμᾶς S.
[p] τοῦ] τὸ F. S. Y.

μὲν οὕτω φανερῶς στρατεύοντα, ἀδικοῦντα, πόλεις κατα-
λαμβάνοντα, μηδένα [q] πώποτε τούτων εἰπεῖν ὡς [r] πόλε-
μον ποιεῖ, τοὺς δὲ μὴ ἐπιτρέπειν μηδὲ προΐεσθαι ταῦτα
συμβουλεύοντας, τούτους τὸν πόλεμον [s] ποιεῖν αἰτιᾶσθαι;
58 [t] ἐγὼ διδάξω· ὅτι τὴν ὀργὴν ἣν εἰκός ἐστι [u] γενέσθαι παρ'
[x] ὑμῶν, ἄν τι λυπῆσθε τῷ πολέμῳ, εἰς τοὺς ὑπὲρ ὑμῶν
λέγοντας τὰ βέλτιστα τρέψαι βούλονται, ἵνα τούτους
κρίνητε, μὴ Φίλιππον ἀμύνησθε, καὶ [y] κατηγορῶσιν αὐτοί,
μὴ [z] δίκην δῶσιν ὧν ποιοῦσι νῦν. τοῦτ' αὐτοῖς δύναται τὸ
λέγειν ὡς ἄρα βούλονται πόλεμόν τινες ποιῆσαι παρ'
59 ὑμῖν, καὶ περὶ [a] τούτου ἡ διαδικασία αὕτη ἐστίν. ἐγὼ [b] δ'
οἶδα ἀκριβῶς ὅτι οὐ γράψαντος Ἀθηναίων οὐδενὸς [c] πόλε- 104
μον καὶ ἄλλα πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως
καὶ νῦν εἰς Καρδίαν πέπομφε βοήθειαν. εἰ μέντοι βουλό-
μεθ' ἡμεῖς μὴ προσποιεῖσθαι πολεμεῖν αὐτὸν ἡμῖν, ἀνοη-
τότατος πάντων ἂν εἴη τῶν ὄντων ἀνθρώπων, εἰ τοῦτ' ἐξε-
60 λέγχοι. ἀλλ' ἐπειδὰν [d] ἐπ' αὐτοὺς ἡμᾶς ἴῃ, τί [e] φήσομεν;
ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν [f] ἡμῖν, ὥσπερ οὐδ' Ὠρείταις
τῶν στρατιωτῶν ὄντων ἐν τῇ χώρᾳ, οὐδὲ Φεραίοις πρότερον
[g] πρὶν ἢ πρὸς τὰ τείχη [h] προσβαλεῖν αὐτῶν, οὐδ' Ὀλυν-
θίοις ἐξ ἀρχῆς, [i] ἕως ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα παρ-
ῆν ἔχων. ἢ καὶ τότε τοὺς ἀμύνεσθαι κελεύοντας πόλεμον
ποιεῖν φήσομεν; οὐκοῦν ὑπόλοιπον δουλεύειν· οὐ γὰρ ἄλ-

[q] πώποτε τούτων] τούτων πώποτ' S.
[r] πόλεμον] ἀδικεῖ καὶ πόλεμον F. Y. O. u. v.
[s] ποιεῖν] ποιήσειν S.
[t] ἐγὼ] ἐγὼ δὲ S.
[u] γενέσθαι] γίγνεσθαι F. O. u. v.
[x] ὑμῶν] ὑμῖν S.
[y] κατηγορῶσιν] κατηγορῶσι μὲν F. Y. O. u. v.
[z] δίκην] δίκην δὲ F. Y. O. u. v.
[a] τούτου] τούτ$\overset{ου}{ων}$ F. τούτων Y. O. u. v.
[b] δ' om. O.
[c] πόλεμον] πω πόλεμον S.
[d] ἐπ' αὐτοὺς ἡμᾶς] ἐφ' ἡμᾶς αὐτοὺς F. O. u. v.
[e] φήσομεν] φήσομεν τότε Y.
[f] ἡμῖν om. S.
[g] πρὶν ἢ om. S.
[h] προσβαλεῖν] προσβάλλων S.
[i] ἕως] ἕως ἂν Y. O. u. v.

λο γ' οὐδέν ἐστι μεταξὺ τοῦ μήτ' ἀμύνεσθαι μήτ' ἄγειν
61 ἡσυχίαν ἐᾶσθαι. καὶ μὴν οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν [k] τε
καὶ [l] τοῖς ἄλλοις ἔσθ' ὁ κίνδυνος· οὐ γὰρ ὑφ' αὑτῷ τὴν
πόλιν ποιήσασθαι βούλεται Φίλιππος, ἀλλ' ὅλως ἀνε-
λεῖν. οἶδε γὰρ ἀκριβῶς ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτ' ἐθε-
λήσετε οὔτ', ἂν ἐθελήσητε, [m] ἐπιστήσεσθε (ἄρχειν γὰρ εἰώ-
θατε), πράγματα δ' αὐτῷ παρασχεῖν, ἂν καιρὸν λάβη-
τε, πλείω [n] τῶν ἄλλων [o] ἀνθρώπων ἁπάντων δυνήσεσθε.
62 Ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ὄντος τοῦ ἀγῶνος [p] προσήκει
οὕτω γιγνώσκειν, καὶ τοὺς πεπρακότας αὑτοὺς ἐκείνῳ
μισεῖν καὶ ἀποτυμπανίσαι· οὐ γὰρ ἔστιν, οὐκ ἔστι τῶν
ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ
τῇ πόλει κολάσητ' ἐχθροὺς [q] ὑπηρετοῦντας ἐκείνῳ, ἀλλ'
ἀνάγκη τούτοις ὥσπερ προβόλοις προσπταίοντας ὑστερί-
63 ζειν ἐκείνων. [r] πόθεν οἴεσθε νῦν αὐτὸν ὑβρίζειν [s] ὑμᾶς (οὐ-
δὲν γὰρ ἄλλο [t] ἔμοιγε δοκεῖ ποιεῖν ἢ τοῦτο) καὶ τοὺς μὲν
ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾷν, ὑμῖν δ'
ἀπειλεῖν ἤδη; οἷον Θετταλοὺς πολλὰ δοὺς [u] ὑπηγάγετο
64 εἰς τὴν νῦν παροῦσαν δουλείαν· οὐδ' ἂν εἰπεῖν δύναιτ' οὐ-
δεὶς ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους πρότερον δοὺς Πο-
τίδαιαν ἐξηπάτησε καὶ πολλ' ἕτερα· Θηβαίους [x] τὰ νῦν
[y] ὑπάγεται τὴν Βοιωτίαν αὐτοῖς παραδοὺς καὶ ἀπαλλά-
ξας πολέμου πολλοῦ καὶ χαλεποῦ· ὥστε καρπωσάμε-

[k] τε om. F.

[l] τοῖς in γρ. Y.

[m] ἐπιστήσεσθε] ἐπίστασθε F.Y. O.u.v.

[n] τῶν] τούτων τῶν O.

[o] ἀνθρώπων ἁπάντων] ἁπάντων ἀνθρώπων S.

[p] προσήκει οὕτω] οὕτω προσήκει Y. et γρ. F. προσῆκεν οὕτω F.O. u.v.

[q] ὑπηρετοῦντας—ὑστερίζειν ἐκείνων om. pr. S.

[r] πόθεν] πόθεν γὰρ F.Y.O.u.v.

[s] ὑμᾶς] εἰς ὑμᾶς O.u.v.

[t] ἔμοιγε] ἐμοὶ F.

[u] ὑπηγάγετο] ἐπηγάγετο S.

[x] τὰ νῦν Schaeferus (meletem. p. 67.) τε νῦν Y.O.u.v, et rec. F.

[y] ὑπάγει] ὑπάγεται Reiskius.

νοί τινα [z] ἕκαστοι τούτων πλεονεξίαν οἱ μὲν ἤδη πεπόνθα-
σιν ἃ δὴ πάντες ἴσασιν, οἱ δ' [a] ὅ τι ἂν ποτε συμβῇ πεί-
65 σονται. ὑμεῖς δὲ ὧν μὲν ἀπεστέρησθε, σιωπῶ· ἀλλ' ἐν
αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι, πόσα ἐξηπάτησθε! πό-
σων ἀπεστέρησθε! οὐχὶ Φωκέας, οὐ Πύλας, οὐχὶ τὰ ἐπὶ
Θρᾴκης, Δορίσκον, Σέῤῥιον, τὸν Κερσοβλέπτην αὐτόν; οὐ
66 νῦν τὴν πόλιν [b] τὴν Καρδιανῶν ἔχει καὶ ὁμολογεῖ; τί
ποτ' οὖν ἐκείνως τοῖς ἄλλοις καὶ οὐ τὸν αὐτὸν τρόπον ὑμῖν
προσφέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ [c] ὑμετέρᾳ
ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται, καὶ λαβόντα χρή-
ματ' αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ' ὑμῖν, κἂν ἀφῃρη-
67 μένοι τὰ ὑμέτερα αὐτῶν ἦτε. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν
Ὀλύνθῳ τὰ Φιλίππου μὴ συνευπεπονθότων τῶν πολλῶν
Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι· οὐκ ἦν ἀσφαλὲς
λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου [d] μὴ συνευπεπονθότος τοῦ
πλήθους [e] τοῦ Θετταλῶν τῷ τοὺς τυράννους ἐκβαλεῖν Φί-
λιππον αὐτοῖς καὶ τὴν Πυλαίαν ἀποδοῦναι· οὐκ ἦν ἐν
Θήβαις ἀσφαλές, πρὶν τὴν Βοιωτίαν [f] ἀπέδωκε καὶ τοὺς
68 Φωκέας ἀνεῖλεν. ἀλλ' Ἀθήνῃσιν οὐ μόνον Ἀμφίπολιν καὶ 106
τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ
καὶ κατασκευάζοντος ὑμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν καὶ
νῦν ἐπὶ Βυζάντιον παριόντος, ἀσφαλές ἐστι λέγειν [g] ὑπὲρ
69 Φιλίππου. [h] τοιγάρτοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ
πλούσιοι [i] γεγόνασι καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδοξοι
καὶ γνώριμοι, ὑμεῖς δὲ τοὐναντίον ἐκ μὲν ἐνδόξων ἄδοξοι,
ἐκ δ' εὐπόρων ἄποροι· πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγου-

[z] ἕκαστοι] ἕκαστον u.
[a] ὅ τι ἂν] ὅταν S.
[b] τὴν Καρδιανῶν] τῶν καρδιανῶν Y. O. u.
[c] ὑμετέρᾳ] Libri ἡμετέρᾳ.
[d] μὴ συνευπεπονθότος] μηδὲν εὐπεπονθότος S. Y. μηδὲν εὖ πεπονθότος F. u. v.
[e] τοῦ Θετταλῶν] τῶν (ου) θετταλῶν Y. τῶν θετταλῶν S. u.
[f] ἀπέδωκε] παρέδωκε Y.
[g] ὑπὲρ] περὶ S.
[h] τοιγάρτοι] καιγάρτοι Y.
[i] γεγόνασι] γίγνονται S.

μαι συμμάχους, πίστιν, εὔνοιαν, ὧν ἁπάντων ἔσθ' ὑμεῖς
70 ἄποροι. [k] ἐκ δὲ τοῦ τούτων ὀλιγώρως [l] ὑμᾶς ἔχειν καὶ ἐᾶν
[m] ταῦτα [n] φέρεσθαι ὁ μὲν εὐδαίμων καὶ μέγας καὶ φο-
βερὸς πᾶσιν Ἕλλησι καὶ [o] βαρβάροις, ὑμεῖς δ' ἔρημοι
καὶ ταπεινοί, τῇ [p] μὲν τῶν ὠνίων ἀφθονίᾳ λαμπροί, τῇ
71 δ' ὧν προσῆκε παρασκευῇ καταγέλαστοι. οὐ τὸν αὐτὸν
δὲ τρόπον περί θ' ὑμῶν καὶ περὶ αὑτῶν ἐνίους τῶν λεγόν-
των ὁρῶ βουλευομένους· ὑμᾶς [q] μὲν γὰρ ἡσυχίαν ἄγειν
φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ, αὐτοὶ δ' οὐ δύνανται
παρ' ὑμῖν ἡσυχίαν ἄγειν οὐδενὸς αὐτοὺς ἀδικοῦντος.
72 Εἶτα φησὶν ὃς ἂν τύχῃ παρελθών "οὐ γὰρ ἐθέλεις
"γράφειν, οὐδὲ κινδυνεύειν, ἀλλ' ἄτολμος εἶ καὶ μαλα-
"κός." ἐγὼ δὲ θρασὺς μὲν καὶ βδελυρὸς καὶ ἀναιδὴς
οὔτ' εἰμὶ [r] μήτε γενοίμην, ἀνδρειότερον [s] μέντοι [t] πολλῷ
πάνυ τῶν ἰταμῶς πολιτευομένων παρ' ὑμῖν ἐμαυτὸν ἡγοῦ-
73 μαι. ὅστις μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, παριδὼν ἃ συν-
οίσει τῇ πόλει, κρίνει, δημεύει, δίδωσι, κατηγορεῖ, οὐδε-
μιᾷ ταῦτ' [u] ἀνδρίᾳ ποιεῖ, ἀλλ' ἔχων ἐνέχυρον τῆς αὑτοῦ
σωτηρίας τὸ πρὸς χάριν ὑμῖν λέγειν καὶ πολιτεύεσθαι 107
74 ἀσφαλῶς θρασύς ἐστιν· ὅστις δ' ὑπὲρ τοῦ βελτίστου
πολλὰ τοῖς [x] ὑμετέροις ἐναντιοῦται βουλήμασι, καὶ μηδὲν
λέγει πρὸς χάριν [y] ἀλλὰ τὸ βέλτιστον ἀεί, καὶ [z] τὴν τοι-
αύτην πολιτείαν προαιρεῖται ἐν ᾗ πλειόνων ἡ τύχη κυρία
γίγνεται ἢ οἱ λογισμοί, τούτων δ' ἀμφοτέρων [a] ἑαυτὸν

[k] ἐκ δὲ τοῦ] ἑκάστου S. et γρ. F. ἐκ δὲ pr. Y.

[l] ὑμᾶς om. S. et pr. F.

[m] ταῦτα] τούτων correctus S. et γρ. F.

[n] φέρεσθαι] στέρεσθαι S. et γρ. F.

[o] βαρβάροις] βαρβάροις γέγονεν Y. O. u. v.

[p] μὲν om. S.

[q] μὲν om. O.

[r] μήτε] οὔτε S.

[s] μέντοι] δὲ O.

[t] πολλῷ] πολλῶν F. S.

[u] ἀνδρίᾳ] ἀνδρείαι F. S. Y.

[x] ὑμετέροις] ἡμετέροις F.

[y] ἀλλὰ] ἀλλὰ πρὸς O.

[z] τὴν om. Y.

[a] ἑαυτὸν post ὑμῖν ponunt F. O. u. v.

ὑπεύθυνον ὑμῖν παρέχει, οὗτός ἐστ' ἀνδρεῖος, καὶ χρήσι-
75 μός [b] γε πολίτης ὁ τοιοῦτός ἐστιν, οὐχ οἱ τῆς παρ' ἡμέραν χάριτος τὰ μέγιστα τῆς πόλεως ἀπολωλεκότες· οὓς ἐγὼ τοσούτου δέω ζηλοῦν ἢ νομίζειν ἀξίους πολίτας τῆς πόλεως εἶναι, ὥστ' εἴ τις ἔροιτό με "εἰπέ μοι, σὺ δὲ [c] δὴ "τί τὴν πόλιν [d] ἡμῶν ἀγαθὸν πεποίηκας;" ἔχων ὦ ἄνδρες Ἀθηναῖοι καὶ τριηραρχίας εἰπεῖν καὶ χορηγίας καὶ χρημάτων εἰσφορὰς καὶ λύσεις αἰχμαλώτων καὶ τοιαύτας
76 ἄλλας φιλανθρωπίας, οὐδὲν ἂν τούτων εἴποιμι, ἀλλ' ὅτι τῶν τοιούτων πολιτευμάτων οὐδὲν [e] πολιτεύομαι, ἀλλὰ δυνάμενος ἂν ἴσως, ὥσπερ καὶ ἕτεροι, [f] κατηγορεῖν καὶ χαρίζεσθαι καὶ δημεύειν καὶ τἆλλ' ἃ ποιοῦσιν οὗτοι ποιεῖν, οὐδ' ἐφ' [g] ἑνὶ τούτων πώποτ' ἐμαυτὸν ἔταξα οὐδὲ
77 προήχθην οὔθ' ὑπὸ κέρδους οὔθ' ὑπὸ φιλοτιμίας, ἀλλὰ [h] διαμένω λέγων ἐξ ὧν [i] ἐγὼ μὲν πολλῶν ἐλάττων εἰμὶ παρ' ὑμῖν, ὑμεῖς δέ, εἰ [k] πείθοισθέ μοι, μείζους ἂν εἴητε· οὕτω γὰρ [l] ἴσως ἀνεπίφθονον εἰπεῖν. οὐδέ [m] γ' ἐμοὶ δοκεῖ δικαίου τοῦτ' εἶναι πολίτου, τοιαῦτα πολιτεύμαθ' εὑρίσκειν ἐξ ὧν [n] ἐγὼ μὲν πρῶτος ὑμῶν ἔσομαι εὐθέως, ὑμεῖς
78 δὲ τῶν ἄλλων ὕστατοι· ἀλλὰ συναυξάνεσθαι δεῖ τὴν πόλιν τοῖς τῶν ἀγαθῶν πολιτῶν πολιτεύμασι, καὶ τὸ βέλτιστον ἀεί, μὴ τὸ ῥᾷστον ἅπαντας λέγειν· ἐπ' [o] ἐκεῖνο μὲν γὰρ ἡ [p] φύσις αὐτὴ βαδιεῖται, ἐπὶ τοῦτο δὲ τῷ λόγῳ δεῖ 108
προάγεσθαι διδάσκοντα τὸν ἀγαθὸν πολίτην.

[b] γε om. S.
[c] δὴ om. S. et pr. O.
[d] ἡμῶν] ἡμῖν S.
[e] πολιτεύομαι] πεπολίτευμαι Y.
[f] κατηγορεῖν] καὶ κατηγορεῖν S. Y.
[g] ἑνὶ] ἓν S.
[h] διαμένω om. pr. S. μένω rec. S.
[i] ἐγὼ μὲν] τ' ἐγὼ O.
[k] πείθοισθέ] πειθεσθε S.
[l] ἴσως] ἂν ἴσως F. S. O. u. v.
[m] γ' ἐμοὶ] ἔμοιγε S.
[n] ἐγὼ μὲν] μὲν ἐγὼ F.
[o] ἐκεῖνο] ἐκεῖνον S.
[p] φύσις αὐτὴ] φύσις· εἶτα ἐκείνων μὲν ἡ φύσις αὔτη Y.

79 Ἤδη τοίνυν τινὸς ἤκουσα [q] καὶ τοιοῦτόν τι λέγοντος, ὡς ἄρα ἐγὼ λέγω μὲν ἀεὶ τὰ βέλτιστα, ἔστι δ᾽ οὐδὲν ἀλλ᾽ ἢ λόγοι τὰ παρ᾽ ἐμοῦ, δεῖ δ᾽ ἔργων τῇ πόλει καὶ πράξεώς τινος. ἐγὼ δ᾽ ὡς ἔχω περὶ τούτων, λέξω πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. [r] οὐδ᾽ εἶναι νομίζω τοῦ συμβουλεύοντος ὑμῖν ἔργον οὐδὲν πλὴν εἰπεῖν τὰ βέλτιστα. καὶ τοῦθ᾽ ὅτι τοῦτον ἔχει τὸν τρόπον, ῥᾳδίως οἶμαι δείξειν.
80 ἴστε γὰρ δήπου τοῦθ᾽, ὅτι Τιμόθεός ποτ᾽ ἐκεῖνος ἐν ὑμῖν ἐδημηγόρησεν ὡς δεῖ βοηθεῖν καὶ τοὺς Εὐβοέας σώζειν, ὅτε Θηβαῖοι κατεδουλοῦντο αὐτούς, καὶ λέγων εἶπεν οὕτω πως· "εἰπέ μοι, βουλεύεσθε," ἔφη, "Θηβαίους ἔχοντες "ἐν νήσῳ, τί χρήσεσθε καὶ τί δεῖ ποιεῖν; οὐκ ἐμπλή"σετε τὴν θάλατταν ὦ ἄνδρες [s] Ἀθηναῖοι τριήρων; οὐκ "ἀναστάντες ἤδη [t] πορεύσεσθε εἰς τὸν Πειραιᾶ; οὐ καθ-
81 "έλξετε τὰς ναῦς;" οὐκοῦν εἶπε μὲν ταῦτα ὁ Τιμόθεος, ἐποιήσατε δ᾽ [u] ὑμεῖς· ἐκ δὲ τούτων ἀμφοτέρων τὸ πρᾶγμα ἐπράχθη. εἰ δ᾽ ὁ μὲν εἶπεν ὡς οἷόν τε τὰ ἄριστα, ὥσπερ εἶπεν, ὑμεῖς δ᾽ ἀπερρᾳθυμήσατε [x] καὶ μηδὲν ὑπηκούσατε, ἆρ᾽ ἂν ἦν γεγονός τι τῶν τότε [y] συμβάντων τῇ πόλει; οὐχ οἷόν τε. οὕτω τοίνυν καὶ περὶ ὧν ἂν ἐγὼ λέγω [z] νυνὶ καὶ περὶ ὧν ἂν ὁ δεῖνα εἴπῃ, τὰ μὲν ἔργα παρ᾽ ὑμῶν αὐτῶν ζητεῖτε, τὰ δὲ βέλτιστα ἐπιστήμῃ λέγειν παρὰ τοῦ παριόντος.

82 Ἐν κεφαλαίῳ [a] δ᾽ ἃ λέγω φράσας καταβῆναι βούλομαι. χρήματα εἰσφέρειν φημὶ δεῖν, τὴν [b] ὑπάρχουσαν δύναμιν συνέχειν, ἐπανορθοῦντας εἴ τι δοκεῖ μὴ καλῶς 109

[q] καὶ om. S.
[r] οὐδ᾽ S. ceteri οὐκ.
[s] Ἀθηναῖοι om. O. u.
[t] πορεύσεσθε] πορεύεσθε F. Y. O. et pr. v.
[u] ὑμεῖς] τότε ὑμεῖς F. O. u. v.
[x] καὶ μηδὲν ὑπηκούσατε om. pr. Y.
[y] συμβάντων] συμβαινόντων O. u. v.
[z] νυνὶ om. F. νυνὶ—εἴπῃ om. pr. S. νῦν Y. O. u. v. et margo S.
[a] δ᾽ ἃ] δὲ S.
[b] ὑπάρχουσαν] παροῦσαν O.

ἔχειν, μὴ [c] οἷς ἄν τις αἰτιάσηται τὸ ὅλον καταλύοντας· πρέσβεις ἐκπέμπειν [d] πανταχοῖ τοὺς διδάξοντας, νουθε-
83 τήσοντας, πράξοντας [e] ὅσα ἂν δύνωνται τῇ πόλει· παρὰ πάντα ταῦτα τοὺς ἐπὶ τοῖς πράγμασι δωροδοκοῦντας κολάζειν καὶ μισεῖν [f] ἀεὶ καὶ πανταχοῦ, ἵν' οἱ μέτριοι καὶ δικαίους ἑαυτοὺς παρέχοντες εὖ βεβουλεῦσθαι δοκῶσι καὶ τοῖς ἄλλοις καὶ ἑαυτοῖς. [g] ἂν οὕτω τοῖς πράγμασι χρῆσθε καὶ [h] παύσησθε ὀλιγωροῦντες ἁπάντων, ἴσως ἄν,
84 ἴσως καὶ [i] νῦν ἔτι [k] βελτίω γένοιτο. εἰ μέντοι καθεδεῖσθε ἄχρι τοῦ θορυβῆσαι καὶ ἐπαινέσαι σπουδάζοντες, ἐὰν [l] δὲ δέῃ τι ποιεῖν ἀναδυόμενοι, οὐχ ὁρῶ λόγον ὅστις ἄνευ τοῦ ποιεῖν ὑμᾶς ἃ προσήκει δυνήσεται τὴν πόλιν σῶσαι.

# Θ.

# ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Γ.

## ΥΠΟΘΕΣΙΣ.

Ἁπλῆ τοῦ λόγου τούτου ἡ ὑπόθεσις· Φιλίππου γὰρ λόγῳ μὲν εἰρήνην ἄγοντος, ἔργῳ δὲ πολλὰ ἀδικοῦντος, συμβουλεύει τοῖς Ἀθηναίοις ὁ ῥήτωρ ἀναστῆναι καὶ ἀμύνασθαι τὸν βασιλέα, ὡς κινδύνου μεγάλου καὶ αὐτοῖς ἐπικρεμαμένου καὶ πᾶσι κοινῇ τοῖς Ἕλλησιν.

ΠΟΛΛΩΝ ὦ ἄνδρες Ἀθηναῖοι λόγων γιγνομένων ὀλίγου 110
δεῖν καθ' ἑκάστην ἐκκλησίαν περὶ ὧν Φίλιππος, ἀφ' οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς ἀλλὰ καὶ τοὺς ἄλ-

[c] οἷς] ὅσοις S.
[d] πανταχοῖ] πανταχοῦ F. Y.
[e] ὅσα—πόλει om. pr. S. πάντα ὅσα—πόλει rec. S.
[f] ἀεὶ καὶ om. S. καὶ om. pr. O.
[g] ἂν S. et γρ. Y. vulg. κἄν.
[h] παύσησθε] παύσεσθε O.
[i] νῦν ἔτι om. pr. Y.
[k] βελτίω] τὰ λοιπὰ βελτίω F.O. u.v. βελτίω τὰ λοιπὰ Y.
[l] δὲ om. S.

λους [a]Ἕλληνας ἀδικεῖ, καὶ πάντων [b]οἶδ' ὅτι φησάντων
γ' ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν [c]δεῖν καὶ
[d]πράττειν ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην
2 δώσει, εἰς τοῦθ' ὑπηγμένα πάντα τὰ πράγματα καὶ
προειμένα ὁρῶ, ὥστε δέδοικα μὴ βλάσφημον μὲν εἰ-
πεῖν ἀληθὲς δ' [e]ᾖ· εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ
παριόντες καὶ χειροτονεῖν ὑμεῖς ἐξ ὧν ὡς φαυλότατ'
[f]ἔμελλε τὰ πράγμαθ' ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι
3 χεῖρον ἢ νῦν [g]αὐτὰ διατεθῆναι. πολλὰ μὲν οὖν ἴσως ἐστὶν
αἴτια [h]τοῦ ταῦθ' οὕτως ἔχειν, καὶ [i]οὐ παρ' ἓν οὐδὲ δύο
εἰς τοῦτο τὰ πράγματα ἀφῖκται, μάλιστα δ', ἄνπερ
ἐξετάζητε ὀρθῶς, εὑρήσετε διὰ τοὺς χαρίζεσθαι μᾶλλον ἢ
τὰ βέλτιστα λέγειν προαιρουμένους, ὧν τινὲς [k]μέν, ὦ ἄν-
δρες Ἀθηναῖοι, ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύνανται,
ταῦτα φυλάττοντες οὐδεμίαν περὶ τῶν μελλόντων πρόνοιαν
4 ἔχουσιν, [l]οὐκοῦν οὐδ' ὑμᾶς οἴονται δεῖν ἔχειν, ἕτεροι δὲ τοὺς
ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιώμενοι καὶ διαβάλλοντες
οὐδὲν ἄλλο ποιοῦσιν ἢ ὅπως ἡ [m]μὲν πόλις αὐτὴ παρ' αὐ-
τῆς δίκην λήψεται καὶ περὶ τοῦτ' ἔσται, Φιλίππῳ δ' 111
ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ τι βούλεται. αἱ δὲ
τοιαῦται πολιτεῖαι συνήθεις μέν εἰσιν ὑμῖν, αἴτιαι δὲ [n]τῆς
5 ταραχῆς καὶ τῶν ἁμαρτημάτων. ἀξιῶ [o]δ', ὦ ἄνδρες Ἀθη-
ναῖοι, ἐάν τι τῶν ἀληθῶν μετὰ παρρησίας λέγω, μηδεμίαν
μοι διὰ τοῦτο παρ' ὑμῶν ὀργὴν γενέσθαι. σκοπεῖτε γὰρ

[a] Ἕλληνας om. pr. S.
[b] οἶδ'] εὖ οἶδ' F. Y. O. u. v.
[c] δεῖν] δεῖ pr. Y.
[d] πράττειν] πράττειν ἅπασι προσήκει Y. πράττειν ἃ πᾶσι προσήκειν F. πράττειν ἅπασι προσήκειν O. u. v.
[e] ᾖ om. pr. F. S.
[f] ἔμελλε τὰ] ἐμέλλετε S.
[g] αὐτὰ om. F. O. u. v. et pr. S.
[h] τοῦ ταῦθ' οὕτως ἔχειν] τούτων S.
[i] οὐ om. v.
[k] μὲν om. pr. O.
[l] οὔκουν—ἔχειν om. pr. S.
[m] μὲν et αὐτὴ om. S.
[n] τῆς ταραχῆς καὶ τῶν ἁμαρτημάτων] τῶν κακῶν S. et γρ. F.
[o] δ'] δ' ὑμᾶς F. O. u. v.

ὡδί. ὑμεῖς τὴν παῤῥησίαν ἐπὶ μὲν τῶν ἄλλων οὕτω κοινὴν
6 οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει, ὥστε καὶ τοῖς ξέ-
νοις καὶ τοῖς δούλοις αὐτῆς μεταδεδώκατε, καὶ πολλοὺς
ἄν τις οἰκέτας ἴδοι παρ' [p] ὑμῖν μετὰ πλείονος ἐξουσίας ὅ
τι βούλονται λέγοντας ἢ πολίτας ἐν ἐνίαις τῶν ἄλλων
πόλεων, ἐκ δὲ τοῦ συμβουλεύειν παντάπασιν ἐξεληλά-
7 κατε. εἶθ' ὑμῖν συμβέβηκεν ἐκ τούτου ἐν μὲν ταῖς ἐκ-
κλησίαις τρυφᾷν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν
ἀκούουσιν, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ
τῶν ἐσχάτων ἤδη κινδυνεύειν. εἰ μὲν οὖν καὶ νῦν οὕτω διά-
κεισθε, οὐκ ἔχω τί λέγω· εἰ δ' ἃ [q] συμφέρει χωρὶς κο-
λακείας ἐθελήσετε ἀκούειν, ἕτοιμος λέγειν. καὶ γὰρ εἰ
πάνυ φαύλως τὰ πράγματα ἔχει καὶ πολλὰ προεῖται,
ὅμως ἔστιν, ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθ', ἔτι
8 [r] πάντα ταῦτα ἐπανορθώσασθαι. καὶ παράδοξον μὲν ἴσως
ἐστὶν ὃ μέλλω λέγειν, ἀληθὲς δέ· τὸ χείριστον ἐν τοῖς
παρεληλυθόσι, τοῦτο [s] πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρ-
χει. τί οὖν ἐστὶ τοῦτο; ὅτι οὔτε μικρὸν οὔτε μέγα οὐδὲν
τῶν δεόντων ποιούντων ὑμῶν κακῶς τὰ πράγματα ἔχει,
9 ἐπεί [t] τοι, εἰ πάνθ' ἃ [u] προσῆκε πραττόντων οὕτω διέκειτο, 112
οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ γενέσθαι βελτίω. νῦν δὲ τῆς μὲν
ῥαθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀμελείας κεκράτηκε Φί-
λιππος, τῆς πόλεως δ' οὐ κεκράτηκεν· οὐδ' ἥττησθε
ὑμεῖς, ἀλλ' οὐδὲ κεκίνησθε.

10 [x] Εἰ μὲν οὖν ἅπαντες [y] ὡμολογοῦμεν Φίλιππον τῇ πό-

[p] ὑμῖν] ὑμῖν (ἡ supra) F. ἡμῖν S.
[q] συμφέρει] συμφέρει τῇ πόλει γρ. F. συμφέρει τοῖς πράγμασιν F. Y. O u. v.
[r] πάντα ταῦτα] ταῦτα πάντα O.
[s] πρὸς τὰ] παρὰ O.
[t] τοι] τοι γε F. Y. O. u. v.
[u] προσῆκε πραττόντων] προσήκει πραττόντων ὑμῶν F. Y. O. u. v.
[x] Εἰ — πολεμεῖν δεῖ (§. 12.) in margine rec. S.
[y] ὡμολογοῦμεν] ὁμολογοῦμεν S. O. u.

λει πολεμεῖν καὶ τὴν εἰρήνην παραβαίνειν, οὐδὲν ἄλλο ἔδει
τὸν παριόντα λέγειν καὶ συμβουλεύειν ἢ ὅπως ἀσφαλέ-
στατα καὶ ῥᾷστα [z] αὐτὸν ἀμυνούμεθα· ἐπειδὴ δὲ οὕτως
ἀτόπως ἔνιοι διάκεινται, ὥστε πόλεις καταλαμβάνοντος
ἐκείνου καὶ πολλὰ τῶν ὑμετέρων ἔχοντος καὶ πάντας ἀν-
11 θρώπους ἀδικοῦντος ἀνέχεσθαί τινων ἐν ταῖς ἐκκλησίαις
λεγόντων πολλάκις ὡς ἡμῶν τινές εἰσιν οἱ ποιοῦντες τὸν
πόλεμον, ἀνάγκη φυλάττεσθαι καὶ διορθοῦσθαι περὶ τού-
του· ἔστι γὰρ δέος μήποθ᾽ ὡς [a] ἀμυνούμεθα γράψας [b] τις
καὶ συμβουλεύσας εἰς τὴν αἰτίαν ἐμπέσῃ τοῦ πεποιηκέ-
12 ναι τὸν πόλεμον. ἐγὼ [c] δὴ τοῦτο πρῶτον ἁπάντων λέγω
καὶ [d] διορίζομαι, εἰ ἐφ᾽ ἡμῖν ἐστὶ τὸ [e] βουλεύεσθαι περὶ
τοῦ πότερον εἰρήνην [f] ἄγειν ἢ πολεμεῖν δεῖ. εἰ μὲν οὖν ἔξε-
στιν εἰρήνην ἄγειν τῇ πόλει καὶ ἐφ᾽ ἡμῖν ἐστὶ τοῦτο, ἵν᾽
ἐντεῦθεν ἄρξωμαι, φημὶ ἔγωγε ἄγειν ἡμᾶς δεῖν, καὶ τὸν
ταῦτα λέγοντα γράφειν καὶ πράττειν καὶ μὴ φενακίζειν
13 ἀξιῶ· εἰ δ᾽ ἕτερος τὰ ὅπλα ἐν ταῖς χερσὶν ἔχων καὶ δύ-
ναμιν πολλὴν περὶ αὐτὸν τοὔνομα μὲν τὸ τῆς εἰρήνης ὑμῖν
[g] προβάλλει, τοῖς δ᾽ ἔργοις αὐτὸς τοῖς τοῦ πολέμου χρῆ-
ται, τί λοιπὸν ἄλλο πλὴν ἀμύνεσθαι; φάσκειν δὲ εἰρήνην
14 ἄγειν, εἰ βούλεσθε, ὥσπερ ἐκεῖνος, οὐ διαφέρομαι. εἰ δέ
τις ταύτην εἰρήνην ὑπολαμβάνει, ἐξ ἧς ἐκεῖνος πάντα 113
τἆλλα λαβὼν ἐφ᾽ ἡμᾶς ἥξει, πρῶτον μὲν μαίνεται, ἔπειτα
ἐκείνῳ παρ᾽ ὑμῶν, οὐχ ὑμῖν παρ᾽ ἐκείνου τὴν εἰρήνην [h] λέ-
γει· τοῦτο δ᾽ ἐστὶν ὃ τῶν [i] ἀναλισκομένων χρημάτων

[z] αὐτὸν om. Y.
[a] ἀμυνούμεθα] ἀμυνώμεθα γρ. F.
[b] τις καὶ συμβουλεύσας] καὶ συμβουλεύσας τις S.
[c] δὴ] δὲ F. S. O. u. v.
[d] διορίζομαι] διισχυρίζομαι S.
[e] βουλεύεσθαι] βουλεύσασθαι F. Y. O. u. v.
[f] ἄγειν ἢ πολεμεῖν] ἢ πόλεμον ἄγειν F. Y. O. u. v.
[g] προβάλλει S. vulg. προβάλλεται.
[h] λέγει] ἄγειν F. ἄγειν λέγει Y. O. u. v.
[i] ἀναλισκομένων] ἀλισκομένων pr. Y. et Anecd. p. 180, 10.

[k]πάντων Φίλιππος ὠνεῖται, [l]αὐτὸς μὲν πολεμεῖν ὑμῖν,
ὑφ᾽ ὑμῶν δὲ μὴ πολεμεῖσθαι.
15 Καὶ μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν ἡμῖν
ὁμολογήσῃ πολεμεῖν, πάντων ἐσμὲν εὐηθέστατοι· οὐδὲ
γὰρ ἂν ἐπὶ τὴν Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ,
τοῦτ᾽ ἐρεῖ, εἴπερ [m]οἷς πρὸς τοὺς ἄλλους πεποίηκε δεῖ τε-
16 κμαίρεσθαι. τοῦτο μὲν γὰρ Ὀλυνθίοις τετταράκοντ᾽ ἀπέ-
χων τῆς πόλεως στάδια εἶπεν ὅτι δεῖ δυοῖν θάτερον, ἢ ἐκεί-
νους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν ἢ αὐτὸν ἐν Μακεδονίᾳ, πάντα
τὸν ἄλλον χρόνον, εἴ τις αὐτὸν αἰτιάσαιτό τι τοιοῦτον,
ἀγανακτῶν καὶ πρέσβεις πέμπων τοὺς ἀπολογησομένους·
τοῦτο δ᾽ εἰς Φωκέας ὡς πρὸς [n]συμμάχους ἐπορεύετο, καὶ
πρέσβεις Φωκέων ἦσαν οἳ παρηκολούθουν αὐτῷ πορευομένῳ,
καὶ παρ᾽ ἡμῖν ἤριζον [o]πολλοὶ Θηβαίοις οὐ λυσιτελήσειν
17 τὴν ἐκείνου πάροδον. καὶ μὴν καὶ Φερὰς πρῴην ὡς φίλος
καὶ σύμμαχος εἰς Θετταλίαν ἐλθὼν ἔχει καταλαβών,
καὶ τὰ τελευταῖα τοῖς ταλαιπώροις Ὠρείταις τουτοισὶ
ἐπισκεψομένους ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ᾽
εὔνοιαν· πυνθάνεσθαι γὰρ αὐτοὺς ὡς νοσοῦσι καὶ στασιά-
ζουσιν [p]ἐν αὐτοῖς, συμμάχων δ᾽ εἶναι καὶ φίλων ἀληθι-
18 νῶν ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι. εἶτ᾽ [q]οἴεσθ᾽ αὐ-
τόν, οἳ ἐποίησαν μὲν οὐδὲν ἂν κακόν, μὴ παθεῖν δ᾽ ἐφυ-
λάξαντ᾽ ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλ- 114
λον ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δ᾽ ἐκ προρρήσεως πο-
λεμήσειν, καὶ ταῦθ᾽ ἕως ἂν ἑκόντες ἐξαπατᾶσθε; οὐκ
19 ἔστι ταῦτα· καὶ γὰρ ἂν ἀβελτερώτατος εἴη πάντων ἀν-

[k] πάντων] ἁπάντων F.Y.O.u.v.
[l] αὐτὸς] αὐτὸν F. αὐτὸν Y.O.u.v.
[m] οἷς] ἃ u.
[n] συμμάχους] συμμάχους καὶ φίλους O. et margo Y.
[o] πολλοὶ] οἱ πολλοὶ S.
[p] ἐν αὐτοῖς om. S.
[q] οἴεσθ᾽ αὐτόν, οἳ ἐποίησαν μὲν οὐδὲν ἂν S. ceteri οἴεσθε οἳ μὲν οὐδὲν ἂν αὐτὸν ἐδυνήθησαν ποιῆσαι.

θρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν ἐγκαλούντων αὐτῷ, ἀλλ' ὑμῶν αὐτῶν τινὰς [r] αἰτιωμένων, ἐκεῖνος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν ὑμῶν καὶ φιλονεικίαν ἐφ' ἑαυτὸν προείποι τρέπεσθαι, καὶ τῶν παρ' ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο, οἷς ἀναβάλλουσιν ὑμᾶς, λέγοντες ὡς ἐκεῖνός γε οὐ πολεμεῖ τῇ πόλει.

20 Ἀλλ' ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅστις εὖ φρονῶν ἐκ
τῶν ὀνομάτων μᾶλλον ἢ τῶν πραγμάτων τὸν ἄγοντ' εἰρή-
νην ἢ πολεμοῦνθ' ἑαυτῷ σκέψαιτ' ἄν; οὐδεὶς [s] δήπου. ὁ
τοίνυν Φίλιππος ἐξ ἀρχῆς, ἄρτι τῆς εἰρήνης γεγονυίας,
οὔπω Διοπείθους στρατηγοῦντος οὐδὲ τῶν [t] ὄντων ἐν Χεῤῥο-
νήσῳ νῦν ἀπεσταλμένων, Σέῤῥιον καὶ Δορίσκον [u] κατε-
λάμβανε καὶ τοὺς ἐκ [x] Σεῤῥίου τείχους καὶ Ἱεροῦ ὄρους
στρατιώτας [y] ἐξέβαλλεν, οὓς ὁ [z] ὑμέτερος στρατηγὸς [a] ἐγ-
21 κατέστησεν. [b] καίτοι ταῦτα πράττων τί ἐποίει; εἰρήνην
μὲν γὰρ [c] ὀμωμόκει. καὶ μηδεὶς εἴπῃ, τί [d] δὲ ταῦτ' ἐστίν,
ἢ τί τούτων μέλει τῇ πόλει; εἰ μὲν γὰρ μικρὰ ταῦτα
[e] ἐστιν ἢ μηδὲν ὑμῖν αὐτῶν ἔμελεν, ἄλλος ἂν εἴη λόγος οὗ-
τος· τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον ἄν τ' ἐπὶ [f] μικροῦ τις
ἄν τ' ἐπὶ μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν.
22 φέρε δὴ νῦν, ἡνίκ' εἰς Χεῤῥόνησον, ἣν βασιλεὺς καὶ πάντες
οἱ Ἕλληνες ὑμετέραν ἐγνώκασιν εἶναι, ξένους [g] εἰσπέμπει
καὶ βοηθεῖν ὁμολογεῖ καὶ ἐπιστέλλει ταῦτα, τί ποιεῖ;

[r] αἰτιωμένων] αἰτιωμένων καὶ κρίνειν βουλομένων F. Y. O. u. v.
[s] δήπου] που F. O. v.
[t] ὄντων post νῦν ponunt F. Y. O. u. v.
[u] κατελάμβανε] ἐλάμβανε S.
[x] Σεῤῥίου] σερρείου S.
[y] ἐξέβαλλεν] ἐξέβαλεν O. u. v.
[z] ὑμέτερος] ἡμέτερος u. v.
[a] ἐγκατέστησε] κατέστησεν F. S. Y. O. u. v.
[b] καίτοι ταῦτα] καὶ τοιαῦτα Y.
[c] ὀμωμόκει S. vulg. ὠμωμόκει.
[d] δὲ] δαὶ F.
[e] ἐστιν post ταῦτα om. S.
[f] μικροῦ—μείζονος] μικροῦ (οἷς)—μείζονος (ὅσι) F.
[g] εἰσπέμπει] εἰσπέμπειν F.

[h]φησὶ μὲν γὰρ οὐ πολεμεῖν, ἐγὼ δὲ [i]τοσούτου δέω ταῦτα 115
ποιοῦντα ἐκεῖνον [k]ὁμολογεῖν ἄγειν τὴν πρὸς ὑμᾶς εἰρήνην,
23 ὥστε καὶ Μεγάρων ἁπτόμενον καὶ ἐν Εὐβοίᾳ τυραννίδα
κατασκευάζοντα καὶ νῦν ἐπὶ [l]Θρᾴκην παριόντα καὶ τὰ
ἐν Πελοποννήσῳ σκευωρούμενον καὶ πάνθ᾽, ὅσα πράττει
μετὰ [m]τῆς δυνάμεως, ποιοῦντα λύειν φημὶ τὴν εἰρήνην
καὶ πολεμεῖν ὑμῖν, εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφι-
στάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν
ἤδη [n]προσαγάγωσιν. ἀλλ᾽ οὐ φήσετε· ὁ γάρ, οἷς ἂν ἐγὼ
ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος
24 ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ. τίσιν οὖν
ὑμεῖς κινδυνεύσαιτ᾽ ἄν, εἴ τι γένοιτο; τῷ τὸν Ἑλλήσπον-
τον [o]ὑμῶν ἀλλοτριωθῆναι, τῷ Μεγάρων καὶ τῆς Εὐβοίας
τὸν πολεμοῦνθ᾽ ὑμῖν γενέσθαι κύριον, τῷ Πελοποννησίους
τἀκείνου φρονῆσαι. εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν
πόλιν [p]ἱστάντα, τοῦτον εἰρήνην ἄγειν ἐγὼ φῶ πρὸς [q]ὑμᾶς;
25 πολλοῦ γε καὶ [r]δέω, ἀλλ᾽ ἀφ᾽ ἧς ἡμέρας ἀνεῖλε Φωκέας,
ἀπὸ ταύτης ἔγωγ᾽ αὐτὸν [s]πολεμεῖν ὁρίζομαι. ὑμᾶς δέ,
ἐὰν [t]μὲν ἀμύνησθε ἤδη, [u]σωφρονήσειν φημί, ἐὰν δὲ [x]ἀνα-
βάλλησθε, οὐδὲ τοῦθ᾽ ὅταν βούλησθε δυνήσεσθε ποιῆσαι.
καὶ τοσοῦτόν γε ἀφέστηκα τῶν ἄλλων ὦ ἄνδρες Ἀθηναῖοι
τῶν συμβουλευόντων, ὥστε οὐδὲ δοκεῖ μοι περὶ Χεῤῥονήσου
26 νῦν σκοπεῖν οὐδὲ Βυζαντίου, ἀλλ᾽ ἐπαμῦναι [y]μὲν τούτοις,

[h] φησὶ] φῇις S.

[i] τοσούτου] τοσούτου F. τοσούτωι S.

[k] ὁμολογεῖν ἄγειν] ἄγειν ὁμολογεῖν S.

[l] Θρᾴκην] θράικην F.

[m] τῆς om. O.

[n] προσαγάγωσιν] προσάγωσιν S.

[o] ὑμῶν om. S.

[p] ἱστάντα S. ἐφιστάντα καὶ κατασκευάζοντα O. ἐφιστάντα καὶ παρασκευάζοντα Y. u. ἐφιστάντα καὶ παρασκευάζοντα F. v.

[q] ὑμᾶς] ἡμᾶς F. Y. v.

[r] δέω] δεῖ F. S. Y. O. u. v.

[s] πολεμεῖν ὁρίζομαι] ὁρίζομαι πολεμεῖν F. Y. O. u. v.

[t] μὲν om. S.

[u] σωφρονήσειν] σωφρονήσειν F. σωφρονεῖν Y. O. u. et correctus v.

[x] ἀναβάλλησθε] ἀναβάλησθε u. ἀναλάβησθε O. ἐάσητε S.

[y] μὲν] μὲν τοῖς O.

καὶ διατηρῆσαι μή τι πάθωσι, [z] καὶ τοῖς οὖσιν ἐκεῖ νῦν
[a] στρατιώταις πάνθ' ὅσων ἂν δέωνται ἀποστεῖλαι, βουλεύ-
εσθαι μέντοι περὶ πάντων τῶν Ἑλλήνων ὡς ἐν κινδύνῳ 116
[b] μεγίστῳ [c] καθεστώτων. βούλομαι δ' εἰπεῖν πρὸς ὑμᾶς
ἐξ ὧν ὑπὲρ τῶν πραγμάτων οὕτω φοβοῦμαι, ἵν' εἰ μὲν
ὀρθῶς [d] λογίζομαι, μετάσχητε τῶν λογισμῶν καὶ πρό-
νοιάν τιν' ὑμῶν γ' αὐτῶν, εἰ [e] μὴ καὶ τῶν ἄλλων ἄρα
[f] βούλεσθε, ποιήσησθε, ἂν δὲ [g] ληρεῖν καὶ τετυφῶσθαι δοκῶ,
μήτε νῦν μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε.

27 Ὅτι μὲν δὴ μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ τὸ κατ'
ἀρχὰς [h] ὁ Φίλιππος ηὔξηται, καὶ ἀπίστως καὶ στασια-
στικῶς ἔχουσι πρὸς [i] αὐτοὺς οἱ Ἕλληνες, καὶ ὅτι πολλῷ
παραδοξότερον ἦν τοσοῦτον αὐτὸν ἐξ ἐκείνου γενέσθαι ἢ νῦν,
ὅθ' οὕτω πολλὰ προείληφε, καὶ τὰ λοιπὰ ὑφ' αὑτῷ ποι-
ήσασθαι, καὶ πάνθ' ὅσα τοιαῦτ' ἂν ἔχοιμι διεξελθεῖν, πα-
28 ραλείψω. ἀλλ' ὁρῶ συγκεχωρηκότας ἅπαντας ἀνθρώ-
πους, ἀφ' ὑμῶν ἀρξαμένους, αὐτῷ, ὑπὲρ οὗ τὸν ἄλλον
ἅπαντα χρόνον [k] ἅπαντες οἱ πόλεμοι γεγόνασιν οἱ Ἑλλη-
νικοί. τί οὖν ἐστὶ τοῦτο; τὸ ποιεῖν ὅ τι βούλεται, καὶ
καθ' [l] ἕνα οὑτωσὶ περικόπτειν καὶ λωποδυτεῖν τῶν Ἑλλή-
29 νων, καὶ καταδουλοῦσθαι τὰς πόλεις ἐπιόντα. καίτοι
προστάται μὲν ὑμεῖς ἑβδομήκοντα ἔτη καὶ τρία τῶν Ἑλ-
λήνων ἐγένεσθε, προστάται δὲ τριάκοντα ἑνὸς δέοντα Λα-
κεδαιμόνιοι· ἴσχυσαν δέ τι καὶ Θηβαῖοι τουσ τελευταίους
30 [m] τουτουσὶ χρόνους μετὰ τὴν ἐν Λεύκτροις μάχην. ἀλλ'

[z] καὶ τοῖς—ἀποστεῖλαι om. S.
[a] στρατιώταις] στρατηγοῖς F. Y. O. u. v.
[b] μεγίστῳ] μεγαλωι S.
[c] καθεστώτων S. ceteri καθεστηκότων.
[d] λογίζομαι] λογίζωμαι u. v.
[e] μὴ καὶ] καὶ μὴ F. Q. u. v.
[f] βούλεσθε] βούλησθε F. Y.
[g] ληρεῖν] λοιδορεῖν O. u. v.
[h] ὁ om. S.
[i] αὐτοὺς] αὐτὸν (ους superscr.) u. v.
[k] ἅπαντες] πάντες S. om. O.
[l] ἕνα] ἕνα ἕκαστον F. O. u. v.
[m] τουτουσὶ ante τοὺς ponit S.

ὅμως οὔθ' ὑμῖν οὔτε Θηβαίοις οὔτε Λακεδαιμονίοις οὐδε-
πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, συνεχωρήθη τοῦθ' ὑπὸ τῶν
Ἑλλήνων, ποιεῖν ὅ τι [n] βούλοισθε, οὐδὲ πολλοῦ δεῖ, ἀλλὰ
τοῦτο μὲν ὑμῖν, μᾶλλον δὲ τοῖς τότ' οὖσιν Ἀθηναίοις,
ἐπειδή τισιν οὐ μετρίως ἐδόκουν προσφέρεσθαι, πάντες 117
ᾤοντο δεῖν, καὶ οἱ μηδὲν ἐγκαλεῖν ἔχοντες αὐτοῖς, μετὰ
31 τῶν ἠδικημένων [o] πολεμεῖν, καὶ πάλιν Λακεδαιμονίοις ἄρ-
ξασι καὶ παρελθοῦσιν εἰς [p] τὴν αὐτὴν δυναστείαν ὑμῖν,
ἐπειδὴ πλεονάζειν ἐπεχείρουν καὶ πέρα τοῦ μετρίου τὰ
καθεστηκότα ἐκίνουν, πάντες εἰς πόλεμον κατέστησαν,
32 καὶ οἱ μηδὲν ἐγκαλοῦντες αὐτοῖς. καὶ τί δεῖ τοὺς ἄλλους
λέγειν; ἀλλ' ἡμεῖς αὐτοὶ καὶ Λακεδαιμόνιοι, οὐδὲν ἂν
εἰπεῖν ἔχοντες ἐξ ἀρχῆς ὅ τι ἠδικούμεθ' ὑπ' ἀλλήλων, ὅμως
ὑπὲρ ὧν τοὺς ἄλλους ἀδικουμένους ἑωρῶμεν, πολεμεῖν ᾠό-
33 μεθα δεῖν. καίτοι πάνθ' ὅσα ἐξημάρτηται καὶ Λακεδαι-
μονίοις ἐν τοῖς τριάκοντ' ἐκείνοις ἔτεσι καὶ τοῖς [q] ἡμετέροις
προγόνοις ἐν τοῖς ἑβδομήκοντα, [r] ἐλάττονά ἐστιν, ὦ ἄνδρες
Ἀθηναῖοι, ὧν Φίλιππος ἐν τρισὶ καὶ δέκα οὐχ ὅλοις ἔτεσιν
οἷς ἐπιπολάζει ἠδίκηκε τοὺς Ἕλληνας, μᾶλλον δὲ οὐδὲ
[s] πολλοστὸν μέρος τούτων ἐκεῖνα. [t] καὶ τοῦτο ἐκ βραχέος
34 λόγου ῥᾴδιον δεῖξαι. Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ
Ἀπολλωνίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης
ἐῶ, ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν, ὥστε [u] μηδ' εἰ πώ-
ποτ' [x] ᾠκήθησαν [y] προσελθόντ' εἶναι ῥᾴδιον εἰπεῖν· καὶ τὸ

[n] βούλοισθε S. vulg. βούλεσθε.

[o] πολεμεῖν post δεῖν ponunt F. Y. O. u. v.

[p] τὴν αὐτὴν δυναστείαν S. τὴν δυναστείαν τὴν αὐτὴν F. Y. τὴν δυναστείαν ταύτην O. τὴν δυναστείαν τὴν αὐτὴν ταύτην u. v.

[q] ἡμετέροις] ὑμετέροις F. Y. O. u. v.

[r] ἐλάττονα] ἐλάττον' F. ἔλαττον O. u. v. et pr. Y.

[s] πολλοστὸν] πέμπτον S. O. πολλοστὸν πέμπτον F. Y. u. v.

[t] καὶ—δεῖξαι in margine rec. S.

[u] μηδ'] μηδένα μηδ' F. Y. O. u. v.

[x] ᾠκήθησαν] ᾠκίσθησαν O. u. v.

[y] προσελθόντ' εἶναι ῥᾴδιον S. ceteri εἶναι ῥᾴδιον προσελθόντα.

35 Φωκέων ἔθνος τοσοῦτον ἀνῃρημένον σιωπῶ. ἀλλὰ Θετταλία
πῶς ἔχει; οὐχὶ [z]τὰς πολιτείας καὶ τὰς πόλεις αὐτῶν
παρῄρηται καὶ [a]τετραρχίας κατέστησεν, [b]ἵνα μὴ μόνον
κατὰ πόλεις ἀλλὰ καὶ κατ᾽ ἔθνη δουλεύωσιν; αἱ δ᾽ ἐν
Εὐβοίᾳ πόλεις οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦτα ἐν νήσῳ
36 πλησίον Θηβῶν καὶ Ἀθηνῶν; οὐ διαῤῥήδην [c]ἐν ταῖς ἐπι- 118
στολαῖς γράφει "ἐμοὶ δ᾽ ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν
ἐμοῦ βουλομένους;" καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς [d]δ᾽ ἔρ-
γοις οὐ ποιεῖ, ἀλλ᾽ ἐφ᾽ Ἑλλήσποντον οἴχεται, πρότερον
ἧκεν ἐπ᾽ Ἀμβρακίαν, Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πε-
λοποννήσῳ, Μεγάροις ἐπεβούλευσε πρῴην, οὔθ᾽ ἡ Ἑλλὰς
37 οὔθ᾽ ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου. καὶ
ταῦθ᾽ ὁρῶντες οἱ Ἕλληνες ἅπαντες καὶ ἀκούοντες οὐ πέμ-
πομεν πρέσβεις περὶ τούτων πρὸς ἀλλήλους [e]καὶ ἀγα-
νακτοῦμεν, οὕτω δὲ κακῶς διακείμεθα καὶ [f]διορωρύγμεθα
κατὰ πόλεις, ὥστ᾽ ἄχρι τῆς [g]τήμερον ἡμέρας οὐδὲν οὔτε
τῶν συμφερόντων οὔτε τῶν δεόντων πρᾶξαι δυνάμεθα, οὐδὲ
συστῆναι, οὐδὲ κοινωνίαν βοηθείας καὶ φιλίας οὐδεμίαν
38 ποιήσασθαι, ἀλλὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον περι-
ορῶμεν, τὸν χρόνον κερδᾶναι τοῦτον ὃν ἄλλος ἀπόλλυται
ἕκαστος ἐγνωκώς, ὥς γ᾽ [h]ἐμοὶ δοκεῖ, οὐχ ὅπως σωθήσε-
ται τὰ τῶν Ἑλλήνων σκοπῶν οὐδὲ πράττων, ἐπεὶ ὅτι γε
ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ ἤ τινος ἄλλου κακοῦ
καὶ τῷ πάνυ πόῤῥω δοκοῦντι νῦν ἀφεστάναι προσέρχεται,
39 οὐδεὶς ἀγνοεῖ [i]δήπου. καὶ μὴν κἀκεῖνό γε ἴστε, ὅτι ὅσα
μὲν ὑπὸ Λακεδαιμονίων, ἢ ὑφ᾽ ἡμῶν ἔπασχον οἱ Ἕλληνες,

[z] τὰς πολιτείας καὶ τὰς πόλεις S. vulg. τὰς πόλεις καὶ τὰς πολιτείας.
[a] τετραρχίας] τετραδαρχίας F.Y. O. u. v.
[b] ἵνα] παρ᾽ αὐτοῖς ἵνα F.Y.O.u.v.
[c] εἰς τὰς ἐπιστολὰς S.
[d] δ᾽ ἔργοις] ἔργοις δὲ O. u. v.
[e] καὶ ἀγανακτ.] οὐκ ἀγανακτ. O.
[f] διορωρύγμεθα] διωρύγμεθα O.
[g] τήμερον] σήμερον S.
[h] ἐμοὶ S. vulg. μοι.
[i] δήπου om. S.

ἀλλ᾽ οὖν ὑπὸ γνησίων γε ὄντων τῆς Ἑλλάδος ἠδικοῦντο,
καὶ τὸν αὐτὸν τρόπον ἄν τις ὑπέλαβε τοῦθ᾽, ὥσπερ ἂν εἰ
[k] υἱὸς ἐν οὐσίᾳ πολλῇ γεγονὼς γνήσιος διῴκει τι μὴ κα-
λῶς μηδ᾽ ὀρθῶς, κατ᾽ αὐτὸ [l] μὲν τοῦτο [m] ἄξιον μέμψεως
εἶναι καὶ κατηγορίας, ὡς δ᾽ οὐ προσήκων ἢ ὡς οὐ κληρο-
νόμος τούτων ὧν ταῦτα ἐποίει, οὐκ [n] ἐνεῖναι λέγειν. εἰ δέ 119
γε δοῦλος ἢ ὑποβολιμαῖος τὰ μὴ προσήκοντα ἀπώλλυε
καὶ ἐλυμαίνετο, Ἡράκλεις ὅσῳ μᾶλλον δεινὸν καὶ [o] ὀρ-
40 γῆς ἄξιον πάντες ἂν [p] ἔφασαν εἶναι! ἀλλ᾽ οὐχ ὑπὲρ Φι-
λίππου καὶ ὧν ἐκεῖνος πράττει νῦν, οὐχ οὕτως ἔχουσιν, οὐ
μόνον οὐχ Ἕλληνος ὄντος οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλ-
λησιν, ἀλλ᾽ οὐδὲ βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν,
ἀλλ᾽ ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ᾽ ἀνδράποδον σπουδαῖον
οὐδὲν ἦν πρότερον [q] πρίασθαι.

41 Καίτοι τί τῆς ἐσχάτης ὕβρεως ἀπολείπει; οὐ πρὸς τῷ
πόλεις [[r] Ἑλληνίδας] ἀνῃρηκέναι τίθησι μὲν τὰ Πύθια,
τὸν κοινὸν τῶν Ἑλλήνων ἀγῶνα, κἂν αὐτὸς μὴ παρῇ,
τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει; [s] κύριος δὲ Πυ-
λῶν καὶ τῶν ἐπὶ τοὺς Ἕλληνας παρόδων ἐστί, καὶ φρου-
42 ραῖς καὶ ξένοις τοὺς τόπους τούτους κατέχει; ἔχει δὲ
καὶ τὴν προμαντείαν τοῦ θεοῦ, παρώσας ἡμᾶς καὶ Θετ-
ταλοὺς καὶ Δωριέας καὶ τοὺς ἄλλους [t] Ἀμφικτύονας, ἧς
οὐδὲ τοῖς Ἕλλησιν ἅπασι μέτεστι; γράφει δὲ Θετταλοῖς [u] ὃν χρὴ τρόπον πολιτεύεσθαι; πέμπει δὲ ξένους τοὺς
μὲν εἰς Πορθμόν, τὸν δῆμον ἐκβαλοῦντας [x] τὸν Ἐρετριέων,

[k] υἱὸς] τις υἱὸς F. Y. O. u. v.
[l] μὲν] μέντοι Y.
[m] ἄξιον Reiskius: libri ἄξιος.
[n] ἐνεῖναι] εἶναι F. Y. O. u. v.
[o] ὀργῆς] πολλῆς ὀργῆς F. O. u. v.
[p] ἔφασαν] ἔφασαν (η) F. ἔφησαν S.
[q] πρίασθαι om. S.
[r] [Ἑλληνίδας] om. F. S. Y. O. u. v.
[s] κύριος — μέτεστι in margine rec. S.
[t] Ἀμφικτύονας] ἀμφικτυόνας F.
[u] ὃν] ὅντινα F. O. u. v.
[x] τὸν Ἐρετριέων] τῶν ἐρετριέων Y. u.

τοὺς δ' ἐπ' Ὠρεόν, τύραννον Φιλιστίδην [y] καταστήσον-
43 τας; ἀλλ' ὅμως ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται,
καὶ τὸν αὐτὸν τρόπον [z] ὅνπερ [a] τὴν χάλαζαν, ἔμοιγε δο-
κοῦσι θεωρεῖν, εὐχόμενοι [b] μὲν μὴ καθ' ἑαυτοὺς ἕκαστοι
44 γενέσθαι, κωλύειν δὲ οὐδεὶς ἐπιχειρῶν. οὐ μόνον δ' ἐφ'
οἷς ἡ Ἑλλὰς ὑβρίζεται ὑπ' αὐτοῦ, οὐδεὶς ἀμύνεται, ἀλλ'
οὐδ' ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἀδικεῖται· τοῦτο γὰρ ἤδη
τοὔσχατόν ἐστιν. οὐ Κορινθίων ἐπ' Ἀμβρακίαν ἐλήλυθε 120
καὶ Λευκάδα; οὐκ Ἀχαιῶν [c] Ναύπακτον ὀμώμοκεν Αἰ-
τωλοῖς παραδώσειν; οὐχὶ Θηβαίων Ἐχῖνον ἀφῄρηται;
45 καὶ νῦν ἐπὶ Βυζαντίους πορεύεται συμμάχους ὄντας; οὐχ
ἡμῶν, ἐῶ τἆλλα, ἀλλὰ Χεῤῥονήσου τὴν μεγίστην ἔχει
πόλιν Καρδίαν; ταῦτα τοίνυν πάσχοντες ἅπαντες μέλ-
λομεν καὶ μαλακιζόμεθα καὶ πρὸς τοὺς πλησίον βλέπο-
μεν, ἀπιστοῦντες ἀλλήλοις, [d] οὐ τῷ [e] πάντας ἡμᾶς [f] ἀδι-
κοῦντι. καίτοι τὸν ἅπασιν ἀσελγῶς οὕτω χρώμενον τί
οἴεσθε, ἐπειδὰν [g] καθ' ἕνα ἡμῶν ἑκάστου κύριος γένηται,
[h] τί ποιήσειν;

46 Τί οὖν αἴτιον [i] τουτωνί; οὐ γὰρ ἄνευ λόγου καὶ δι-
καίας αἰτίας οὔτε τόθ' οὕτως εἶχον ἑτοίμως πρὸς ἐλευθε-
ρίαν [k] ἅπαντες οἱ Ἕλληνες, οὔτε νῦν πρὸς τὸ δουλεύειν.
ἦν τι τότ', ἦν ὦ ἄνδρες Ἀθηναῖοι ἐν ταῖς τῶν πολλῶν δια-
νοίαις, ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλού-
του καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα καὶ οὔτε ναυμαχίας
οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο, νῦν δ' ἀπολωλὸς

[y] καταστήσοντας] καταστήσαντας u.
[z] ὅνπερ] ὥσπερ S.
[a] τὴν] οἱ τὴν F. Y. O. u. v.
[b] μὲν om. S. Y. O. u. v.
[c] Ναύπακτον] ναύπακτον ἀφελόμενος F. Y. O. u. v.
[d] οὐ τῶι S. et pr. Y. vulg. οὕτω.
[e] πάντας] φανερῶς πάντας F. Y. O. u. v.
[f] ἀδικοῦντι S. ἀδικοῦντος F. O. u. v. et correctus Y.
[g] καθ' ἕνα] ἑνὸς F. Y. O. u. v.
[h] τί ante ποιήσειν om. F.
[i] τουτωνί] τούτων Y.
[k] ἅπαντες om. S.

ἅπαντα λελύμανται καὶ ἄνω καὶ κάτω πεποίηκε [l] τὰ
47 τῶν Ἑλλήνων πράγματα. τί οὖν ἦν τοῦτο; [m] οὐδὲν ποι-
κίλον οὐδὲ σοφόν, ἀλλ' ὅτι τοὺς παρὰ τῶν ἄρχειν [n] ἀεὶ
βουλομένων [o] ἢ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμ-
βάνοντας ἅπαντες ἐμίσουν, καὶ χαλεπώτατον ἦν τὸ δω-
ροδοκοῦντα ἐξελεγχθῆναι, καὶ τιμωρίᾳ μεγίστῃ [p] τοῦτον
ἐκόλαζον, [q] καὶ παραίτησις οὐδεμία ἦν οὐδὲ συγγνώμη.
48 τὸν οὖν καιρὸν ἑκάστου τῶν πραγμάτων, ὃν ἡ τύχη [r] καὶ
τοῖς ἀμελοῦσι κατὰ τῶν προσεχόντων καὶ τοῖς μηδὲν
ἐθέλουσι ποιεῖν κατὰ τῶν πάντα ἃ προσήκει πραττόντων 121
πολλάκις παρασκευάζει, οὐκ ἦν πρίασθαι παρὰ τῶν
λεγόντων οὐδὲ τῶν στρατηγούντων, οὐδὲ τὴν πρὸς ἀλλή-
λους ὁμόνοιαν, οὐδὲ τὴν πρὸς τοὺς [s] τυράννους καὶ τοὺς
49 βαρβάρους ἀπιστίαν, οὐδ' ὅλως [t] τῶν τοιούτων οὐδέν. νῦν
δ' ἅπανθ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπραται ταῦτα, ἀντεισῆ-
κται δὲ ἀντὶ τούτων, ὑφ' ὧν ἀπόλωλε καὶ νενόσηκεν ἡ
Ἑλλάς. ταῦτα δ' ἐστὶ τί; ζῆλος, εἴ τις εἴληφέ τι·
γέλως, ἂν ὁμολογῇ· [u] συγγνώμη τοῖς ἐλεγχομένοις· μῖ-
σος, ἂν τούτοις τις ἐπιτιμᾷ· τἆλλα πάνθ' ὅσα ἐκ τοῦ
50 δωροδοκεῖν ἤρτηται. ἐπεὶ τριήρεις γε καὶ σωμάτων πλῆ-
θος καὶ χρημάτων [x] πρόσοδοι καὶ τῆς ἄλλης κατασκευῆς
ἀφθονία, καὶ τἆλλα, οἷς ἄν τις ἰσχύειν τὰς πόλεις [y] κρί-
νοι, νῦν [z] ἅπασι καὶ πλείω καὶ μείζω ἐστὶ τῶν τότε

[l] τὰ τῶν Ἑλλήνων] πάντα τὰ S.
[m] οὐδὲν—ὅτι om. Y. et pr. S.
[n] ἀεὶ om. pr. S.
[o] ἢ] ἢ καὶ F. Y. O. u. v.
[p] τοῦτον om. u.
[q] καὶ παραίτ.—συγγνώμη om. Y. et pr. S.
[r] καὶ τοῖς—πραττόντων om. Y. et pr. S.
[s] τυράννους—βαρβάρους] βαρβάρους—τυράννους O. u. v.
[t] τῶν τοιούτων] τοιοῦτον S.
[u] συγγνώμη τοῖς ἐλεγχομένοις om. pr. S.
[x] πρόσοδοι om. pr. S. πρόσοδοι (ς superscr.) F.
[y] κρίνοι] κρίνῃ O. u. v.
[z] ἅπασι] ἅπαντα (σι superscr.) F. ἅπαντα Y. O. u. v.

πολλῷ. ἀλλ' ἅπαντα ταῦτ' ἄχρηστα, ἄπρακτα, ἀνό-
νητα ὑπὸ τῶν πωλούντων γίγνεται.
51 Ὅτι δ' οὕτω ταῦτ' ἔχει, τὰ μὲν νῦν ὁρᾶτε δήπου καὶ
οὐδὲν ἐμοῦ προσδεῖσθε μάρτυρος· τὰ δ' ἐν τοῖς ἄνωθεν
χρόνοις ὅτι [a] τἀναντία εἶχεν, ἐγὼ δηλώσω, οὐ λόγους
ἐμαυτοῦ λέγων, ἀλλὰ [b] γράμματα τῶν προγόνων τῶν
ὑμετέρων [c] δεικνύων, ἃ [d] 'κεῖνοι κατέθεντο εἰς στήλην χαλ-
κῆν γράψαντες εἰς ἀκρόπολιν, [e] οὐχ ἵνα αὐτοῖς ᾖ χρή-
σιμα (καὶ γὰρ ἄνευ τούτων τῶν γραμμάτων τὰ δέοντα
[f] ἐφρόνουν) ἀλλ' ἵν' ὑμεῖς ἔχητε [g] ὑπομνήματα καὶ παρα-
52 δείγματα ὡς ὑπὲρ τῶν τοιούτων σπουδάζειν προσήκει. τί
οὖν λέγει τὰ γράμματα; [h] Ἄρθμιος, φησίν, ὁ Πυθώνα-
κτος [i] ὁ Ζελείτης ἄτιμος [k] ἔστω καὶ πολέμιος τοῦ δήμου
[l] τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸς καὶ γένος. εἶθ'
ἡ αἰτία [m] γέγραπται, δι' ἣν [n] τοῦτ' ἐγένετο· ὅτι τὸν χρυ- 122
σὸν τὸν ἐκ [o] Μήδων εἰς Πελοπόννησον [p] ἤγαγεν. ταῦτ'
53 ἐστὶ τὰ γράμματα. λογίζεσθε δὴ πρὸς [q] θεῶν [r] καὶ θεω-
ρεῖτε παρ' ὑμῖν αὐτοῖς, τίς ἦν ποθ' ἡ διάνοια τῶν [s] τότε
Ἀθηναίων τῶν ταῦτα ποιούντων, ἢ τί τὸ ἀξίωμα. ἐκεῖνοι
Ζελείτην τινὰ Ἄρθμιον δοῦλον βασιλέως (ἡ γὰρ Ζέλειά
ἐστι τῆς Ἀσίας), ὅτι τῷ δεσπότῃ διακονῶν χρυσίον ἤγα-

[a] τἀναντία] τἀναντία τούτων F. O. u. v.

[b] γράμματα] γραμμάτων O.

[c] δεικνύων om. pr. S.

[d] κεῖνοι S. ceteri ἐκεῖνοι.

[e] οὐχ ἵνα — τὰ γράμματα om. pr. S.

[f] ἐφρόνουν] εὐφρόνουν margo S.

[g] ὑπομν. καὶ παραδ.] παραδ. καὶ ὑπομν. margo S.

[h] Ἄρθμιος] ἀρίθμιος S. et alii.

[i] ὁ ante Ζελείτης om. S.

[k] ἔστω supra versum rec. S.

[l] τοῦ Ἀθηναίων] τῶν ἀθηναίων F. Y. u. v.

[m] γέγραπται] προσγέγραπται F. Y. O. u. v.

[n] τοῦτ'] ταῦτ' S. τοῦτ' (α supra) F.

[o] Μήδων] τῶν μήδων F. Y. O. u. v.

[p] ἤγαγεν] ἤγαγεν οὐκ Ἀθήναζε F. O. u. v.

[q] θεῶν] διὸς καὶ θεῶν F. O. u. v.

[r] καὶ θεωρεῖτε παρ' ὑμῖν αὐτοῖς om. S.

[s] τότε ante ταῦτα ponit S.

γεν εἰς Πελοπόννησον, οὐκ Ἀθήναζε, ἐχθρὸν αὐτῶν ἀνέγρα-
ψαν καὶ τῶν συμμάχων αὐτὸν καὶ γένος, καὶ [t] ἀτίμους.
54 τοῦτο δ' ἐστὶν οὐχ ἣν ἄν [u] τις οὑτωσὶ φήσειεν ἀτιμίαν· τί
γὰρ τῷ [x] Ζελείτῃ, [y] εἰ τῶν [z] Ἀθήνῃσι κοινῶν μὴ μεθέξειν
ἔμελλεν; [a] ἀλλ' οὐ τοῦτο λέγει, ἀλλ' ἐν τοῖς φονικοῖς
γέγραπται νόμοις, ὑπὲρ ὧν ἂν μὴ διδῷ [[b] δίκας] φόνου
δικάσασθαι, [c] ἀλλ' εὐαγὲς ᾖ τὸ ἀποκτεῖναι, "καὶ ἄτι-
"μος" φησὶ "τεθνάτω." τοῦτο δὴ λέγει, καθαρὸν τὸν
55 τούτων τινὰ ἀποκτείναντα εἶναι. οὐκοῦν ἐνόμιζον ἐκεῖνοι
τῆς [d] πάντων τῶν Ἑλλήνων σωτηρίας αὑτοῖς ἐπιμελητέον
εἶναι· οὐ γὰρ ἂν αὐτοῖς ἔμελεν, εἴ τις ἐν Πελοποννήσῳ
τινὰς ὠνεῖται [e] καὶ διαφθείρει, [f] μὴ τοῦθ' ὑπολαμβάνου-
σιν· ἐκόλαζον δ' οὕτω καὶ ἐτιμωροῦντο [g] οὓς αἴσθοιντο
[h] δωροδοκοῦντας, ὥστε καὶ στηλίτας ποιεῖν. ἐκ δὲ τούτων
εἰκότως τὰ τῶν Ἑλλήνων ἦν τῷ βαρβάρῳ φοβερά, οὐχ ὁ
56 βάρβαρος τοῖς Ἕλλησιν. ἀλλ' οὐ νῦν· οὐ γὰρ οὕτως
ἔχεθ' ὑμεῖς οὔτε πρὸς τὰ τοιαῦτα οὔτε πρὸς τἆλλα,
ἀλλὰ πῶς; [i] ἴστε αὐτοί· τί γὰρ δεῖ περὶ πάντων ὑμῶν
κατηγορεῖν; [k] παραπλησίως δὲ καὶ οὐδὲν βέλτιον ὑμῶν 123
[l] ἅπαντες οἱ λοιποὶ Ἕλληνες. διόπερ φημὶ ἔγωγε καὶ
σπουδῆς πολλῆς καὶ βουλῆς ἀγαθῆς τὰ παρόντα πράγ-
ματα προσδεῖσθαι. τίνος εἴπω; κελεύετε καὶ οὐκ ὀργι-
εῖσθε;

[t] ἀτίμους] ἀτίμους εἶναι F. O. u. v.

[u] τις οὑτωσί S. vulg. οὑτωσί τις.

[x] Ζελείτῃ] ζελείτῃ τοῦτ' ἔμελεν F. Y. O. u. v. Quæ omisi cum S. Harpocrationis quoque codices omittunt (v. Ἄτιμος).

[y] εἰ ante μὴ ponit pr. S.

[z] Ἀθήνῃσι] Litteras ησι a correctore habet S.

[a] ἀλλ' οὐ τοῦτο λέγει om. pr. S.

[b] [δίκας] in margine ponit Y. expungit v.

[c] ἀλλ' εὐαγὲς ᾖ τὸ ἀποκτεῖναι om. pr. S. Y.

[d] πάντων S. vulg. ἁπάντων.

[e] καὶ S. ceteri ἤ.

[f] μὴ] εἰ μὴ S. in litura.

[g] οὓς] οὓς ἂν F. O. u. v.

[h] δωροδοκοῦντας om. S.

[i] ἴστε—τίνος om. pr. S.

[k] παραπλησίως] καὶ παραπλησίως F. Y. O. u. v.

[l] ἅπαντες] καὶ ἅπαντες F.

[m] ΕΚ ΤΟΥ ΓΡΑΜΜΑΤΕΙΟΥ ΑΝΑΓΙΓΝΩΣΚΕΙ.

57 Ἔστι τοίνυν τις εὐήθης λόγος παρὰ τῶν παραμυθεῖ-
σθαι βουλομένων τὴν πόλιν, ὡς ἄρα οὔπω Φίλιππός ἐστι
[n] τοιοῦτος οἷοί ποτ' ἦσαν Λακεδαιμόνιοι, οἳ θαλάττης μὲν
ἦρχον καὶ γῆς ἁπάσης, βασιλέα δὲ σύμμαχον εἶχον,
ὑφίστατο δ' [o] οὐδὲν αὐτούς· ἀλλ' ὅμως ἠμύνατο κἀκείνους
58 ἡ πόλις καὶ οὐκ ἀνηρπάσθη. ἐγὼ δὲ [p] ἁπάντων ὡς ἔπος
εἰπεῖν πολλὴν εἰληφότων ἐπίδοσιν, καὶ οὐδὲν ὁμοίων ὄντων
τῶν νῦν τοῖς πρότερον, οὐδὲν ἡγοῦμαι πλέον ἢ τὰ τοῦ πο-
λέμου κεκινῆσθαι καὶ [q] ἐπιδεδωκέναι. πρῶτον μὲν γὰρ
ἀκούω Λακεδαιμονίους τότε καὶ πάντας τοὺς [r] Ἕλληνας
59 τέτταρας μῆνας ἢ πέντε, τὴν ὡραίαν [s] αὐτήν, ἐμβαλόντας
[t] ἂν καὶ κακώσαντας τὴν [u] τῶν ἀντιπάλων χώραν ὁπλί-
ταις καὶ πολιτικοῖς στρατεύμασιν ἀναχωρεῖν ἐπ' οἴκου πά-
λιν· οὕτω δ' ἀρχαίως εἶχον, μᾶλλον [x] δὲ πολιτικῶς, ὥστε
οὐδὲ χρημάτων ὠνεῖσθαι παρ' οὐδενὸς οὐδέν, ἀλλ' εἶναι
60 νόμιμόν τινα καὶ προφανῆ τὸν πόλεμον. νυνὶ δ' ὁρᾶτε μὲν
[y] δήπου τὰ πλεῖστα τοὺς προδότας ἀπολωλεκότας, οὐδὲν
δ' ἐκ παρατάξεως [z] οὐδὲ μάχης γιγνόμενον· ἀκούετε δὲ
Φίλιππον οὐχὶ τῷ [a] φάλαγγα ὁπλιτῶν ἄγειν βαδίζονθ'
ὅποι βούλεται, ἀλλὰ τῷ ψιλούς, ἱππέας, τοξότας, ξέ-
61 νους, τοιοῦτον [b] ἐξηρτῆσθαι στρατόπεδον. ἐπειδὰν [c] δ' ἐπὶ

[m] ΕΚ—ΑΝΑΓΙΓΝΩΣΚΕΙ F. S. Y. ἀνάγνωσις γραμματείου margo F. om. O. u. v.

[n] τοιοῦτος om. S.

[o] οὐδὲν] οὐδεν εἰς F. οὐδεὶς O. u. v.

[p] ἁπάντων om. pr. O.

[q] ἐπιδεδωκέναι] ὑποδεδωκέναι (ἐπι superscr.) O. ὑποδεδωκέναι u. v.

[r] Ἕλληνας γρ. F. S. Y. ἄλλους F. S. Y. O. u. v.

[s] αὐτὴν] αὐτὴν στρατεύεσθαι καὶ τοῦτον τὸν χρόνον γρ. Y. et rec. margo S.

[t] ἂν om. F. O. u. v.

[u] τῶν ἀντιπάλων om. pr. S.

[x] δὲ om. pr. Y.

[y] δήπου] ἄν που Y.

[z] οὐδὲ] οὐδ' ἐκ Y. O. u. v.

[a] φάλαγγα S. ceteri φάλαγγας.

[b] ἐξηρτῆσθαι] ἐξηρτῆσθαι (ύ superscr.) u. ἐξηρτύσθαι F. Y. et correctus O. ἐξαρτύεσθαι γρ. S.

[c] δ' ἐπὶ S. vulg. δέ.

[d] τούτοις πρὸς νοσοῦντας ἐν [e] αὑτοῖς προσπέσῃ καὶ μηδεὶς 124
ὑπὲρ τῆς χώρας δι' ἀπιστίαν ἐξίῃ, μηχανήματ' ἐπιστή-
σας πολιορκεῖ. καὶ σιωπῶ θέρος καὶ χειμῶνα, ὡς οὐδὲν
[f] διαφέρει, οὐδ' ἐστὶν ἐξαίρετος ὥρα τις, ἣν διαλείπει.
62 ταῦτα μέντοι πάντας εἰδότας [g] καὶ λογιζομένους οὐ δεῖ
[h] προσέσθαι τὸν πόλεμον εἰς τὴν χώραν, [i] οὐδ' εἰς τὴν εὐή-
θειαν τὴν τοῦ τότε πρὸς Λακεδαιμονίους πολέμου βλέπον-
τας ἐκτραχηλισθῆναι, ἀλλ' ὡς ἐκ πλείστου φυλάττεσθαι
τοῖς πράγμασι καὶ ταῖς παρασκευαῖς, ὅπως οἴκοθεν μὴ
[k] κινήσεται σκοποῦντας, οὐχὶ συμπλακέντας διαγωνίζε-
63 σθαι. πρὸς μὲν γὰρ πόλεμον πολλὰ φύσει πλεονεκτή-
μαθ' [l] ἡμῖν ὑπάρχει, ἄν περ ὦ ἄνδρες Ἀθηναῖοι ποιεῖν
ἐθέλωμεν ἃ δεῖ, ἡ φύσις τῆς ἐκείνου χώρας, [m] ἧς ἄγειν
καὶ φέρειν [n] ἔστι πολλὴν καὶ κακῶς ποιεῖν, ἄλλα μυρία·
εἰς δὲ ἀγῶνα ἄμεινον ἡμῶν ἐκεῖνος ἤσκηται.
64 Οὐ μόνον δὲ δεῖ ταῦτα γιγνώσκειν, οὐδὲ τοῖς ἔργοις [o] ἐκεῖ-
νον ἀμύνεσθαι τοῖς τοῦ πολέμου, ἀλλὰ καὶ τῷ λογισμῷ
καὶ τῇ διανοίᾳ τοὺς παρ' [p] ὑμῖν ὑπὲρ αὐτοῦ λέγοντας μι-
σῆσαι, ἐνθυμουμένους ὅτι οὐκ ἔνεστι τῶν [q] ἔξω τῆς πόλεως
ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολά-
65 σητε ὑπηρετοῦντας [r] ἐκείνοις. ὃ μὰ τὸν Δία καὶ τοὺς ἄλ-
λους θεοὺς οὐ [s] δύνασθε ὑμεῖς ποιῆσαι [t] οὐδὲ βούλεσθε,
ἀλλ' εἰς τοῦτο ἀφῖχθε μωρίας ἢ [u] παρανοίας ἢ οὐκ ἔχω

[d] τούτοις] τούτοις κρατῶν rec. S. Y.
[e] αὐτοῖς] αὐτοῖς καὶ τεταραγμένους rec. S.
[f] διαφέρει] αὐτῷ διαφέρει margo Y. O.
[g] καὶ λογιζομένους οὐ δεῖ S. ceteri δεῖ καὶ λογιζομένους μή.
[h] προσέσθαι] προέσθαι F. Y. O. u. v. προσδέχεσθαι margo O.
[i] οὐδ' S. μη οὐδ' F. vulg. μηδ'.
[k] κινήσεται] κινήσηται S. O. u. y. κινήσηται F.
[l] ἡμῖν] ὑμῖν S.
[m] ἧς] ᾗ pr. S.
[n] ἔστι πολλὴν] εἰς τὴν πόλιν pr. S.
[o] ἐκεῖνον] ἐκεῖνα O.
[p] ὑμῖν] ἡμῖν F. Y. O. u. v.
[q] ἔξω om. S. Y.
[r] ἐκείνοις S. vulg. ἐκείνῳ.
[s] δύνασθε] δυνήσεσθε S.
[t] οὐδὲ βούλεσθε om. pr. S.
[u] παρανοίας] παροινίας O.

τί λέγω (πολλάκις γὰρ ἔμοιγ' ἐπελήλυθε καὶ τοῦτο φοβεῖσθαι, μή τι δαιμόνιον τὰ πράγματα [x] ἐλαύνῃ), ὥστε λοιδορίας [y] ἢ [z] φθόνου [a] ἢ σκώμματος, [b] ἧστινος ἂν τύχητε [c] ἕνεκ' αἰτίας ἀνθρώπους μισθωτούς, ὧν οὐδ' ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσὶ τοιοῦτοι, λέγειν κελεύετε, καὶ γελᾶτε, 125

66 ἄν τισι λοιδορηθῶσιν. καὶ οὐχί [d] πω τοῦτο δεινόν, καίπερ ὂν δεινόν· ἀλλὰ καὶ μετὰ πλείονος ἀσφαλείας πολιτεύεσθαι δεδώκατε τούτοις ἢ τοῖς ὑπὲρ ὑμῶν λέγουσιν. καίτοι θεάσασθε ὅσας συμφορὰς παρασκευάζει τὸ τῶν τοιούτων ἐθέλειν ἀκροᾶσθαι. λέξω δ' ἔργα ἃ πάντες εἴσεσθε.

67 Ἦσαν ἐν Ὀλύνθῳ τῶν ἐν [e] τοῖς πράγμασι τινὲς μὲν [f] Φιλίππου καὶ πάνθ' ὑπηρετοῦντες ἐκείνῳ, τινὲς δὲ [g] τοῦ βελτίστου καὶ ὅπως μὴ [h] δουλεύσουσιν οἱ πολῖται πράττοντες. πότεροι δὴ τὴν πατρίδα [i] ἐξώλεσαν; ἢ πότεροι τοὺς ἱππέας προὔδοσαν, ὧν προδοθέντων Ὄλυνθος ἀπώλετο; οἱ τὰ Φιλίππου φρονοῦντες καὶ ὅτ' ἦν ἡ πόλις τοὺς τὰ βέλτιστα λέγοντας συκοφαντοῦντες καὶ διαβάλλοντες οὕτως, ὥστε τόν γ' Ἀπολλωνίδην καὶ ἐκβαλεῖν ὁ δῆμος ὁ τῶν Ὀλυνθίων ἐπείσθη.

68 Οὐ τοίνυν παρὰ τούτοις [k] μόνοις τὸ ἔθος τοῦτο πάντα κακὰ εἰργάσατο, ἄλλοθι δ' οὐδαμοῦ· ἀλλ' ἐν Ἐρετρίᾳ, [l] ἐπειδὴ ἀπαλλαγέντος [m] Πλουτάρχου καὶ τῶν ξένων ὁ δῆμος εἶχε τὴν πόλιν καὶ τὸν Πορθμόν, οἱ μὲν ἐφ' ὑμᾶς

[x] ἐλαύνῃ] ἐλαύνει F. Y.
[y] ἢ om. S.
[z] φθόνου] φόνου S.
[a] ἢ om. S.
[b] ἧστινος] ἢ ἧστινὸς Y. v.
[c] ἕνεκ' om. F. Y. O. u. v.
[d] πω post τοῦτο ponunt F. Y. O. u. v.
[e] τοῖς om. O.
[f] Φιλίππου] τὰ φιλίππου φρονοῦντες F. O. u. v.
[g] τοῦ] οἱ τοῦ S.
[h] δουλεύσουσιν F. Y. O. u. v. vulg. δουλεύσωσιν.
[i] ἐξώλεσαν S. ἀπώλεσαν (ἐξ) F. ceteri ἀπώλεσαν.
[k] μόνοις] μόνον S.
[l] ἐπειδὴ] ἐπειδή γε F. Y. O. u. v.
[m] Πλουτάρχου] τοῦ πλουτάρχου O. u. v.

ἦγον τὰ πράγματα, οἱ δ' ἐπὶ Φίλιππον. ἀκούοντες [n] δὲ
τούτων τὰ πολλά, μᾶλλον [o] δὲ πάντα οἱ ταλαίπωροι
καὶ δυστυχεῖς Ἐρετριεῖς τελευτῶντες ἐπείσθησαν τοὺς
69 ὑπὲρ αὐτῶν λέγοντας ἐκβαλεῖν. καὶ γάρ τοι πέμψας
Ἱππόνικον [p] ὁ σύμμαχος καὶ φίλος αὐτοῖς Φίλιππος καὶ
ξένους χιλίους, τὰ τείχη περιεῖλε τοῦ Πορθμοῦ καὶ τρεῖς
κατέστησε τυράννους, Ἵππαρχον, Αὐτομέδοντα, Κλείταρ-
χον· καὶ μετὰ ταῦτ' ἐξελήλακεν ἐκ τῆς χώρας δὶς ἤδη
βουλομένους σώζεσθαι, [q] τότε μὲν πέμψας τοὺς μετ' Εὐ- 126
ρυλόχου ξένους, πάλιν δὲ τοὺς μετὰ Παρμενίωνος.
70 Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ἀλλ' ἐν Ὠρεῷ [r] Φι-
λιστίδης μὲν ἔπραττε Φιλίππῳ καὶ Μένιππος καὶ Σω-
κράτης καὶ Θόας καὶ Ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν
πόλιν (καὶ ταῦτ' ᾔδεσαν ἅπαντες), Εὐφραῖος δέ τις, ἄν-
θρωπος καὶ παρ' [s] ἡμῖν ποτ' ἐνθάδε οἰκήσας, ὅπως ἐλεύ-
71 θεροι καὶ μηδενὸς δοῦλοι ἔσονται. οὗτος τὰ μὲν ἄλλα ὡς
ὑβρίζετο καὶ προεπηλακίζετο ὑπὸ τοῦ δήμου [t] τοῦ τῶν
Ὠρειτῶν, πολλὰ ἂν εἴη λέγειν· ἐνιαυτῷ δὲ πρότερον τῆς
ἁλώσεως ἐνέδειξεν ὡς προδότην τὸν Φιλιστίδην καὶ τοὺς
μετ' αὐτοῦ, αἰσθόμενος ἃ πράττουσιν. συστραφέντες δὲ
ἄνθρωποι πολλοὶ καὶ χορηγὸν ἔχοντες Φίλιππον καὶ πρυ-
τανευόμενοι [u] παρ' ἐκείνου, ἀπάγουσι τὸν Εὐφραῖον εἰς τὸ
72 δεσμωτήριον ὡς συνταράττοντα τὴν πόλιν. ὁρῶν δὲ ταῦθ'
ὁ δῆμος ὁ τῶν Ὠρειτῶν, ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν τοὺς δ'
[x] ἀποτυμπανίσαι, τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δ' ἐπιτή-
δειον [y] εἶναι ταῦτα παθεῖν ἔφη καὶ ἐπέχαιρεν. μετὰ ταῦθ'

[n] δὲ ante τούτων om. O. u. v.
[o] δὲ πάντα om. pr. S.
[p] ὁ et καὶ φίλος om. pr. S.
[q] τότε—Παρμενίωνος om. pr. S.
[r] Φιλιστίδης F. Y. O. u. v. vulg. Φιλιστείδης. Sic et infra.
[s] ἡμῖν S. ceteri ὑμῖν.
[t] τοῦ τῶν Ὠρειτῶν om. S. Y. τοῦ om. O.
[u] παρ' ἐκείνου om. pr. S.
[x] ἀποτυμπανίσαι] ἀποτυπανίσαι Y. τυπανίσαι γρ. F.
[y] εἶναι om. S.

οἱ μὲν ἐπ᾽ ἐξουσίας ὁπόσης ἠβούλοντο [z] ἔπραττον ὅπως ἡ
πόλις ληφθήσεται, καὶ κατεσκευάζοντο τὴν πρᾶξιν· τῶν
δὲ πολλῶν εἴ τις αἴσθοιτο, ἐσίγα καὶ κατεπέπληκτο, τὸν
73 Εὐφραῖον, οἷα ἔπαθε, [a] μεμνημένος. οὕτω δ᾽ ἀθλίως [b] δι-
έκειντο, ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ
προσιόντος ῥῆξαι φωνήν, πρὶν διασκευασάμενοι πρὸς τὰ
τείχη προσῄεσαν οἱ πολέμιοι· τηνικαῦτα δ᾽ οἱ μὲν [c] ἠμύ-
74 νοντο, οἱ δὲ προὐδίδοσαν. τῆς [d] δὲ πόλεως οὕτως ἁλούσης
αἰσχρῶς καὶ κακῶς οἱ μὲν ἄρχουσι καὶ τυραννοῦσι, τοὺς 127
τότε σῴζοντας αὐτοὺς καὶ τὸν Εὐφραῖον ἑτοίμους ὁτιοῦν
ποιεῖν ὄντας τοὺς μὲν ἐκβαλόντες τοὺς δὲ ἀποκτείναντες,
ὁ δ᾽ Εὐφραῖος ἐκεῖνος ἀπέσφαξεν ἑαυτόν, ἔργῳ μαρτυρή-
σας ὅτι [e] δικαίως καὶ καθαρῶς ὑπὲρ τῶν πολιτῶν ἀνθει-
στήκει Φιλίππῳ.

75 Τί οὖν ποτ᾽ αἴτιον, θαυμάζετ᾽ ἴσως, [f] τοῦ καὶ τοὺς
Ὀλυνθίους καὶ τοὺς Ἐρετριεῖς καὶ τοὺς Ὠρείτας ἥδιον
πρὸς τοὺς ὑπὲρ Φιλίππου λέγοντας ἔχειν ἢ τοὺς ὑπὲρ
ἑαυτῶν; ὅπερ καὶ παρ᾽ [g] ὑμῖν, ὅτι τοῖς μὲν ὑπὲρ τοῦ
βελτίστου λέγουσιν οὐδὲ βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς
χάριν οὐδὲν εἰπεῖν· τὰ γὰρ πράγματ᾽ ἀνάγκη σκοπεῖν
ὅπως σωθήσεται· οἱ δ᾽ ἐν αὐτοῖς οἷς χαρίζονται Φιλίπ-
76 πῳ συμπράττουσιν. εἰσφέρειν ἐκέλευον, οἱ δ᾽ οὐδὲν δεῖν
ἔφασαν· πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ᾽ ἄγειν εἰ-
ρήνην, ἕως [h] ἐγκατελήφθησαν. τἆλλα τὸν αὐτὸν τρόπον
οἶμαι πάνθ᾽, ἵνα μὴ καθ᾽ ἕκαστα λέγω· οἱ μέν, ἐφ᾽ οἷς
[i] ἤδη χαριοῦνται, ταῦτ᾽ ἔλεγον [k] καὶ ἐλύπουν οὐδέν, οἱ δ᾽,

[z] ἔπραττον] εἴσπραττον S.
[a] μεμνημένος] μεμνημένοι F. S.
[b] διέκειντο] διέκειντο τῷ φόβῳ rec. Y.
[c] ἠμύνοντο] ἠμύναντο Y.
[d] δὲ πόλεως] πόλεως δὲ rec. Y.
[e] δικαίως] καὶ δικαίως S. Y.
[f] τοῦ] τὸ F. S. pr. Y. correctus O.
[g] ὑμῖν] ὑμῖν νῦν ἐστί rec. Y. et γρ. F.
[h] ἐγκατελήφθησαν] ἐγκατελείφθησαν S.
[i] ἤδη om. S. et pr. Y.
[k] καὶ ἐλύπουν οὐδέν in margine

ἐξ ὧν ἔμελλον σωθήσεσθαι, [l] προσῆσαν δ' ἀπέχθειαι.
77 πολλὰ δὲ καὶ τὰ τελευταῖα οὐχ οὕτως [m] οὔτε πρὸς χάριν
οὔτε δι' ἄγνοιαν οἱ πολλοὶ [n] προΐεντο, ἀλλ' ὑποκατακλι-
νόμενοι, ἐπειδὴ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον. ὃ νὴ τὸν Δία
καὶ τὸν Ἀπόλλω δέδοικα [o] ἔγωγε μὴ πάθητε [p] ὑμεῖς,
78 ἐπειδὰν [q] ἴδητε [r] ἐκ λογισμοῦ μηδὲν [s] ὑμῖν [t] ἐνόν. καίτοι 27
μὴ γένοιτο [u] ὦ ἄνδρες Ἀθηναῖοι τὰ πράγματ' ἐν τούτῳ·
τεθνάναι [x] γὰρ μυριάκις κρεῖττον ἢ κολακείᾳ τι ποιῆσαι
[y] Φιλίππῳ [z] καὶ προέσθαι τῶν ὑπὲρ [a] ὑμῶν λεγόντων τι- 128
νάς. καλήν γ' οἱ πολλοὶ νῦν ἀπειλήφασιν Ὠρειτῶν χά-
ριν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρεψαν αὑτούς, τὸν δ'
79 Εὐφραῖον [b] ἐώθουν· καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς
[c] μὲν ὑμετέρους πρέσβεις ἀπήλασε, Κλειτάρχῳ δ' ἐνέδω-
κεν αὑτόν· δουλεύουσί γε μαστιγούμενοι καὶ [d] στρεβλού-
μενοι. καλῶς Ὀλυνθίων ἐφείσατο τῶν τὸν μὲν [e] Λασθένη
ἵππαρχον χειροτονησάντων, τὸν δὲ Ἀπολλωνίδην [f] ἐκβα-
80 λόντων. μωρία καὶ κακία τὰ τοιαῦτα ἐλπίζειν, [g] καὶ
κακῶς [h] βουλευομένους καὶ μηδὲν ὧν προσήκει ποιεῖν
ἐθέλοντας, ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων ἀκροω-

Y. μὴ λυποῦν (apposito in margine καὶ) O. ceteri om.

[l] προσῆσαν δ' ἀπέχθειαι rec. margo S. Y. om. F. O. u. v.

[m] οὔτε — οὔτε] οὐδὲ — οὐδὲ S. οὔτε — ουτε F. (δ superscript over each)

[n] προΐεντο] προσίεντο F. S.

[o] ἔγωγε] ἐγὼ S.

[p] ὑμεῖς — ἐνόν om. pr. u.

[q] ἴδητε Y. et γρ. F. vulg. εἰδῆτε.

[r] ἐκ λογισμοῦ] ἐκλογιζόμενοι S.

[s] ὑμῖν] ἐν ὑμῖν S.

[t] ἐνόν] ἐνόν· καὶ τοὺς εἰς ταῦθ' ὑπάγοντας ὑμᾶς ὁρῶν οὐκ ὀῤῥωδῶ ἀλλὰ δυσωποῦμαι· ἢ γὰρ ἐξεπίτηδες ἢ δι' ἄγνοιαν εἰς χαλεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν rec. margo S. Y.

[u] ὦ ἄνδρες Ἀθηναῖοι] μὲν ὡς S.

[x] γὰρ] δὲ S.

[y] Φιλίππῳ] φιλιππῶι (ου superscript) F. φιλίππου (ω superscript) S.

[z] καὶ — τινάς om. S.

[a] ὑμῶν] vulg. ὑμῶν αὐτῶν.

[b] ἐώθουν] ἐμίσουν γρ. Y.

[c] μὲν post ὑμετέρους ponunt F. Y. O. u. v.

[d] στρεβλούμενοι] σφαττόμενοι S. et γρ. Y.

[e] Λασθένη] λασθένην O.

[f] ἐκβαλόντων] ἐκβαλλόντων O. u. v.

[g] καὶ ante κακῶς om. F. Y. O. v.

[h] βουλευομένους] βουλευομένους αὐτοὺς F. O. u. v.

μένους, τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος,
81 ὥστε μηδ' ἂν ὁτιοῦν ᾗ δεινὸν πείσεσθαι. καὶ μὴν [i] ἐκεῖνό
γε αἰσχρόν, ὕστερόν ποτ' εἰπεῖν [k] συμβάντος τινός "τίς
"γὰρ ἂν [l] ᾠήθη ταῦτα γενέσθαι; νὴ [m] τὸν Δία, ἔδει γὰρ
"τὸ καὶ [n] τὸ ποιῆσαι, καὶ τὸ μὴ ποιῆσαι." πολλὰ ἂν
εἰπεῖν ἔχοιεν Ὀλύνθιοι νῦν, ἃ τότ' εἰ προείδοντο, οὐκ ἂν
ἀπώλοντο· πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς, πολλὰ
82 τῶν ἀπολωλότων ἕκαστοι. ἀλλὰ τί τούτων ὄφελος αὐ-
τοῖς; [o] ἕως ἂν σῴζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τ'
ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ'
ἄνδρα [p] ἑξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ' ἑκὼν μήτ'
ἄκων μηδεὶς ἀνατρέψῃ, τοῦτο σκοπεῖσθαι· ἐπειδὰν δὲ ἡ
83 θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. καὶ ἡμεῖς τοίνυν,
ὦ ἄνδρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷοι, πόλιν μεγίστην ἔχον-
τες, ἀφορμὰς πλείστας, ἀξίωμα κάλλιστον,—τί ποιῶ-
μεν; πάλαι τις ἡδέως ἂν [q] ἴσως ἐρωτήσων κάθηται. ἐγὼ
νὴ Δί' ἐρῶ, καὶ γράψω δέ, ὥστε ἂν βούλησθε, [r] χειροτο- 129
νήσατε. αὐτοὶ πρῶτον ἀμυνόμενοι καὶ παρασκευαζόμενοι,
τριήρεσι [s] καὶ χρήμασι καὶ στρατιώταις λέγω· καὶ γὰρ
ἂν ἅπαντες [t] δήπου δουλεύειν συγχωρήσωσιν οἱ ἄλλοι,
84 [u] ἡμῖν [x] γ' ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον· ταῦτα δὴ
πάντα [y] αὐτοὶ [z] παρασκευασάμενοι καὶ ποιήσαντες [a] τοῖς
Ἕλλησι φανερὰ τοὺς ἄλλους ἤδη [b] παρακαλῶμεν, καὶ

[i] ἐκεῖνό F. Y. u. v. vulg. κἀκεῖνό.
[k] συμβάντος τινος om. S.
[l] ᾠήθη] οἰηθῆι pr. Y.
[m] τὸν om. O.
[n] τὸ ante ποιῆσαι om. pr. Y.
[o] ἕως] ἕως γὰρ rec. Y.
[p] ἑξῆς προθύμους S. ceteri ἐφεξῆς πρόθυμον.
[q] ἴσως om. Y.
[r] χειροτονήσατε] χειροτονήσετε F. S. Y. O. u. v.
[s] καὶ ante χρήμασι om. F. Y. O. u. v.
[t] δήπου δουλεύειν S. ceteri δουλεύειν δήπου.
[u] ἡμῖν S. Y. vulg. ὑμῖν.
[x] γ' om. Y. u.
[y] αὐτοὶ om. F. Y. O. u. v.
[z] παρασκευασάμενοι] παρεσκευασμένοι S.
[a] τοῖς Ἕλλησι om. pr. S.
[b] παρακαλῶμεν] παραδωμεν S.

τοὺς ταῦτα διδάξοντας ἐκπέμπωμεν πρέσβεις [c]πανταχοῖ, εἰς Πελοπόννησον, εἰς [d]Ῥόδον, εἰς Χίον, ὡς βασιλέα λέγω (οὐδὲ γὰρ τῶν ἐκείνῳ συμφερόντων ἀφέστηκε τὸ μὴ [e]τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι), ἵν' ἐὰν μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν κινδύνων καὶ τῶν ἀναλωμάτων, ἄν τι δέῃ, εἰ δὲ μή, χρόνους γε ἐμποιῆτε τοῖς
85 πράγμασιν. ἐπειδὴ γάρ ἐστι πρὸς ἄνδρα καὶ οὐχὶ συν-
εστώσης πόλεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ τοῦτ' ἄχρηστον,
οὐδ' αἱ πέρυσι πρεσβεῖαι [f]αἱ περὶ τὴν Πελοπόννησον
ἐκεῖναι καὶ κατηγορίαι, ἃς ἐγὼ καὶ Πολύευκτος ὁ βέλ-
τιστος ἐκεινοσὶ καὶ Ἡγήσιππος [g]καὶ Κλειτόμαχος καὶ
Λυκοῦργος καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν, καὶ ἐποι-
ήσαμεν ἐπισχεῖν ἐκεῖνον καὶ μήτ' ἐπ' [h]Ἀμβρακίαν ἐλ-
86 θεῖν μήτ' ἐς Πελοπόννησον ὁρμῆσαι. οὐ [i]μέντοι λέγω μη-
δὲν αὐτοὺς ὑπὲρ αὑτῶν ἀναγκαῖον ἐθέλοντας ποιεῖν τοὺς
ἄλλους παρακαλεῖν· καὶ γὰρ εὔηθες τὰ οἰκεῖα αὐτοὺς
[k]προϊεμένους τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι, καὶ τὰ
παρόντα περιορῶντας ὑπὲρ τῶν μελλόντων τοὺς ἄλλους
87 φοβεῖν. οὐ λέγω ταῦτα, ἀλλὰ [l]τοῖς μὲν ἐν Χερρονήσῳ
χρήματ' ἀποστέλλειν φημὶ δεῖν καὶ τἆλλα ὅσα ἀξιοῦσι
ποιεῖν, αὐτοὺς δὲ παρασκευάζεσθαι, [m]καὶ πρώτους ἃ χρὴ 130
ποιοῦντας τότε καὶ τοὺς ἄλλους Ἕλληνας συγκαλεῖν,
συνάγειν, διδάσκειν, νουθετεῖν· ταῦτ' ἐστὶ πόλεως ἀξίωμα
88 ἐχούσης ἡλίκον ὑμῖν ὑπάρχει. εἰ δ' οἴεσθε Χαλκιδέας

[c] πανταχοῖ O. et correctus v. vulg. πανταχοῦ. πανταχοῦ—καταστρέψασθαι in margine rec. S.

[d] Ῥόδον—Χίον] χίον—ῥόδον Y.

[e] τοῦτον—καταστρέψασθαι] τοῦτο—στρέψασθαι pr. O.

[f] αἱ ante περὶ addidit Reiskius.

[g] καὶ Κλειτόμαχος καὶ Λυκοῦργος om. F. S. Y. O. u. v.

[h] Ἀμβρακίαν] ἀμβρικίαν F.

[i] μέντοι] μέντοιγε O.

[k] προϊεμένους] προεμένους F. S. O. u. v.

[l] τοῖς] τοις (τὸ superscr.) F. τὸ Y.

[m] καὶ πρώτους—καὶ τοὺς] τοὺς δ' F. S. Y. O. u. v.

τὴν Ἑλλάδα σώσειν ἢ Μεγαρέας, ὑμεῖς δ' [n] ἀποδράσεσθαι τὰ πράγματα, οὐκ ὀρθῶς οἴεσθε· ἀγαπητὸν γάρ, ἂν αὐτοὶ σώζωνται τούτων ἕκαστοι. ἀλλ' ὑμῖν τοῦτο πρακτέον· ὑμῖν οἱ πρόγονοι τοῦτο [o] τὸ γέρας ἐκτήσαντο καὶ κατέλιπον μετὰ πολλῶν [p] καὶ μεγάλων κινδύνων. εἰ δ' ὃ βούλεται ζητῶν ἕκαστος καθεδεῖται, καὶ ὅπως μηδὲν αὐ-
89 τὸς [q] ποιήσει σκοπῶν, πρῶτον μὲν [r] οὐ μήποθ' εὕρῃ τοὺς ποιήσοντας, ἔπειτα δέδοικα ὅπως μὴ πάνθ' [s] ἅμα, ὅσα [t] οὐ βουλόμεθα, ποιεῖν ἡμῖν ἀνάγκη [u] γενήσεται. [[x] εἰ γὰρ ἦσαν, εὕρηντ' ἂν πάλαι ἕνεκά γε τοῦ μηδὲν ἡμᾶς αὐτοὺς ποιεῖν ἐθέλειν· ἀλλ' οὐκ εἰσίν.]

90 Ἐγὼ μὲν δὴ ταῦτα λέγω, ταῦτα γράφω· καὶ οἴομαι καὶ νῦν ἔτι ἐπανορθωθῆναι ἂν τὰ πράγματα τούτων γιγνομένων. εἰ δέ τις ἔχει τούτων [y] τι [z] βέλτιον, λεγέτω καὶ συμβουλευέτω. ὅ τι δ' ὑμῖν [a] δόξει, τοῦτ', ὦ πάντες θεοί, [b] συνενέγκοι.

[n] ἀποδράσεσθαι S. vulg. ἀποδράσεσθε.
[o] τὸ γέρας in margine Y.
[p] καὶ μεγάλων] καὶ καλῶν καὶ μεγάλων F. Y. O. u. v.
[q] ποιήσει] ποιήσῃ Y. O.
[r] οὐ] οὐδὲ S. Y. O. u. v.
[s] ἅμα addidi sumptum a S.
[t] οὐ] μὴ O. u. v.
[u] γενήσεται] γένηται O. u. v.
[x] [εἰ γὰρ—οὐκ εἰσίν] om. F. S. O. u. v.
[y] τι om. S.
[z] βέλτιον] βελτίω F. u. v. et pr. Y.
[a] δόξει] δόξῃ S. δόξειε ceteri.
[b] συνενέγκοι] συνενέγκοι (αι superscr.) Y.

I.

# ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Δ.

## ΥΠΟΘΕΣΙΣ.

Καὶ οὗτος τὴν αὐτὴν ὑπόθεσιν ἔχει τῷ φθάνοντι καὶ πλέον οὐδὲν [a] οὐδὲ
ἴδιον, πλὴν τὸ περὶ τῆς ὁμονοίας πολίτευμα· διαφερομένων γὰρ τῶν πλουσίων
πρὸς τοὺς πένητας, ὁ Δημοσθένης καταπαύειν πειρᾶται τὴν στάσιν, τῷ μὲν 131
δήμῳ παραινῶν μὴ δημεύειν τὰς τῶν πλουσίων οὐσίας, τοῖς δὲ πλουσίοις μὴ
φθονεῖν τοῖς ἀπόροις τοῦ δημοσίου λήμματος. πείθει δὲ τοὺς Ἀθηναίους καὶ
πρὸς τὸν Περσῶν βασιλέα περὶ συμμαχίας πρεσβεύεσθαι.

ΚΑΙ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν
βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ
αὐτῶν εἰπεῖν ἃ νομίζω συμφέρειν. οὐκ ὀλίγων δ' ὄντων
ἁμαρτημάτων οὐδ' ἐκ μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν
φαύλως ταῦτ' ἔχει, οὐδέν ἐστιν ὦ ἄνδρες Ἀθηναῖοι τῶν
πάντων [b] δυσκολώτερον εἰς τὸ παρόν, ἢ ὅτι ταῖς γνώμαις
ὑμεῖς ἀφεστήκατε τῶν πραγμάτων, καὶ τοσοῦτον χρόνον
σπουδάζετε ὅσον ἂν κάθησθε ἀκούοντες, [c] ἢν προσαγγελθῇ
τι νεώτερον, εἶτ' ἀπελθὼν ἕκαστος ὑμῶν οὐ μόνον οὐδὲν
2 φροντίζει περὶ αὐτῶν, ἀλλ' οὐδὲ μέμνηται. ἡ μὲν οὖν
ἀσέλγεια καὶ πλεονεξία, ᾗ πρὸς ἅπαντας ἀνθρώπους Φί-
λιππος χρῆται, τοσαύτη τὸ πλῆθος ὅσην ἀκούετε· ὅτι [d] δ'
οὐκ ἔνι ταύτης ἐκεῖνον ἐπισχεῖν ἐκ λόγου καὶ δημηγορίας,
οὐδεὶς ἀγνοεῖ δήπου. καὶ γὰρ εἰ μηδ' ἀφ' ἑνὸς τῶν ἄλ-
3 λων τοῦτο μαθεῖν [e] δύναταί τις, ὡδὶ λογισάσθω. ἡμεῖς
οὐδαμοῦ πώποτε, ὅπου περὶ τῶν δικαίων εἰπεῖν ἐδέησεν,

[a] οὐδὲ O. u. vulg. οὔτε.

[b] δυσκολώτερον] δυσκολώτατον F. δυσκολώτατον Y. u. v. et pr. O.

[c] ἣν] ἢ F. S. Y.

[d] δ' οὐκ] οὐδ' οὐκ O.

[e] δύναταί S. Y. ceteri δύναιτό.

ἡττήθημεν οὐδ' ἀδικεῖν ἐδόξαμεν, ἀλλὰ πάντων παντα- 132
χοῦ κρατοῦμεν καὶ περίεσμεν τῷ λόγῳ. ἆρ' οὖν διὰ [f] τοῦτ'
ἐκείνῳ φαύλως ἔχει τὰ πράγματα ἢ τῇ πόλει καλῶς;
4 πολλοῦ γε καὶ δεῖ· ἐπειδὰν γὰρ ὁ μὲν λαβὼν μετὰ ταῦτα
βαδίζῃ τὰ ὅπλα, πᾶσι τοῖς οὖσιν ἑτοίμως [g] κινδυνεύσων,
ἡμεῖς δὲ καθώμεθα [h] εἰρηκότες τὰ δίκαια, οἱ δ' ἀκηκοότες,
εἰκότως οἶμαι [i] τὰ ἔργα τοὺς λόγους [k] παρέρχεται, καὶ
προσέχουσιν ἅπαντες οὐχ οἷς εἴπομέν ποθ' ἡμεῖς δικαίοις
ἢ νῦν ἂν εἴποιμεν, ἀλλ' οἷς ποιοῦμεν. ἔστι δὲ ταῦτα
οὐδένα τῶν ἀδικουμένων σώζειν δυνάμενα· οὐδὲν γὰρ δεῖ
5 πλείω περὶ αὐτῶν λέγειν. τοιγάρτοι διεστηκότων εἰς [l] δύο
ταῦτα τῶν ἐν ταῖς πόλεσι, τῶν μὲν εἰς τὸ μήτε ἄρχειν
βίᾳ βούλεσθαι μηδενὸς μήτε δουλεύειν ἄλλῳ, ἀλλ' ἐν
ἐλευθερίᾳ καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι, τῶν δ' εἰς τὸ
ἄρχειν μὲν τῶν πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ' ὑπακούειν, δι'
6 ὅτου πότ' ἂν οἴωνται τοῦτο δυνήσεσθαι ποιῆσαι, οἱ τῆς
ἐκείνου προαιρέσεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυ-
μοῦντες, κεκρατήκασι πανταχοῦ, καὶ πόλις δημοκρατου-
μένη βεβαίως οὐκ οἶδ' εἴ τίς ἐστι τῶν πασῶν λοιπὴ πλὴν
ἡ [m] ἡμετέρα. [n] καὶ κεκρατήκασιν οἱ δι' ἐκείνου τὰς πολι-
τείας ποιούμενοι πᾶσιν, ὅσοις πράγματα πράττεται,
πρώτῳ μὲν πάντων καὶ πλείστῳ τῷ τοὺς βουλομένους
χρήματα λαμβάνειν ἔχειν τὸν δώσοντα ὑπὲρ αὐτῶν,
δευτέρῳ δὲ καὶ οὐδὲν ἐλάττονι τούτου τῷ δύναμιν τὴν
[o] καταστρεψομένην τοὺς ἐναντιουμένους αὐτοῖς ἐν οἷς ἂν
7 αἰτήσωσι χρόνοις παρεῖναι. ἡμεῖς δ' οὐ μόνον τούτοις

[f] τοῦτ' S. O. ταῦτ' F. (ο above) ceteri ταῦτ'.

[g] κινδυνεύσων] κινδυνεύων O. u. v.

[h] εἰρηκότες] οἱ μὲν εἰρηκότες F. Y. O. u. v.

[i] τὰ ἔργα τοὺς λόγους] τοὺς λόγους τὰ ἔργα S.

[k] παρέρχεται] διερχεται (παρ above) F.

[l] δύο] δύο μέρη F. Y. O. u. v.

[m] ἡμετέρα S. u.

[n] καὶ ante κεκρ. om. O. u.

[o] καταστρεψομένην] καταστρεψαμένην pr. O.

[p] ὑπολειπόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ᾽ οὐδ᾽ ἀνεγερθῆναι δυνάμεθα, ἀλλὰ μανδραγόραν πεπωκόσιν ἤ τι φάρ- 133
μακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις· εἶτ᾽, οἶμαι, (δεῖ γάρ, ὡς ἐγὼ κρίνω, λέγειν τἀληθῆ) οὕτω διαβεβλήμεθα καὶ καταπεφρονήμεθα ἐκ τούτων, ὥστε τῶν ἐν αὐτῷ τῷ κινδυνεύειν ὄντων οἱ μὲν ὑπὲρ τῆς ἡγεμονίας ἡμῖν ἀντιλέγουσιν, οἱ δ᾽ ὑπὲρ τοῦ ποῦ [q] συνεδρεύσουσι, τινὲς δὲ [r] καθ᾽ ἑαυτοὺς ἀμύνεσθαι μᾶλλον ἢ μεθ᾽ [s] ἡμῶν ἐγνώκασιν.

8 Τοῦ χάριν δὴ ταῦτα λέγω καὶ διεξέρχομαι; οὐ γὰρ ἀπεχθάνεσθαι μὰ τὸν Δία καὶ πάντας τοὺς θεοὺς προαιροῦμαι. [t] ἵν᾽ ὑμῶν ἕκαστος ὦ ἄνδρες Ἀθηναῖοι τοῦτο γνῷ καὶ [u] ἴδῃ, ὅτι ἡ καθ᾽ ἡμέραν ῥᾳστώνη καὶ ῥᾳθυμία, ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω [x] καὶ ταῖς πόλεσιν οὐκ [y] ἐφ᾽ ἑκάστου τῶν ἀμελουμένων ποιεῖ τὴν αἴσθησιν εὐθέως, ἀλλ᾽
9 ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀπαντᾷ. ὁρᾶτε Σέρριον καὶ Δορίσκον· ταῦτα γὰρ πρῶτον ὠλιγωρήθη μετὰ τὴν εἰρήνην, ἃ πολλοῖς ὑμῶν οὐδὲ γνώριμά ἐστιν ἴσως. ταῦτα μέντοι [z] ἐαθέντα καὶ παροφθέντα ἀπώλεσε Θρᾴκην καὶ Κερσοβλέπτην, σύμμαχον [a] ὄντα ὑμῶν. πάλιν ταῦτ᾽ ἀμελούμενα ἰδὼν καὶ οὐδεμιᾶς βοηθείας τυγχάνοντα παρ᾽ ὑμῶν κατέσκαπτε Πορθμόν, καὶ τυραννίδα ἀπαντικρὺ τῆς Ἀττικῆς [b] ἐπετείχισεν ὑμῖν ἐν τῇ Εὐβοίᾳ.
10 ταύτης ὀλιγωρουμένης Μέγαρα ἑάλω παρὰ μικρόν. οὐδὲν ἐφροντίσατε οὐδ᾽ ἐπεστράφητε [c] ἐπ᾽ οὐδενὶ τούτων,

p ὑπολειπόμεθα] ὑπολειπόμεθα (α superscr.) F. ἀπολειπόμεθα u. v.
q συνεδρεύσουσι] συνεδρεύουσι O.
r καθ᾽] καὶ καθ᾽ F. Y. O. u. v.
s ἡμῶν S. vulg. ὑμῶν.
t ἵν᾽] ἀλλ᾽ ἵν᾽ F. Y. O. u. v.
u ἴδῃ] εἰδῆι correctus S.
x καὶ ταῖς] κἂν ταῖς O. u. v.
y ἐφ᾽] ἀφ᾽ F. Y. O. u. v.
z ἐαθέντα] τότε ἐαθέντα F. Y. O. u. v.
a ὄντα] ὄντα ἕνα F.
b ἐπετείχισεν] ἀπετείχισεν (ε superscr.) V. ἀπετείχισεν O. u.
c ἐπ᾽ οὐδενὶ] οὐδὲν F. S. Y.

οὐδ' ἐνεδείξασθε τοῦθ', ὅτι οὐκ ἐπιτρέψετε [d] ταῦτα ποιεῖν
αὐτῷ· Ἀντρῶνας ἐπρίατο καὶ μετ' οὐ πολὺν χρόνον τὰ ἐν
11 Ὠρεῷ πράγματ' εἰλήφει. πολλὰ δὲ καὶ παραλείπω,
Φεράς, τὴν ἐπ' Ἀμβρακίαν ὁδόν, τὰς ἐν Ἤλιδι σφαγάς,
ἄλλα μυρία· οὐ γὰρ ἵν' ἐξαριθμήσωμαι τοὺς βεβιασμέ- 134
νους καὶ τοὺς ἠδικημένους ὑπὸ Φιλίππου, ταῦτα διεξῆλθον,
ἀλλ' ἵνα τοῦθ' ὑμῖν [e] δείξω, ὅτι οὐ στήσεται πάντας ἀν-
θρώπους ἀδικῶν, [f] τὰ δ' ὑφ' αὑτῷ ποιούμενος Φίλιππος,
εἰ μή τις αὐτὸν κωλύσει.
12 Εἰσὶ δέ τινες οἳ πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν πραγμά-
των λόγους εὐθέως εἰώθασιν ἐρωτᾶν "τί οὖν χρὴ ποιεῖν;"
οὐχ ἵνα ἀκούσαντες ποιήσωσι (χρησιμώτατοι γὰρ ἂν
ἦσαν ἁπάντων) ἀλλ' ἵνα τοῦ λέγοντος ἀπαλλαγῶσιν.
13 δεῖ δ' ὅμως εἰπεῖν ὅ τι χρὴ ποιεῖν. πρῶτον μὲν ὦ ἄνδρες
Ἀθηναῖοι τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ
πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκε, καὶ
κακόνους μέν ἐστι [g] καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς
πόλεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει θεοῖς,
οἵπερ αὐτὸν ἐξολέσειαν, οὐδενὶ μέντοι μᾶλλον ἢ τῇ πολι-
τείᾳ πολεμεῖ οὐδ' ἐπιβουλεύει, καὶ σκοπεῖ μᾶλλον οὐδὲν
14 τῶν [h] πάντων, ἢ [i] ὅπως ταύτην [k] καταλύσει. καὶ τοῦτ' ἐξ
ἀνάγκης τρόπον τινὰ νῦν [l] γε δὴ ποιεῖ· λογίζεσθε γάρ.
ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείλη-
φεν ὑμᾶς. ἀδικεῖ πολὺν [m] ἤδη χρόνον, καὶ τοῦτ' αὐτὸς
ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει χρῆ-
σθαι, τούτοις ἅπαντα τἆλλα βεβαίως κέκτηται· εἰ γὰρ

[d] ταῦτα] τοῦτο F. τοῦτο S. Y. O. u. v.

[e] δείξω] ἐπιδείξω O. u. v.

[f] τὰ δ' F. S. Y. vulg. τάδ'.

[g] καὶ ante ἐχθρὸς om. pr. Y.

[h] πάντων S. ceteri ἁπάντων.

[i] ὅπως] πῶς S.

[k] καταλύσει F. Y. v. vulg. καταλύσῃ.

[l] γε δὴ ποιεῖ] γ' ἂν ποιοῖ S.

[m] ἤδη χρόνον] χρόνον ἤδη S.

Ἀμφίπολιν καὶ Ποτίδαιαν προεῖτο, οὐδ᾽ ἂν ἐν Μακε-
15 δονίᾳ μένειν ἀσφαλῶς [n] ἡγεῖτο. ἀμφότερα οὖν οἶδε, καὶ αὐτὸν ὑμῖν ἐπιβουλεύοντα καὶ ὑμᾶς αἰσθανομένους. εὖ φρονεῖν δ᾽ ὑμᾶς ὑπολαμβάνων [o] δικαίως μισεῖν αὐτὸν ἡγεῖται. πρὸς δὲ τούτοις τοσούτοις οὖσιν, οἶδεν ἀκριβῶς ὅτι οὐδ᾽ ἂν ἁπάντων τῶν ἄλλων γένηται κύριος, οὐδὲν ἔστ᾽ αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν ὑμεῖς δημοκρατῆσθε, 135
16 ἀλλ᾽ ἐάν ποτε συμβῇ τι πταῖσμα (πολλὰ δ᾽ ἂν γένοιτο [p] ἀνθρώπῳ), ἥξει πάντα τὰ νῦν βεβιασμένα καὶ καταφεύξεται πρὸς ὑμᾶς· ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες, ἀλλ᾽ ἕτερον λαβεῖν κωλῦσαι καὶ [q] ἔχοντ᾽ ἀφελέσθαι καὶ ὅλως ἐνοχλῆσαι τοῖς [r] ἄρχειν βουλομένοις καὶ [s] πάντας ἀνθρώπους
17 εἰς ἐλευθερίαν ἐξελέσθαι δεινοί. οὔκουν βούλεται τοῖς αὑτοῦ καιροῖς τὴν παρ᾽ [t] ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐ κακῶς οὐδ᾽ ἀργῶς ταῦτα λογιζόμενος. πρῶτον μὲν δὴ [u] τοῦτο δεῖ, ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον, δεύτερον δὲ εἰδέναι σαφῶς ὅτι πάνθ᾽ ὅσα πραγματεύεται καὶ κατασκευά-
18 ζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν παρασκευάζεται. οὐ γὰρ οὕτως εὐήθης [x] ἐστὶν ὑμῶν [y] οὐδεὶς ὥσθ᾽ ὑπολαμβάνειν τὸν Φίλιππον τῶν μὲν ἐν Θρᾴκῃ κακῶν (τί γὰρ [z] ἂν ἄλλο τις εἴποι [a] Δρογγίλον καὶ [b] Καβύλην καὶ Μάστειραν καὶ ἃ νῦν φασὶν αὐτὸν ἔχειν) τούτων μὲν ἐπιθυ-

[n] ἡγεῖτο] ἐδύνατο S. et γρ. F.
[o] δικαίως om. pr. S.
[p] ἀνθρώπῳ] τἀνθρώπῳ S.
[q] ἔχοντ᾽] τὸν ἔχοντ᾽ F. Y. O. u. v.
[r] ἄρχειν βουλομένοις] ἄρχουσι βουλομένοις F. Y.
[s] πάντας] πάντας τοὺς S.
[t] ὑμῶν] ὑμῖν S. ὑμῶν F.
[u] τοῦτο δεῖ] τούτου δεῖ χάριν Y. O. u. v. et γρ. F.
[x] ἐστὶν ὑμῶν] ὑμῶν ἐστὶν S. ἐστὶν ἡμῶν Y. ἐστὶν ἡμῶν F.
[y] οὐδεὶς om. pr. Y.
[z] ἂν om. S.
[a] Δρογγίλον] δρογγυλλον S. δροιγίλον δρυγτίλον Y. δροιτίλον γρ. F.
[b] Καβύλην] καβύδην S.

μεῖν καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν καὶ πόνους καὶ χειμῶ-
19 νας καὶ τοὺς ἐσχάτους κινδύνους ὑπομένειν, τῶν δ' [c]'Αθήν-
ησι λιμένων [d] καὶ νεωρίων [e] καὶ [f] τριήρων καὶ τῶν ἔργων
τῶν [g] ἀργυρείων καὶ τοσούτων προσόδων καὶ τόπου καὶ
δόξης, ὧν μήτ' ἐκείνῳ μήτ' ἄλλῳ γένοιτο μηδενὶ χειρωσα-
μένῳ τὴν πόλιν τὴν ἡμετέραν κυριεῦσαι, οὐκ ἐπιθυμεῖν,
ἀλλὰ ταῦτα μὲν ὑμᾶς ἐάσειν ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν
καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις [h] σιροῖς ἐν τῷ βαρά-
20 θρῳ χειμάζειν. οὐκ ἔστι ταῦτα, ἀλλὰ κἀκεῖνα ὑπὲρ τοῦ
τούτων [i] γενέσθαι κύριος καὶ τἆλλα πάντα πραγματεύε- 136
ται. ταῦτα τοίνυν ἕκαστον εἰδότα καὶ γιγνώσκοντα παρ'
αὑτῷ δεῖ μὰ Δί' οὐ γράψαι κελεύειν [k] πόλεμον τὸν τὰ
βέλτιστα ἐπὶ πᾶσι δικαίοις συμβουλεύοντα· τοῦτο μὲν
γάρ ἐστι [l] λαβεῖν ὅτῳ [m] πολεμήσετε [n] βουλομένων, οὐχ
21 ἃ τῇ πόλει συμφέρει πράττειν. ὁρᾶτε γάρ. εἰ δι' ἃ
[o] πρῶτα παρεσπόνδησε Φίλιππος ἢ δεύτερα ἢ τρίτα (πολ-
λὰ γάρ ἐστιν ἐφεξῆς) ἔγραψέ τις αὐτῷ πολεμεῖν, ὁ δ'
ὁμοίως ὥσπερ νῦν, οὐ γράφοντος [p] οὐδενὸς [q] πόλεμον,
Καρδιανοῖς ἐβοήθει, οὐκ [r] ἂν ἀνηρπασμένος ἦν [s] ὁ γράψας,
καὶ διὰ [t] τοῦτο πάντες ᾐτιῶντο [u] ἂν αὐτὸν Καρδιανοῖς βε-
22 βοηθηκέναι; μὴ τοίνυν ζητεῖτε ὅντινα, ἀνθ' ὧν Φίλιππος

[c] 'Αθήνησι] ἀθηναίων [νισι] F. ἀθηναίων S.

[d] καὶ νεωρίων post καὶ τριήρων ponit Y.

[e] καὶ τριήρων—προσόδων in margine S.

[f] τριήρων O. u. et pr. F. vulg. τριηρῶν.

[g] ἀργυρείων] ἀργυρίων F.

[h] σιροῖς] σειροῖς pr. S.

[i] γενέσθαι] γίνεσθαι S.

[k] πόλεμον] τὸν πόλεμον S.

[l] λαβεῖν ante βουλομένων ponunt F. Y. O. u.

[m] πολεμήσετε] μὴ πολεμήσετ F. O. et in litura Y.

[n] βουλομένων] οὐ βουλομένων v.

[o] πρῶτα] τὰ πρῶτα pr. S.

[p] οὐδενὸς] ἀθηναίων οὐδενὸς F. Y. O. u. v. οὐδενὸς ὑμῶν [ἡμῶν] S.

[q] πόλεμον] πολεμων F.

[r] ἂν ἀνηρπ. S. vulg. ἀνηρπ. ἄν.

[s] ὁ] ὁ ταῦτα O. u. v.

[t] τοῦτο πάντες S. ceteri τοῦθ' ἅπαντες.

[u] ἂν αὐτὸν om. F. S.

ἐξαμαρτάνει, [x] μισήσετε καὶ τοῖς παρ' ἐκείνου μισθαρ-
νοῦσι διασπάσασθαι παραβαλεῖτε· μηδ' [y] αὐτοὶ χειρο-
τονήσαντες πόλεμον βούλεσθε παρ' [z] αὐτοῖς ὑμῖν ἐρίζειν,
23 εἰ δέον ἢ μὴ δέον [a] ὑμᾶς τοῦτο πεποιηκέναι· ἀλλ' ὃν ἐκεῖ-
νος [b] πολεμεῖ τρόπον, τοῦτον [c] ἀμύνεσθε, τοῖς μὲν ἀμυνο-
μένοις [d] ἤδη χρήματα καὶ τἆλλα, [e] ὧν ἂν δέωνται, δι-
δόντες, αὐτοὶ δ' εἰσφέροντες ὦ ἄνδρες Ἀθηναῖοι καὶ κα-
τασκευαζόμενοι στράτευμα, τριήρεις ταχείας, ἵππους,
24 ἱππαγωγούς, [f] τἆλλα ὅσα εἰς πόλεμον, ἐπεὶ νῦν γε γέ-
λως ἐστὶν ὡς χρώμεθα τοῖς πράγμασι, καὶ Φίλιππον δ'
αὐτὸν [g] οἶμαι οὐδὲν [h] ἂν ἄλλο μὰ τοὺς θεοὺς εὔξασθαι
ποιεῖν τὴν πόλιν ἢ ταῦτα, [i] ἃ νῦν ποιεῖτε· ὑστερίζετε,
ἀναλίσκετε, ὅτῳ παραδώσετε τὰ πράγματα [[k] ζητεῖτε,]
δυσχεραίνετε, ἀλλήλους αἰτιᾶσθε. ἀφ' ὅτου δὲ ταῦτα
25 γίγνεται, ἐγὼ διδάξω, καὶ ὅπως παύσεται, λέξω. οὐδὲν 137
πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πραγμάτων ἐξ ἀρχῆς
ἐνεστήσασθε οὐδὲ κατεσκευάσασθε ὀρθῶς, ἀλλὰ τὸ συμ-
βαῖνον ἀεὶ διώκετε, εἶτ' ἐπειδὰν [l] ὑστερίσητε, παύεσθε·
ἕτερον πάλιν ἐὰν συμβῇ τι, παρασκευάζεσθε καὶ θορυ-
26 βεῖσθε. τὸ δ' οὐχ οὕτως ἔχει· οὐκ ἔνεστι βοηθείαις χρω-
μένους οὐδὲν τῶν δεόντων [m] ποτὲ πρᾶξαι, ἀλλὰ κατα-
σκευάσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας
καὶ ταμίας [n] καὶ δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν [o] χρη-

[x] μισήσετε] μιμήσεσθε Y. μισήσεσθε γρ. Y.
[y] αὐτοὶ] αὐτοῖς S.
[z] αὐτοῖς ὑμῖν S. ceteri ὑμῖν αὐτοῖς.
[a] ὑμᾶς S. ceteri ἡμᾶς.
[b] πολεμεῖ] ποιεῖ S.
[c] ἀμύνεσθε] ἀμύνεσθαι (ε supra) Y. ἀμύνεσθαι F. O. v. μιμεῖσθε γρ. S.
[d] ἤδη om. pr. Y.
[e] ὧν ἂν δέωνται] ὅσων δέονται S.
[f] τἆλλα] καὶ τἆλλα F. Y. O. u. v.
[g] οἶμαι ante μὰ ponit S.
[h] ἂν post δ' ponit γρ. S.
[i] ἃ νῦν ποιεῖτε om. F. Y. et pr. S.
[k] [ζητεῖτε] in margine rec. S. Y.
[l] ὑστερίσητε] ὑστερήσητε F. Y.
[m] ποτὲ] πώποτε F. Y. O. u. v.
[n] καὶ ante δημοσίους om. O. v.
[o] χρημάτων] πραγμάτων S.

μάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι, οὕτω ποιήσαν-
τας, τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβά-
νειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ, καὶ μηδε-
μίαν πρόφασιν τοῦ πλεῖν ἄλλοσε ἢ πράττειν ἄλλο τι τῷ
27 στρατηγῷ καταλείπειν. ἂν [[p] δ'] οὕτω ποιήσητε καὶ
τοῦτο [q] ἐθελήσητε [r] ὡς ἀληθῶς, ἄγειν εἰρήνην δικαίαν καὶ
μένειν ἐπὶ [s] τῆς αὐτοῦ Φίλιππον ἀναγκάσετε, ἢ πολεμή-
σετε ἐξ ἴσου· καὶ ἴσως ἄν, ἴσως, [t] ὦ ἄνδρες Ἀθηναῖοι,
ὥσπερ [u] νῦν ὑμεῖς πυνθάνεσθε τί ποιεῖ Φίλιππος καὶ ποῖ
πορεύεται, οὕτως [x] ἂν ἐκεῖνος φροντίσαι ποῖ ποτὲ ἡ τῆς
πόλεως ἀπῆρκε δύναμις καὶ [y] ποῦ φανήσεται.
28 Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πό-
νων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς
δοκεῖ. ἀλλ' ἐὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα
γενησόμενα, ἐὰν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσιτε-
λοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις
ἐγγυητὴς [z] ὑμῖν θεῶν (οὐ γὰρ ἀνθρώπων γε οὐδεὶς ἂν γέν-
οιτο ἀξιόχρεως τηλικούτου πράγματος) ὡς ἐὰν ἄγηθ'
ἡσυχίαν καὶ [a] πάντα πρόησθε, οὐκ ἐπ' αὐτοὺς ὑμᾶς τε- 138
29 λευτῶν [b] ἐκεῖνος ἥξει, αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ [c] πάν-
τας θεοὺς καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ πό-
λει καὶ [d] πεπραγμένων τοῖς προγόνοις, τῆς ἰδίας ῥᾳθυμίας
ἕνεκα τοὺς ἄλλους [e] ἅπαντας Ἕλληνας εἰς δουλείαν
προέσθαι, καὶ ἔγωγ' αὐτὸς [f] μὲν τεθνάναι μᾶλλον ἂν ἢ

[p] [δ'] om. u. v.
[q] ἐθελήσητε] ἔλησθε γρ. Y.
[r] ὡς om. S.
[s] τῆς αὐτοῦ] τοῦτό που S. τοῖς (οἷς) αὐτοῦ O. της αὐτοῦ v.
[t] ὦ ἄνδρες Ἀθηναῖοι om. S.
[u] νῦν ὑμεῖς S. vulg. ὑμεῖς νῦν.
[x] ἂν φροντίσαι] φροντίσει F. Y. O. u. v.
[y] ποῦ] ποῖ F. O. u. v.
[z] ὑμῖν] ἡμῖν F. Y. O. u. v.
[a] πάντα S. ceteri ἅπαντα.
[b] ἐκεῖνος om. S.
[c] πάντας] πάντας τοὺς O. u. v.
[d] τῶν ante πεπρ. omisi cum S.
[e] ἅπαντας Ἕλληνας S. vulg. Ἕλληνας ἅπαντας.
[f] μὲν addidit S.

ταῦτ᾽ εἰρηκέναι βουλοίμην· οὐ μὴν ἀλλ᾽ εἴ τις ἄλλος
λέγει καὶ ὑμᾶς πείθει, ἔστω, μὴ ἀμύνεσθε, ἅπαντα
30 πρόεσθε. εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ, τοὐναντίον δὲ προΐσμεν
ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον γενέσθαι
κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθα
ἐχθρῷ, [g] ποῖ ἀναδυόμεθα; ἢ τί μέλλομεν; ἢ πότε ὦ ἄν-
31 δρες Ἀθηναῖοι τὰ δέοντα ποιεῖν ἐθελήσομεν; ὅταν νὴ Δί᾽
[h] ἀνάγκη τις ᾖ. ἀλλ᾽ ἣν μὲν ἄν τις ἐλευθέρων ἀνθρώπων
ἀνάγκην εἴποι, οὐ μόνον ἤδη πάρεστιν ἀλλὰ καὶ πάλαι
παρελήλυθε, τὴν δὲ τῶν δούλων ἀπεύχεσθαι δήπου μὴ
γενέσθαι δεῖ. διαφέρει δὲ τί; ὅτι ἐστὶν ἐλευθέρῳ μὲν ἀν-
θρώπῳ μεγίστη ἀνάγκη ἡ ὑπὲρ τῶν γιγνομένων αἰσχύνη,
καὶ μείζω ταύτης οὐκ οἶδα ἥντινα ἂν εἴποι τις· δούλῳ
δὲ πληγαὶ καὶ ὁ τοῦ σώματος αἰκισμός· ὃ μήτε γένοιτο
οὔτε λέγειν ἄξιον.

32 Τὸ μὲν [i] τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι πρὸς τὰ τοιαῦτα
ὀκνηρῶς διακεῖσθαι, ἃ δεῖ τοῖς σώμασι καὶ [k] ταῖς οὐσί-
αις λειτουργῆσαι ἕκαστον, ἐστὶ μὲν οὐκ ὀρθῶς ἔχον, οὐδὲ
πολλοῦ δεῖ, οὐ μὴν ἀλλ᾽ ἔχει [l] γέ τινα πρόφασιν ὅμως·
τὸ δὲ μηδ᾽ ὅσα ἀκοῦσαι δεῖ μηδ᾽ ὅσα βουλεύσασθαι
προσήκει, μηδὲ ταῦτ᾽ ἐθέλειν ἀκούειν, τοῦτ᾽ ἤδη πᾶσαν
33 ἐπιδέχεται κατηγορίαν. ὑμεῖς τοίνυν [m] οὔτ᾽ ἀκούειν, πρὶν 139
ἂν ὥσπερ νῦν αὐτὰ παρῇ τὰ πράγματα, [n] οὔτε βουλεύ-
εσθαι περὶ οὐδενὸς εἰώθατε ἐφ᾽ ἡσυχίας· ἀλλ᾽ ὅταν μὲν
ἐκεῖνος [o] παρασκευάζηται, ἀμελήσαντες τοῦ ποιεῖν [p] ταὐτὸ
καὶ ἀντιπαρασκευάζεσθαι ῥαθυμεῖτε, καὶ ἐάν τι λέγῃ

[g] ποῖ] τί O. u. v.
[h] ἀνάγκη τις] ἀναγκαῖον S.
[i] τοίνυν] οὖν τοίνυν O.
[k] ταῖς οὐσίαις S. ceteri τοῖς οὖσι.
[l] γέ om. S.
[m] οὔτ᾽] οὐκ S. οὔτ᾽ (κ superscr.) F.
[n] οὔτε] οὐδὲ S.
[o] παρασκευάζηται] παρασκευάζηται ἐφ᾽ ὑμᾶς F. Y. O. u. v.
[p] ταυτὸ S. ταυτὸ (οῦ superscr.) F.

τις, [q] ἐκβάλλετε, ἐπειδὰν δ᾽ ἀπολωλὸς ἢ πολιορκού-
μενόν τι πύθησθε, [r] τηνικαῦτ᾽ ἀκροᾶσθε [s] καὶ παρασκευά-
34 ζεσθε. ἦν δ᾽ ἀκηκοέναι μὲν καὶ βεβουλεῦσθαι τότε καιρός, ὅθ᾽ ὑμεῖς οὐκ [t] ἠθέλετε, πράττειν δὲ καὶ χρῆσθαι τοῖς παρεσκευασμένοις νῦν, ἡνίκ᾽ ἀκούετε. τοιγαροῦν ἐκ τῶν τοιούτων ἐθῶν μόνοι τῶν πάντων ἀνθρώπων ὑμεῖς [u] τοῖς ἄλλοις τοὐναντίον ποιεῖτε· οἱ μὲν γὰρ [x] ἄλλοι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι, ὑμεῖς δὲ μετὰ τὰ πράγματα.

35 Ὃ δὴ λοιπόν ἐστι, καὶ πάλαι μὲν ἔδει, [y] διαφεύγει δ᾽ οὐδὲ νῦν, τοῦτ᾽ ἐρῶ. οὐδενὸς τῶν [z] πάντων οὕτως ὡς χρημάτων δεῖ τῇ πόλει πρὸς τὰ νῦν ἐπιόντα πράγματα. συμβέβηκε δ᾽ [a] εὐτυχήματα ἀπὸ ταὐτομάτου, οἷς ἂν
36 χρησώμεθα ὀρθῶς, ἴσως ἂν γένοιτο τὰ δέοντα. πρῶτον μὲν γάρ, οἷς βασιλεὺς πιστεύει καὶ εὐεργέτας ὑπείληφεν αὑτοῦ, οὗτοι μισοῦσι καὶ πολεμοῦσι [b] Φιλίππῳ. ἔπειθ᾽ ὁ πράττων καὶ συνειδὼς [c] ἅπανθ᾽ [d] ὅσα Φίλιππος κατὰ βασιλέως παρασκευάζεται, οὗτος [e] ἀνάσπαστος γέγονε, καὶ πάσας τὰς πράξεις βασιλεὺς οὐχ ἡμῶν κατηγορούντων ἀκούσεται, οὓς ὑπὲρ τοῦ συμφέροντος ἂν ἡγήσαιτο τοῦ ἰδίου λέγειν, ἀλλὰ τοῦ πράξαντος αὐτοῦ καὶ διοι-
37 κοῦντος, ὥστ᾽ εἶναι πιστὰς [f] τὰς κατηγορίας, καὶ λοιπὸν 140
λόγον εἶναι τοῖς παρ᾽ [g] ἡμῶν πρέσβεσιν, ὃν βασιλεὺς

[q] ἐκβάλλετε] ἐκβάλλεται Y. (ε superscript)
[r] τηνικαῦτ᾽ om. S.
[s] καὶ παρασκευάζεσθε in margine Y.
[t] ἠθέλετε S. vulg. ἠθελήσατε.
[u] τοῖς ἄλλοις τοὐναντίον] τοὐναντίον τοῖς ἄλλοις F. Y. O. u. v.
[x] ἄλλοι] ἄλλοι πάντες ἄνθρωποι F. O. u. v.
[y] διαφεύγει] διαφεύγειν S. διαφέρει F. Y. O. u. v.
[z] πάντων] ἁπάντων O. u.
[a] εὐτυχήματα ἀπὸ ταὐτομάτου] εὐτύχημα ἀπ᾽ αὐτομάτου S.
[b] Φιλίππῳ] φίλιππον S. φιλίππωι (ον superscript) F.
[c] ἅπανθ᾽] πάνθ᾽ F. Y. O. u. v.
[d] ὅσα] ἃ S.
[e] ἀνάσπαστος] ἀνάρπαστος O. u. v.
[f] τὰς κατηγορίας om. pr. S.
[g] ἡμῶν S. vulg. ὑμῶν.

ἥδιστα ἂν ἀκούσαι, ὡς τὸν ἀμφοτέρους [h] ἀδικοῦντα κοινῇ
τιμωρήσασθαι δεῖ, καὶ ὅτι [i] πολὺ τῷ βασιλεῖ φοβερώτε-
ρος ἔσθ' ὁ Φίλιππος, ἂν [k] προτέροις ἡμῖν [l] ἐπιθῆται· εἰ
γὰρ ἐγκαταλειπόμενοί τι πεισόμεθα ἡμεῖς, ἀδεῶς ἐπ'
38 ἐκεῖνον ἤδη πορεύσεται. ὑπὲρ δὴ τούτων ἁπάντων οἴομαι
δεῖν ὑμᾶς πρεσβείαν ἐκπέμπειν, ἥτις τῷ βασιλεῖ δια-
λέξεται, καὶ τὴν [m] ἀβελτερίαν ἀποθέσθαι, δι' ἣν πολλά-
κις ἠλαττώθητε, "[n] ὁ δὴ βάρβαρος καὶ [o] ὁ κοινὸς ἅπασιν
"ἐχθρὸς" καὶ [p] πάντα τὰ τοιαῦτα. ἐγὼ γὰρ ὅταν [q] τιν' ἴδω
τὸν μὲν ἐν Σούσοις καὶ [r] Ἐκβατάνοις δεδοικότα καὶ κα-
κόνουν εἶναι τῇ πόλει φάσκοντα, ὃς καὶ [s] πρότερον [t] συν-
επηνώρθωσε τὰ τῆς πόλεως πράγματα καὶ νῦν ἐπηγγέλ-
39 λετο (εἰ δὲ μὴ ἐδέχεσθ' ὑμεῖς, ἀλλ' [u] ἀπεψηφίζεσθε, οὐ
τά [x] γε ἐκείνου αἴτια), ὑπὲρ δὲ τοῦ ἐπὶ ταῖς θύραις ἐγ-
γὺς οὑτωσὶ ἐν μέσῃ τῇ Ἑλλάδι αὐξανομένου λῃστοῦ τῶν
Ἑλλήνων ἄλλο τι [y] λέγοντα, θαυμάζω, καὶ δέδοικα τοῦ-
τον, ὅστις ἂν ᾖ ποτ', ἔγωγ', ἐπειδὴ οὐχ οὗτος Φίλιππον.
40 Ἔστι τοίνυν [z] τι πρᾶγμα καὶ ἄλλο, ὃ λυμαίνεται τὴν
πόλιν ὑπὸ βλασφημίας ἀδίκου καὶ λόγων οὐ προσηκόν-
των διαβεβλημένον, εἶτα τοῖς μηδὲν τῶν [a] δικαίων ἐν τῇ
[b] πολιτείᾳ βουλομένοις ποιεῖν πρόφασιν παρέχει· καὶ
πάντων, ὅσα ἐκλείπει, δέον [c] παρά του γίγνεσθαι, ἐπὶ

[h] ἀδικοῦντα] ἂν ἀδικοῦντα Y.
[i] πολὺ] οὐ πολὺ S.
[k] προτέροις] πρότερος F. O.
[l] ἐπιθῆται S. vulg. ἐπίθηται.
[m] ἀβελτερίαν] ἀβελτηρίαν F. O. u. v.
[n] ὁ] καὶ O. καὶ u. v.
[o] ὁ ante κοινὸς addidit S.
[p] πάντα S. vulg. ἅπαντα.
[q] τινὰ post ἴδω ponit O. om. v. et pr. Y. u.
[r] Ἐκβατάνοις] ἐν ἐκβατάνοις F. u. v. et rec. O.
[s] πρότερον] πρῶτον F.
[t] συνεπηνώρθωσε] συνεπηνόρθωσε S.
[u] ἀπεψηφίζεσθε] ἀπεψηφίσασθε F. Y. O. u. v.
[x] γε om. S.
[y] λέγοντα] λέγοντας S.
[z] τι om. S.
[a] δικαίων post πολιτείᾳ ponit S.
[b] πολιτείᾳ] πόλει v.
[c] παρά του S. O. et γρ. v. ceteri παρὰ τοῦτο.

41 τοῦθ' εὑρήσετε τὴν αἰτίαν [d] ἀναφερομένην. περὶ οὗ πάνυ μὲν φοβοῦμαι [e] λέγειν, οὐ μὴν ἀλλ' ἐρῶ· οἶμαι γὰρ ἕξειν καὶ ὑπὲρ τῶν ἀπόρων τὰ δίκαια ἐπὶ τῷ συμφέροντι τῆς πόλεως εἰπεῖν πρὸς τοὺς εὐπόρους καὶ ὑπὲρ τῶν κεκτημένων τὰς οὐσίας πρὸς τοὺς [f] καταδεεῖς, εἰ ἀνέλοιμεν ἐκ 141
μέσου [g] καὶ τὰς βλασφημίας ἃς ἐπὶ τῷ θεωρικῷ ποιοῦνταί τινες οὐχὶ δικαίως, καὶ τὸν φόβον, [h] ὡς οὐ στήσεται τοῦτο ἄνευ μεγάλου τινὸς κακοῦ· [i] οὗ οὐδὲν ἂν εἰς τὰ πράγματα μεῖζον εἰσενεγκαίμεθα, οὐδ' ὅ τι κοινῇ μᾶλλον ἂν
42 ὅλην ἐπιῤῥώσειε τὴν πόλιν. οὑτωσὶ δὲ [k] σκοπεῖτε· ἐρῶ δ' ὑπὲρ τῶν ἐν χρείᾳ δοκούντων εἶναι [l] πρότερον. ἦν ποτ' οὐ πάλαι παρ' [m] ἡμῖν, ὅτ' οὐ προσήει τῇ πόλει τάλαντα ὑπὲρ τριάκοντα καὶ ἑκατόν· καὶ οὐδεὶς [n] ἦν τῶν τριηραρχεῖν δυναμένων οὐδὲ τῶν εἰσφέρειν, ὅστις οὐκ ἠξίου τὰ καθήκοντα [o] ἐφ' ἑαυτὸν ποιεῖν, ὅτι χρήματα οὐ περιῆν, ἀλλὰ καὶ τριήρεις ἔπλεον καὶ χρήματα ἐγίγνετο καὶ
43 πάντα ἐποιοῦμεν τὰ δέοντα. μετὰ ταῦτα ἡ τύχη, καλῶς ποιοῦσα, πολλὰ πεποίηκε τὰ κοινά, καὶ τετρακόσια ἀντὶ τῶν ἑκατὸν ταλάντων προσέρχεται, οὐδενὸς οὐδὲν ζημιουμένου τῶν τὰς οὐσίας ἐχόντων, ἀλλὰ καὶ [p] προσλαμβανόντων· οἱ γὰρ εὔποροι πάντες ἔρχονται μεθέξοντες
44 τούτου, καὶ καλῶς ποιοῦσιν. τί οὖν [q] μαθόντες τοῦτο ὀνειδίζομεν ἀλλήλοις καὶ προφάσει χρώμεθα τοῦ μηδὲν [r] τῶν δεόντων ποιεῖν, πλὴν εἰ [s] μὴ τῇ παρὰ τῆς τύχης βοηθείᾳ

[d] ἀναφερομένην] ἐκφερομένην O.
[e] λέγειν om. S.
[f] ἐπιδεεῖς (ἰσι superscr.) S. καταδεεῖς F.
[g] καὶ ante τὰς sumpsi a F. S.
[h] ὡς om. pr. S.
[i] οὗ om. S. et pr. O.
[k] σκοπεῖτε] σκόπει S.
[l] πρότερον] προτέρων S.
[m] ἡμῖν] ὑμῖν S.
[n] ἦν] ἐστὶ F. S. O. u. v.
[o] ἐφ' ἑαυτὸν S. ἀφ' ἑαυτοῦ F. vulg. ἀφ' ἑαυτοῦ.
[p] προσλαμβανόντων] προσλαμβάνοντος S.
[q] μαθόντες] μαθόντες (π superscr.) F. u. v. παθόντες Y.
[r] τῶν δεόντων om. S.
[s] μὴ om. S.

γεγονυίᾳ τοῖς ἀπόροις φθονοῦμεν; οὓς οὔτ' ἂν αἰτιασαί-
45 μην ἔγωγε οὔτ' ἀξιῶ. οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις ὁρῶ
[t] τῶν ἐν ἡλικίᾳ πρὸς τοὺς πρεσβυτέρους οὕτω διακείμενον
οὐδ' οὕτως ἀγνώμονα οὐδ' [u] ἄτοπον τῶν ὄντων οὐδένα,
ὥστε, εἰ μὴ ποιήσουσιν ἅπαντες [x] ὅσ' ἂν αὐτός, οὐ [y] φά-
σκειν ποιήσειν οὐδὲν οὐδ' αὐτόν· καὶ γὰρ ἂν τοῖς τῆς
κακώσεως εἴη νόμοις οὗτός [z] γε ἔνοχος· δεῖ γάρ, οἶμαι, 142
τοῖς γονεῦσι τὸν ὡρισμένον ἐξ ἀμφοτέρων ἔρανον, καὶ
παρὰ τῆς φύσεως καὶ παρὰ τοῦ νόμου, δικαίως φέρειν
46 καὶ ἑκόντα ὑποτελεῖν. ὥσπερ τοίνυν ἑνὸς ἡμῶν ἑκάστου
τίς ἐστι γονεύς, οὕτω συμπάσης τῆς πόλεως κοινοὺς δεῖ
γονέας τοὺς [a] σύμπαντας ἡγεῖσθαι, καὶ [b] προσήκει [c] τού-
τους οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι, ἀλλ'
εἰ καὶ μηδὲν [d] ἦν τούτων, ἄλλοθεν σκοπεῖν ὅπως [e] μηδενὸς
47 ὄντες ἐνδεεῖς περιοφθήσονται. [f] τοὺς μὲν τοίνυν εὐπόρους
ταύτῃ χρωμένους τῇ γνώμῃ οὐ μόνον ἡγοῦμαι τὰ δίκαια
ποιεῖν [g] ἄν, ἀλλὰ καὶ τὰ λυσιτελῆ· τὸ γὰρ τῶν ἀναγ-
καίων [h] τινὰς ἀποστερεῖν κοινῇ κακόνους ἐστὶ ποιεῖν πολ-
λοὺς ἀνθρώπους τοῖς πράγμασι· τοῖς δ' ἐν ἐνδείᾳ, δι' ὃ
δυσχεραίνουσι τὸ πρᾶγμα οἱ τὰς οὐσίας ἔχοντες καὶ
κατηγοροῦσι δικαίως, τοῦτ' ἀφελεῖν ἂν συμβουλεύσαιμι.
48 δίειμι δέ, ὥσπερ ἄρτι, τὸν αὐτὸν τρόπον καὶ ὑπὲρ τῶν
εὐπόρων, οὐ κατοκνήσας εἰπεῖν τἀληθῆ. ἐμοὶ γὰρ οὐδεὶς
οὕτως ἄθλιος οὐδ' ὠμὸς εἶναι δοκεῖ τὴν γνώμην, οὔκουν
Ἀθηναίων γε, [i] οἶμαι, ἀλλ' οὐδὲ τῶν ἄλλων, ὥστε λυπεῖ-

[t] τῶν Reiskius: libri τόν.
[u] ἄτοπον τῶν ὄντων] ἀτοπώτατον ὄντα F. Y. O. u. v.
[x] ὅσ' ἂν] ὅσον S.
[y] φάσκειν] φάσκοντα F. S. Y. O. u. v.
[z] γε S. τε O. ceteri τότε.
[a] σύμπαντας] Reiskius πένητας.
[b] προσήκει] προσήκειν O. u. v.
[c] τούτους] τούτοις γρ. v.
[d] ἦν om. Y.
[e] μηδενὸς] μηθ' ἑνὸς F. Y. O. u.
[f] τοὺς—εὐπόρους] τοῖς—εὐπόροις S.
[g] ἂν om. S.
[h] τινὰς] τινὰ S.
[i] οἶμαι ἀλλ' οὐδὲ τῶν ἄλλων om. S.

σθαι ταῦτα λαμβάνοντας ὁρῶν τοὺς ἀπόρους καὶ τῶν
49 ἀναγκαίων ἐνδεεῖς ὄντας. ἀλλὰ ποῦ συντρίβεται τὸ
πρᾶγμα καὶ ποῦ δυσχεραίνεται; ὅταν [k]τὸ ἀπὸ τῶν κοι-
νῶν ἔθος ἐπὶ τὰ ἴδια [l]μεταβιβάζοντας ὁρῶσί τινας, καὶ
μέγαν μὲν ὄντα παρ᾽ ὑμῖν εὐθέως τὸν λέγοντα, ἀθάνατον
δ᾽ ἕνεκ᾽ ἀσφαλείας, [m]ἑτέραν δὲ τὴν κρύβδην ψῆφον τοῦ
50 φανερῶς θορύβου. ταῦτ᾽ ἀπιστίαν, ταῦτ᾽ ὀργὴν ἔχει. δεῖ
γὰρ ὦ ἄνδρες Ἀθηναῖοι δικαίως ἀλλήλοις τῆς πολιτείας
κοινωνεῖν, τοὺς μὲν εὐπόρους εἰς μὲν τὸν βίον τὸν ἑαυτῶν 143
ἀσφαλῶς ἔχειν νομίζοντας καὶ [n]ὑπὲρ τούτων μὴ δεδοι-
κότας, εἰς δὲ τοὺς κινδύνους κοινὰ ὑπὲρ [o]τῆς σωτηρίας
[p]τὰ ὄντα τῇ πατρίδι παρέχοντας, τοὺς δὲ λοιποὺς τὰ
μὲν κοινὰ [q]κοινὰ νομίζοντας καὶ μετέχοντας τὸ μέρος,
τὰ δὲ ἑκάστου ἴδια τοῦ κεκτημένου. οὕτω καὶ μικρὰ
[r]πόλις μεγάλη γίγνεται καὶ μεγάλη σώζεται. ὡς μὲν
οὖν εἴποι τις ἄν, ἃ παρ᾽ ἑκατέρων εἶναι δεῖ, ταῦτ᾽ ἴσως
ἐστίν· ὡς δὲ καὶ γένοιτ᾽ ἂν [s]ἐννόμως, διορθώσασθαι δεῖ.

51 Τῶν δὲ παρόντων πραγμάτων καὶ τῆς ταραχῆς πολλὰ
πόῤῥωθέν ἐστι τὰ αἴτια· ἃ εἰ βουλομένοις ὑμῖν ἀκούειν
ἐστίν, ἐθέλω λέγειν. ἐξέστητε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς
[t]ὑποθέσεως ἐφ᾽ ἧς ὑμᾶς οἱ πρόγονοι [u]κατέλιπον, καὶ τὸ
μὲν προΐστασθαι τῶν Ἑλλήνων καὶ δύναμιν συνεστηκυῖαν
ἔχοντας πᾶσι τοῖς ἀδικουμένοις βοηθεῖν περίεργον ἐπεί-
σθητε εἶναι καὶ μάταιον ἀνάλωμα ὑπὸ τῶν ταῦτα πολι-
τευομένων, τὸ δ᾽ ἐν ἡσυχίᾳ διάγειν καὶ μηδὲν τῶν δεόν-

[k] τὸ om. S.
[l] μεταβιβάζοντας] διαβιβάζοντας S.
[m] ἑτέραν] ἑτέραν (ο supra) F. αἰτίαν O.
[n] ὑπὲρ τούτων S. περὶ (ὑπὲρ supra) τούτων F. περὶ τούτων ceteri: Reiskius περὶ τούτῳ.
[o] τῆς om. O. u.
[p] τὰ om. S.
[q] Alterum κοινὰ om. F. O. v. et pr. Y.
[r] πόλις μεγάλη] μεγάλη πόλις S.
[s] ἐννόμως] ἐν νόμοις S.
[t] ὑποθέσεως] τάξεως γρ. S.
[u] κατέλιπον] κατέλειπον S.

των πράττειν, ἀλλὰ προϊεμένους καθ' ἓν ἕκαστον πάντα
ἑτέρους ἐᾶσαι λαβεῖν, θαυμαστὴν εὐδαιμονίαν καὶ πολ-
52 λὴν ἀσφάλειαν ἔχειν [x] οἴεσθε. ἐκ δὲ τούτων παρελθὼν ἐπὶ
τὴν τάξιν ἐφ' ἧς ὑμῖν τετάχθαι προσῆκεν [y] ἕτερος, οὗτος
εὐδαίμων καὶ μέγας καὶ πολλῶν κύριος γέγονεν, εἰκό-
τως· πρᾶγμα γὰρ ἔντιμον καὶ μέγα καὶ λαμπρόν, καὶ
περὶ οὗ πάντα τὸν χρόνον αἱ μέγισται τῶν πόλεων πρὸς
αὑτὰς διεφέροντο, Λακεδαιμονίων μὲν ἠτυχηκότων, Θηβαί-
ων δὲ ἀσχόλων διὰ τὸν Φωκικὸν πόλεμον γενομένων, ἡμῶν
53 δὲ ἀμελούντων ἔρημον ἀνείλετο. τοιγάρτοι τὸ μὲν φοβεῖ- 144
σθαι τοῖς ἄλλοις, τὸ δὲ συμμάχους πολλοὺς [z] ἔχειν καὶ
δύναμιν μεγάλην ἐκείνῳ περιγέγονε, καὶ τοσαῦτα πράγ-
ματα καὶ τοιαῦτα ἤδη περιέστηκε τοὺς Ἕλληνας ἅπαν-
τας, ὥστε μηδ' ὅ τι χρὴ συμβουλεύειν εὔπορον εἶναι.

54 Ὄντων δ' ὦ ἄνδρες Ἀθηναῖοι τῶν παρόντων πραγμά-
των [a] πᾶσιν, ὡς ἐγὼ κρίνω, φοβερῶν οὐδένες ἐν μείζονι
κινδύνῳ τῶν πάντων εἰσὶν ὑμῶν, οὐ μόνον τῷ μάλιστα
ὑμῖν ἐπιβουλεύειν Φίλιππον, ἀλλὰ καὶ τῷ πάντων ἀργό-
55 τατα αὐτοὶ διακεῖσθαι. εἰ τοίνυν [b] τὸ τῶν ὠνίων πλῆθος
ὁρῶντες καὶ τὴν εὐετηρίαν τὴν κατὰ τὴν ἀγοράν, τούτοις
[c] κεκήλησθε ὡς ἐν οὐδενὶ δεινῷ τῆς πόλεως οὔσης, οὔτε
προσηκόντως οὔτ' ὀρθῶς τὸ πρᾶγμα κρίνετε· ἀγορὰν μὲν
γὰρ ἄν τις καὶ πανήγυριν ἐκ τούτων ἢ φαύλως ἢ καλῶς
[d] κατεσκευάσθαι κρίνοι· πόλιν δ' ἣν ὑπείληφεν, ὃς ἂν
τῶν Ἑλλήνων ἄρχειν [e] ἀεὶ [f] βούληται, μόνην [g] ἂν ἐναντιω-
θῆναι καὶ τῆς πάντων ἐλευθερίας προστῆναι, οὐ μὰ Δί'

x οἴεσθε] ᾤεσθε S.
y ἕτερος] ὁ φίλιππος O.
z ἔχειν post μεγάλην ponunt F. Y. O. u. v.
a πᾶσιν om. S.
b τὸ om. S.
c κεκήλησθε] ἠπάτησθε O.
d κατεσκευάσθαι] [π ε] κατεσκευάσθαι F. παρασκευασθαι S.
e ἀεὶ om. pr. Y.
f βούληται F. Y. v. vulg. βούλεται.
g ἂν om. S.

ἐκ τῶν ὠνίων, εἰ καλῶς ἔχει, δοκιμάζειν δεῖ, ἀλλ' εἰ συμμάχων εὐνοίᾳ πιστεύει [h] καὶ τοῖς ὅπλοις ἰσχύει.
56 [i] ταῦθ' ὑπὲρ τῆς πόλεως δεῖ σκοπεῖν· ἃ [k] σφαλερῶς ὑμῖν καὶ [l] οὐδαμῶς ἅπαντα καλῶς ἔχει. γνοίητε δ' ἄν, εἰ σκέψαισθε ἐκείνως. πότε μάλιστα ἐν ταραχῇ τὰ τῶν Ἑλλήνων γέγονε πράγματα; οὐδένα γὰρ χρόνον ἄλλον ἢ
57 τὸν νυνὶ παρόντα οὐδ' ἂν εἷς εἴποι. τὸν μὲν γὰρ ἄλλον ἅπαντα [m] εἰς δύο ταῦτα [n] διῄρητο [o] τὰ τῶν Ἑλλήνων, Λακεδαιμονίους καὶ ἡμᾶς, τῶν [p] δ' ἄλλων Ἑλλήνων οἱ μὲν [q] ἡμῖν οἱ δὲ ἐκείνοις ὑπήκουον. βασιλεὺς δὲ καθ' αὑτὸν μὲν [r] ὁμοίως ἅπασιν ἄπιστος ἦν, τοὺς δὲ κρατουμένους 145
τῷ πολέμῳ προσλαμβάνων, [s] ἄχρι οὗ τοῖς ἑτέροις ἐξ ἴσου [t] ποιήσαι, διεπιστεύετο, ἔπειτ' οὐχ ἧττον αὐτὸν ἐμίσουν
58 οὓς σώσειε τῶν ὑπαρχόντων ἐχθρῶν ἐξ ἀρχῆς. νῦν δὲ πρῶτον μὲν [u] βασιλεὺς [x] ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει, καὶ [y] πάντων ἥκιστα ἡμῖν, [z] ἄν τι μὴ νῦν ἐπανορθωσώμεθα· ἔπειτα προστασίαι πολλαὶ καὶ πανταχόθεν γίγνονται, καὶ τοῦ πρωτεύειν [a] ἀντιποιοῦνται μὲν [b] ἅπαντες, ἀφεστᾶσι δ' ἔνιοι καὶ φθονοῦσι καὶ ἀπιστοῦσιν ἑαυτοῖς, οὐχ ὡς ἔδει, καὶ γεγόνασι καθ' αὑτοὺς ἕκαστοι, Ἀργεῖοι,
59 Θηβαῖοι, [c] Λακεδαιμόνιοι, Κορίνθιοι, Ἀρκάδες, ἡμεῖς. ἀλλ'

[h] καὶ τοῖς] εἰ τοῖς F. Y. et rec. S. pr. enim om. particulam.

[i] ταῦθ'] τοῦθ' S.

[k] σφαλερῶς] φαύλως F. Y. O. u. v.

[l] οὐδαμῶς ἅπαντα καλῶς] οὐδαμῶς ἅπαντα S. οὐδαμῶς καλῶς γρ. S. οὐ καλῶς ἅπαντα F. Y. O. u. v.

[m] εἰς δύο ταῦτα om. pr. S.

[n] διῄρητο] διῃρεῖτο S.

[o] τὰ] τὸ F. Y. O. u.

[p] δ' om. pr. S.

[q] ἡμῖν S. ceteri ὑμῖν.

[r] ὁμοίως ἅπασιν] ἅπασιν ὁμοίως F. Y. O. u. v.

[s] ἄχρι F. vulg. ἄχρις.

[t] ποιήσαι] ποιῆσαι F. O. u. v.

[u] βασιλεὺς] ὁ βασιλεὺς F. S. Y. O. u. v.

[x] ἅπασι] οὐχ ἅπασι margo O.

[y] πάντων] πάντων δὴ S.

[z] ἄν τι] ἅ τί Y. et γρ. F.

[a] ἀντιποιοῦνται μὲν] μὲν ἀντιποιοῦνται F. Y. O. u. v.

[b] ἅπαντες] πάντες S.

[c] Λακεδαιμόνιοι, Κορίνθιοι] κορίνθιοι λακεδαιμόνιοι O. u. v.

ὅμως εἰς τοσαῦτα μέρη καὶ τοσαύτας δυναστείας διῃρη-
μένων τῶν Ἑλληνικῶν πραγμάτων, εἰ δεῖ τἀληθῆ μετὰ
παῤῥησίας εἰπεῖν, τὰ παρ' [d] οὐδέσι τούτων ἀρχεῖα καὶ
βουλευτήρια ἐρημότερα ἄν τις ἴδοι τῶν Ἑλληνικῶν πραγ-
μάτων ἢ τὰ παρ' [e] ἡμῖν, εἰκότως· οὔτε γὰρ φιλῶν οὔτε
60 πιστεύων οὔτε φοβούμενος οὐδεὶς ἡμῖν διαλέγεται. αἴτιον
δὲ τούτων οὐχ ἕν, ὦ ἄνδρες Ἀθηναῖοι, (ῥᾴδιον γὰρ [f] ἂν ἦν
ὑμῖν μεταθεῖναι) ἀλλὰ πολλὰ καὶ παντοδαπὰ ἐκ παν-
τὸς ἡμαρτημένα τοῦ χρόνου, ὧν τὸ καθ' ἕκαστον ἐάσας
[g] ἕν, εἰς ὃ [h] πάντα [i] συντείνει, λέξω, δεηθεὶς ὑμῶν, ἂν λέγω
61 τἀληθῆ μετὰ παῤῥησίας, μηδὲν [k] ἀχθεσθῆναί μοι. [l] πέ-
πραται τὰ συμφέροντα [m] ἐφ' ἑκάστου τῶν καιρῶν, καὶ
μετειλήφατε ὑμεῖς μὲν τὴν σχολὴν καὶ τὴν ἡσυχίαν, ὑφ'
ὧν [n] κεκηλημένοι τοῖς ἀδικοῦσιν οὐ πικρῶς [o] ἔχετε, ἕτεροι
δὲ τὰς τιμὰς ἔχουσιν. καὶ τὰ μὲν [p] περὶ τἆλλα οὐκ
ἄξιον ἐξετάσαι νῦν· ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον 146
ἐμπέσῃ, εὐθὺς ἀναστάς τις λέγει ὡς οὐ δεῖ ληρεῖν [q] οὐδὲ
γράφειν πόλεμον, παραθεὶς εὐθέως ἑξῆς [r] τὸ τὴν εἰρήνην
ἄγειν ὡς ἀγαθὸν καὶ τὸ τρέφειν [s] δύναμιν μεγάλην ὡς
χαλεπόν, καὶ "διαρπάζειν [t] τινὲς τὰ χρήματα βούλον-
"ται," καὶ ἄλλους λόγους ὡς [u] οἴονται ἀληθεστάτους

[d] οὐδέσι S. οὐδενὶ (σι) F. οὐδενὶ Y. O. u. v.

[e] ἡμῖν—ἡμῖν S. vulg. ὑμῖν—ὑμῖν.

[f] ἂν om. pr. O. post ἦν ponunt F. Y.

[g] ἓν om. S.

[h] πάντα] πᾶν S. πάντα γε O. u. v.

[i] συντείνει] τείνει O. u. v.

[k] ἀχθεσθῆναί μοι] ἄχθεσθαι S.

[l] πέπραται] ἐκπέπραται rec. S.

[m] ἐφ'] ἀφ' S.

[n] κεκηλημένοι] κεκλημένοι u.

[o] ἔχετε] ἔχετε οἱ προδόται καὶ ὁ φίλιππος O.

[p] περὶ τἆλλα F. S. O. u. v. ἄλλα post lituram Y.

[q] οὐδὲ] καὶ F. Y. O. u. v.

[r] τὸ τὴν] τῶι τὴν S. τὴν F. et pr. Y.

[s] δύναμιν μεγάλην] μεγάλην δύναμιν S.

[t] τινὲς] τινὸς u.

[u] οἴονται] οἷόντε F. et pr. S.

62 λέγουσιν. ἀλλὰ δεῖ δήπου [x] τὴν μὲν εἰρήνην ἄγειν οὐχ ὑμᾶς πείθειν, [y] οἵ γε πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, [z] τά γε ἀφ᾽ ὑμῶν ὑπάρχει· νομίζειν [a] δ᾽ εἶναι χαλεπὰ οὐχ ὅσα ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ᾽ ἃ πεισόμεθ᾽, ἂν [b] μὴ ταῦτ᾽ ἐθέλωμεν ποιεῖν, καὶ τὸ “[c] διαρπασθήσεται τὰ χρήματα” τῷ φυλακὴν εὑρεῖν δι᾽ [d] ἧς σωθήσεται [e] κωλύειν,

63 οὐχὶ τῷ τοῦ συμφέροντος ἀποστῆναι. καίτοι ἔγωγε ἀγανακτῶ καὶ [f] αὐτὸ τοῦτο, εἰ τὰ μὲν χρήματα λυπεῖ τινὰς [g] ὑμῶν εἰ διαρπασθήσεται, [h] ἃ καὶ φυλάττειν καὶ κολάζειν τοὺς [i] ἁρπάζοντας ἐφ᾽ [k] ὑμῖν ἐστί, τὴν δὲ Ἑλλάδα [l] πᾶσαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων οὐ λυπεῖ, καὶ

64 ταῦτ᾽ ἐφ᾽ [m] ὑμᾶς ἁρπάζων. τί ποτ᾽ οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν οὕτω φανερῶς ἀδικοῦντα καὶ πόλεις καταλαμβάνοντα οὐδεὶς πώποτε [n] τοῦτον εἶπεν ὡς ἀδικεῖ καὶ πόλεμον ποιεῖ, τοὺς δὲ μὴ [o] ἐπιτρέπειν μηδὲ προΐεσθαι ταῦτα συμβουλεύοντας, τούτους πόλεμον ποιεῖν φασίν;

65 ὅτι τὴν αἰτίαν τῶν ἐκ τοῦ πολέμου συμβησομένων δυσχερῶν (ἀνάγκη γάρ, [p] ἀνάγκη πολλὰ λυπηρὰ ἐκ τοῦ πολέμου γίγνεσθαι) τοῖς ὑπὲρ ὑμῶν τὰ βέλτιστα λέγειν οἰομένοις [q] ἅπαντες ἀναθεῖναι βούλονται. ἡγοῦνται γάρ, ἐὰν μὲν ὑμεῖς ὁμοθυμαδὸν ἐκ μιᾶς γνώμης Φίλιππον 147

[x] τὴν—ἄγειν] τὸν—ἄγειν λέγοντα γρ. S.
[y] οἵγε] οἳ S.
[z] τά om. pr. F. Y.
[a] δ᾽ εἶναι] δὲ δεῖ F. Y. O. u. v.
[b] μὴ ταῦτ᾽ S. et pr. F. vulg. ταῦτα μή. Sed pr. Y. om. ταῦτα.
[c] διαρπασθήσεται] διαρπασθήσεσθαι F. Y. O. u. v.
[d] ἧς] ἣν F. ἣν γρ. Y.
[e] κωλύειν] κωλύσειν F. Y. u. v.
[f] αὐτὸ om. F. S. et pr. Y.
[g] ὑμῶν] ἡμῶν S.
[h] ἃ om. pr. S.
[i] ἁρπάζοντας] ἀδικοῦντας γρ. S.
[k] ὑμῖν] ἡμῖν S.
[l] πᾶσαν S. vulg. ἅπασαν.
[m] ὑμᾶς] ἡμᾶς F.
[n] τοῦτον] τούτων F. Y. O. u. v.
[o] ἐπιτρέπειν] προεπιτρέπειν F. προτρέπειν S.
[p] Alterum ἀνάγκη om. O.
[q] ἅπαντες] ἅπαντ᾽ F. Y. om. S.

ἀμύνησθε, κἀκείνου κρατήσειν ὑμᾶς καὶ αὐτοῖς [r] οὐκέτ᾽
66 ἔσεσθαι μισθαρνεῖν, ἂν δ᾽ ἀπὸ τῶν πρώτων θορύβων αἰ-
τιασάμενοί τινας πρὸς τὸ κρίνειν τράπησθε, αὐτοὶ μὲν
τούτων κατηγοροῦντες ἀμφότερ᾽ ἕξειν, καὶ παρ᾽ [s] ὑμῖν εὐ-
δοκιμήσειν καὶ παρ᾽ ἐκείνου χρήματα λήψεσθαι, ὑμᾶς
δ᾽ ὑπὲρ ὧν δεῖ παρὰ τούτων δίκην λαβεῖν, παρὰ τῶν
67 ὑπὲρ ὑμῶν εἰρηκότων λήψεσθαι. αἱ μὲν ἐλπίδες αἱ τού-
των αὗται, καὶ τὸ κατασκεύασμα τὸ τῶν [t] αἰτιῶν, ὡς
ἄρα βούλονταί τινες πόλεμον ποιῆσαι. ἐγὼ δ᾽ οἶδα ἀκρι-
βῶς ὅτι οὐ [u] γράψαντος Ἀθηναίων οὐδενὸς πόλεμον [x] καὶ
ἄλλα πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως καὶ νῦν εἰς
Καρδίαν πέπομφε [y] βοήθειαν. εἰ μέντοι βουλόμεθ᾽ ἡμεῖς
μὴ προσποιεῖσθαι πολεμεῖν ἡμῖν ἐκεῖνον, ἀνοητότατος πάν-
των ἂν εἴη, εἰ τοῦτ᾽ ἐξελέγχοι· ὅταν γὰρ οἱ ἀδικούμενοι
68 ἀρνῶνται, τί τῷ ἀδικοῦντι προσήκει; ἀλλ᾽ ἐπειδὰν ἐφ᾽
ἡμᾶς αὐτοὺς ἴῃ, τί φήσομεν τότε; ἐκεῖνος μὲν γὰρ οὐ
πολεμεῖν, ὥσπερ οὐδὲ Ὠρείταις τῶν στρατιωτῶν ὄντων ἐν
τῇ χώρᾳ, οὐδὲ Φεραίοις πρότερον [z] ἢ πρὸς τὰ τείχη [a] προσ-
βαλεῖν [b] αὐτῶν, οὐδ᾽ Ὀλυνθίοις ἐξ ἀρχῆς, [c] ἕως ἐν αὐτῇ
τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων. ἢ καὶ τότε τοὺς
ἀμύνεσθαι κελεύοντας πόλεμον ποιεῖν φήσομεν; οὐκοῦν
ὑπόλοιπον δουλεύειν· [d] οὐ γὰρ ἄλλο γε οὐδὲν ἔνι.

69 Καὶ μὴν [e] οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν [f] τε καί τισι τῶν
ἄλλων ἀνθρώπων ἔσθ᾽ ὁ κίνδυνος· οὐ γὰρ [g] ὑφ᾽ αὐτῷ ποιή-

[r] οὐκέτ᾽] οὐκ F. S. Y. O. u. v.

[s] ὑμῖν] ὑμῖν (ἡ superscript) F. ἡμῖν S.

[t] αἰτιῶν] αἰτίων F. Y.

[u] γράψαντος (α superscript) F.

[x] καὶ ἄλλα om. F. S. Y.

[y] βοήθειαν] τὴν βοήθειαν F. Y. O. u. v.

[z] ἢ] πρὶν ἢ rec. F. om. S.

[a] προσβάλλων S. προσβαλὼν F. Y. u. v.

[b] αὐτῶν om. F. O. u. in γρ. habet Y.

[c] ἕως] ἕως ἂν O. u. v.

[d] οὐ] οὐδὲ S.

[e] οὐχ S. vulg. οὐδέ.

[f] τε om. F. S. Y. O. u. v.

[g] ὑφ᾽] ἐφ᾽ S.

σασθαι τὴν πόλιν βούλεται Φίλιππος [h] ὑμῶν, οὔ, ἀλλ᾽
ὅλως ἀνελεῖν. οἶδε γὰρ ἀκριβῶς [i] ὅτι δουλεύειν μὲν ὑμεῖς 148
οὔτ᾽ ἐθελήσετε οὔτ᾽, ἂν ἐθέλητε, [k] ἐπιστήσεσθε· ἄρχειν γὰρ
εἰώθατε· πράγματα δὲ παρασχεῖν αὐτῷ, ἂν καιρὸν λά-
βητε, πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάντων δυνήσεσθε.
διὰ ταῦτα ὑμῶν οὐχὶ φείσεται, εἴπερ ἐγκρατὴς γενήσε-
70 ται. ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ἐσομένου [l] τοῦ ἀγῶνος
ὑμῖν, οὕτω προσήκει γιγνώσκειν, καὶ τοὺς πεπρακότας
αὐτοὺς ἐκείνῳ φανερῶς [m] μισεῖν καὶ [n] ἀποτυμπανίσαι·
οὐ γὰρ ἔστιν, οὐκ ἔστι [o] τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρα-
τῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ἐχθρούς,
ἀλλ᾽ ἀνάγκη τούτοις ὥσπερ προβόλοις [p] προσπταίοντας
71 ὑστερίζειν ἐκείνων. [q] πόθεν οἴεσθε νῦν αὐτὸν ὑβρίζειν [r] ὑμᾶς
(οὐδὲν γὰρ [s] ἄλλο ἔμοιγε δοκεῖ ποιεῖν ἢ τοῦτο) καὶ τοὺς
μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾷν, ὑμῖν
δὲ ἀπειλεῖν ἤδη. οἷον Θετταλοὺς πολλὰ δοὺς ὑπηγάγετο
72 εἰς τὴν νῦν παροῦσαν δουλείαν· οὐδ᾽ ἂν εἰπεῖν δύναιτο οὐ-
δεὶς ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους, πρότερον δοὺς Πο-
τίδαιαν, ἐξηπάτησε, καὶ πολλὰ ἕτερα· Θηβαίους τὰ νῦν
[t] ὑπάγεται τὴν Βοιωτίαν αὐτοῖς παραδοὺς καὶ ἀπαλλά-
ξας πολέμου πολλοῦ καὶ χαλεποῦ· ὥστε καρπωσάμε-
νοί τινα ἕκαστοι τούτων πλεονεξίαν οἱ μὲν [u] ἤδη πεπόνθα-
σιν ἃ δὴ [x] πάντες ἴσασιν, οἱ δ᾽ ὅ τι ἄν ποτε συμβῇ πεί-

[h] ὑμῶν S. ἡμῶν (ὑ superscript) F. ceteri ἡμῶν.

[i] ὅτι] ὅτι οὐ O.

[k] ἐπιστήσεσθε F. S. vulg. ἐπίστασθε.

[l] τοῦ om. S.

[m] μισεῖν καὶ om. S. Y. in γρ. habet F.

[n] ἀποτυπανίσαι (μ superscript) F. ἀποτυπανίσαι Y.

[o] τῶν ἔξω] ἔξω τῶν S.

[p] προσπταίοντας] προσπταίσαντας S.

[q] πόθεν] πόθεν γὰρ F. Y. ἐπεὶ πόθεν O. u. v.

[r] ὑμᾶς] εἰς ὑμᾶς O. u. v.

[s] ἄλλο ἔμοιγε] ἔμοιγε ἄλλο F. O. u. v.

[t] ὑπάγεται] ὑπάγει S.

[u] ἤδη] δὴ S.

[x] πάντες ἴσασιν] πεπόνθασιν S.

73 σονται. ὑμεῖς δὲ ὧν [y] μὲν ἀπεστέρησθε, σιωπῶ· ἀλλ' ἐν
αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι πόσα ἐξηπάτησθε! πό-
σων ἀπεστέρησθε! οὐχὶ Φωκέας, οὐ Πύλας, οὐχὶ [z] τὰ
ἐπὶ Θρᾴκης, [a] Δορίσκον, Σέῤῥιον, τὸν Κερσοβλέπτην αὐ-
74 τόν; οὐ νῦν Καρδίαν ἔχει καὶ ὁμολογεῖ; τί ποτ' οὖν 149
[b] ἐκείνως τοῖς ἄλλοις καὶ ὑμῖν [c] οὐ τὸν αὐτὸν τρόπον προσ-
φέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ [d] ἡμετέρᾳ
ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται, καὶ λαβόντα χρή-
ματα αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ' ὑμῖν, κἂν ἀφῃρη-
75 μένοι τὰ ὑμέτερα αὐτῶν ἦτε. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν
Ὀλύνθῳ [e] τὰ Φιλίππου μὴ συνευπεπονθότων τῶν πολλῶν
Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι· οὐκ ἦν ἀσφαλὲς
λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου μὴ συνευπεπονθότος τοῦ
πλήθους [f] τοῦ Θετταλῶν τῷ τοὺς τυράννους [g] ἐκβαλεῖν
Φίλιππον αὐτοῖς καὶ τὴν Πυλαίαν ἀποδοῦναι· οὐκ ἦν ἐν
Θήβαις ἀσφαλές, [h] πρὶν τὴν Βοιωτίαν ἀπέδωκε καὶ τοὺς
76 Φωκέας ἀνεῖλεν. ἀλλ' Ἀθήνησιν οὐ μόνον Ἀμφίπολιν καὶ
τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ
καὶ κατασκευάζοντος ἡμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν καὶ
νῦν ἐπὶ Βυζάντιον παριόντος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ
Φιλίππου. καὶ γάρ τοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ
πλούσιοι [i] γεγόνασι καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδοξοι
καὶ γνώριμοι, ὑμεῖς δὲ τοὐναντίον ἐκ μὲν ἐνδόξων ἄδοξοι,
77 ἐκ δ' εὐπόρων ἄποροι. πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦ-

[y] μὲν om. O.
[z] τὰ ἐπὶ] τὰς ἐπὶ u.
[a] Δορίσκον Σέῤῥιον] σέρριον δορίσκον Y.
[b] ἐκείνως] ἐκείνως (ο supra ω) F.
[c] οὐ τὸν αὐτὸν] τοῦτον τὸν S.
[d] ἡμετέρᾳ] ὑμετέρᾳ S. ἡμετέρᾳ (υ supra) F.
[e] τὰ Φιλίππου om. S. Y. in γρ. habet F.
[f] τοῦ Θετταλῶν Y. vulg. τῶν θετταλῶν.
[g] ἐκβαλεῖν] ἐκβάλλειν S. ἐκβαλλεῖν O.
[h] πρὶν] πρὶν ἢ F. Y. O. u. v.
[i] γεγόνασι] γίγνονται S.

μαι συμμάχους, πίστιν, εὔνοιαν, ὧν [k] ἁπάντων [l] ὑμεῖς ἐστὲ ἄποροι· ἐκ δὲ [m] τοῦ τούτων ὀλιγώρως ὑμᾶς ἔχειν καὶ ἐᾶν τοῦτον τὸν τρόπον [n] τὰ πράγματα φέρεσθαι ὁ μὲν εὐδαίμων καὶ μέγας καὶ [o] φοβερὸς πᾶσιν Ἕλλησι καὶ βαρβάροις, ὑμεῖς δ' ἔρημοι καὶ ταπεινοί, τῇ μὲν κατὰ τὴν ἀγορὰν εὐετηρίᾳ λαμπροί, τῇ δ' ὧν προσῆκε παρασκευῇ καταγέλαστοι. 150

78 Οὐ τὸν αὐτὸν δὲ τρόπον περί τε ὑμῶν καὶ περὶ αὑτῶν ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομένους· [p] ὑμᾶς μὲν γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ, αὐτοὶ δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυχίαν ἄγειν οὐδενὸς αὐτοὺς ἀδι-
79 κοῦντος. καί τοι λοιδορίας χωρίς, [q] εἴ τις ἔροιτο "εἰπέ "μοι, τί δὴ γιγνώσκων ἀκριβῶς, [r] Ἀριστόδημε, (οὐδεὶς "γὰρ τὰ τοιαῦτ' ἀγνοεῖ) τὸν μὲν τῶν ἰδιωτῶν [s] βίον "ἀσφαλῆ [t] καὶ ἀπράγμονα καὶ ἀκίνδυνον ὄντα, τὸν δὲ "τῶν πολιτευομένων φιλαίτιον καὶ σφαλερὸν καὶ καθ' "ἑκάστην ἡμέραν ἀγώνων καὶ κακῶν μεστόν, οὐ τὸν ἡσύ-"χιον καὶ ἀπράγμονα, ἀλλὰ τὸν ἐν τοῖς κινδύνοις αἱρῇ;"
80 τί ἂν [u] εἴποις; εἰ γὰρ ὃ βέλτιστον εἰπεῖν ἂν ἔχοις, τοῦτό σοι [x] δοίημεν ἀληθὲς λέγειν, ὡς ὑπὲρ φιλοτιμίας καὶ δόξης [y] ταῦτα πάντα ποιεῖς, θαυμάζω τί δήποτε σαυτῷ μὲν ὑπὲρ τούτων ἅπαντα ποιητέον εἶναι νομίζεις καὶ πονητέον καὶ κινδυνευτέον, τῇ πόλει δὲ προέσθαι ταῦτα [z] μετὰ

[k] ἁπάντων] πάντων F. S. O. u. v.
[l] ὑμεῖς ἐστὲ S. ceteri ἐστὲ ὑμεῖς.
[m] τοῦ om. pr. F.
[n] τὰ πράγματα φέρεσθαι] προσφέρεσθαι S.
[o] φοβερὸς] φοβερός ἐστι F. Y. O. u. v.
[p] ὑμᾶς—ὑμᾶς—ὑμῖν] ἡμᾶς—ἡμᾶς—ἡμῖν S.
[q] εἴ τις om. pr. Y. ante χωρὶς ponit S.
[r] Ἀριστόδημε] ἀριστόμηδες S.
[s] βίον om. O.
[t] καὶ ἀπράγμονα om. S.
[u] εἴποις] εἴποι τις S.
[x] δοίημεν S. ceteri συγχωρήσαιμεν.
[y] ταῦτα πάντα] πάντα ταῦτα F. Y. O. u. v.
[z] μετὰ ῥαθυμίας S. διὰ (μετὰ) ῥαθυμίας F. vulg. διὰ ῥαθυμίαν.

81 ῥᾳθυμίας συμβουλεύεις. οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὡς
σὲ μὲν ἐν τῇ πόλει δεῖ τινὰ φαίνεσθαι, τὴν πόλιν δ' ἐν
τοῖς Ἕλλησι μηδενὸς ἀξίαν εἶναι. καὶ μὴν οὐδ' ἐκεῖνό γε
ὁρῶ, ὡς τῇ [a] μὲν πόλει ἀσφαλὲς τὸ τὰ αὑτῆς πράττειν, σοὶ
δὲ [b] ἐπικίνδυνον, εἰ μηδὲν τῶν ἄλλων [c] πλέον περιεργάσῃ,
ἀλλὰ τοὐναντίον σοὶ μὲν ἐξ ὧν ἐργάζῃ καὶ περιεργάζῃ
τοὺς ἐσχάτους ὄντας κινδύνους, τῇ πόλει δὲ ἐκ τῆς ἡσυ-
82 χίας. ἀλλὰ νὴ Δία παππῷα καὶ πατρῷα δόξα σοι
ὑπάρχει, ἣν αἰσχρόν ἐστιν ἐν σοὶ καταλῦσαι· τῇ πόλει δ'
ὑπῆρξεν ἀνώνυμα καὶ φαῦλα τὰ τῶν προγόνων. ἀλλ'
οὐδὲ τοῦθ' οὕτως ἔχει· σοὶ μὲν γὰρ [d] ἦν κλέπτης ὁ πατήρ, 151
εἴπερ ἦν ὅμοιός σοι, τῇ πόλει [e] δ' ἡμῶν, ὡς πάντες ἴσασιν,
οἱ Ἕλληνες [f] δὶς ἐκ τῶν μεγίστων κινδύνων [g] ὑπὸ τῶν προ-
83 γόνων [h] σεσωσμένοι. [i] ἀλλὰ γὰρ οὐκ ἴσως οὐδὲ πολιτικῶς
ἔνιοι τὰ καθ' ἑαυτοὺς καὶ [k] τὰ κατὰ [l] τὴν πόλιν πολιτεύ-
ονται· πῶς γάρ ἐστιν ἴσον τούτων μέν τινας ἐκ τοῦ δε-
σμωτηρίου [m] ἥκοντας ἑαυτοὺς ἀγνοεῖν, τὴν πόλιν δ', ἣ
[n] προειστήκει τῶν ἄλλων [o] Ἑλλήνων τέως καὶ τὸ πρωτεῖον
εἶχε, νῦν ἐν ἀδοξίᾳ πάσῃ καὶ ταπεινότητι καθεστάναι;
84 Πολλὰ τοίνυν ἔχων ἔτι καὶ περὶ πολλῶν εἰπεῖν παύ-
σομαι· καὶ γὰρ οὐ λόγων ἐνδείᾳ μοι δοκεῖ τὰ πράγματα
οὔτε νῦν οὔτ' ἄλλοτε πώποτε φαύλως ἔχειν, ἀλλ' ὅταν
πάντ' ἀκούσαντες ὑμεῖς τὰ δέοντα, καὶ ὁμογνώμονες ὡς
ὀρθῶς [p] λέγεται γενόμενοι, τῶν λυμαίνεσθαι καὶ [q] διαστρέ-

[a] μὲν πόλει S. ceteri πόλει μέν.
[b] ἐπικίνδυνον] κίνδυνος S.
[c] πλέον S. πλεῖον F. Y. O. u. v.
[d] ἦν post γὰρ om. O. u. v.
[e] δ' om. O.
[f] δὶς in γρ. S.
[g] ὑπὸ τῶν προγόνων in γρ. S.
[h] σεσωσμένοι] ἡμῶν σεσωσμένοι F. Y. O. u. v.
[i] ἀλλὰ γὰρ om. pr. S.
[k] τὰ post καὶ om. O.
[l] τὴν πόλιν] αὐτὴν S.
[m] ἥκοντας S. vulg. προϊόντας.
[n] προειστήκει] προσειστήκει pr. S.
[o] Ἑλλήνων om. S.
[p] λέγεται] λέγετε S.
[q] διαστρέφειν] διαφθείρειν γρ. F.

85 φειν ταῦτα βουλομένων ἐξ ἴσου [r] κάθησθε ἀκροώμενοι, οὐκ
ἀγνοοῦντες αὐτούς (ἴστε γὰρ [s] εὐθὺς ἰδόντες ἀκριβῶς, τίς
μισθοῦ λέγει [t] καὶ ὑπὲρ Φιλίππου πολιτεύεται, καὶ τίς
ὡς ἀληθῶς ὑπὲρ τῶν βελτίστων), ἀλλ' ἵν' αἰτιασάμενοι
τούτους καὶ τὸ πρᾶγμα εἰς γέλωτα καὶ λοιδορίαν ἐμβα-
86 λόντες μηδὲν αὐτοὶ τῶν δεόντων ποιῆτε. ταῦτ' [u] ἐστὶ τἀ-
ληθῆ μετὰ πάσης παῤῥησίας, ἁπλῶς εὐνοίᾳ, τὰ βέλτιστα
εἰρημένα, οὐ [x] κολακείας καὶ βλάβης καὶ ἀπάτης λόγος
μεστός, ἀργύριον [y] μὲν τῷ λέγοντι ποιήσων, τὰ δὲ πράγ-
ματα τῆς πόλεως τοῖς ἐχθροῖς ἐγχειριῶν. ἢ οὖν παυστέον
τούτων τῶν ἐθῶν, ἢ μηδένα ἄλλον αἰτιατέον τοῦ πάντα
φαύλως ἔχειν ἢ ὑμᾶς αὐτούς.

## ΙΑ.

## ΠΡΟΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ ΤΗΝ ΦΙΛΙΠΠΟΥ. 152

### ΥΠΟΘΕΣΙΣ.

Ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους πέπομφεν ἐπιστολήν, κατηγορῶν αὐτῶν καὶ πόλεμον προκηρύττων ἄντικρυς. οὐκέτι οὖν ὁ ῥήτωρ πείθει τοὺς Ἀθηναίους πολεμεῖν (ἀνάγκη γάρ), ἀλλὰ θαρσύνει πρὸς τὸν κίνδυνον, εὐκαθαίρετον λέγων τὸν Μακεδόνα.

ΟΤΙ μὲν ὦ ἄνδρες Ἀθηναῖοι Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς [a] ὑμᾶς, ἀλλ' [b] ἀνεβάλετο τὸν πόλεμον, πᾶσιν [c] ὑμῖν φανερὸν γέγονεν· ἐπειδὴ γὰρ Φαρσαλίοις

[r] κάθησθε] καθήσεσθε S.
[s] εὐθὺς] αὐτοὺς S.
[t] καὶ ὑπὲρ Reiskius: libri καὶ τίς ὑπέρ.
[u] ἐστὶ τἀληθῆ] ἐστὶν ἀληθῆ S.
[x] κολακείας καὶ βλάβης] κολακείαι βλάβης S.
[y] μὲν om. pr. S.
[a] ὑμᾶς] ἡμᾶς S.
[b] ἀνεβάλετο] ἀνεβάλλετο pr. v. ἀνεβάλετο F. (λ β written above)
[c] ὑμῖν] ἡμῖν F.

Ἄλον παρέδωκε καὶ τὰ περὶ Φωκέας διῳκήσατο καὶ τὴν
Θρᾴκην κατεστρέψατο πᾶσαν, αἰτίας οὐκ οὔσας πλα-
σάμενος καὶ προφάσεις ἀδίκους ἐξευρὼν τῷ μὲν ἔργῳ πά-
λαι πολεμεῖ πρὸς τὴν πόλιν, τῷ δὲ λόγῳ νῦν ὁμολογεῖ
2 διὰ τῆς ἐπιστολῆς ἧς ἔπεμψεν. ὅτι δὲ χρὴ μήτε ὀῤῥωδεῖν
ὑμᾶς τὴν ἐκείνου δύναμιν μήτε ἀγεννῶς ἀντιταχθῆναι πρὸς
αὐτόν, ἀλλὰ καὶ σώμασι καὶ χρήμασι καὶ ναυσὶ καὶ
πᾶσιν ὡς ἁπλῶς εἰπεῖν ἀφειδῶς ὁρμῆσαι πρὸς τὸν πόλε- 153
3 μον, ἐγὼ πειράσομαι διδάσκειν. πρῶτον μὲν γὰρ εἰκὸς
ὦ ἄνδρες Ἀθηναῖοι τοὺς θεοὺς μεγίστους [d] ὑμῖν ὑπάρχειν
συμμάχους καὶ βοηθούς, ὧν ἐκεῖνος τὰς πίστεις [e] ὑπερ-
βὰς καὶ τοὺς ὅρκους ὑπεριδὼν λέλυκεν ἀδίκως τὴν εἰρή-
νην· ἔπειθ' οἷς πρότερον ηὐξήθη, φενακίζων ἀεί τινας καὶ
μεγάλα ἐπαγγελλόμενος εὐεργετήσειν, [f] ταῦτα πάντα
4 διεξελήλυθεν ἤδη, καὶ γινώσκεται μὲν ὑπὸ τῶν Περινθίων
καὶ Βυζαντίων καὶ τῶν ἐκείνοις συμμαχούντων, ὡς ἐπι-
θυμεῖ προσενεχθῆναι τούτοις τὸν αὐτὸν τρόπον ὅνπερ Ὀλυν-
θίοις πρότερον, οὐκ ἀγνοεῖται δὲ ὑπὸ Θετταλῶν δεσπόζειν
5 ἀλλ' οὐχ ἡγεῖσθαι τῶν συμμάχων [g] προαιρούμενος, ὑποπ-
τεύεται δὲ ὑπὸ [h] Θηβαίων Νίκαιαν μὲν φρουρᾷ κατέχων,
εἰς δὲ τὴν ἀμφικτυονίαν εἰσδεδυκώς, τὰς δὲ πρεσβείας
τὰς ἐκ Πελοποννήσου πρὸς αὐτὸν ἄγων καὶ τὴν ἐκείνων
συμμαχίαν παραιρούμενος· ὥστε τῶν αὐτῷ πρὸ τοῦ φί-
λων ὄντων τοὺς μὲν νῦν πολεμεῖν ἀκαταλλάκτως, τοὺς δὲ
μηκέτι προθύμους εἶναι συναγωνιστάς, ἅπαντας δὲ ὑφο-
6 ρᾶσθαι καὶ διαβεβλῆσθαι πρὸς αὐτόν. ἔτι τοίνυν (οὐδὲ

[d] ὑμῖν S. ἡμῖν F. ceteri ἡμῖν.
[e] ὑπερβὰς—ὑπεριδὼν] ὑπεριδὼν—ὑπερβὰς S.
[f] ταῦτα πάντα S. vulg. πάντα ταῦτα.
[g] προαιρούμενος] καὶ προαιρούμενος O.
[h] Θηβαίων] τῶν θηβαίων F. Y. O. v.

γὰρ τοῦτ᾽ ἔστι μικρόν) οἱ κατὰ τὴν Ἀσίαν σατράπαι καθεστῶτες ἔναγχος μὲν ξένους μισθοφόρους εἰσπέμψαντες ἐκώλυσαν ἐκπολιορκηθῆναι Πέρινθον, [i]νυνὶ δὲ τῆς ἔχθρας αὐτοῖς ἐνεστώσης καὶ τοῦ κινδύνου πλησίον ὄντος, εἰ χειρωθήσεται Βυζάντιον, οὐ μόνον αὐτοὶ προθύμως συμπολε-
7 μήσουσιν, ἀλλὰ καὶ βασιλέα [k]τὸν Περσῶν [l]χρήματα χορηγεῖν [m]ἡμῖν προτρέψονται, ὃς τοσοῦτον μὲν κέκτηται πλοῦτον ὅσον οὐδ᾽ οἱ λοιποὶ πάντες, τηλικαύτην δ᾽ ἔχει ῥώμην πρὸς τὰς ἐνθάδε πράξεις, ὥστε καὶ πρότερον, ἡνίκα Λακεδαιμονίοις ἐπολεμοῦμεν, ὁποτέροις [n]προσθεῖτο, τού- 154
τους ἐποίει κρατεῖν τῶν ἑτέρων, καὶ νῦν μεθ᾽ ἡμῶν γενόμενος ῥᾳδίως καταπολεμήσει τὴν Φιλίππου δύναμιν.

8 Πρὸς [o]τοίνυν τούτοις τηλικούτοις οὖσιν, οὐκ ἐρῶ μὲν ὡς οὐ διὰ τὴν εἰρήνην πολλὰ προείληφεν ἡμῶν χωρία καὶ λιμένας καὶ τοιαῦθ᾽ ἕτερα χρήσιμα πρὸς πόλεμον, ὁρῶ δὲ ὡς ὅταν μὲν ὑπ᾽ εὐνοίας τὰ πράγματα συνέχηται καὶ [p]πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τῶν πολέμων, μένει τὰ συσταθέντα βεβαίως, ὅταν δὲ ἐξ ἐπιβουλῆς καὶ πλεονεξίας ἀπάτῃ καὶ βίᾳ κατέχηται, καθάπερ [q]ὑπὸ τούτου νῦν, μικρὰ πρόφασις καὶ τὸ τυχὸν πταῖσμα ταχέως
9 [r]ἅπαντα διέσεισε καὶ [s]κατέλυσεν. καὶ πολλάκις εὑρίσκω λογιζόμενος οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ τῷ Φιλίππῳ πρὸς ὑποψίαν ἥκοντα καὶ δυσμένειαν, ἀλλὰ καὶ τὰ τῆς ἰδίας ἀρχῆς οὐ συνηρμοσμένα καλῶς οὐδ᾽ οἰκείως οὐδ᾽ ὡς οἴεταί τις. ὅλως μὲν γὰρ ἡ

[i] νυνὶ] νῦν S.
[k] τὸν] τῶν F. Y. O. u. v. om. S.
[l] χρήματα] χρήματα̅ F. χρήμασι S.
[m] ἡμῖν] ὑμῖν O.
[n] προσθεῖτο] προσθοῖτο S. πρόσθειτο Y. O. v. πρόσθοιτο F. u.
[o] τοίνυν τούτοις] τούτοις τοίνυν F. Y. O. u. v.
[p] πᾶσι ταυτὰ S. vulg. ταυτὰ πᾶσι.
[q] ὑπὸ] ἀπὸ F.
[r] ἅπαντα] αὐτὰ S.
[s] κατέλυσεν] διέλυσε F. Y. O. u. v.

Μακεδονικὴ δύναμις ἐν μὲν προσθήκης μέρει ῥοπὴν ἔχει
τινὰ καὶ χρῆσιν, αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενής ἐστι καὶ
10 πρὸς τηλικοῦτον ὄγκον πραγμάτων εὐκαταφρόνητος· ἔτι
δὲ αὐτὴν [t] οὗτος αὐτὸς τοῖς πολέμοις καὶ ταῖς στρατείαις
καὶ πᾶσιν οἷς ἄν τις [u] αὐτὸν μέγαν εἶναι νομίσειε, [x] σφα-
λερωτέραν αὑτῷ πεποίηκεν. μὴ γὰρ οἴεσθε ὦ ἄνδρες Ἀθη-
ναῖοι τοῖς αὐτοῖς [y] χαίρειν Φίλιππόν τε καὶ τοὺς ἀρχο-
11 μένους, ἀλλ' ἐννοεῖσθε ὡς ὁ μὲν ἐπιθυμεῖ δόξης, οἱ δὲ ἀσ-
φαλείας, καὶ αὐτῷ μὲν οὐκ ἔστι τυχεῖν ταύτης ἀκινδύ-
νως, οἱ δ' οὐδὲν δέονται [z] καταλιπόντες οἴκοι τέκνα, γονεῖς,
γυναῖκας, φθείρεσθαι καὶ καθ' ἑκάστην ἡμέραν κινδυνεύειν
ὑπὲρ [a] αὐτοῦ. [b] ὥστε τοὺς μὲν πολλοὺς τῶν Μακεδόνων 155
ἐκ τούτων ἄν τις ἴδοι, πῶς διάκεινται πρὸς τὸν Φίλιππον·
12 τοὺς δὲ περὶ αὐτὸν ὄντας ἑταίρους καὶ τοὺς τῶν ξένων ἡγε-
μόνας [c] εὑρήσετε δόξαν μὲν ἔχοντας ἐπ' ἀνδρίᾳ, περιδεῶς
δὲ μᾶλλον τῶν [d] ἀδόξων ζῶντας. τοῖς μὲν γὰρ [e] ὁ πρὸς
τοὺς πολεμίους μόνον ὑπάρχει κίνδυνος, οἱ δὲ τοὺς κόλα-
κας καὶ τοὺς διαβάλλοντας αὐτοὺς μᾶλλον ἢ τὰς μά-
13 χας δεδίασι· κἀκεῖνοι μὲν μετὰ πάντων ἀγωνίζονται
πρὸς τοὺς ἀντιταχθέντας, τοῖς δὲ καὶ τῶν ἐν τοῖς πολέμοις
κακῶν οὐκ ἐλάχιστον μέρος μέτεστι καὶ χωρὶς ἰδίᾳ τὸν
τρόπον τὸν τοῦ βασιλέως [f] φοβεῖσθαι συμβέβηκεν. ἔτι
δὲ τῶν μὲν πολλῶν [g] ἐὰν ἁμάρτῃ τις, ζημίαν κατὰ τὴν
ἀξίαν εἴληφεν· οἱ δ' ὅταν [h] μέγιστα κατορθώσωσι, τότε

[t] οὗτος αὐτὸς] αὐτὸς (οὗ superscr.) F. οὗτος S. αὐτὸς Y.

[u] αὐτὸν addiderunt F. S. Y. O.

[x] σφαλερώτέραν (ο superscr.) F.

[y] χαίρειν Φίλιππόν τε] φίλιππόν τε χαίρειν O. u.

[z] καταλιπόντες] καταλείποντες S. καταλειπόντες O.

[a] αὐτοῦ] αὐτῶν S.

[b] ὥστε] ὥστε καὶ F.

[c] εὑρήσετε] εὑρήσεται S.

[d] ἀδόξων] ἐνδόξων (αδό superscr.) S.

[e] ὁ om. F. S. et pr. Y.

[f] φοβεῖσθαι post ἰδίᾳ ponunt F. Y. O. u. v.

[g] ἐὰν S. vulg. ἐπειδάν.

[h] μέγιστα] μάλιστα S. τὰ μέγιστα Reiskius.

μάλιστα σκορακίζονται [i]καὶ προπηλακίζονται παρὰ τὸ
14 προσῆκον. καὶ τούτοις οὐδ' ἂν εἷς εὖ φρονῶν ἀπιστήσειεν·
οὕτω γὰρ [k]αὐτὸν φιλότιμον εἶναί φασιν οἱ συνδιατρίψαν-
τες, ὥστε βουλόμενον τὰ κάλλιστα τῶν ἔργων [l]πάνθ' αὑ-
τοῦ δοκεῖν εἶναι μᾶλλον ἄχθεσθαι τῶν στρατηγῶν καὶ
τῶν ἡγεμόνων τοῖς ἄξιον ἐπαίνου τι πράξασιν ἢ τοῖς ὅλως
15 ἀποτυχοῦσι. πῶς οὖν, εἴπερ ἐστὶ ταῦτα [m]τοιαῦτα, πι-
στῶς ἤδη πολὺν χρόνον αὐτῷ [n]παραμένουσιν; ὅτι νῦν μὲν
ὦ ἄνδρες Ἀθηναῖοι τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς
τοιούτοις· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συ-
σκιάσαι [o]τὰς ἁμαρτίας [p]τῶν ἀνθρώπων εἰσίν· εἰ δέ τι
πταίσει, τότ' ἀκριβῶς διακαλυφθήσεται [q]ταῦτα πάντα.
16 συμβαίνει γάρ, ὥσπερ ἐν τοῖς σώμασιν ἡμῶν. ὅταν μὲν
ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σα-
θρῶν, ἐπὰν δὲ ἀρρωστήσῃ, πάντα κινεῖται, κἂν ῥῆγμα 156
κἂν στρέμμα κἂν ἄλλο τι τῶν ὑπαρχόντων ᾖ μὴ τελέως
[r]ὑγιαῖνον· οὕτω καὶ τῶν βασιλειῶν καὶ [s]πασῶν [t]τῶν δυ-
ναστειῶν, ἕως μὲν ἂν ἐν τοῖς πολέμοις κατορθῶσιν, ἀφανῆ
[u]τὰ κακὰ [x]τοῖς πολλοῖς ἐστίν· ἐπὰν δέ [y]τι πταίσωσιν,
ὃ νῦν [z]εἰκὸς παθεῖν ἐκεῖνον μεῖζον φορτίον ἢ καθ' αὑτὸν
[a]ἀράμενον, γίγνεται φανερὰ τὰ δυσχερῆ πάντα τοῖς
ἅπασιν.

17 Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον ὁρῶν

[i] καὶ προπηλακίζονται om. pr. Y.

[k] αὐτὸν φιλότιμον] φιλότιμον αὐτὸν S.

[l] πάντ' S. ceteri ἅπαντ'.

[m] τοιαῦτα om. pr. F.

[n] παραμένουσιν] παραμενοῦσιν F.

[o] τὰς ἁμαρτίας] τὰ τοιαῦτα ὀνείδη γρ. F.

[p] τῶν ἀνθρώπων εἰσίν] εἰσὶ τῶν ἀνθρώπων u. v.

[q] ταῦτα πάντα] πάντα ταῦτα F. Y. O. u. v.

[r] ὑγιαῖνον] ὑγιεινὸν F. S. Y. O.

[s] πασῶν] ἁπασῶν S.

[t] τῶν om. pr. Y.

[u] τὰ κακὰ post ἐστι ponunt Y. O.

[x] τοῖς πολλοῖς ἐστίν] ἐστι τοῖς πολλοῖς S.

[y] τι om. S.

[z] εἰκὸς παθεῖν] παθεῖν εἰκὸς S.

[a] ἀράμενον] αἰρόμενον S.

εὐτυχοῦντα [b]ταύτῃ φοβερὸν εἶναι νομίζει καὶ δυσπολέμη-
τον, σώφρονος μὲν ἀνδρὸς χρῆται προνοίᾳ· μεγάλη γὰρ
ῥοπή, μᾶλλον δὲ [c]τὸ ὅλον ἡ τύχη ἐστὶ πρὸς ἅπαντα τὰ
τῶν ἀνθρώπων πράγματα· κατὰ πολλοὺς μέντοι τρόπους
ἕλοιτ' ἄν τις οὐχ ἧττον τὴν ἡμετέραν εὐτυχίαν ἢ τὴν ἐκεί-
18 νου. παρά τε γὰρ τῶν προγόνων ἐκ πλείονος χρόνου παρ-
ειλήφαμεν τὴν [d]ἡγεμονίαν οὐ τούτου μόνον, ἀλλὰ συν-
ελόντι φράσαι πάντων [e]τῶν ἐν Μακεδονίᾳ βασιλευσάν-
των· κἀκεῖνοι μὲν Ἀθηναίοις φόρους ἤνεγκαν, ἡ δ' ἡμε-
τέρα πόλις οὐδενὶ [f]πώποτε τῶν ἁπάντων [g]ἀνθρώπων. ἔτι
δὲ τοσούτῳ πλείους ἀφορμὰς αὐτοῦ πρὸς τὴν [h]παρὰ τῶν
θεῶν εὔνοιαν ἔχομεν, ὅσῳ διατελοῦμεν εὐσεβέστερα καὶ
19 δικαιότερα πράττοντες. τί ποτ' οὖν ἐκεῖνος ἐν τῷ προτέρῳ
πολέμῳ πλείω κατώρθωσεν ἡμῶν; ὅτι ὦ ἄνδρες Ἀθηναῖοι
(παρρησιάσομαι γὰρ πρὸς ὑμᾶς) ὁ μὲν αὐτὸς στρατεύ-
εται καὶ ταλαιπωρεῖ καὶ τοῖς κινδύνοις πάρεστιν, οὔτε
καιρὸν παριεὶς οὔτε ὥραν ἔτους παραλείπων οὐδεμίαν,
20 ἡμεῖς δὲ (εἰρήσεται γὰρ [i]τἀληθές) οὐδὲν ποιοῦντες ἐνθάδε
καθήμεθα, μέλλοντες ἀεὶ καὶ ψηφιζόμενοι καὶ πυνθανό-
μενοι κατὰ τὴν ἀγορὰν εἴ τι λέγεται νεώτερον. καίτοι τί 157
γένοιτ' ἂν νεώτερον, ἢ Μακεδὼν ἀνὴρ καταφρονῶν Ἀθη-
ναίων καὶ τολμῶν ἐπιστολὰς πέμπειν τοιαύτας οἵας
21 ἠκούσατε μικρῷ πρότερον; καὶ τῷ μὲν ὑπάρχουσι μισθο-
φόροι στρατιῶται, καὶ νὴ Δία πρὸς τούτοις τῶν παρ'
[k]ἡμῖν ῥητόρων τινές, οἳ τὰς παρ' [l]ἐκείνου δωρεὰς οἴκαδε
[m]λαμβάνειν νομίζοντες οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες,

[b] ταύτῃ om. F. S. Y. O. v.
[c] τὸ om. Y.
[d] ἡγεμονίαν] εὐδαιμονίαν S.
[e] τῶν om. pr. Y.
[f] πώποτε] πω F. S. Y. O. v.
[g] ἀνθρώπων om. S.
[h] παρὰ om. F.S.v. in γρ. habet Y. in margine O.
[i] τἀληθές] τἀληθῆ S.
[k] ἡμῖν] ἡμῶν F. S. Y. O. v.
[l] ἐκείνου] ἐκείνων S.
[m] λαμβάνειν νομίζοντες] λαμβάνοντες F. Y. O. v.

οὐδ' αἰσθάνονται πάντα [n] καὶ τὰ τῆς πόλεως καὶ [o] τὰ
σφῶν αὐτῶν μικροῦ λήμματος πωλοῦντες. ἡμεῖς δὲ οὔτε
τῶν ἐκείνου πραγμάτων οὐδὲν στασιάζειν παρασκευάζο-
μεν, οὔτε ξενοτροφεῖν ἐθέλομεν, οὔτε [p] αὐτοὶ στρατεύεσθαι
22 τολμῶμεν. οὔκουν [q] ἐστὶν οὐδὲν [r] θαυμαστόν, εἴ τι πεπλε-
ονέκτηκεν ἡμῶν κατὰ τὸν πρότερον πόλεμον, ἀλλὰ μᾶλ-
λον εἰ μηδὲν ποιοῦντες ἡμεῖς [s] ὧν προσήκει τοὺς πολε-
μοῦντας, νομίζομεν κρατήσειν τοῦ πάντα πράττοντος ἃ
δεῖ τοὺς πλεονεκτήσειν μέλλοντας.
23 Ὧν ὦ ἄνδρες Ἀθηναῖοι χρὴ λαβόντας ἔννοιαν, καὶ λο-
γισαμένους ὡς οὐδ' ἐφ' ἡμῖν ἐστὶ τὸ φάσκειν ἄγειν εἰρήνην
(ἤδη γὰρ ἐκεῖνος καὶ [t] προηγόρευκε τὸν πόλεμον καὶ τοῖς
ἔργοις ἐξενήνοχε) μηδενὸς μὲν φείδεσθαι μήτε τῶν [u] κοινῶν
μήτε τῶν ἰδίων, στρατεύεσθαι δέ, ἐάν που καιρὸς ᾖ, προθύ-
μως ἅπαντας, χρῆσθαι δὲ στρατηγοῖς ἀμείνοσιν ἢ πρότερον.
24 μὴ γὰρ [x] ὑπολάβῃ τις ὑμῶν, δι' ὧν [y] ἐκ χρηστῶν ἐγένετο τὰ
πράγματα χείρω τὰ τῆς πόλεως, διὰ τούτων αὐτὰ πά-
λιν ἀναλήψεσθαι καὶ γενήσεσθαι βελτίω· μηδὲ νομίσητε
ῥαθυμούντων [z] ὑμῶν, ὥσπερ πρότερον, ἑτέρους ὑπὲρ τῶν
ὑμετέρων ἀγωνιεῖσθαι προθύμως· ἀλλ' ἐννοεῖσθε ὡς αἰ-
σχρόν ἐστι τοὺς μὲν πατέρας [a] ὑμῶν πολλοὺς πόνους καὶ 158
[b] κινδύνους μεγάλους ὑποστῆναι Λακεδαιμονίοις πολε-
25 μοῦντας, [c] ὑμᾶς δὲ μηδ' ὑπὲρ ὧν ἐκεῖνοι δικαίως κτησά-
μενοι παρέδοσαν [d] ὑμῖν ἐθέλειν ἐῤῥωμένως ἀμύνεσθαι, ἀλ-

[n] καὶ τὰ] κατὰ S.
[o] τὰ σφῶν] τὰς φωνὰς S.
[p] αὐτοὶ om. S.
[q] ἐστὶν οὐδὲν] οὐδέν ἐστι γρ. F.
[r] θαυμαστόν] δεινὸν S. et γρ. F.
[s] ὧν] ὡς F. v.
[t] προηγόρευκε] προηγόρευσε S.
[u] κοινῶν] δημοσίων S.
[x] ὑπολάβῃ] ὑπολάβοι u. et pr. v.
[y] ἐκ χρηστῶν om. S. in margine habet Y.
[z] ὑμῶν] ἡμῶν S.
[a] ὑμῶν] ὑμῶν (ἡ) F. ἡμῶν S.
[b] κινδύνους μεγάλους] μεγάλους κινδύνους S.
[c] ὑμᾶς] ἡμᾶς S.
[d] ὑμῖν] ἡμῖν S. Y. v.

λὰ τὸν μὲν ἐκ Μακεδονίας ὁρμώμενων οὕτως εἶναι φιλοκίνδυνον, [e] ὥσθ᾽ ὑπὲρ τοῦ μείζω ποιῆσαι τὴν ἀρχὴν κατατετρῶσθαι πᾶν τὸ σῶμα τοῖς πολεμίοις μαχόμενον, [f] Ἀθηναίους δέ, οἷς πάτριόν ἐστι μηδενὸς [g] ὑπακούειν, ἁπάντων δὲ κρατεῖν [h] ἐν τοῖς πολέμοις, τούτους διὰ [i] ῥᾳθυμίαν ἢ μαλακίαν [k] ἐγκαταλείπειν τά τε τῶν προγόνων ἔργα καὶ τὰ συμφέροντα τῆς πατρίδος.

26 Ἵνα δὲ μὴ μακρολογῶ, φημὶ χρῆναι [l] πάντας ἡμᾶς [m] παρασκευάζεσθαι μὲν πρὸς τὸν πόλεμον, παρακαλεῖν δὲ τοὺς [n] Ἕλληνας, μὴ λόγοις ἀλλὰ [o] καὶ τοῖς ἔργοις, πρὸς τὴν [p] ὑπὲρ ἡμῶν συμμαχίαν· ὡς ἅπας μέν ἐστι λόγος μάταιος πράξεων ἄμοιρος γενόμενος, τοσούτῳ δὲ μάλιστα ὁ παρὰ τῆς ἡμετέρας πόλεως, ὅσῳ δοκοῦμεν αὐτῷ προχειρότατα χρῆσθαι τῶν ἄλλων Ἑλλήνων.

## ΙΒ.

# [a] ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

ΦΙΛΙΠΠΟΣ Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. Ἐπειδὴ πολλάκις μου [b] πρέσβεις ἀποστείλαντος, ἵν᾽ ἐμμείνωμεν τοῖς ὅρκοις καὶ ταῖς ὁμολογίαις, οὐδεμίαν ἐποιεῖσθε ἐπιστροφήν, ᾤμην δεῖν πέμψαι πρὸς ὑμᾶς ὑπὲρ ὧν ἀδικεῖσθαι νομίζω. μὴ θαυμάσητε δὲ τὸ μῆκος τῆς ἐπι-

[e] ὥσθ᾽] ὡς F.
[f] Ἀθηναίους] ἀθηναίοις v.
[g] ὑπακούειν] ἀκούειν S.
[h] ἐν om. F. Y. O. v.
[i] ῥᾳθυμίαν ἢ μαλακίαν S. vulg. μαλακίαν ἢ ῥᾳθυμίαν.
[k] ἐγκαταλείπειν] ἐγκαταλιπεῖν F. Y. O. u. v.
[l] πάντας ἡμᾶς om. S.
[m] παρασκευάζεσθαι] παρεσκευάσθαι S.
[n] Ἕλληνας] ἄλλους ἕλληνας F. S. Y. O. u. v.
[o] καὶ om. S.
[p] ὑπὲρ] παρ᾽ F. S. Y. v.
[a] ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ] φιλίππου ἐπιστολὴ v.
[b] πρέσβεις] πρεσβείας Y.

στολῆς· πολλῶν γὰρ ὑπαρχόντων ἐγκλημάτων ἀναγκαῖόν ἐστιν ὑπὲρ ἁπάντων δηλῶσαι καθαρῶς. 159

2 Πρῶτον μὲν γὰρ Νικίου τοῦ κήρυκος ἁρπασθέντος ἐκ τῆς χώρας τῆς ἐμῆς οὐ τοῖς παρανομοῦσιν ἐπετιμήσατε [ὅτι τὴν δίκην], ἀλλὰ τὸν ἀδικούμενον εἵρξατε δέκα μῆνας· ἃς δ' ἔφερε παρ' ἡμῶν ἐπιστολάς, ἀνέγνωτε ἐπὶ τοῦ βήματος. ἔπειτα Θασίων ὑποδεχομένων τὰς Βυζαντίων τριήρεις καὶ τῶν λῃστῶν τοὺς βουλομένους οὐδὲν ἐφροντίζετε, τῶν συνθηκῶν διαῤῥήδην λεγουσῶν πολεμίους

3 εἶναι τοὺς ταῦτα ποιοῦντας. ἔτι τοίνυν περὶ τοὺς αὐτοὺς χρόνους Διοπείθης ἐμβαλὼν εἰς τὴν χώραν Κρωβύλην μὲν καὶ τὴν Τιρίστασιν ἐξηνδραποδίσατο, τὴν δὲ προσεχῆ Θρᾴκην ἐπόρθησε, τέλος δὲ εἰς τοῦτο ἦλθε παρανομίας, ὥστε Ἀμφίλοχον ὑπὲρ τῶν αἰχμαλώτων ἐλθόντα πρεσβευτὴν συλλαβὼν καὶ τὰς ἐσχάτας ἀνάγκας ἐπιθεὶς ἀπελύτρωσε ταλάντων ἐννέα· καὶ ταῦτα τῷ δήμῳ εὖ δο-

4 κοῦντα ἐποίησεν. [c] καίτοι τὸ παρανομεῖν εἰς κήρυκα καὶ πρέσβεις [d] τοῖς ἄλλοις τε πᾶσιν ἀσεβὲς εἶναι δοκεῖ, καὶ μάλιστα ὑμῖν· Μεγαρέων [e] γοῦν Ἀνθεμόκριτον ἀνελόντων εἰς τοῦτο ἐλήλυθεν ὁ δῆμος, ὥστε μυστηρίων μὲν εἴργειν αὐτούς, [f] ὑπόμνημα δὲ τῆς ἀδικίας [g] στῆσαι ἀνδριάντα πρὸ τῶν πυλῶν. καίτοι πῶς οὐ δεινόν, ἐφ' οἷς παθόντες οὕτως ἐμισήσατε τοὺς δράσαντας, νῦν [h] αὐτοὺς φαίνεσθαι

5 [i] ποιοῦντας; Καλλίας τοίνυν ὁ παρ' ὑμῶν στρατηγὸς τὰς μὲν πόλεις τὰς ἐν τῷ [k] Παγασίτῃ [l] κόλπῳ κατοικουμένας

[c] καίτοι] καὶ F. Y. O. v.
[d] τοῖς] καὶ τοῖς F. Y. O. v.
[e] γοῦν] οὖν v.
[f] ὑπόμνημα Reiskius: libri ὑπομνήματα.
[g] στῆσαι] ἔστησαν F. Y. O. v.
[h] αὐτοὺς] αὐτὰ Y. correcti O. v. γρ. F.
[i] ποιοῦντας] ποιοῦντες γρ. F. ποιοῦντες Y. O.
[k] Παγασίτῃ] παγασείτῃ Y. v. παγασειτῆι F.
[l] κόλπῳ] κόμπῳ Y.

ἔλαβεν ἁπάσας, ὑμῖν μὲν [m] ἐνόρκους ἐμοὶ δὲ [n] συμμαχίδας οὔσας, τοὺς δ' [o] εἰς Μακεδονίαν πλέοντας ἐπώλει πάντας πολεμίους κρίνων· καὶ διὰ ταῦθ' ὑμεῖς ἐπῃνεῖτ' 160 αὐτὸν ἐν τοῖς ψηφίσμασιν. ὥστε ἔγωγε ἀπορῶ τί ποτ' ἔσται καινότερον, ἐὰν ὁμολογήσητέ μοι πολεμεῖν· καὶ γὰρ ὅτε φανερῶς διεφερόμεθα, λῃστὰς ἐξεπέμπετε, καὶ τοὺς πλέοντας ὡς [p] ἡμᾶς ἐπωλεῖτε, τοῖς ἐναντίοις ἐβοηθεῖτε, τὴν χώραν μου κακῶς ἐποιεῖτε.

6 Χωρὶς [q] τοίνυν εἰς τοῦτο παρανομίας ἀφῖχθε καὶ δυσμενείας, ὥστε καὶ πρὸς τὸν Πέρσην πρέσβεις ἀπεστάλκατε πείσοντας αὐτὸν ἐμοὶ πολεμεῖν· ὃ μάλιστα ἄν τις θαυμάσειεν. πρὸ μὲν γὰρ τοῦ λαβεῖν αὐτὸν Αἴγυπτον καὶ Φοινίκην ἐψηφίσασθε, ἂν ἐκεῖνός τι νεωτερίζῃ, παρακαλεῖν ὁμοίως ἐμὲ καὶ τοὺς ἄλλους Ἕλληνας ἅπαντας ἐπ' 7 αὐτόν· νῦν δὲ τοσοῦτον ὑμῖν περίεστι τοῦ πρὸς ἐμὲ μίσους, ὥστε πρὸς ἐκεῖνον διαλέγεσθαι περὶ τῆς [r] ἐπισυμμαχίας. καίτοι τὸ παλαιὸν οἱ πατέρες ὑμῶν, ὡς ἐγὼ πυνθάνομαι, τοῖς Πεισιστρατίδαις ἐπετίμων ὡς ἐπάγουσι τὸν Πέρσην ἐπὶ τοὺς Ἕλληνας· ὑμεῖς δ' οὐκ αἰσχύνεσθε ταῦτα ποιοῦντες, ἃ διετελεῖτε τοῖς τυράννοις ἐγκαλοῦντες.

8 Ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ γράφετε ἐν τοῖς ψηφίσμασιν ἐμοὶ προστάττοντες Τήρην καὶ Κερσοβλέπτην ἐᾶν Θρᾴκης ἄρχειν ὡς ὄντας Ἀθηναίους. ἐγὼ δὲ τούτους οὔτε [s] τῶν περὶ τῆς εἰρήνης συνθηκῶν οἶδα μετασχόντας ὑμῖν οὔτ' ἐν ταῖς στήλαις ἀναγεγραμμένους οὔτ' Ἀθηναίους ὄντας, ἀλλὰ [t] Τήρην μὲν μετ' ἐμοῦ στρατευόμενον ἐφ' ὑμᾶς, Κερσοβλέπτην δὲ τοῖς παρ' ἐμοῦ πρεσβευταῖς

[m] ἐνόρκους] ὅρκους F.

[n] συμμαχίδας] συμμαχίας F. συμμάχους Y. O. correctus v. γρ. F.

[o] εἰς] ἐς O.

[p] ἡμᾶς] ὑμᾶς v.

[q] τοίνυν] τοίνυν τούτων v.

[r] ἐπισυμμαχίας] ἐπιμαχίας pr. O.

[s] τῶν περὶ] περὶ τῶν F. Y. O.

[t] Τήρην] τήρη" F.

[u] ἰδίᾳ μὲν τοὺς ὅρκους ὀμόσαι προθυμούμενον, κωλυθέντα δ' ὑπὸ τῶν ὑμετέρων στρατηγῶν ἀποφαινόντων αὐτὸν Ἀθηναίων

9 ἐχθρόν. καίτοι πῶς ἐστὶ τοῦτ' ἴσον ἢ δίκαιον, ὅταν μὲν ὑμῖν συμφέρῃ, πολέμιον εἶναι φάσκειν αὐτὸν τῆς πόλεως, 161 ὅταν [x] δ' ἐμὲ συκοφαντεῖν βούλησθε, πολίτην ἀποδείκνυσθαι τὸν αὐτὸν ὑφ' ὑμῶν· καὶ Σιτάλκου μὲν ἀποθανόντος, ᾧ μετέδοτε τῆς πολιτείας, εὐθὺς ποιήσασθαι πρὸς τὸν [y] ἀποκτείναντα φιλίαν, ὑπὲρ δὲ Κερσοβλέπτου πόλεμον αἱρεῖσθαι πρὸς ἡμᾶς; καὶ ταῦτα σαφῶς εἰδότας ὅτι τῶν λαμβανόντων τὰς δωρεὰς τὰς τοιαύτας οὐδεὶς οὔτε τῶν νόμων οὔτε τῶν ψηφισμάτων οὐδὲν φροντίζει τῶν ὑμετέρων.

10 οὐ μὴν ἀλλ' εἰ δεῖ πάντα τἆλλα παραλιπόντα συντόμως εἰπεῖν, ὑμεῖς ἔδοτε πολιτείαν Εὐαγόρᾳ τῷ Κυπρίῳ καὶ [z] Διονυσίῳ τῷ [a] Συρακουσίῳ καὶ τοῖς [b] ἐκγόνοις τοῖς ἐκείνων. ἐὰν οὖν πείσητε τοὺς ἐκβαλόντας ἑκατέρους αὐτῶν ἀποδοῦναι πάλιν τὰς ἀρχὰς τοῖς ἐκπεσοῦσι, κομίζεσθε καὶ παρ' ἐμοῦ τὴν Θρᾴκην, [c] ὅσης Τήρης καὶ Κερσοβλέπτης ἦρχεν. εἰ δὲ τοῖς μὲν ἐκείνων κρατήσασι μηδ' ἐγκαλεῖν ἀξιοῦτε μηδέν, ἐμὲ δ' ἐνοχλεῖτε, πῶς οὐ δικαίως ὑμᾶς ἀμυνοίμην ἄν;

11 Περὶ μὲν οὖν τούτων πολλὰ λέγειν ἔχων ἔτι δίκαια παραλιπεῖν προαιροῦμαι· Καρδιανοῖς δέ φημι βοηθεῖν γεγονὼς αὐτοῖς πρὸ τῆς εἰρήνης σύμμαχος, οὐκ ἐθελόντων [d] δ' ὑμῶν ἐλθεῖν εἰς κρίσιν, πολλάκις μὲν ἐμοῦ δεηθέντος, οὐκ ὀλιγάκις δ' ἐκείνων· ὥστε πῶς οὐκ ἂν εἴην [e] πάντων φαυλότατος, εἰ καταλιπὼν τοὺς συμμάχους μᾶλλον

[u] ἰδίᾳ] ἰδίους v.
[x] δ' ἐμὲ] δέ με O.
[y] ἀποκτείναντα] ἀποκτείνοντα (α supra ο) Y. ἀποκτείνοντα O.
[z] Διονυσίῳ] τῷ διονυσίῳ O.
[a] Συρακουσίῳ] συρρακουσίῳ v.
[b] ἐκγόνοις] ἐγκόνοις O.
[c] ὅσης] ὅσην v.
[d] δ' om. v.
[e] πάντων om. v.

ὑμῶν φροντίζοιμι τῶν πάντα μοι τρόπον ἐνοχλούντων ἢ τῶν
βεβαίως μοι φίλων ἀεὶ μενόντων;
12 Εἰ τοίνυν δεῖ μηδὲ τοῦτο παραλιπεῖν, εἰς [f] τοσοῦτον
ἐληλύθατε πλεονεξίας, ὥστε πρότερον μὲν ἐνεκαλεῖτέ μοι
τὰ προειρημένα μόνον, τὰ δ' [g] ὑπογυιότατα [h] Πεπαρηθίων 162
φασκόντων δεινὰ πεπονθέναι προσετάξατε τῷ στρατηγῷ
δίκην παρ' ἐμοῦ λαβεῖν ὑπὲρ ἐκείνων, οὓς ἐγὼ μὲν ἐτι-
μωρησάμην ἐνδεεστέρως ἢ προσῆκεν, ἐκεῖνοι δὲ εἰρήνης οὔσης
καταλαβόντες [i] Ἁλόννησον οὔτε τὸ χωρίον οὔτε τοὺς φρου-
ροὺς ἀπεδίδοσαν πέμψαντος ὑπὲρ αὐτῶν ἐμοῦ πολλάκις.
13 ὑμεῖς δ', ὧν μὲν ἠδίκησαν ἐμὲ Πεπαρήθιοι, τούτων μὲν
οὐδὲν ἐπεσκήψασθε, τὴν δὲ τιμωρίαν, ἀκριβῶς εἰδότες
[k] ὅτι τὴν νῆσον οὔτ' ἐκείνους οὔτε ὑμᾶς ἀφειλόμην, ἀλλὰ
τὸν λῃστὴν Σώστρατον. εἰ μὲν οὖν αὐτοί φατε παραδοῦναι
Σωστράτῳ, λῃστὰς ὁμολογεῖτε καταπέμπειν· εἰ δὲ ἀκόν-
των ὑμῶν ἐκεῖνος [l] ἐκράτει, τί δεινὸν πεπόνθατε λαβόντος
ἐμοῦ καὶ τὸν τόπον τοῖς πλέουσιν ἀσφαλῆ παρέχοντος;
14 τοσαύτην δέ μου ποιουμένου πρόνοιαν τῆς ὑμετέρας πόλεως,
καὶ διδόντος αὐτῇ τὴν νῆσον, οἱ ῥήτορες λαμβάνειν μὲν
οὐκ εἴων, ἀπολαβεῖν δὲ συνεβούλευον, ὅπως ὑπομείνας
μὲν τὸ προστασσόμενον τὴν ἀλλοτρίαν ἔχειν ὁμολογῶ, μὴ
προειμένος δὲ τὸ χωρίον ὕποπτος γένωμαι τῷ πλήθει.
15 γνοὺς ἐγὼ ταῦτα προὐκαλούμην κριθῆναι περὶ τούτων πρὸς
ὑμᾶς, ἵν' εἰ μὲν ἐμὴ γνωσθῇ, παρ' ἐμοῦ δοθῇ τὸ χωρίον
ὑμῖν, ἐὰν δὲ ὑμετέρα [m] κριθῇ, τότε ἀποδῶ τῷ δήμῳ.
ταῦτα [n] δ' ἐμοῦ πολλάκις ἀξιοῦντος ὑμεῖς μὲν οὐ προσ-
16 είχετε, Πεπαρήθιοι δὲ τὴν νῆσον κατέλαβον. τί οὖν ἐχρῆν

[f] τοσοῦτον] τοσοῦτο F. Y. O.

[g] ὑπογυιότατα] ὑπογυότατα F. Y. O. ὑπογυώτατα v.

[h] Πεπαρηθίων] Libri πεπαρρηθίων. Et similiter infra.

[i] Ἁλόννησον O. vulg. Ἁλόνησον.

[k] ὅτι] καίτοι F. Y. O. v.

[l] ἐκράτει F. ceteri κατεκράτει.

[m] κριθῇ] κληθῇ O.

[n] δ' ἐμοῦ F. vulg. δέ μου.

με ποιεῖν; οὐ δίκην λαβεῖν παρὰ τῶν [o] ὑπερβεβηκότων
τοὺς ὅρκους; οὐ τιμωρήσασθαι τοὺς οὕτως ὑπερηφάνως
ἀσελγαίνοντας; καὶ γὰρ εἰ Πεπαρηθίων ἦν ἡ νῆσος, τί
προσῆκεν ἀπαιτεῖν Ἀθηναίους; εἰ δὲ ὑμετέρα, πῶς οὐκ 163
ἐκείνοις ὀργίζεσθε καταλαβοῦσι τὴν ἀλλοτρίαν;

17 Εἰς τοῦτο δὲ προβεβήκαμεν ἔχθρας, ὥστε βουλόμενος
ταῖς ναυσὶν εἰς τὸν Ἑλλήσποντον παραβαλεῖν ἠναγκάσθην
αὐτὰς παραπέμψαι διὰ Χερρονήσου τῇ στρατιᾷ, τῶν μὲν
κληρούχων κατὰ τὸ Πολυκράτους δόγμα πολεμούντων
ἡμῖν, ὑμῶν δὲ τοιαῦτα ψηφιζομένων, τοῦ δὲ στρατηγοῦ
Βυζαντίους τε παρακαλοῦντος καὶ [p] διαγγέλλοντος πρὸς
ἅπαντας ὅτι [q] πολεμεῖν αὐτῷ προστάττετε, ἂν καιρὸν
18 λάβῃ. τοιαῦτα δὲ πάσχων ὅμως τῆς πόλεως καὶ τῶν
τριήρων καὶ τῆς χώρας ἀπεσχόμην, ἱκανὸς ὢν τὰ πλεῖ-
στα λαβεῖν ἢ πάντα, καὶ διατετέλεκα [r] προκαλούμενος
ὑμᾶς εἰς κρίσιν ἐλθεῖν ὑπὲρ ὧν αἰτιώμεθα ἀλλήλους.
καίτοι σκοπεῖσθε πότερον κάλλιόν ἐστιν ὅπλοις ἢ λόγοις
διακρίνεσθαι, καὶ πότερον αὐτοὺς εἶναι βραβευτὰς ἢ πεῖ-
19 σαί τινας ἑτέρους· καὶ λογίζεσθ' ὡς ἄλογόν ἐστιν Ἀθη-
ναίους Θασίους μὲν καὶ Μαρωνείτας ἀναγκάσαι περὶ
Στρύμης διακριθῆναι λόγοις, αὐτοὺς δὲ πρὸς ἐμὲ μὴ δια-
λύσασθαι περὶ ὧν [s] ἀμφισβητοῦμεν τὸν τρόπον τοῦτον,
ἄλλως τε καὶ γιγνώσκοντας ὅτι νικηθέντες μὲν οὐδὲν
ἀποβαλεῖτε, κρατήσαντες δὲ λήψεσθε τὰ νῦν ὑφ' ἡμῖν
ὄντα.

20 Πάντων δέ μοι δοκεῖ παραλογώτατον εἶναι, διότι
πέμψαντος ἐμοῦ πρέσβεις ἀπὸ τῆς συμμαχίας πάσης,

παρα
[o] ὑπερβεβηκότων] ὑπερβεβηκότων F. παραβεβηκότων Y. O.

[p] διαγγέλλοντος] διαγγέλλειν F. Y. O. v.

[q] πολεμεῖν] πόλιν F. Y. O.

[r] προκαλούμενος ὑμᾶς] ὑμᾶς προκαλούμενος Y. O.

[s] ἀμφισβητοῦμεν] ἀμφισβητοῦσι Y. O. v.

ἵν᾽ ὦσι μάρτυρες, καὶ βουλομένου ποιήσασθαι πρὸς ὑμᾶς δικαίας ὁμολογίας ὑπὲρ τῶν Ἑλλήνων, οὐδὲ τοὺς περὶ τούτων λόγους ἐδέξασθε παρὰ τῶν πρεσβευόντων, ἐξὸν ὑμῖν ἢ τῶν κινδύνων ἀπαλλάξαι τοὺς δυσχερὲς ὑποπτεύοντάς τι καθ᾽ ἡμῶν, ἢ φανερῶς ἐξελέγξαι με φαυλότατον 164
21 ὄντα τῶν ἁπάντων. τῷ μὲν οὖν δήμῳ ταῦτα συνέφερε, τοῖς δὲ λέγουσιν οὐκ ἐλυσιτέλει. φασὶ γὰρ οἱ τῆς πολιτείας τῆς παρ᾽ ὑμῖν [t] ἔμπειροι τὴν μὲν εἰρήνην πόλεμον αὐτοῖς εἶναι, τὸν δὲ πόλεμον εἰρήνην· ἢ γὰρ συναγωνιζομένους τοῖς στρατηγοῖς ἢ συκοφαντοῦντας [u] ἀεί τι λαμβάνειν παρ᾽ αὐτῶν, ἔτι δὲ τῶν πολιτῶν τοῖς γνωριμωτάτοις καὶ [x] τῶν ἔξωθεν τοῖς ἐνδοξοτάτοις λοιδορουμένους ἐπὶ τοῦ βήματος περιποιεῖσθαι παρὰ τοῦ πλήθους δόξαν ὡς εἰσὶ δημοτικοί.

22 Ῥᾴδιον μὲν οὖν ἐστί μοι παῦσαι τῆς βλασφημίας αὐτοὺς μικρὰ πάνυ προεμένῳ, καὶ ποιῆσαι λέγειν ἐπαίνους ὑπὲρ ἡμῶν. ἀλλ᾽ αἰσχυνοίμην ἄν, εἰ τὴν [y] πρὸς ἡμᾶς εὔνοιαν παρὰ τούτων φαινοίμην ὠνούμενος, οἳ πρὸς τοῖς ἄλλοις εἰς τοῦτο τόλμης ἥκουσιν, ὥστε καὶ περὶ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἀμφισβητεῖν ἐπιχειροῦσιν, ὑπὲρ ἧς τῶν ἀντιποιουμένων αὐτῆς οἶμαι πολὺ δικαιότερα λέγειν
23 αὐτός. εἴτε γὰρ τῶν ἐξ ἀρχῆς κρατησάντων γίγνεται, πῶς οὐ δικαίως ἡμεῖς αὐτὴν ἔχομεν, Ἀλεξάνδρου τοῦ προγόνου πρώτου κατασχόντος τὸν τόπον, ὅθεν καὶ τῶν αἰχμαλώτων [z] Μήδων ἀπαρχὴν ἀνδριάντα χρυσοῦν ἀνέστησεν εἰς Δελφούς; εἴτε τούτων μὲν ἀμφισβητήσειέ τις, ἀξιοῖ δὲ γίγνεσθαι τῶν ὕστερον γενομένων κυρίων, ὑπάρχει μοι καὶ τοῦτο τὸ δίκαιον· ἐκπολιορκήσας γὰρ τοὺς

[t] ἔμπειροι γρ. O. vulg. ἔμποροι. O. v.

[u] ἀεί τι λαμβάνειν] ἀντιλαμβάνειν F. Y. O. v.

[x] τῶν ἔξωθεν] τοῖς ἔξωθεν F. Y.

[y] πρὸς ἡμᾶς Reiskius: libri πρὸς ὑμᾶς.

[z] Μήδων] μήδων ὧν Y. O.

ὑμᾶς μὲν ἐκβαλόντας ὑπὸ Λακεδαιμονίων δὲ κατοι-
24 κισθέντας ἔλαβον τὸ χωρίον. καίτοι πάντες οἰκοῦμεν τὰς
πόλεις ἢ τῶν προγόνων παραδόντων ἢ κατὰ πόλεμον κύ-
ριοι καταστάντες. ὑμεῖς δὲ οὔτε πρῶτοι λαβόντες οὔτε
νῦν ἔχοντες, ἐλάχιστον δὲ χρόνον ἐν τοῖς τόποις ἐμμείναν-
τες [a] ἀντιποιεῖσθε τῆς πόλεως, καὶ ταῦτα πίστιν ὑπὲρ
ἡμῶν αὐτοὶ βεβαιοτάτην ἐπιθέντες· πολλάκις [b] γὰρ ἐμοῦ
γράφοντος ἐν ταῖς ἐπιστολαῖς ὑπὲρ αὐτῆς [c] ἐγνώκατε δι-
καίως ἔχειν ἡμᾶς, τότε μὲν ποιησάμενοι τὴν εἰρήνην ἔχον-
τος ἐμοῦ τὴν πόλιν, [d] κᾆτα συμμαχίαν ἐπὶ ταῖς αὐταῖς
25 ὁμολογίαις. καίτοι πῶς ἂν ἑτέρα γένοιτο βεβαιοτέρα
ταύτης κτῆσις, τῆς τὸ μὲν ἐξ ἀρχῆς καταλειφθείσης
ἡμῖν ὑπὸ τῶν προγόνων, πάλιν δὲ κατὰ πόλεμον ἐμῆς
γεγενημένης, τρίτον δὲ συγχωρηθείσης ὑφ᾽ ὑμῶν τῶν εἰ-
θισμένων ἀμφισβητεῖν καὶ τῶν [e] οὐθὲν ὑμῖν προσηκόντων;
26 Ἃ μὲν οὖν ἐγκαλῶ, ταῦτ᾽ ἐστίν· ὡς δὲ προϋπαρχόντων
καὶ διὰ τὴν ἐμὴν εὐλάβειαν μᾶλλον ἤδη τοῖς πράγμασιν
ἐπιτιθεμένων καὶ καθ᾽ ὅσον ἂν δύνησθε [f] κακοποιούντων,
ὑμᾶς ἀμυνοῦμαι μετὰ τοῦ δικαίου, καὶ μάρτυρας τοὺς
θεοὺς ποιησάμενος διαλήψομαι περὶ τῶν καθ᾽ ὑμᾶς.

[a] ἀντιποιεῖσθε] ἀντεποιεῖσθε F. Y. O.
[b] γὰρ om. v.
[c] ἐγνώκατε] ἐγνωκότες F.Y.O.v.
[d] κᾆτα] Libri κατά.
[e] οὐθὲν F. Y. O. v. vulg. οὐδέν.
[f] κακοποιούντων] κακὸν ποιούντων Y. O.

# ΙΓ.

# ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ.

## ΥΠΟΘΕΣΙΣ.

Ὁ λόγος οὗτος οὐκέτι Φιλιππικός ἐστιν, ἀλλὰ ἁπλῶς συμβουλευτικός· ἐκκλησίαν [a] γὰρ ἀγόντων τῶν Ἀθηναίων περὶ τῶν θεωρικῶν χρημάτων, παρελ- 166
θὼν ὁ Δημοσθένης [b] πείθει συνταχθῆναί [c] τε αὐτοὺς καὶ τὸ ἀρχαῖον ἀναλαβεῖν ἀξίωμα στρατευομένους καὶ τῶν Ἑλλήνων προκινδυνεύοντας, καὶ συγκρίνει τὰ νῦν τοῖς ἐπὶ τῶν προγόνων, πολὺ φαυλότερα καὶ ταπεινότερα τῶν παλαιῶν δεικνύς.

ΠΕΡΙ μὲν τοῦ παρόντος ἀργυρίου, καὶ ὧν [d] ἕνεκα τὴν ἐκκλησίαν [e] ποιεῖσθε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδέτερόν μοι δοκεῖ τῶν χαλεπῶν εἶναι, οὔτ' ἐπιτιμήσαντα τοῖς νέμουσι καὶ διδοῦσι τὰ κοινὰ εὐδοκιμῆσαι παρὰ τοῖς βλάπτεσθαι διὰ τούτων ἡγουμένοις τὴν πόλιν, οὔτε συνειπόντα καὶ παραινέσαντα ὡς δεῖ λαμβάνειν χαρίσασθαι τοῖς σφόδρα ἐν χρείᾳ τοῦ λαβεῖν οὖσιν· οὐδέτεροι γὰρ πρὸς τὸ τῇ πόλει συμφέρον σκοποῦντες οὔτ' ἐπαινοῦσιν οὔτε δυσχεραίνουσι τὸ πρᾶγμα, ἀλλ' ὡς ἑκάτεροι χρείας καὶ πε-
2 ριουσίας ἔχουσιν. ἐγὼ δὲ τοῦτο μὲν οὔτ' ἂν εἰσηγησαίμην, οὔτ' [f] ἀντείποιμι ὡς οὐ δεῖ λαμβάνειν· παραινῶ [g] μέντοι σκοπεῖν καὶ λογίζεσθαι πρὸς ὑμᾶς αὐτοὺς ὅτι τἀργύριον μέν ἐστι τοῦτο, περὶ οὗ βουλεύεσθε, μικρόν, τὸ δ' ἔθος μέγα, ὃ γίγνεται μετὰ τούτου. εἰ μὲν οὖν μετὰ τοῦ πράττειν ἃ προσήκει καὶ τὸ λαμβάνειν κατασκευάσεσθε,

[a] γὰρ] δὲ F.
[b] πείθει ante παρελθὼν ponit Y.
[c] τε addidit Y.
[d] ἕνεκα in margine S.
[e] ποιεῖσθε γρ. S. vulg. ποιεῖτε.
[f] ἀντείποιμι] ἂν ἀντείποιμι S. et γρ. Y.
[g] μέντοι] μὲν pr. S.

οὐ μόνον οὐ βλάψετε, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελήσετε
3 τὴν πόλιν καὶ ὑμᾶς αὐτούς· εἰ δὲ τοῦ μὲν λαμβάνειν
καὶ ἑορτὴ καὶ πᾶσα ἀρκέσει πρόφασις, τοῦ δ' ἃ πρὸς 167
τούτοις δεῖ ποιεῖν μηδὲ τοὺς λόγους ἀκούειν ἐθελήσετε,
ὁρᾶτε μήποθ', ἃ νῦν ὀρθῶς ἡγεῖσθε πράττειν, σφόδρα
4 ἡμαρτηκέναι νομίσητε. ἐγὼ δέ φημι δεῖν (καί μοι μὴ
θορυβήσητε ἐφ' ᾧ μέλλω λέγειν, ἀλλ' ἀκούσαντες κρί-
νατε·) ὥσπερ [h] τῷ λαβεῖν ἐκκλησίαν ἀπεδώκαμεν, οὕτω
[i] καὶ περὶ τοῦ συνταχθῆναι καὶ παρασκευασθῆναι τὰ
πρὸς τὸν πόλεμον ἐκκλησίαν ἀποδοῦναι, καὶ παρασχεῖν
ἕκαστον αὑτὸν μὴ μόνον ταῦτ' ἀκούειν ἐθέλοντα ἀλλὰ
καὶ πράττειν βουλόμενον, ἵν' ὦ ἄνδρες Ἀθηναῖοι τῶν ἀγα-
θῶν τὰς ἐλπίδας δι' ὑμῶν αὐτῶν ἔχητε, καὶ μὴ τὸν δεῖνα
5 μηδὲ τὸν δεῖνα πυνθάνησθε τί πράττει. καὶ τὰ μὲν [k] προσ-
ιόντα τῇ πόλει πάντα, καὶ ἃ νῦν ἐκ τῶν ἰδίων [l] παραναλίσκετε εἰς οὐδὲν δέον καὶ ὅσ' ἐκ τῶν συμμάχων ὑπάρχει,
λαμβάνειν ὑμᾶς φημὶ χρῆναι τὸ ἴσον ἕκαστον, τοὺς μὲν
ἐν ἡλικίᾳ στρατιωτικόν, τοὺς δ' ὑπὲρ τὸν κατάλογον ἐξε-
ταστικὸν ἢ ὅπως ἄν τις ὀνομάσαι τοῦτο, στρατεύεσθαι δ'
6 αὐτοὺς καὶ μηδενὶ τούτου παραχωρεῖν, ἀλλὰ τὴν δύναμιν
τῆς πόλεως οἰκείαν εἶναι [m] καὶ κατεσκευασμένην ἀπὸ
τούτων, [n] ἵν' [ἅμα τ'] εὐπορῆτε καὶ τὰ δέοντα ποιῆτε,
καὶ τὸν στρατηγὸν ἡγεῖσθαι ταύτης, ἵν' ὑμῖν ὦ ἄνδρες
Ἀθηναῖοι μὴ [o] τοιαῦτα οἷάπερ νυνὶ συμβαίνῃ. τοὺς στρα-
τηγοὺς [p] κρίνετε, καὶ περίεστιν ὑμῖν ἐκ τῶν πραγμάτων
“ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖνα εἰσήγγειλεν,” ἄλλο δ' οὐ-

[h] τῷ] τοῦ S.
[i] καὶ post οὕτω om. Y. O.
[k] προσιόντα] προσόντα S. et γρ. Y.
[l] παραναλίσκετε] προσαναλίσκετε F. Y. O. v.
[m] καὶ post εἶναι om. S. et γρ. Y.
[n] ἵν'] ἵν' ἅμα τ' γρ. F. S.
[o] τοιαῦτα οἷάπερ S. et γρ. F. ceteri ταῦτα ἅπερ.
[p] κρίνετε] κρίνητε v. et correctus O.

7 δέν. ἀλλὰ τί ὑμῖν γένηται; πρῶτον μὲν οἱ σύμμαχοι μὴ
φρουραῖς ἀλλὰ τῷ τὰ αὐτὰ συμφέρειν ὑμῖν [q] κἀκείνοις
ὦσιν οἰκεῖοι, ἔπειθ᾽ οἱ στρατηγοὶ μὴ ξένους ἔχοντες [r] τοὺς
μὲν συμμάχους ἄγωσι καὶ φέρωσι, τοὺς δὲ πολεμίους
μηδ᾽ ὁρῶσιν, ἀφ᾽ ὧν αἱ μὲν ὠφέλειαι τούτων εἰσὶν ἴδιαι, 168
τὰ δὲ μίση καὶ τὰ ἐγκλήματα ἐφ᾽ ὅλην ἔρχεται τὴν πό-
λιν, ἀλλὰ πολίτας τοὺς ἀκολουθοῦντας ἔχοντες τοὺς ἐχ-
8 θρούς, ἃ νῦν τοὺς [s] φίλους, ποιῶσιν. χωρὶς δὲ τούτων
πολλὰ τῶν πραγμάτων τὴν ὑμετέραν ποθεῖ παρουσίαν,
[t] καὶ ἄνευ τοῦ πρὸς τοὺς οἰκείους [u] πολέμους [x] οἰκείᾳ χρῆ-
σθαι δυνάμει [y] συμφέρειν, καὶ πρὸς τὰ ἄλλα πράγματα
ἀναγκαῖόν ἐστιν. εἰ μὲν γὰρ ἡσυχίαν ἔχειν [z] ὑμῖν ἀπέχρη
καὶ μηδὲν τῶν Ἑλληνικῶν περιεργάζεσθαι ὅπως ἔχει,
9 ἄλλος ἂν ἦν λόγος· [a] νῦν δὲ πρωτεύειν μὲν [b] ἀξιοῦτε καὶ
τὰ δίκαια ὁρίζειν τοῖς ἄλλοις, τὴν δὲ ταῦτα [c] ἐποπτεύ-
σουσαν καὶ φυλάξουσαν δύναμιν οὔτε κατεσκεύασθε
οὔτε [d] κατασκευάζεσθε, ἀλλ᾽ ἐπὶ πολλῆς μὲν ἡσυχίας καὶ
[e] ἠρεμίας ὑμῶν ὁ [f] Μυτιληναίων δῆμος καταλέλυται, ἐπὶ
πολλῆς δ᾽ ἡσυχίας ὁ Ῥοδίων, ἐχθρός [g] γε ὢν ἡμῖν, φαίη
τις ἄν· ἀλλὰ μείζω χρὴ νομίζειν, ὦ ἄνδρες Ἀθηναῖοι,
τὴν πρὸς τὰς ὀλιγαρχίας ὑπὲρ αὐτῆς τῆς προαιρέσεως

[q] κἀκείνοις] τε κἀκείνοις F. Y. O. v.
[r] τοὺς μὲν συμμάχους in margine Y.
[s] φίλους] συμμάχους καὶ φίλους F. Y. O. v.
[t] καὶ ἄνευ] ἄνευ γὰρ F. Y. O. v.
[u] πολέμους] πολέμου F. S. Y. O. v.
[x] οἰκείᾳ χρῆσθαι in margine S.
[y] συμφέρειν] συμφέρει Y.
[z] ὑμῖν] ἡμῖν (ὑ supra) S.
[a] νῦν] νυνὶ Y.
[b] ἀξιοῦτε] ὑμεῖς ἀξιοῦτε S. et γρ. F.
[c] ἐποπτεύσουσαν] ἐποπτεύουσαν v. et γρ. S. ἐφεδρεύουσαν S. ἐφεδρεύσουσαν γρ. F. ἐφοδεύσουσαν γρ. Y.
[d] κατασκευάζεσθε] κατασκευάζεσθε (π ρ supra) F. παρασκευάζεσθε v.
[e] ἠρεμίας Y. et γρ. F. vulg. ἐρημίας.
[f] Μυτιληναίων S. ceteri μιτυληναίων.
[g] γε ὢν ἡμῖν] γ᾽ ἡμῶν γρ. F. S.

10 ἔχθραν ἢ τὴν πρὸς τοὺς δήμους ὑπὲρ ὧν ποτ' ἂν ᾖ. ἀλλ'
ἵν' ἐκεῖσε ἐπανέλθω, φημὶ δεῖν [h] ὑμᾶς συντετάχθαι, καὶ
τὴν αὐτὴν τοῦ τε λαβεῖν καὶ τοῦ ποιεῖν ἃ προσήκει σύν-
ταξιν εἶναι. διελέχθην δ' ὑμῖν περὶ τούτων καὶ πρότερον,
καὶ διεξῆλθον ὡς ἂν συνταχθείητε, οἵ θ' ὁπλῖται καὶ οἱ
ἱππεῖς καὶ ὅσοι τούτων ἐκτός ἐστε, καὶ εὐπορία τις ἂν
11 ἅπασι γένοιτο κοινή. ὃ δέ μοι πλείστην ἀθυμίαν [i] παρέ-
σχεν ἁπάντων, ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι,
ὅτι πολλῶν καὶ [k] καλῶν καὶ μεγάλων ὄντων τούτων
ἁπάντων τῶν μὲν ἄλλων οὐδενὸς οὐδεὶς μέμνηται, τοῖν 169
δυοῖν δ' ὀβολοῖν ἅπαντες. καίτοι τοὺς μὲν οὐκ ἔστι
πλείονος ἢ δυοῖν ὀβολοῖν ἀξίους εἶναι, [l] τὰ δ' ἄλλα, [m] ἃ
μετὰ τούτων [n] εἶπον, [o] τῶν βασιλέως ἄξιά ἐστι χρημά-
των, πόλιν τοσούτους ὁπλίτας ἔχουσαν καὶ τριήρεις καὶ
[p] ἱππέας καὶ χρημάτων πρόσοδον συντετάχθαι καὶ παρε-
σκευάσθαι.

12 Τί οὖν, φαίη τις ἄν, [q] ταῦτα νῦν λέγω; ὅτι φημὶ δεῖν
ὑμᾶς, ἐπειδὴ τὸ μὲν [r] πάντας μισθοφορεῖν δυσχεραίνουσί
τινες, τὸ δὲ [s] συνταχθῆναι καὶ παρασκευασθῆναι παρὰ
πάντων χρήσιμον εἶναι δοκιμάζεται, ἐντεῦθεν ἄρξασθαι
τοῦ πράγματος, καὶ [t] προθεῖναι περὶ τούτων τῷ βουλο-
μένῳ γνώμην ἀποφήνασθαι. [u] ὡς οὕτως ἔχει· ἐὰν μὲν
ὑμεῖς νῦν πεισθῆτε τούτων καιρὸν εἶναι [x] νομίσαντες, ὅταν
[y] αὐτῶν εἰς χρείαν ἔλθητε, ἕτοιμα ὑπάρξει· ἐὰν δ' ἀκαι-

[h] ὑμᾶς] ἡμᾶς F. Y. v.
[i] παρέσχεν ἁπάντων] ἁπάντων παρέσχηκεν F. Y. O. v.
[k] καλῶν καὶ μεγάλων] μεγάλων καὶ καλῶν S.
[l] τὰ δ' ἄλλα] τἆλλα δὲ S. et γρ. F.
[m] ἃ om. S. O. et γρ. F.
[n] εἶπον] ἂν εἶπον F. S. Y. O. v.
[o] τῶν om. F. Y. O. v.
[p] ἱππέας] ἵππους S. ceteri ἵππους.
[q] ταῦτα νῦν ante φαίη ponit S.
[r] πάντας S. ceteri ἅπαντας.
[s] συνταχθῆναι] συναχθῆναι O.
[t] προθεῖναι] προσθεῖναι O.
[u] ὡς om. pr. v.
[x] νομίσαντες om. S.
[y] αὐτῶν post χρείαν ponunt F. Y. O. v.

ρίαν ἡγησάμενοι παρίδητε, ὅταν δέῃ χρῆσθαι, τότ' ἀναγκασθήσεσθε παρασκευάζεσθαι.

13 Ἤδη δέ τις εἶπεν ὦ ἄνδρες Ἀθηναῖοί που λέγων, οὐχ ὑμῶν τῶν πολλῶν, ἀλλὰ τῶν διαῤῥηγνυμένων εἰ ταῦτα γενήσεται, "τί δ' ἡμῖν ἀπὸ τῶν Δημοσθένους λόγων "ἀγαθὸν γέγονεν; [z] παρελθὼν [a] ἡμῶν, ὅταν αὐτῷ δόξῃ, "ἐνέπλησε τὰ ὦτα λόγων, καὶ διέσυρε τὰ παρόντα, καὶ "τοὺς προγόνους [b] ἐπῄνεσε, καὶ μετεωρίσας καὶ φυσήσας
14 "ἡμᾶς κατέβη." ἐγὼ δ' εἰ μὲν ὑμᾶς δυναίμην ὧν λέγω τι πεῖσαι, τηλικαῦτ' ἂν οἶμαι τὴν πόλιν πρᾶξαι ἀγαθά, ὥστ' εἰ [c] νῦν εἰπεῖν ἐπιχειρήσαιμι, πολλοὺς ἂν ἀπιστῆσαι ὡς μείζοσιν ἢ δυνατοῖς· οὐ μὴν οὐδὲ τοῦτο μικρὸν ὠφελεῖν
15 οἴομαι, εἰ τὰ βέλτιστα ἀκούειν ὑμᾶς συνεθίζω. δεῖ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν βουλόμενόν τι ποιῆσαι τὴν πόλιν 170 [d] ὑμῶν ἀγαθὸν τὰ ὦτα πρῶτον ὑμῶν ἰάσασθαι· διέφθαρται γάρ· οὕτω πολλὰ καὶ ψευδῆ καὶ πάντα μᾶλλον ἢ τὰ βέλτιστα ἀκούειν συνείθισθε. οἷον (ὅπως [e] δὲ μὴ [f] θορυβήσει μοι μηδείς, πρὶν [g] ἂν ἅπαντα εἴπω) ἀνέῳξαν [h] δήπου πρῴην τινὲς τὸν ὀπισθόδομον. οὐκοῦν οἱ παριόντες ἅπαντες τὸν δῆμον καταλελύσθαι, τοὺς νόμους [i] οὐκέτ'
16 εἶναι. τοιαῦτα ἔλεγον. καίτοι ὦ ἄνδρες Ἀθηναῖοι (καὶ [k] σκοπεῖτε, ἂν ἀληθῆ λέγω) οἱ μὲν ταῦτα ποιοῦντες ἄξια ἐποίουν θανάτου, ὁ δῆμος δ' οὐ διὰ τούτων καταλύεται. πάλιν κώπας τις ὑφείλετο· μαστιγοῦν, στρεβλοῦν πάντες [l] ἐβόων, λέγοντες [m] τὸν δῆμον καταλύεσθαι. ἐγὼ δὲ

[z] παρελθὼν] ὃς παρελθὼν v. et rec. S. O. et γρ. F. Y.

[a] ἡμῶν] ἡμῶν (ὑ superscr.) S. ὑμῶν v.

[b] ἐπῄνεσε] ἐπαινέσας F. Y. O. v.

[c] νῦν εἰπεῖν] λέγειν νῦν F. Y. O. v.

[d] ὑμῶν] ἡμῶν F. S. O.

[e] δὲ om. pr. S.

[f] θορυβήσει] θορυβήσῃ F. Y. O. v.

[g] ἂν] ἢ O. om. F. v. et pr. Y.

[h] δήπου post πρῴην ponunt F. Y. O. v.

[i] οὐκέτ'] οὐκ S.

[k] σκοπεῖτε] σκοπεῖσθε v.

[l] ἐβόων] οἱ S.

[m] τὸν δῆμον καταλύεσθαι] καταλύεσθαι τὸν δῆμον F. Y. O. v.

τί φημί; τὸν μὲν ὑφαιρούμενον θανάτου ποιεῖν ἄξια ὥσ-
περ ἐκεῖνοι, τὸν δῆμον δ' οὐ διὰ τούτων καταλύεσθαι.
17 ἀλλὰ πῶς καταλύεται, οὐδεὶς λέγει οὐδὲ παῤῥησιά-
ζεται. ἐγὼ δὲ φράσω· ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι,
φαύλως ἡγμένοι πολλοὶ καὶ ἄποροι καὶ ἄοπλοι καὶ
ἀσύντακτοι [n] καὶ μὴ τὰ αὐτὰ γιγνώσκοντες ἦτε, καὶ μήτε
στρατηγὸς μήτ' ἄλλος μηδεὶς ὧν ἂν ὑμεῖς ψηφίσησθε
φροντίζῃ, καὶ ταῦτα μηδεὶς λέγειν ἐθέλῃ μηδ' [o] ἐπανορ-
θοῖ, μηδ' [p] ὅπως παύσεται τοιαῦτα ὄντα πράττῃ, ὃ [q] νυνὶ
18 συμβαίνει. καὶ νὴ [r] Δία, ὦ ἄνδρες Ἀθηναῖοι, ἕτεροί γε
λόγοι παρεῤῥυήκασι πρὸς ὑμᾶς ψευδεῖς, καὶ πολλὰ τὴν
πολιτείαν βλάπτοντες, οἷον ἐν τοῖς δικαστηρίοις [s] ὑμῖν
ἐστὶν ἡ σωτηρία, καὶ δεῖ τῇ ψήφῳ τὴν πολιτείαν ὑμᾶς
φυλάττειν. ἐγὼ δ' οἶδ' ὅτι ταῦτα μὲν ὑμῖν τὰ δικαστή-
ρια τῶν πρὸς ἀλλήλους δικαίων ἐστὶ κοινά, ἐν δὲ τοῖς 171
ὅπλοις δεῖ κρατεῖν τῶν ἐχθρῶν, καὶ διὰ τούτων ἐστὶν ἡ
19 σωτηρία τῆς πολιτείας· οὐ γὰρ τὸ ψηφίσασθαι [t] τοῖς ἐν
τοῖς ὅπλοις ποιήσει [u] τὸ νικᾷν, ἀλλ' οἱ μετὰ τούτων κρα-
τοῦντες τοὺς ἐχθροὺς καὶ [x] ψηφίζεσθαι καὶ ἄλλο ὅ τι
[y] βούλεσθε ποιεῖν [z] ὑμῖν ἐξουσίαν καὶ ἄδειαν [a] παρασκευ-
άζουσι· δεῖ γὰρ ἐν μὲν τοῖς ὅπλοις φοβερούς, ἐν δὲ τοῖς
δικαστηρίοις φιλανθρώπους εἶναι.
20 Εἰ δέ τῳ δοκῶ μείζους ἢ κατ' ἐμαυτὸν λέγειν λόγους,
αὐτὸ τοῦτο ὀρθῶς [b] αὐτῶν ἔχει· τὸν γὰρ ὑπὲρ τηλικαύτης

[n] καὶ post ἀσύντακτοι om. Y.O.
[o] ἐπανορθοῖ] ἐπανορθοῦν Y. O. v.
[p] ὅπως παύσεται] πῶς παύσετε S.
[q] νυνὶ] νῦν ἀεὶ S.
[r] Δία] δια γε S.
[s] ὑμῖν] ἡμῖν O.
[t] τοῖς] τοὺς O.
[u] τὸ om. O. v. expungit F. in γρ. habet Y.
[x] ψηφίζεσθαι] ψηφίσασθαι F.Y.O. v.
[y] βούλεσθε] ἂν βούλησθε S.
[z] ὑμῖν] ὑμᾶς F. Y. O. v.
[a] παρασκευάζουσι F.Y.O.v. vulg. παρασκευάσουσι.
[b] αὐτῶν ἔχει S. ἔχει αὐτῷ δοκῶ pr. F. ἔχειν αὐτῷ δοκῶ Y. O. v.

πόλεως ῥηθησόμενον λόγον καὶ τοιούτων πραγμάτων παντὸς ἑνὸς τοῦ λέγοντος ἀεὶ μείζω φαίνεσθαι δεῖ, καὶ τῆς ἀξίας τῆς ὑμετέρας ἐγγὺς εἶναι, μὴ τῆς τοῦ λέγοντος. ὅτι δ' οὐδεὶς τῶν ὑφ' ὑμῶν τιμωμένων [c] ταῦτα λέγει, τὰς
21 προφάσεις ἐγὼ διέξειμι ὑμῖν. οἱ μὲν πρὸς [d] ἀρχαιρεσίας καὶ ταύτην τὴν τάξιν προσιόντες δοῦλοι τῆς [e] ἐπὶ τῷ χειροτονεῖσθαι χάριτος περιέρχονται, τελεσθῆναι στρατηγὸς ἕκαστος σπουδάζων, οὐκ ἀνδρὸς ἔργον οὐδὲν πρᾶξαι. εἰ δέ τις καὶ τοιοῦτός ἐστιν οἷος ἐγχειρεῖν ἔργῳ τῳ, νῦν μὲν ἡγεῖται τὴν τῆς πόλεως δόξαν ἀφορμὴν ἔχων καὶ τοὔνομα, τῆς τῶν ἐναντιωσομένων ἐρημίας ἀπολαύων, τὰς ἐλπίδας ὑμῖν ὑποτείνων, ἄλλο δ' οὐδέν, κληρονομήσειν αὐτὸς τῶν ὑμετέρων ἀγαθῶν, ὅπερ ἐστίν, ἂν δ' ὑμεῖς δι' ὑμῶν αὐτῶν ἕκαστα πράττητε, [f] τὸ ἴσον τοῖς ἄλλοις ὥσπερ τῶν ἔργων [g] αὐτῶν, οὕτω καὶ [h] τῶν ἐκ τούτων ἕξειν.
22 οἱ δὲ πολιτευόμενοι καὶ περὶ ταῦτ' ὄντες, τὸ τὰ βέλτιστα
[i] λέγειν ὑμῖν ἀφέντες, προσκεχωρήκασι πρὸς τούτους· καὶ 172
πρότερον μὲν κατὰ συμμορίας εἰσεφέρετε, [k] νῦν δὲ πολιτεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμών, καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοησόμενοι μεθ' ἑκατέρων [l] τριακόσιοι· οἱ δ' ἄλλοι προσνενέμησθε οἱ μὲν ὡς τούτους, οἱ δ' ὡς
23 ἐκείνους. τοιγαροῦν ὑμῖν περίεστιν ἐκ τούτων ὁ δεῖνα χαλκοῦς καὶ ὁ δεῖν' εὐδαίμων, εἷς ἢ δύο, ὑπὲρ τὴν πόλιν· οἱ δ' ἄλλοι μάρτυρες τῆς τούτων εὐδαιμονίας κάθησθε, τῆς καθ' ἡμέραν ῥᾳθυμίας πολλὴν καὶ μεγάλην ὑπάρχουσαν ὑμῖν εὐδαιμονίαν τούτοις [m] προέμενοι.

[c] ταῦτα] ταύτας F. S. Y. O. v.
[d] ἀρχαιρεσίας] ἀρχαιρεσίαν (ς supra) F.
[e] ἐπὶ τῷ] ἐπὶ τὸ F. Y. O. v.
[f] τὸ ante ἴσον om. S.
[g] αὐτῶν om. F. Y. O. v.
[h] τῶν ἐκ] τοις (ων supra) ἐκ F. τοῖς ἐκ v.
[i] λέγειν] σκοπεῖν S. et γρ. F.
[k] νῦν] νυνὶ S.
[l] τριακόσιοι om. S.
[m] προέμενοι] προϊέμενοι S.

24 Καίτοι σκέψασθε [n] ὅπως ἐπὶ τῶν προγόνων ταῦτ᾽ εἶ-
χεν· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν παραδείγμασι χρησαμένοις,
ἀλλ᾽ οἰκείοις ἔξεσθ᾽ ἃ προσήκει πράττειν εἰδέναι. ἐκεῖνοι
Θεμιστοκλέα τὸν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν [o] στρατη-
γοῦντα καὶ Μιλτιάδην τὸν ἡγούμενον [p] Μαραθῶνι καὶ
πολλοὺς ἄλλους, οὐκ ἴσα τοῖς νῦν στρατηγοῖς ἀγαθὰ
εἰργασμένους, μὰ Δί᾽ οὐ χαλκοῦς ἵστασαν [q] οὐδ᾽ ὑπερη-
γάπων, ἀλλ᾽ ὡς οὐδὲν αὑτῶν κρείττους ὄντας, [r] οὕτως ἐτί-
25 μων. καὶ γάρ τοι τῶν ἔργων οὐδενός ὦ ἄνδρες Ἀθηναῖοι
τῶν τότ᾽ ἀπεστέρησαν ἑαυτούς, οὐδ᾽ ἔστιν οὐδεὶς ὅστις ἂν
[s] εἴποι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Θεμιστοκλέους, ἀλλ᾽
Ἀθηναίων, οὐδὲ τὴν ἐν Μαραθῶνι μάχην Μιλτιάδου, ἀλλὰ
τῆς πόλεως. νῦν δὲ [t] πολλοὶ τοῦτο λέγουσιν, ὡς Κέρκυραν
εἷλε Τιμόθεος καὶ τὴν μόραν κατέκοψεν Ἰφικράτης καὶ
τὴν περὶ Νάξον [u] ναυμαχίαν ἐνίκα Χαβρίας· δοκεῖτε γὰρ
αὐτοὶ τῶν ἔργων τούτων παραχωρεῖν τῶν τιμῶν ταῖς ὑπερ-
26 βολαῖς, [x] ἃς δεδώκατε [y] ἐπ᾽ αὐτοῖς ἑκάστῳ τούτων. τὰς 173
μὲν δὴ [z] πολιτικὰς δωρεὰς [a] οὕτως ἐκεῖνοί τε καλῶς [b] ἔνε-
μον καὶ ὑμεῖς οὐκ ὀρθῶς· τὰς δὲ τῶν ξένων πῶς; ἐκεῖνοι
Μένωνι τῷ Φαρσαλίῳ δώδεκα μὲν τάλαντα ἀργυρίου
δόντι πρὸς τὸν ἐπ᾽ Ἠϊόνι τῇ πρὸς Ἀμφιπόλει πόλεμον,
διακοσίοις δ᾽ ἱππεῦσι πενέσταις ἰδίοις βοηθήσαντι, οὐκ
27 ἐψηφίσαντο πολιτείαν, ἀλλ᾽ ἀτέλειαν ἔδωκαν μόνον. καὶ
πρότερον τούτου Περδίκκᾳ τῷ κατὰ τὴν τοῦ βαρβάρου

[n] ὅπως] πῶς S.

[o] στρατηγοῦντα S. et γρ. Y. ceteri στρατηγήσαντα.

[p] Μαραθῶνι] ἐν μαραθῶνι F. Y. O. v.

[q] οὐδ᾽ ὑπερηγάπων om. S.

[r] οὕτως in margine Y. om. F. O. v.

[s] εἴποι] εἴπῃ correctus v.

[t] πολλοὶ] οἱ πολλοὶ F. Y.

[u] ναυμαχίαν ἐνίκα] ἐνίκα ναυμαχίαν F. Y. O. v.

[x] ἃς] αἷς S.

[y] ἐπ᾽ om. S. et γρ. Y.

[z] πολιτικὰς] πολιτείας Y. O.

[a] οὕτως om. O. v. in γρ. habent F. Y.

[b] ἔνεμον om. S.

ποτὲ ἐπιστρατείαν βασιλεύοντι Μακεδονίας, τοὺς ἀναχωροῦντας ἐκ [c]Πλαταιῶν τῶν βαρβάρων [d]ἀπὸ τῆς ἥττης διαφθείραντι καὶ τέλειον [e]τἀτύχημα ποιήσαντι τῷ βασιλεῖ, οὐκ ἐψηφίσαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν μόνον, μεγάλην, [f]οἶμαι, καὶ [g]τιμίαν καὶ σεμνὴν τὴν αὑτῶν πατρίδα ἡγούμενοι καὶ πάσης μείζονα εὐεργεσίας. νῦν δ' ὦ ἄνδρες Ἀθηναῖοι φθόρους ἀνθρώπους οἰκοτρίβων οἰκότριβας, τιμὴν ὥσπερ ἄλλου [h]του τῶν ὠνίων λαμβάνοντες,

28 ποιεῖσθε πολίτας. ταῦτα δ' ὑμῖν ἐπελήλυθε πράττειν οὐχ ὅτι τὰς φύσεις [i]χείρους ἐστὲ τῶν προγόνων, ἀλλ' ὅτι τοῖς μὲν ἐφ' ἑαυτοῖς [k]παρειστήκει μέγα φρονεῖν, ὑμῶν δ' ὦ ἄνδρες Ἀθηναῖοι περιῄρηται τοῦτο. ἔστι δ' οὐδέποτ', οἶμαι, δυνατὸν μικρὰ καὶ φαῦλα πράττοντας μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, ὥσπερ οὐδὲ λαμπρὰ καὶ καλὰ πράττοντας μικρὸν καὶ ταπεινὸν φρονεῖν· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, [l]τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημ' ἔχειν.

29 Σκέψασθε δέ, ἅ τις κεφάλαια ἂν [m]ἔχοι εἰπεῖν [n]περὶ τῶν τε ἐκείνοις πεπραγμένων καὶ τῶν ὑμῖν, ἂν ἄρ' ὑμῶν αὐτῶν [o]ἀλλ' ἐκ τούτων γε [p]δύνησθε γενέσθαι [q]κρείττους. 174
πέντε μὲν [r]τοίνυν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν [s]ἑκόντων ἐκεῖνοι, πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν

[c] Πλαταιῶν] πλαταιέων F. Y. v.
[d] ἀπὸ] ἐπὶ v.
[e] τἀτύχημα] ἀτύχημα pr. S.
[f] οἶμαι ante καὶ σεμνὴν ponunt S. Y. O.
[g] τιμίαν] τιμίαν F. τίμιον Y. O.
[h] του] τινος F. Y. O. v.
[i] χείρους ἐστὲ] ἐστε χείρους F. Y. O. v.
[k] παρειστήκει] παρέστηκε F. Y. O. v.
[l] τοιοῦτον] τοιοῦτο F. τοιοῦτο Y.
[m] Post ἔχοι cum F. Y. O. v. omisi τῶν πραγμάτων.
[n] περὶ] ἵν' ἀκούσαντες S.
[o] ἀλλ' addidit S.
[p] δύνησθε S. et correcti Y. v. vulg. δυνήσεσθε.
[q] κρείττους] βελτίους F. Y. O. v.
[r] τοίνυν om. S.
[s] ἑκόντων ἐκεῖνοι] ἐκεῖνοι ἑκόντων v.

ἀκρόπολιν [t] ἀνήγαγον, πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ
ναυμαχοῦντες ἔστησαν τρόπαια, ἐφ' οἷς ἔτι καὶ [u] νῦν φι-
λοτιμούμεθα. καίτοι [x] ταῦτα νομίζετε αὐτοὺς στῆσαι
οὐχ ἵνα θαυμάζωμεν [y] μόνον ἡμεῖς [z] αὐτὰ θεωροῦντες, ἀλλ'
30 ἵνα καὶ μιμώμεθα τὰς τῶν ἀναθέντων ἀρετάς. ἐκεῖνοι
μὲν δὴ ταῦτα· ἡμεῖς δ', ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας
ἐπειλημμένοι, σκέψασθε εἰ παραπλήσια. οὐ πλείω μὲν
ἢ χίλια καὶ πεντακόσια τάλαντα [a] ἀνήλωται μάτην εἰς
τοὺς τῶν [b] [c] Ἑλλήνων [c] ἀπόρους; [d] ἐξανήλωνται δὲ οἵ τε
ἴδιοι πάντες οἶκοι [e] καὶ τὰ κοινὰ τῇ πόλει καὶ [f] τὰ παρὰ
τῶν συμμάχων; οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτη-
31 σάμεθα, οὗτοι νῦν ἐν τῇ εἰρήνῃ ἀπολώλασιν; ἀλλὰ νὴ Δία
ταῦτα μόνον τότ' εἶχε βέλτιον ἢ νῦν, τὰ δ' ἄλλα χεῖρον.
πολλοῦ γε καὶ δεῖ, [g] ἀλλ' ὅ τι βούλεσθε, ἐξετάσωμεν.
οἰκοδομήματα μέν γε καὶ κόσμον τῆς πόλεως [h] καὶ ἱερῶν
καὶ λιμένων καὶ τῶν ἀκολούθων τούτοις τοιοῦτον καὶ το-
σοῦτον [i] κατέλιπον ἐκεῖνοι, ὥστε μηδενὶ τῶν [k] ἐπιγιγνομένων
ὑπερβολὴν λελεῖφθαι, προπύλαια ταῦτα, [l] ὁ παρθενών,
νεώσοικοι, στοαί, τἆλλα, οἷς ἐκεῖνοι κοσμήσαντες τὴν πό-
32 λιν ἡμῖν [m] παρέδοσαν· τὰς [n] δ' ἰδίας οἰκίας τῶν ἐν δυνά-
μει γενομένων οὕτω μετρίας καὶ τῷ τῆς [o] πολιτείας ὀνό-
ματι ἀκολούθους, ὥστε τὴν Θεμιστοκλέους καὶ τὴν Κί-

[t] ἀνήγαγον] συνήγαγον (corr. ἀν) F. συνήγαγον Y. O. v.

[u] νῦν] νῦν ἡμεῖς S.

[x] ταῦτα post αὐτοὺς ponit S.

[y] μόνον om. S.

[z] αὐτὰ θεωροῦντες] θεωροῦντες αὐτὰ S.

[a] ἀνήλωται] ἀνήλωται (corr.) F.

[b] Ἑλλήνων] ἄλλων ἑλλήνων rec. S. et γρ. F.

[c] ἀπόρους] ἀποστόλους margo Y. et γρ. F.

[d] ἐξανήλωνται] ἐξανήλωνται (corr.) F.

[e] καὶ τὰ κοινὰ om. S.

[f] τὰ ante παρὰ om. O.

[g] ἀλλ' ὅ τι] ἀλλὰ τί F. v.

[h] καὶ ante ἱερῶν om. F. S. Y. O. v.

[i] κατέλιπον] κατέλειπον S.

[k] ἐπιγιγνομένων] γιγνομένων pr. S.

[l] ὁ παρθενών om. F. S. Y. O. v.

[m] παρέδοσαν γρ. Y. παρέδωκαν (corr. οσ) F. vulg. παρέδωκαν.

[n] δ' om. pr. Y.

[o] πολιτείας] πόλεως F. v. et pr. Y.

μωνος καὶ τὴν Ἀριστείδου [p] καὶ Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις ἄρ' [q] οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, 175
33 ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. νῦν δ', ὦ ἄνδρες Ἀθηναῖοι, δημοσίᾳ μὲν ἡ πόλις ἡμῶν τὰς ὁδοὺς ἀγαπᾷ [r] κατασκευάζουσα καὶ κρήνας καὶ κονιάματα καὶ λήρους (καὶ οὐ τοῖς εἰσηγησαμένοις [s] ταῦτ' ἐπιτιμῶ, πολλοῦ γε καὶ δέω, ἀλλ' [t] ὑμῖν, εἰ ταῦτα ἱκανὰ ὑμῖν αὐτοῖς ὑπολαμβάνετε εἶναι [u] διοικεῖν), ἰδίᾳ [x] δ' οἱ τῶν κοινῶν ἐπί τῳ γεγενημένοι οἱ μὲν τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας τὰς ἰδίας οἰκίας κατεσκευάκασιν, οὐ μόνον τῶν πολλῶν ὑπερηφανωτέρας, οἱ δὲ γῆν συνεωνη-
34 μένοι γεωργοῦσιν, ὅσην οὐδ' ὄναρ ἤλπισαν πώποτε. τούτων δ' αἴτιον [y] ἁπάντων ὅτι τότε μὲν ὁ δῆμος δεσπότης ἦν καὶ κύριος ἁπάντων, καὶ ἀγαπητὸν ἦν παρ' ἐκείνου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινὸς μεταλαμβάνειν· [z] νῦν δὲ τοὐναντίον κύριοι μὲν τῶν ἀγαθῶν οὗτοι, καὶ διὰ τούτων ἅπαντα [a] πράττεται, ὁ δὲ δῆμος ἐν ὑπηρέτου καὶ προσθήκης μέρει, καὶ ὑμεῖς ἀγαπᾶτε [b] ἃ ἂν [c] οὗτοι μεταδιδῶσι λαμβάνοντες.

35 Τοιγαροῦν ἐκ τούτων τοιαῦτα τὰ πράγματα τῆς πόλεώς ἐστιν, ὥστε εἴ τις ἀναγνοίη τὰ ψηφίσματα ὑμῶν καὶ τὰς πράξεις ἐφεξῆς διέλθοι, οὐδ' ἂν εἷς [d] πιστεύσειε τῶν αὐτῶν εἶναι ταῦτα κἀκεῖνα. οἷον ἃ πρὸς τοὺς καταράτους Μεγαρέας ἐψηφίσασθε ἀποτεμνομένους τὴν ὀργάδα, ἐξιέναι, κωλύειν, μὴ [e] ἐπιτρέπειν· ἃ πρὸς Φλια-

[p] καὶ Μιλτιάδου om. F. S. O.
[q] οἶδεν ὑμῶν] ὑμῶν οἶδεν S.
[r] κατασκευάζουσα] καὶ κατασκευάζουσα O.
[s] ταῦτ'] τοῦτ' S.
[t] ὑμῖν om. O. expungit Y.
[u] διοικεῖν in γρ. S.
[x] δ' οἱ] δὲ pr. S.
[y] ἁπάντων—δεσπότης ἦν S. vulg. πάντων—ἦν δεσπότης.
[z] νῦν] νυνὶ F. v.
[a] πράττεται om. F.
[b] ἃ ἂν S. et γρ. F. vulg. ἄν τι.
[c] οὗτοι S. ceteri αὐτοί.
[d] πιστεύσειε] πιστεύσαι S.
[e] ἐπιτρέπειν—μὴ om. pr. S.

σίους, ὅτε ἐξέπεσον [f]τὸ ἔναγχος, βοηθεῖν, μὴ ἐπιτρέπειν
τοῖς σφαγεῦσι, τῶν ἐν Πελοποννήσῳ τοὺς βουλομένους
36 παρακαλεῖν. ἅπαντα καλὰ ὦ ἄνδρες Ἀθηναῖοι ταῦτα
καὶ δίκαια καὶ τῆς πόλεως ἄξια· τὰ ἔργα δὲ [g]τὰ ἀπὸ 176
τούτων [h]οὐδαμοῦ. οὐκοῦν τὴν μὲν ἀπέχθειαν διὰ τῶν ψη-
φισμάτων [i]ἐκφέρεσθε, τῶν δ' ἔργων οὐδενὸς κύριοι γίγ-
νεσθε· τὰ μὲν γὰρ ψηφίσματα πρὸς τὸ τῆς πόλεως ἀξί-
ωμα ψηφίζεσθε, τὴν δύναμιν δ' οὐκ ἀκόλουθον ὧν ψηφί-
37 ζεσθε ἔχετε. ἐγὼ δὲ παραινέσαιμ' ἂν ὑμῖν (καί μοι
[k]μηδεὶς ὀργισθῇ) [l]ἔλαττον φρονεῖν καὶ τὰ ὑμέτερα αὐτῶν
ἀγαπᾷν πράττοντας, ἢ μείζω δύναμιν παρασκευάζε-
σθαι. εἰ μὲν οὖν Σιφνίοις ἢ Κυθνίοις ἤ τισιν ἄλλοις τοι-
ούτοις οὖσι συνῄδειν ὑμῖν, ἔλαττον φρονεῖν συνεβούλευον ἄν,
ἐπειδὴ δ' ἔστ' Ἀθηναῖοι, τὸ τὴν δύναμιν [m]παρασκευάσα-
σθαι παραινῶ· αἰσχρὸν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, αἰσχρὸν
λιπεῖν τὴν τοῦ φρονήματος τάξιν, ἣν ὑμῖν οἱ πρόγονοι παρ-
38 έδωκαν. πρὸς δὲ τούτοις οὐδ' ἔστιν ἐφ' ὑμῖν, οὐδ' [n]ἂν
ἀποστῆναι τῶν Ἑλληνικῶν βούλησθε· πολλὰ γὰρ ὑμῖν
ἐκ παντὸς τοῦ χρόνου πέπρακται, καὶ τοὺς μὲν φίλους
τοὺς ὑπάρχοντας αἰσχρὸν προέσθαι, τοῖς δ' οὖσιν ἐχθροῖς
οὐκ ἔνι πιστεῦσαι καὶ μεγάλους ἐᾶσαι γενέσθαι. ὅλως
δ' ὅπερ οἱ πολιτευόμενοι πεπόνθασι πρὸς ὑμᾶς, οὐκ ἔνεστ'
αὐτοῖς, ὅταν βούλωνται, παύσασθαι, τοῦτο καὶ ὑμῖν πε-
ριέστηκε· πεπολίτευσθε γὰρ ἐν τοῖς Ἕλλησιν.

39 Ἔστι δ' ὦ ἄνδρες Ἀθηναῖοι κεφάλαιον ἁπάντων τῶν
εἰρημένων· οὐδέποθ' ὑμᾶς οἱ λέγοντες οὔτε πονηροὺς οὔτε

[f] τὸ ante ἔναγχος om. O. et rec. S. notat Y.
[g] τὰ ante ἀπὸ om. pr. Y.
[h] οὐδαμοῦ] οὐδαμῶς γρ. F.
[i] ἐκφέρεσθε] ἐφέρεσθε O.
[k] μηδεὶς ὀργισθῇ] μηδὲν ὀργισθῇτε S.
[l] ἔλαττον] ἢ ἔλαττον Reiskius.
[m] παρασκευάσασθαι] παρασκευάζεσθαι F. Y. O. v.
[n] ἂν] ἐὰν F. O. v.

χρηστοὺς [o] ποιοῦσιν, ἀλλ' ὑμεῖς τούτους, ὁπότερ' ἂν βού-
λησθε· οὐ γὰρ ὑμεῖς ὧν οὗτοι βούλονται στοχάζεσθε, ἀλλ'
οὗτοι ὧν ἂν ὑμᾶς ἐπιθυμεῖν οἴωνται. ὑμᾶς οὖν ὑπάρξαι
δεῖ χρηστὰ βουλομένους, καὶ πάνθ' ἕξει καλῶς· ἢ γὰρ 177
οὐδεὶς ἐρεῖ φαῦλον οὐδέν, ἢ οὐδὲν αὐτῷ πλέον ἔσται μὴ
ἔχοντι τοὺς πεισομένους.

## ΙΔ.

# ΠΕΡΙ ΤΩΝ ΣΥΜΜΟΡΙΩΝ.

### ΥΠΟΘΕΣΙΣ.

Φήμης γενομένης τὸν Περσῶν βασιλέα παρασκευάζεσθαι στρατεύειν ἐπὶ τοὺς Ἕλληνας, ὁ μὲν τῶν Ἀθηναίων δῆμος [a] κεκίνηται καὶ συγκαλεῖν ὥρμηται τοὺς Ἕλληνας [b] καὶ [c] τὸν πόλεμον ἐκφέρειν ἤδη, ὁ δὲ Δημοσθένης συμβουλεύει μὴ προεξανίστασθαι, ἀλλὰ ἀναμένειν τὸν βασιλέα νεωτερίσαι. νῦν μὲν γάρ, φησίν, οὐ πείσομεν τοὺς Ἕλληνας συμμαχεῖν ἡμῖν, ἐπ' ἀδείας εἶναι δοκοῦντας· τότε δὲ αὐτοὺς ὁ κίνδυνος αὐτὸς [d] συστήσεται. παραινεῖ τοίνυν ἡσυχάζοντας συντάξασθαι καὶ πρὸς τὸν πόλεμον παρασκευάσασθαι, καὶ δὴ καὶ διέξεισιν ὃν τρόπον ἂν συνταχθεῖεν. ὅθεν καὶ περὶ συμμοριῶν ὁ λόγος ἐπιγράφεται· συμμορία γὰρ παρὰ τοῖς Ἀττικοῖς τὸ τῶν λειτουργούντων σύνταγμα.

ΟΙ μὲν ἐπαινοῦντες ὦ ἄνδρες Ἀθηναῖοι τοὺς προγόνους 178
ὑμῶν λόγον εἰπεῖν μοι δοκοῦσι προαιρεῖσθαι κεχαρισμένον,
οὐ μὴν συμφέροντά γ' ἐκείνοις οὓς ἐγκωμιάζουσι ποιεῖν·
περὶ γὰρ πραγμάτων [e] ἐπιχειροῦντες λέγειν, [f] ὧν οὐδ' ἂν
εἷς ἀξίως ἐφικέσθαι τῷ λόγῳ [g] δύναιτο, αὐτοὶ μὲν τοῦ δο-
κεῖν [h] εὖ λέγειν δόξαν ἐκφέρονται, τὴν δ' ἐκείνων ἀρετὴν

[o] ποιοῦσιν—ὁπότερ' S. vulg. ποιήσουσιν—ὁποίους.
[a] κεκίνηται] καὶ κεκίνηται Y.
[b] καὶ om. F.
[c] τὸν πόλεμον] εἰς τὸν πόλεμον F. v.
[d] συστήσει Y. συστήσεται vulg.
[e] ἐπιχειροῦντες] ἐγχειροῦντες S.
[f] ὧν om. pr. S.
[g] δύναιτο ante τῷ ponunt F. Y. O. v.
[h] εὖ] δύνασθαι S.

ἐλάττω τῆς ὑπειλημμένης παρὰ τοῖς ἀκούουσι φαίνεσθαι
2 ποιοῦσιν. ἐγὼ δ' ἐκείνων μὲν ἔπαινον τὸν χρόνον ἡγοῦμαι
μέγιστον [i]εἶναι, οὐ πολλοῦ γεγενημένου μείζω τῶν ὑπ'
ἐκείνων [k]πραχθέντων οὐδένες ἄλλοι [l]παραδείξασθαι δεδύ-
νηνται. αὐτὸς δὲ πειράσομαι τὸν τρόπον εἰπεῖν ὃν ἄν μοι
[m]δοκεῖτε μάλιστα [n]δύνασθαι παρασκευάσασθαι. καὶ γὰρ
οὕτως ἔχει· εἰ μὲν ἡμεῖς ἅπαντες [o]οἱ μέλλοντες λέγειν
δεινοὶ φανείημεν [p]ὄντες, οὐδὲν ἂν τὰ ὑμέτερα εὖ οἶδ' ὅτι
3 βέλτιον σχοίη· εἰ δὲ παρελθὼν εἷς ὁστισοῦν δύναιτο δι-
δάξαι καὶ πεῖσαι τίς παρασκευὴ καὶ πόση καὶ πόθεν
πορισθεῖσα χρήσιμος ἔσται τῇ πόλει, πᾶς ὁ παρὼν φόβος
[q]λελύσεται. [r]ἐγὼ δὲ τοῦτ', ἂν ἄρ' οἷός τε ὦ, πειράσο-
μαι ποιῆσαι, μικρὰ προειπὼν ὑμῖν ὡς ἔχω γνώμης περὶ
τῶν πρὸς [s]βασιλέα.

4 Ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων εἶ-
ναι βασιλέα, οὐ μὴν διὰ [t]τοῦτο παραινέσαιμ' ἂν μόνοις
τῶν ἄλλων ὑμῖν πόλεμον πρὸν αὐτὸν [u]ἄρασθαι· [x]οὐδὲ
γὰρ αὐτοὺς τοὺς Ἕλληνας ὁρῶ κοινοὺς ἀλλήλοις ὄντας 179
φίλους, ἀλλ' ἐνίους μᾶλλον ἐκείνῳ πιστεύοντας ἢ [y]τισιν
αὐτῶν. ἐκ δὴ [z]τούτων τοιούτων ὄντων νομίζω συμφέρειν
ὑμῖν τὴν [a]μὲν ἀρχὴν τοῦ πολέμου ζητεῖν, ὅπως ἴση καὶ [b]δι-
καία γενήσεται, παρασκευάζεσθαι δ' ἃ προσήκει πάντα,

[i] εἶναι om. S.
[k] πραχθέντων] προαχθέντων pr. O.
[l] παραδείξασθαι] παραδέξασθαι F. S. Y. O. v. Conf. Procem. 7.
[m] δοκεῖτε] δοκῆτε correctus v.
[n] δύνασθαι παρασκευάσασθαι] παρεσκευάσθαι F. Y. O. v.
[o] οἱ μέλλοντες in γρ. Y. om. F. O. v.
[p] ὄντες in γρ. Y. om. F. O. v.
[q] λελύσεται S. vulg. λέλυται.
[r] ἐγὼ—βασιλέα om. v.
[s] βασιλέα] τὸν βασιλέα S.
[t] τοῦτο] ταῦτα F. ταῦτα Y. O. v.
[u] ἄρασθαι] αἱρεῖσθαι S.
[x] οὐδὲ] οὐ pr. S.
[y] τισιν αὐτῶν] σφισιν αὐτοῖς F. Y. O. v.
[z] τούτων τοιούτων ὄντων] τῶν τοιούτων S.
[a] μὲν recepi ex S. ἴση καὶ ex eodem et γρ. F.
[b] δικαία] δικαίας O.

5 καὶ τοῦθ' ὑποκεῖσθαι [c] τῇ γνώμῃ. ἡγοῦμαι γὰρ ὦ ἄνδρες
Ἀθηναῖοι τοὺς Ἕλληνας, εἰ μὲν [d] ἐναργές τι [e] γένοιτο καὶ
σαφὲς ὡς βασιλεὺς αὐτοῖς ἐπιχειρεῖ, καὶ [f] συμμαχήσειν
καὶ [g] χάριν μεγάλην [h] ἕξειν τοῖς πρὸ αὐτῶν καὶ μετ' αὐ-
τῶν ἐκεῖνον ἀμυνομένοις· εἰ δ' ἔτι ἀδήλου τούτου καθεστη-
κότος προαπεχθησόμεθα ἡμεῖς, δέδια ὦ ἄνδρες Ἀθηναῖοι
6 μὴ τούτοις μετ' ἐκείνου πολεμεῖν ἀναγκασθῶμεν, ὑπὲρ
[i] ὧν προνοούμεθα. ὁ μὲν γὰρ ἐπισχὼν ὧν ὥρμηκεν, εἰ ἄρ'
ἐγχειρεῖν ἔγνωκε τοῖς Ἕλλησι, χρήματα δώσει τισὶν αὐ-
τῶν καὶ φιλίαν προτενεῖται, οἱ δὲ τοὺς ἰδίους πολέμους
[k] ἐπανορθώσασθαι βουλόμενοι καὶ τοῦτον τὸν νοῦν ἔχοντες
7 τὴν κοινὴν ἁπάντων σωτηρίαν παρόψονται. εἰς δὲ τὴν
[l] ταραχὴν ταύτην καὶ τὴν ἀγνωμοσύνην παραινῶ μὴ προ-
καθεῖναι τὴν πόλιν ἡμῶν. οὐδὲ γὰρ [m] ἀπ' ἴσης ὁρῶ τοῖς
τ' ἄλλοις Ἕλλησι καὶ ὑμῖν [n] περὶ τῶν πρὸς τὸν βασιλέα
τὴν βουλὴν οὖσαν, ἀλλ' ἐκείνων μὲν πολλοῖς ἐνδέχεσθαί
μοι δοκεῖ τῶν ἰδίᾳ τι συμφερόντων διοικουμένοις τῶν ἄλ-
λων Ἑλλήνων ἀμελῆσαι, ὑμῖν δ' οὐδ' ἀδικουμένοις παρὰ
τῶν ἀδικούντων καλόν ἐστι λαβεῖν ταύτην τὴν δίκην, ἐᾶσαί
8 τινας αὐτῶν ὑπὸ τῷ βαρβάρῳ γενέσθαι. [o] ὅτε δ' οὕτω
ταῦτ' ἔχει, [p] σκεπτέον ὅπως μήθ' ἡμεῖς ἐν τῷ πολέμῳ γε-
νησόμεθα οὐκ ἴσοι, μήτ' ἐκεῖνος [q] ὃν ἡμεῖς ἐπιβουλεύειν 180
ἡγούμεθα τοῖς Ἕλλησι, τὴν τοῦ φίλος αὐτοῖς δοκεῖν εἶναι
πίστιν λήψεται. πῶς οὖν ταῦτ' ἔσται; ἂν ἡ μὲν δύνα-

[c] τῇ γνώμῃ om. S.
[d] ἐναργές τι] τι ἐναργὲς F.Y. τοι ἐναργὲς O. v.
[e] γένοιτο] γίγνοιτο S.
[f] συμμαχήσειν] συμμαχῆσαι F. S. Y. O. et pr. v.
[g] χάριν μεγάλην S. vulg. μεγάλην χάριν.
[h] ἕξειν] ἔχειν S.
[i] ὧν] ἂν ὧν v. et rec. margo Y.
[k] ἐπανορθώσασθαι] ἐπανορθῶσαι S.
[l] ταραχὴν] ἀρχὴν F. v. et γρ. Y.
[m] ἀπ'] οὐδὲ ἀπ' S. ἐπ' O. v.
[n] περὶ τῶν om. Y. et pr. O. in γρ. habet F.
[o] ὅτε] ὅτι Y. et pr. O.
[p] σκεπτέον] σκεπτέον χρὴ F. Y. O. v.
[q] ὃν ἡμεῖς] ὃν ἡμῖν S.

μις τῆς πόλεως ἐξητασμένη καὶ παρεσκευασμένη πᾶσιν
ᾖ φανερά, φαίνηται δὲ δίκαια [r]ἐπὶ ταύτῃ φρονεῖν αἱρου-
9 μένη. τοῖς δὲ θρασυνομένοις καὶ σφόδρα ἑτοίμως πολε-
μεῖν κελεύουσιν ἐκεῖνο λέγω, ὅτι οὐκ ἔστι χαλεπὸν οὔθ'
ὅταν βουλεύεσθαι δέῃ, δόξαν ἀνδρίας λαβεῖν, οὔθ' ὅταν
κίνδυνός τις ἐγγὺς ᾖ, δεινὸν εἰπεῖν φανῆναι, ἀλλ' ἐκεῖνο
καὶ χαλεπὸν καὶ προσῆκον, ἐπὶ μὲν τῶν κινδύνων τὴν ἀν-
δρίαν [s]ἐνδείκνυσθαι, ἐν δὲ τῷ συμβουλεύειν φρονιμώτερα
10 τῶν ἄλλων εἰπεῖν ἔχειν. ἐγὼ δ' ὦ ἄνδρες Ἀθηναῖοι [t]νο-
μίζω τὸν μὲν πόλεμον τὸν πρὸς βασιλέα χαλεπὸν τῇ πό-
λει, τὸν δ' ἀγῶνα τὸν ἐκ τοῦ πολέμου [u]ῥᾴδιον ἂν συμ-
βάντα. διὰ τί; ὅτι τοὺς μὲν πολέμους ἅπαντας [x]ἀναγ-
καίως ἡγοῦμαι τριήρων καὶ χρημάτων καὶ τόπων δεῖσθαι,
ταῦτα δὲ πάντα ἀφθονώτερα ἐκεῖνον ἔχοντα ἡμῶν εὑρίσκω·
11 τοὺς δ' ἀγῶνας οὐδενὸς οὕτω τῶν ἄλλων ὁρῶ δεομένους
ὡς [y]ἀνδρῶν ἀγαθῶν, τούτους δ' ἡμῖν καὶ τοῖς μεθ' ἡμῶν
κινδυνεύουσι πλείους ὑπάρχειν νομίζω. τὸν μὲν δὴ πόλε-
μον διὰ ταῦτα παραινῶ μηδ' ἐξ ἑνὸς τρόπου προτέρους
ἀνελέσθαι, ἐπὶ δὲ τὸν ἀγῶν' ὀρθῶς φημὶ παρεσκευασμέν-
12 ους ὑπάρχειν χρῆναι. εἰ μὲν οὖν ἕτερός [z]τις τρόπος ἦν δυ-
νάμεως ᾧ τοὺς βαρβάρους οἷόν τε ἦν [a]ἀμύνασθαι, ἕτερος
δέ τις ᾧ τοὺς Ἕλληνας, εἰκότως ἂν ἴσως φανεροὶ πρὸς
ἐκεῖνον ἐγιγνόμεθ' ἀντιταττόμενοι· ἐπεὶ δὲ πάσης [b]ἐστὶ
παρασκευῆς ὁ αὐτὸς τρόπος καὶ δεῖ τὰ αὐτὰ εἶναι κεφά-
λαια τῆς δυνάμεως, τοὺς ἐχθροὺς ἀμύνασθαι δύνασθαι, 181

[r] ἐπὶ ταύτῃ φρονεῖν αἱρουμένη] φρονεῖν ἐπὶ ταύτῃ τῇ προαιρέσει S.

[s] ἐνδείκνυσθαι S. ceteri ἐπιδείκνυσθαι.

[t] νομίζω om. v. inserto rec. ὁρῶ post δ'.

[u] ῥᾴδιον ἂν συμβάντα] συμβῆναι ῥάιδιον ἂν S.

[x] ἀναγκαίως] ἀναγκαιοῦς F.

[y] ἀνδρῶν ἀγαθῶν] ἀγαθῶν ἀνδρῶν F. Y. O. v.

[z] τις τρόπος ἦν S. ceteri ἦν τις τρόπος.

[a] ἀμύνασθαι om. pr. S.

[b] ἐστὶ παρασκευῆς] παρασκευῆς ἐστὶν F. Y. O. v.

τοῖς οὖσι συμμάχοις βοηθεῖν, τὰ ὑπάρχοντ' ἀγαθὰ σώ-
13 ζειν, τί τοὺς [c]ὁμολογοῦντας ἐχθροὺς ἔχοντες ἑτέρους ζη-
τοῦμεν, [d]ἀλλ' οὐ παρασκευαζόμεθα μὲν πρὸς τούτους,
ἀμυνόμεθα δὲ κἀκεῖνον, ἐὰν [e]ἀδικεῖν ἡμᾶς ἐπιχειρῇ; καὶ
νῦν μὲν καλεῖτε πρὸς ὑμᾶς αὐτοὺς τοὺς Ἕλληνας· ἐὰν δὲ
ἃ κελεύουσιν οὗτοι μὴ ποιῆτε, οὐχ ἡδέως ἐνίων [f]ὑμῖν ἐχόν-
14 των, πῶς χρὴ προσδοκᾷν τινὰ [g]ὑπακούσεσθαι; ὅτι νὴ
Δί' ἀκούσονται παρ' [h]ὑμῶν [i]ὡς ἐπιβουλεύει βασιλεὺς
αὐτοῖς. αὐτοὺς δ' οὐ προορᾷν ὦ πρὸς τοῦ Διὸς οἴεσθε
τοῦτο; ἐγὼ μὲν γὰρ οἴομαι. ἀλλ' οὔπω μείζων [k]οὗτός
ἐσθ' ὁ φόβος τῶν πρὸς ὑμᾶς καὶ πρὸς ἀλλήλους ἐνίοις
διαφορῶν. οὐδὲν οὖν ἀλλ' ἢ ῥαψῳδήσουσιν οἱ πρέσβεις
15 [l]περιιόντες. τότε δέ, ἂν ἄρα ἃ νῦν οἰόμεθ' [m]ἡμεῖς πράτ-
τηται, οὐδεὶς δήπου τῶν [n]πάντων Ἑλλήνων τηλικοῦτον ἐφ'
ἑαυτῷ φρονεῖ, ὅστις ὁρῶν ὑμῖν χιλίους [o]μὲν ἱππέας, ὁπ-
λίτας δὲ ὅσους ἂν [p]ἐθέλῃ τις, ναῦς δὲ τριακοσίας, οὐχ
ἥξει καὶ δεήσεται, μετὰ τούτων ἀσφαλέστατ' ἂν ἡγού-
16 μενος σωθῆναι. οὐκοῦν ἐκ μὲν τοῦ καλεῖν ἤδη τὸ δεῖσθαι
κἂν μὴ τύχητε ἀφαμαρτεῖν, ἐκ δὲ τοῦ μετὰ τοῦ [q]παρ-
εσκευάσθαι τὰ ὑμέτερα αὐτῶν ἐπισχεῖν δεομένους σῴζειν
καὶ εὖ εἰδέναι πάντας ἥξοντάς ἐστιν.
17 Ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτά τε καὶ [r]παρα-

[c] ὁμολογοῦντας] ὁμολογουμένους γρ. F. Y.
[d] ἀλλ' οὐ παρασκευαζόμεθα—τούτους ἀμυνόμεθα] ἀλλὰ παρασκευασώμεθα—αὐτοὺς ἀμυνούμεθα S.
[e] ἀδικεῖν ἡμᾶς] ἡμᾶς ἀδικεῖν S. Y. O.
[f] ὑμῖν] υμῖν F. ὑμῶν pr. S.
[g] ὑπακούσεσθαι] ὑπακούσασθαι F.
[h] ὑμῶν] ἡμῶν F. ἡμῶν Y. O. v.
[i] ὡς] ὅτι F. Y. O. v.
[k] οὗτος om. pr. S.
[l] περιιόντες] περιόντες S.
[m] ἡμεῖς πράττηται] ἡμεῖς πράττητε F. ὑμεῖς πράττητε v.
[n] πάντων—φρονεῖ S. vulg. ἁπάντων—φρονήσει.
[o] μὲν om. S.
[p] ἐθέλῃ] θέλῃ F. O. v.
[q] παρεσκευάσθαι] παρασκευάσασθαι F. Y. O. v.
[r] παραπλήσια] τὰ παραπλήσια Y. O. v.

πλήσια τούτοις [s] λογιζόμενος λόγον μὲν οὐδένα ἐβουλόμην
θρασὺν οὐδ᾽ [t] ἔχοντα μάταιον μῆκος εὑρεῖν· τὴν μέντοι
παρασκευήν, ὅπως [u] ὡς ἄριστα καὶ τάχιστα γενήσεται,
πάνυ πολλὰ πράγματα ἔσχον σκοπῶν. οἶμαι δὴ δεῖν
ἀκούσαντας ὑμᾶς [x] αὐτὴν, [y] ἂν ἀρέσκῃ, [z] ψηφίσασθαι. 182
18 ἔστι τοίνυν πρῶτον μὲν τῆς παρασκευῆς ὦ ἄνδρες Ἀθη-
ναῖοι καὶ μέγιστον οὕτω διακεῖσθαι τὰς γνώμας [a] ὑμᾶς,
ὡς ἕκαστον ἑκόντα προθύμως ὅ τι ἂν δέῃ ποιήσοντα.
ὁρᾶτε γὰρ ὦ ἄνδρες Ἀθηναῖοι ὅτι, ὅσα μὲν πώποθ᾽ ἅπαν-
τες [b] ὑμεῖς [c] ἠβουλήθητε καὶ μετὰ ταῦτα τὸ πράττειν
αὐτὸς ἕκαστος ἑαυτῷ προσήκειν ἡγήσατο, οὐδὲν πώποθ᾽
ὑμᾶς ἐξέφυγεν, ὅσα δ᾽ ἠβουλήθητε μέν, μετὰ ταῦτα δ᾽
ἀπεβλέψατε [d] πρὸς ἀλλήλους ὡς αὐτὸς μὲν ἕκαστος οὐ
ποιήσων, τὸν δὲ πλησίον πράξοντα, οὐδὲν πώποτε ὑμῖν
19 ἐγένετο. ἐχόντων δ᾽ ὑμῶν οὕτω καὶ [e] παρωξυμμένων, τοὺς
διακοσίους καὶ χιλίους ἀναπληρῶσαί φημι χρῆναι καὶ
ποιῆσαι δισχιλίους, [f] ὀκτακοσίους αὐτοῖς προσνείμαντας·
ἐὰν γὰρ τοῦτ᾽ ἀποδείξητε τὸ πλῆθος, ἡγοῦμαι, τῶν ἐπι-
κλήρων καὶ τῶν [g] ὀρφανικῶν καὶ τῶν κληρουχικῶν καὶ
τῶν κοινωνικῶν καὶ εἴ τις ἀδύνατος ἀφαιρεθέντων, ἔσεσθαι
20 χίλια καὶ διακόσια [h] ταῦτα ὑμῖν σώματα. ἐκ τοίνυν τού-
των οἶμαι δεῖν ποιῆσαι συμμορίας εἴκοσιν, ὥσπερ νῦν
εἰσίν, ἑξήκοντα σώματ᾽ ἔχουσαν ἑκάστην. τούτων δὲ τῶν

[s] λογιζόμενος] λογιζομένοις S.
[t] ἔχοντα μάταιον] μάταιον ἔχοντα F. Y. O. v.
[u] ὡς om. F. Y. O. v.
[x] αὐτὴν] αὐτοὺς (superscript ην) Y. αὐτοὺς F. O. v.
[y] ἂν] ἂν ὑμῖν S.
[z] ψηφίσασθαι] ψηφίσασθαι (superscript ζε) F. ψηφίζεσθαι S. v.
[a] ὑμᾶς] ὑμῶν S. Y. O. v.
[b] ὑμεῖς om. F. Y. O. v.
[c] ἠβουλήθητε] ἐβουλήθητε v. qui sic et infra.
[d] πρὸς] πρὸς (superscript εἰς) F. εἰς S.
[e] παρωξυμμένων] παροξυνομένων F. Y. O. v.
[f] ὀκτακ.] καὶ ὀκτακ. S.
[g] ὀρφανικῶν] ὀρφανῶν F. Y. O. v.
[h] ταῦτα om. v.

συμμοριῶν ἑκάστην διελεῖν κελεύω πέντε μέρη κατὰ δώ-
δεκα ἄνδρας, ἀνταναπληροῦντας πρὸς τὸν εὐπορώτατον
ἀεὶ τοὺς ἀπορωτάτους. καὶ τὰ μὲν σώματα [i] οὕτω [k] φημὶ
δεῖν συντετάχθαι· δι' ὃ δ', εἴσεσθε, ἐπειδὰν ὅλον τὸν τρό-
21 πον τῆς συντάξεως ἀκούσητε· τὰς δὲ τριήρεις πῶς; τὸν
ἅπαντα ἀριθμὸν κελεύω τριακοσίας ἀποδείξαντας, [l] κατὰ
[m] πεντεκαιδεκαναΐαν εἴκοσι ποιῆσαι μέρη, τῶν πρώτων
ἑκατὸν πέντε [n] καὶ τῶν δευτέρων ἑκατὸν πέντε [o] καὶ τῶν
τρίτων ἑκατὸν πέντε ἑκάστῳ μέρει διδόντας, εἶτα συγ- 183
κληρῶσαι συμμορίᾳ σωμάτων ἑκάστῃ τὴν πετεκαιδεκα-
ναΐαν, τὴν δὲ συμμορίαν ἑκάστῳ τῷ μέρει σφῶν αὐτῶν
22 τρεῖς ἀποδοῦναι τριήρεις. ἐπειδὰν δὲ ταῦθ' οὕτως ἔχοντα
ὑπάρχῃ, κελεύω, ἐπειδὴ τὸ τίμημά ἐστι [p] τὸ τῆς χώρας
ἑξακισχιλίων ταλάντων, ἵν' ὑμῖν καὶ τὰ χρήματα ᾖ συν-
τεταγμένα, διελεῖν τοῦτο καὶ ποιῆσαι καθ' ἑξήκοντα τά-
λαντα ἑκατὸν μέρη, εἶτα πέντε [q] ἑξηκονταταλαντίας [r] εἰς
ἑκάστην τῶν μεγάλων τῶν εἴκοσι συμμοριῶν ἐπικληρῶ-
σαι, τὴν δὲ συμμορίαν ἑκάστῳ τῶν μερῶν μίαν ἑξηκοντα-
23 ταλαντίαν ἀποδοῦναι, ὅπως ἐὰν μὲν ὑμῖν ἑκατὸν δέῃ τριή-
ρων, τὴν μὲν δαπάνην ἑξήκοντα τάλαντα συντελῇ, τριή-
ραρχοι δ' ὦσι δώδεκα, [s] ἐὰν δὲ διακοσίων, τριάκοντα μὲν
ᾖ τάλαντα [t] τὴν δαπάνην συντελοῦντα, ἓξ δὲ σώματα
τριηραρχοῦντα, ἐὰν δὲ τριακοσίων, εἴκοσι μὲν ᾖ τάλαντα
τὴν δαπάνην διαλύοντα, τέτταρα δὲ σώματα τριηραρχοῦν-
24 τα. τὸν αὐτὸν δὲ τρόπον, [u] ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὰ νῦν

i οὕτω] ταῦτα οὕτω S.

k φημὶ δεῖν συντετάχθαι] συντετάχθαι φημὶ δεῖν S.

l κατὰ] κατὰ τὴν F.

m πεντεκαιδεκαναΐαν] πεντεκαιδεκαναίαν F. O. v.

n καὶ τῶν δευτ. ἑκ πέντε om. S.v.

o καὶ τῶν τρ. ἑκ. πέντε om. S.

p τὸ ante τῆς om. S.

q ἑξηκονταταλαντίας] ἑξηκονταταλαντείας F. Y. O. v.

r εἰς ἑκάστην] ἑκάστῃ γρ. Y.

s ἐὰν δὲ] ἐὰν δὲ δέῃ F. Y. O. v.

t τὴν δαπ. συντ.] τὰ τὴν δαπ. συντ. F. Y. O. v.

u ὦ ἄνδρες Ἀθηναῖοι post ὀφειλόμενα ponit S.

ὀφειλόμενα τῶν σκευῶν ἐπὶ τὰς τριήρεις τιμήσαντας [x] ἅπαντα ἐκ τοῦ διαγράμματος [y] νεῖμαι κελεύω μέρη εἴκοσιν, ἔπειτα ταῖς μεγάλαις ἐπικληρῶσαι συμμορίαις μέρος ἓν [z] χρήστων ἑκάστῃ, τὴν δὲ συμμορίαν ἑκάστην διανεῖμαι τῶν ἑαυτῆς μερῶν ἑκάστῳ [a] τὸ ἴσον, τοὺς δὲ δώδεκα τοὺς ἐν ἑκάστῳ [b] τῷ μέρει ταῦτ' εἰσπράξαντας [c] τὰς τριήρεις, ἃς ἂν ἕκαστοι λάχωσι, παρεσκευασμένας παρ-
25 έχειν. τὴν μὲν δαπάνην καὶ τὰ σκάφη καὶ τοὺς τριηράρχους καὶ τὴν τῶν σκευῶν εἴσπραξιν οὕτως ἂν ἄρισθ' ἡγοῦμαι καὶ πορισθῆναι καὶ παρασκευασθῆναι· πλήρωσις δὲ [d] καὶ σαφὴς ὅθεν ἔσται καὶ ῥᾳδία, μετὰ ταῦτα [e] λέγω. 184
26 φημὶ τοὺς στρατηγοὺς δεῖν διανεῖμαι τόπους δέκα τῶν νεωρίων, σκεψαμένους ὅπως ὡς ἐγγύτατ' ἀλλήλων κατὰ τριάκοντ' ὦσι νεώσοικοι, ἐπειδὰν δὲ τοῦτο ποιήσωσι, δύο συμμορίας καὶ τριάκοντα τριήρεις τούτων ἑκάστῳ προσνεῖμαι τῶν τόπων, εἶτ' ἐπικληρῶσαι τὰς φυλάς, τὸν δὲ [f] τριήραρχον ἕκαστον [g] καθ' ἕκαστον νεώριον, ἵνα ὦσι συμ-
27 μορίαι δύο, τριήρεις τριάκοντα, φυλὴ μία. ὃν [h] δ' ἂν ἡ φυλὴ [i] τόπον λάχῃ, διελεῖν τρίχα καὶ τὰς ναῦς ὡσαύτως, εἶτ' ἐπικληρῶσαι τὰς τριττῦς, ὅπως ἂν τῶν μὲν ὅλων νεωρίων ἓν [k] ἑκάστης μέρος ᾖ τῶν φυλῶν, τοῦ δὲ μέρους ἑκάστου τὸ τρίτον μέρος ἡ τριττὺς ἔχῃ, εἰδῆτε δ', ἄν τι δέῃ, πρῶτον μὲν τὴν φυλήν, ὅπου τέτακται, μετὰ ταῦτα δὲ τὴν τριττύν, εἶτα τριήραρχοι τίνες καὶ τριήρεις

[x] ἅπαντα om. O.
[y] νεῖμαι] εἶναι O.
[z] χρήστων S. χρηστῶν F. Y. O. vulg. χρηστόν.
[a] τὸ ἴσον in margine Y.
[b] τῷ ante μέρει om. v. et pr. Y.
[c] τὰς om. v. et pr. Y.
[d] καὶ σαφὴς ὅθεν] ὅθεν καὶ σαφὴς γρ. S. τίς ἢ καὶ σαφὴς ὅθεν Y. et omisso ὅθεν F. v. εἰ (ἢ) καὶ σαφὴς ὅθεν S. καὶ σαφὴς v.
[e] λέγω] λέξω F. O. v.
[f] τριήραρχον] ταξίαρχον S. et γρ. Y.
[g] καθ'—μία om. S.
[h] δ' post ὃν om. F. S. Y. O. v.
[i] τόπον om. pr. Y.
[k] ἑκάστης] ἑκάστῃ S.

[l] πόσαι, καὶ τριάκοντα μὲν ἡ φυλή, δέκα [m] δ' ἡ τριττὺς
28 ἑκάστη τριήρεις ἔχῃ. ἐὰν γὰρ ταῦθ' οὕτως εἰς ὁδὸν [n] κατα-
στῇ, εἴ τι καὶ [o] παραλείπομεν νῦν (πάντα γὰρ [p] ἀκριβῶς
εὑρεῖν οὐ [q] ῥᾴδιον), αὐτὸ τὸ πρᾶγμα ἑαυτῷ εὑρήσει, καὶ
μία σύνταξις καὶ πασῶν τῶν νεῶν καὶ μέρους ἔσται.

29 Ὑπὲρ δὲ χρημάτων καὶ πόρου φανεροῦ τινὸς ἤδη παρά-
δοξον μὲν οἶδα [r] λόγον μέλλων λέγειν, ὅμως δ' εἰρήσεται·
πιστεύω γάρ, ἐάν τις ὀρθῶς σκοπῇ, μόνος [s] τἀληθῆ καὶ
30 τὰ γενησόμενα εἰρηκὼς [t] φανεῖσθαι. ἐγώ φημι χρῆναι μὴ
λέγειν νυνὶ περὶ χρημάτων· εἶναι γὰρ πόρον, [u] ἂν δέῃ,
[x] καὶ μέγαν καὶ καλὸν καὶ δίκαιον, ὃν ἐὰν μὲν ἤδη ζητῶ-
μεν, οὐδ' εἰς τόθ' ὑπάρχειν ἡγησόμεθ' [y] ἡμῖν· οὕτω πολὺ
τοῦ πορίσαι νῦν ἀποσχήσομεν· ἐὰν δ' ἐῶμεν, ἔσται. τίς
οὖν ἔσθ' [z] οὗτος ὁ νῦν μὲν οὐκ ὤν, ὑπάρξων [a] δὲ τότε;
31 αἰνίγματι γὰρ ὅμοιον τουτό [b] γε. ἐγὼ φράσω. ὁρᾶτε τὴν 185
πόλιν ὦ ἄνδρες Ἀθηναῖοι πᾶσαν [c] ταυτηνί. ἐν ταύτῃ χρή-
ματ' [d] ἔνεστιν ὀλίγου δέω πρὸς [e] ἁπάσας τὰς ἄλλας
εἰπεῖν πόλεις. ταῦτα δὲ οἱ κεκτημένοι τοιοῦτον ἔχουσι
[f] νοῦν, ὥστ' εἰ πάντες οἱ λέγοντες φοβοῖεν ὡς ἥξει βασι-
λεύς, ὡς πάρεστιν, ὡς [g] οὐχ οἷόν τε ταῦτ' ἄλλως ἔχειν,
καὶ μετὰ τῶν λεγόντων ἴσοι τὸ πλῆθος τούτοις χρησμῳ-
δοῖεν, οὐ μόνον οὐκ ἂν εἰσενέγκαιεν, ἀλλ' οὐδ' ἂν δείξαιεν

[l] πόσαι] ποῖαι Y. O. et γρ. F.
[m] δ' ἡ] δὲ pr. S.
[n] καταστῇ] καταστάιη F.
[o] παραλείπομεν] παραλείπομεν (ε supra α) F. παρελείπομεν S. παρελίπομεν v.
[p] ἀκριβῶς] ἀκριβῶς πως Y. O. v. ἴσως S.
[q] ῥᾴδιον] ῥᾶιον S.
[r] λόγον μέλλων] μέλλων λόγον Y. O. λόγον ὃν μέλλω F. S. v.
[s] τἀληθῆ—εἰρηκὼς] ἀληθῆ—εἰρηνικῶς O.
[t] φανεῖσθαι S. ceteri φανήσεσθαι.
[u] ἂν] ἐὰν O.
[x] καὶ ante μέγαν om. F. Y. O. v.
[y] ἡμῖν] ἡμῖν (ὑ supra) F. ὑμῖν O.
[z] οὗτος om. Y. O.
[a] δὲ F. Y. O. v. vulg. δ' εἰς.
[b] γε om. v.
[c] ταυτηνί] ταύτην S.
[d] ἔνεστιν] ἔστιν S.
[e] ἁπάσας] πάσας Y. O.
[f] νοῦν] τὸν νοῦν Y. O. v. et rec. F.
[g] οὐχ] οὐδ' S.

32 οὐδ' ἂν ὁμολογήσαιεν κεκτῆσθαι. εἰ μέντοι τὰ νῦν διὰ
τῶν λόγων φοβερὰ ἔργῳ πραττόμενα αἴσθοιντο, οὐδεὶς
οὕτως ἠλίθιός ἐστιν ὅστις [h] οὐχ ἑκὼν ἂν δοίη καὶ πρῶτος
[i] εἰσενέγκοι· τίς γὰρ αἱρήσεται μᾶλλον αὐτὸς καὶ τὰ ὄντα
πάντ' ἀπολωλέναι ἢ μέρος τῶν ὄντων ὑπὲρ ἑαυτοῦ καὶ
τῶν λοιπῶν [k] εἰσενεγκεῖν; χρήματα μὲν δή φημι εἶναι
τότε, ἂν ὡς ἀληθῶς δέῃ, πρότερον δ' οὔ. διὸ μηδὲ ζητεῖν
33 παραινῶ· ὅσα γὰρ [l] νυνὶ [m] πορίσαιτ' ἄν, [n] εἰ προέλοισθε
πορίζειν, [o] πλείων ἐστὶ γέλως τοῦ μηδενός. φέρε γάρ,
[p] ἑκατοστήν τις εἰσφέρειν ἐρεῖ νῦν; οὐκοῦν ἑξήκοντα [q] τά-
λαντα. ἀλλὰ πεντηκοστήν τις ἐρεῖ, τὸ διπλοῦν; οὐκοῦν
ἑκατὸν καὶ εἴκοσι· καὶ τί τοῦτ' ἔστι πρὸς διακοσίας
καὶ χιλίας καμήλους, ἃς βασιλεῖ τὰ χρήματ' ἄγειν
φασὶν οὗτοι; ἀλλὰ θῶ, βούλεσθε, δωδεκάτην ἡμᾶς εἰσοί-
σειν, πεντακόσια τάλαντα; ἀλλ' [r] οὔτ' ἂν ἀνάσχοισθε,
οὔτ' ἄν, εἰ [s] καταθεῖτε, ἄξια τοῦ πολέμου τὰ χρήματα.
34 δεῖ τοίνυν [t] ὑμᾶς [u] τὰ μὲν ἄλλα παρασκευάσασθαι, τὰ
δὲ χρήματα νῦν μὲν ἐᾶν τοὺς κεκτημένους ἔχειν (οὐδαμοῦ
γὰρ ἂν ἐν καλλίονι σώζοιτο τῇ πόλει), ἐὰν δέ ποθ' ὁ
[x] καιρὸς [y] ἔλθῃ, τότε ἑκόντων εἰσφερόντων αὐτῶν λαμβά- 186
νειν. ταῦτα δὲ καὶ δυνατά ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ
πράττειν καλὰ καὶ συμφέροντα καὶ βασιλεῖ [z] περὶ ὑμῶν

[h] οὐχ ἑκὼν ἂν Reiskius, οὐχὶ κἂν S. οὐχ ἱκανὸν F.Y.O.v. οὐκ ἂν γρ. Y.

[i] εἰσενέγκοι] εἰσενέγκαι (οι superscript) Y. εἰσενέγκαι F. S. v.

[k] εἰσενεγκεῖν] προεισενεγκεῖν F. προσενεγκεῖν v.

[l] νυνὶ] ἂν νυνὶ F. v. ἂν νῦν S.

[m] πορίσαιτ'] πορίσαισθ' F.Y.O.v.

[n] εἰ] ἢ S. et γρ. F.

[o] πλείων] πλείω S.

[p] ἑκατοστήν] τὴν ἑκατοστήν F. Y. O. v.

[q] τάλαντα] τάλαντα ἐρεῖ F. Y. O. v.

[r] οὔτ' ἂν—οὔτ' ἂν] οὔτ'—οὔτ' S. et correctus Y.

[s] καταθεῖτε] κατάθειτε O. et correctus Y. κατάθοιτε F. S. v.

[t] ὑμᾶς] ἡμᾶς (υ superscript) F. ἡμᾶς v.

[u] τὰ μὲν ἄλλα S. vulg. τἄλλα.

[x] καιρὸς] καιρὸς οὗτος F. Y. O. v.

[y] ἔλθῃ] ἔλθοι v.

[z] περὶ] παρ' S.

ἐπιτήδεια ἀπαγγελθῆναι, καὶ φόβος οὐκ ὀλίγος γένοιτ'
35 ἂν ἐκείνῳ διὰ τούτων. οἵδε μέν γε [a]τριακοσίαις τριήρεσιν,
ὧν [b]ἑκατὸν παρεσχόμεθ' ἡμεῖς, τοὺς προγόνους αὐτοῦ χι-
λίας ἀπολέσαντας ναῦς, ἀκούσεται δὲ τριακοσίας αὐτοὺς
[c]ἡμᾶς [d]νῦν παρεσκευασμένους [τριήρεις·] ὥστε μὴ κομι-
δῇ, μηδ' εἰ πάνυ μαίνοιτο, νομίσαι ῥᾴδιόν τι τὸ τὴν ἡμετέ-
36 ραν πόλιν ἐχθρὰν ποιήσασθαι. ἀλλὰ μὴν εἴγ' ἐπὶ χρή-
μασιν αὐτῷ μέγ' ἐπέρχεται φρονεῖν, καὶ ταύτην ἀσθενε-
στέραν ἀφορμὴν τῆς ὑμετέρας εὑρήσει. ὁ μέν γε χρυσίον,
ὥς φασιν, [e]ἄγει. τοῦτο δὲ ἂν διαδῷ ζητήσει· καὶ γὰρ
τὰς κρήνας καὶ τὰ φρέατα [f]ἐπιλείπειν πέφυκεν, ἐάν τις
ἀπ' αὐτῶν [g]ἀθρόα καὶ πολλὰ λαμβάνῃ· ἡμῖν δὲ τὸ τῆς
χώρας τίμημα ὑπάρχον ἀφορμὴν [h]ἑξακισχίλια τάλαντα
ἀκούσεται, ὑπὲρ ἧς ὡς μὲν τοὺς ἐπιόντας ἐκείνων ἀμυνού-
μεθα, οἱ [i]Μαραθῶνι τῶν προγόνων αὐτοῦ μάλιστ' ἂν εἰ-
δεῖεν, ἕως δ' ἂν κρατῶμεν, οὐκ ἔνι δήπου χρήμαθ' ἡμᾶς
[k]ἐπιλείπειν.

37 Καὶ μὴν οὐδ' ὅ τινες δεδίασι, μὴ ξενικὸν [l]πολὺ [m]συ-
στήσηται χρήματ' ἔχων, ἀληθὲς εἶναί μοι δοκεῖ. ἐγὼ γὰρ
ἡγοῦμαι ἐπὶ μὲν Αἴγυπτον καὶ [n]Ὀρόνταν καί τινας τῶν
ἄλλων βαρβάρων πολλοὺς ἂν ἐθελῆσαι τῶν Ἑλλήνων
[o]μισθοφορεῖν παρ' ἐκείνῳ, οὐχ ἵν' ἐκεῖνος ἕλῃ τινὰ τούτων,
ἀλλ' ἵν' εὐπορίαν τινὰ ἕκαστος αὐτῷ κτησάμενος ἀπαλ-
λαγῇ τῆς ὑπαρχούσης πενίας· ἐπὶ δὲ τὴν [p]Ἑλλάδα 187

[a] τριακοσίαις] διακοσίαις S.
[b] ἑκατὸν] διακοσίας Wesseling. ad Diodor. 11, 12.
[c] ἡμᾶς S. ceteri ὑμᾶς.
[d] νῦν om. F. O. v.
[e] ἄγει] ἄγει πολύ S.
[f] ἐπιλείπειν] ἐπίλιπειν v. et pr. Y.
[g] ἀθρόα F. Y. O. vulg. ἀθρόα.
[h] ἑξακισχίλια] ὀκτακισχίλια F. v.
[i] Μαραθῶνι γρ. Y. vulg. ἐν Μαραθῶνι. μαραθῶνι καὶ σαλαμῖνι S. et γρ. F.
[k] ἐπιλείπειν S. ceteri ἐπιλιπεῖν.
[l] πολὺ] πολὺν S.
[m] συστήσηται] συστήσεται v.
[n] Ὀρόνταν F. S. ορρονταν Y. O. ὀρόντην v. ῆσαι
[o] μισθοφορεῖν] μισθοφορειν F. μισθοφορῆσαι Y.
[p] Ἑλλάδα] ἄλλην ἑλλάδα F. v.

Ἕλληνα οὐδένα ἂν [q] ἐλθεῖν ἡγοῦμαι· [r] ποῖ γὰρ αὐτὸς τρέ-
38 ψεται μετὰ ταῦτα; εἰς Φρυγίαν ἐλθὼν δουλεύσει; οὐ γὰρ
ὑπὲρ ἄλλου τινός ἐστιν ὁ πρὸς τὸν βάρβαρον πόλεμος ἢ
περὶ χώρας καὶ βίου καὶ ἐθῶν καὶ ἐλευθερίας καὶ πάντων
τῶν τοιούτων. τίς οὖν οὕτως [s] ἐστὶ δυστυχὴς ὅστις ἑαυτόν,
γονέας, τάφους, πατρίδα ἕνεκα κέρδους βραχέος προ-
39 έσθαι βουλήσεται; ἐγὼ μὲν οὐδένα ἡγοῦμαι. καὶ μὴν
οὐδ᾽ ἐκείνῳ συμφέρει ξένους κρατῆσαι τῶν [t] Ἑλλήνων· οἱ
γὰρ ἡμῶν κρατήσαντες ἐκείνου γε πάλαι κρείττους [u] ὑπάρ-
χουσιν, βούλεται δ᾽ ἐκεῖνος οὐκ ἀνελὼν ἡμᾶς ἐπ᾽ ἄλλοις
εἶναι, ἀλλὰ μάλιστα μὲν πάντων, εἰ δὲ μή γε, τῶν
ὑπαρχόντων δούλων ἑαυτῷ νῦν ἄρχειν.
40 Εἰ τοίνυν τις οἴεται Θηβαίους ἔσεσθαι μετ᾽ ἐκείνου,
ἔστι μὲν χαλεπὸς πρὸς [x] ὑμᾶς ὁ περὶ [y] τούτων λόγος·
διὰ γὰρ τὸ μισεῖν αὐτοὺς οὐδ᾽ ἂν ἀληθὲς [z] οὐδὲν ἡδέως
οὐδ᾽ [a] ἀγαθὸν περὶ αὐτῶν [b] ἀκούσαιτε· οὐ μὴν ἀλλὰ δεῖ
τοὺς περὶ πραγμάτων μεγάλων σκοποῦντας μηδένα συμ-
φέροντα λογισμὸν παραλιπεῖν διὰ μηδεμίαν πρόφασιν.
41 ἐγὼ τοίνυν οἶμαι τοσοῦτον ἀπέχειν Θηβαίους τοῦ μετ᾽
ἐκείνου πότ᾽ ἂν ἐλθεῖν ἐπὶ τοὺς Ἕλληνας, ὥστε πολλῶν
ἂν χρημάτων, εἰ ἔχοιεν δοῦναι, πρίασθαι γενέσθαι τινὰ
αὐτοῖς καιρὸν δι᾽ οὗ τὰς προτέρας [c] ἀναλύσονται πρὸς
τοὺς Ἕλληνας ἁμαρτίας. εἰ δ᾽ ἄρα παντάπασί τις οὕ-
τως οἴεται φύσει δυστυχεῖς Θηβαίους εἶναι, ἐκεῖνό γε
δήπουθεν ἅπαντες ἐπίστασθε, ὅτι Θηβαίων [d] τἀκείνου

[q] ἐλθεῖν] ἐθέλειν F. Y. v. ἐθέλειν ἐν ἄλλοις ἐλθεῖν O.
[r] ποῖ] πῇ v.
[s] ἐστὶ δυστυχὴς] δυστυχής ἐστιν S.
[t] Ἑλλήνων O. et γρ. F. vulg. Ἑλληνικῶν.
[u] ὑπάρχουσι S. ceteri εἰσί.
[x] ὑμᾶς] ἡμᾶς v.
[y] τούτων] ἐκείνων F. Y. O. v.
[z] οὐδὲν om. F. Y. O. v.
[a] ἀγαθὸν] ἀγαθόν τι F. Y. O. v.
[b] ἀκούσαιτε] ἀκούσεσθε F.
[c] ἀναλύσονται] διαλύσονται F. Y. O. v. et γρ. S.
[d] τἀκείνου] τὰ ἐκείνου F. Y. O. v.

φρονούντων ἀνάγκη τοὺς τούτων ἐχθροὺς τὰ τῶν Ἑλλήνων φρονεῖν.

42 Ἡγοῦμαι τοίνυν ἐγὼ ταύτην τὴν τάξιν τοῦ δικαίου καὶ 188
τοὺς μετ' αὐτῆς ὄντας [e] κρείττους τῶν προδοτῶν καὶ τοῦ
βαρβάρου ἔσεσθαι πρὸς ἅπαντας. ὥστ' οὔτε φοβεῖσθαί
φημι δεῖν πέρα τοῦ μετρίου, οὔθ' ὑπαχθῆναι προτέρους
43 ἐκφέρειν τὸν πόλεμον. καὶ μὴν οὐδὲ τῶν ἄλλων οὐδένα ἂν
εἰκότως [f] Ἑλλήνων φοβηθέντα [g] τὸν πόλεμον τοῦτον ὁρῶ·
τίς γὰρ οὐκ οἶδεν αὐτῶν ὅτι [h] τέως μὲν κοινὸν ἐχθρὸν [i] ἐκεῖ-
νον ὑπειληφότες ὡμονόουν ἀλλήλοις, πολλῶν ἀγαθῶν
ἦσαν κύριοι, ἐπειδὴ δὲ φίλον αὐτὸν νομίσαντες αὑτοῖς
ὑπάρχειν περὶ τῶν πρὸς αὑτοὺς διηνέχθησαν [k] διαφόρων,
ὅσ' ἂν οὐδὲ καταρώμενος εὕρέ τις αὐτοῖς, τοσαῦτα πε-
44 πόνθασι κακά; εἶθ' ὃν ἡ τύχη καὶ τὸ δαιμόνιον φίλον μὲν
ἀλυσιτελῆ, συμφέροντα δ' ἐχθρὸν ἐμφανίζει, τοῦτον ἡμεῖς
[l] φοβώμεθα; μηδαμῶς· ἀλλὰ [m] μηδ' ἀδικῶμεν, [n] αὐτῶν
ἡμῶν ἕνεκα καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ταραχῆς καὶ
ἀπιστίας, ἐπεὶ εἴ γ' [o] ὁμοθυμαδὸν ἦν μετὰ πάντων ἐπι-
θέσθαι μόνῳ, οὐδ' [p] ἀδικεῖν ἡμᾶς ἐκεῖνον ἀδίκημ' ἂν ἔθη-
45 κα. ἐπειδὴ δὲ τοῦτ' οὐχ οὕτως ἔχει, φυλάττεσθαί φημι
δεῖν μὴ πρόφασιν δῶμεν βασιλεῖ τοῦ τὰ δίκαια ὑπὲρ τῶν
ἄλλων Ἑλλήνων ζητεῖν· ἡσυχίαν μὲν γὰρ ἐχόντων ὑμῶν
ὕποπτος ἂν εἴη τοιοῦτό τι [q] πράττων, πόλεμον δὲ ποιησα-
μένων προτέρων εἰκότως ἂν δοκοίη διὰ τὴν πρὸς ὑμᾶς

[e] κρείττους post προδοτῶν ponunt F. Y. O. v.

[f] Ἑλλήνων om. F.

[g] τὸν om. O.

[h] τέως] ἕως F. O. et correctus Y.

[i] ἐκεῖνον ante κοινὸν ponunt F. Y. O. v.

[k] διαφόρων] διαφορῶν F. S. Y. O. v.

[l] φοβώμεθα] φοβούμεθα v.

[m] μηδ'] μὴ F. O.

[n] αὐτῶν ἡμῶν v. αὐτὸν ἡμῶν S. et γρ. F. αὐτὸν ἡμῶν αὐτῶν γρ. Y. vulg. ἡμῶν αὐτῶν.

[o] ὁμοθυμαδὸν] ὁμόθυμον F.

[p] ἀδικεῖν] ἀδικεῖν ἂν F. Y. O. v. et margo S.

[q] πράττων] πραττῶν (ειν superscr.) F. Y. πράττειν v.

46 ἔχθραν τοῖς ἄλλοις φίλος εἶναι βούλεσθαι. μὴ οὖν ἐξ-
ελέγξητε ὡς κακῶς ἔχει τὰ Ἑλληνικά, συγκαλοῦντες
[r] ὅτ' οὐ [s] πείσετε, καὶ πολεμοῦντες ὅτ' οὐ δυνήσεσθε· ἀλλ'
ἔχετε ἡσυχίαν θαῤῥοῦντες καὶ παρασκευαζόμενοι, καὶ βού-
λεσθε ἀπαγγέλλεσθαι [t] περὶ ὑμῶν πρὸς βασιλέα μὴ μὰ 189
Δία ὡς ἀποροῦσιν ἢ φοβοῦνται ἢ θορυβοῦνται πάντες οἱ
47 Ἕλληνες καὶ Ἀθηναῖοι, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ὅτι, εἰ
[u] μὲν μὴ τοῖς Ἕλλησιν ὁμοίως αἰσχρὸν ἦν τὸ ψεύδεσθαι
καὶ ἐπιορκεῖν ὥσπερ ἐκείνῳ καλόν, πάλαι ἂν [x] ὑμεῖς ἐπ'
ἐκεῖνον ἐπορεύεσθε, νῦν δὲ τοῦτο μὲν οὐκ ἂν ποιήσαιτε ὑμῶν
ἕνεκ' αὐτῶν, [y] εὔχεσθε δὲ πᾶσι τοῖς θεοῖς τὴν αὐτὴν λα-
βεῖν παράνοιαν ἐκεῖνον ἥν πέρ ποτε τοὺς προγόνους αὐτοῦ.
48 καὶ ταῦτ' ἂν ἐπίῃ σκοπεῖν αὐτῷ, οὐκ [z] ὀλιγώρως ὑμᾶς
[a] βουλευομένους εὑρήσει. ἐκ μέν γε τῶν πρὸς τοὺς ἑαυτοῦ
προγόνους πολέμων σύνοιδε τὴν πόλιν εὐδαίμονα καὶ με-
γάλην γεγενημένην, ἐκ δὲ τῆς ἡσυχίας [b] ἧς ἦγε [c] πρὸ
τούτων, [d] οὐδεμιᾶς τῶν ἄλλων Ἑλληνίδων πόλεων τοσοῦ-
49 τον ὅσον νῦν ὑπεραίρουσαν. καὶ μὴν καὶ τοὺς Ἕλληνας
ὁρᾷ δεομένους [e] ἤτοι τινὸς ἑκουσίου ἢ [f] κἀκουσίου διαλ-
λακτοῦ, τοῦτον δ' αὑτὸν ἂν οἶδε φανέντ' αὐτοῖς, εἰ πόλε-
μον κινοίη. ὥστε καὶ γνώριμα καὶ πιστὰ [g] αὐτῷ τῶν
ἀπαγγελλόντων ἀκούειν ἔσται.

50 Ἵνα δ' ὦ ἄνδρες Ἀθηναῖοι μὴ μακρὰ [h] λίαν λέγων
ἐνοχλῶ, τὰ κεφάλαια ὧν συμβουλεύω φράσας ἄπειμι.

[r] ὅτ'] ὅτι v.

[s] πείσετε] πεισονται (ετε above) F. πείσονται S. et pr. v.

[t] περὶ] μὲν περὶ S.

[u] μὲν om. F. Y. O. v.

[x] ὑμεῖς ἐπ' ἐκεῖνον] ἐπ' αὐτὸν ὑμεῖς S.

[y] εὔχεσθε] εὔχεσθαι S.

[z] ὀλιγώρως] ἀλόγως γρ. F. S.

[a] βουλευομένους] βουλομένους pr. O.

[b] ἧς S. ἧς (ἦν above) F. ceteri ἥν.

[c] πρὸ τούτων] πρὸ τοῦ Y. et γρ. S. ποτὲ F. v.

[d] οὐδεμιᾶς τῶν ἄλλων Ἑλλ. πόλεων] τῶν ἑλλ. πόλεων οὐδεμιᾶς Y. O.

[e] ἤτοι] ἢ v.

[f] κἀκουσίου] ἀκουσίου F. Y. O. v.

[g] αὐτῷ] αὐτῷ τὰ Y.

[h] λίαν λέγων S. vulg. λέγων λίαν.

παρασκευάζεσθαι [i] μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθροὺς κελεύω, [k] ἀμύνεσθαι δὲ [l] καὶ βασιλέα καὶ πάντας, ἂν ἀδικεῖν ἐπιχειρῶσι, ταύτῃ τῇ [m] αὐτῇ δυνάμει φημὶ δεῖν, ἄρ-
51 χειν δὲ μηδενὸς μήτε λόγου μήτ' ἔργου ἀδίκου. τὰ [n] δ' ἔργα ἡμῶν ὅπως ἄξια τῶν προγόνων ἔσται [o] σκοπῶμεν, μὴ τοὺς ἐπὶ τοῦ βήματος λόγους. κἂν ταῦτα ποιῆτε, καὶ ὑμῖν αὐτοῖς καὶ τοῖς τἀναντία πείθουσι συμφέροντα πράξετε· οὐ γὰρ [p] ὀργιεῖσθε αὐτοῖς ὕστερον, νῦν ἁμαρτόντες.

## ΙΕ.

## [a] ΠΕΡΙ ΤΗΣ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ. 190

### ΥΠΟΘΕΣΙΣ.

Τὸν συμμαχικὸν κληθέντα πόλεμον [b] ἤραντο πρὸς Ἀθηναίους Χῖοι καὶ Ῥόδιοι καὶ Βυζάντιοι, πρότερον μὲν αὐτῶν ὑπήκοοι γεγονότες, τότε δὲ ἀλλήλοις συμμαχίαν πεποιημένοι κατὰ τῶν Ἀθηναίων. γείτονες δὲ ὄντες οἱ Ῥόδιοι τῇ Καρίᾳ πρὸς τὸν ταύτης ὕπαρχον Μαύσωλον οἰκείως ἔχειν ἐδόκουν. ὁ δὲ κατ' ὀλίγον [c] πιστευόμενος ὑπ' αὐτῶν ἐπιβουλὴν κατὰ τοῦ δήμου συνεστήσατο, καὶ τὴν δημοκρατίαν τῶν Ῥοδίων ἀφελόμενος ὀλίγοις τοῖς δυνατωτέροις τὴν πόλιν κατεδούλωσε. συμβουλεύει τοίνυν ὁ Δημοσθένης μὴ περιορᾶν ταῦτα, ἀλλὰ βοηθεῖν τῷ δήμῳ τῶν Ῥοδίων, συμφέρειν [d] λέγων τοῖς Ἀθηναίοις τὸ δημοκρατεῖσθαι τὰς πόλεις. εἰ δὲ ἠδικήκασιν ἡμᾶς, φησίν, Ῥόδιοι, ἀλλὰ πρέπον ἐστὶν ἡμῖν καὶ σύνηθες τὸ καὶ τοὺς λυπήσαντάς τι τῶν Ἑλλήνων ἐλευθεροῦν καὶ μὴ μνησικακεῖν ἁμαρτάνουσιν εἰς τὴν πόλιν.

ΟΙΜΑΙ δεῖν [e] ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβου-

[i] μὲν om. Y. O.
[k] ἀμύνεσθαι] ἀμύνασθαι Y. O.
[l] καὶ ante βασιλέα om. Y. O.
[m] αὐτῇ recepi ex S.
[n] δ' om. S.
[o] σκοπῶμεν μὴ] σκοπεῖν δὴ S.
[p] ὀργιεῖσθε S. vulg. ὀργισθήσεσθε.
[a] ΠΕΡΙ] ὑπὲρ S.
[b] ἤραντο om. F. Y. O. v.
[c] πιστευόμενος] πεισθεὶς F.
[d] λέγων om. F. O. v. et pr. Y.
[e] ὑμᾶς in margine S. ἡμᾶς O.

λευόντων. ἐγὼ δ' οὐδεπώποτε ἡγησάμην χαλεπὸν [f]τὸ δι-
δάξαι τὰ βέλτιστα ὑμᾶς (ὡς γὰρ εἰπεῖν ἁπλῶς, ἅπαν-
τες [g]ὑπάρχειν ἐγνωκότες μοι δοκεῖτε) ἀλλὰ τὸ [h]πράτ- 191
τειν πεῖσαι ταῦτα· ἐπειδὰν γάρ τι δόξῃ καὶ ψηφισθῇ, [i]τότε
[k]τοσοῦτον τοῦ πραχθῆναι ἀπέχει [l]ὅσονπερ πρὶν δόξαι.
2 ἔστι μὲν οὖν ἓν ὧν ἐγὼ νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς ὀφεί-
λειν, [m]τὸ τοὺς διὰ τὴν αὑτῶν ὕβριν [n]ὑμῖν πολεμήσαντας
οὐ πάλαι, νῦν ἐν [o]ὑμῖν μόνοις τῆς αὑτῶν σωτηρίας ἔχειν
τὰς ἐλπίδας. ἄξιον δ' ἡσθῆναι τῷ παρόντι καιρῷ· συμ-
βήσεται γὰρ ὑμῖν, ἐὰν ἃ χρὴ βουλεύσησθε [p]περὶ αὐτοῦ,
[q]τὰς παρὰ τῶν διαβαλλόντων τὴν πόλιν ἡμῶν βλασφη-
3 μίας ἔργῳ μετὰ δόξης καλῆς ἀπολύσασθαι. ᾐτιάσαντο
μὲν γὰρ ἡμᾶς ἐπιβουλεύειν αὐτοῖς Χῖοι καὶ Βυζάντιοι
καὶ Ῥόδιοι, καὶ διὰ ταῦτα συνέστησαν ἐφ' ἡμᾶς τὸν τε-
λευταῖον [r]τουτονὶ πόλεμον· φανήσεται δ' ὁ μὲν πρυτα-
νεύσας ταῦτα καὶ πείσας Μαύσωλος, φίλος εἶναι φά-
σκων Ῥοδίων, τὴν ἐλευθερίαν αὐτῶν ἀφῃρημένος, οἱ δ'
ἀποδείξαντες αὐτοὺς συμμάχους Χῖοι καὶ Βυζάντιοι τοῖς
4 [s]ἀτυχήμασιν αὐτῶν οὐ βεβοηθηκότες, ὑμεῖς δ', οὓς ἐφο-
βοῦντο, μόνοι τῶν πάντων τῆς σωτηρίας αὐτοῖς αἴτιοι. ἐκ
δὲ τοῦ ταῦθ' ὑπὸ πάντων ὀφθῆναι ποιήσετε τοὺς πολλοὺς
ἐν ἁπάσαις ταῖς πόλεσι τοῦτο ποιεῖσθαι σύμβολον τῆς
αὑτῶν σωτηρίας, ἐὰν ὑμῖν ὦσι φίλοι· οὗ μεῖζον οὐδὲν ἂν
ὑμῖν γένοιτο ἀγαθὸν ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτου
τυχεῖν εὐνοίας.

[f] τὸ om. F. Y. u. v. et pr. O.
[g] ὑπάρχειν ἐγνωκότες S. ceteri ἐγνωκότες ὑπάρχειν.
[h] πράττειν πεῖσαι F. Y. O. u. v. vulg. πεῖσαι πράττειν.
[i] τότε om. F.Y.O.u.v. et γρ. S.
[k] τοσοῦτον] ἴσον S.
[l] περ om. F. Y. O. u. v.
[m] τὸ om. pr. S.
[n] ὑμῖν] ἡμῖν S. O. u. v.
[o] ὑμῖν post γὰρ om. S.
[p] περὶ αὐτοῦ S. et γρ. Y. ὑπὲρ
περὶ ῶν
αὐτῶν γρ. S. ὑπὲρ αὐτου F. ὑπὲρ αὐτοῦ ceteri.
[q] τὰς om. pr. S.
[r] τουτονὶ] τοῦτον Y.
[s] ἀτυχήμασιν] ἀτυχήσασιν F.

5 Θαυμάζω δ' ὅτι τοὺς αὐτοὺς ὁρῶ ὑπὲρ μὲν Αἰγυπτίων
τἀναντία πράττειν βασιλεῖ τὴν πόλιν πείθοντας, ὑπὲρ δὲ
τοῦ Ῥοδίων δήμου φοβουμένους [t] τὸν ἄνδρα τοῦτον. καίτοι
τοὺς μὲν Ἕλληνας ὄντας ἅπαντες ἴσασι, τοὺς δ' ἐν τῇ
6 ἀρχῇ τῇ ἐκείνου μεμερισμένους. οἶμαι δ' ὑμῶν μνημονεύ- 192
ειν ἐνίους ὅτι, ἡνίκ' ἐβουλεύεσθε [u] περὶ τῶν βασιλικῶν,
παρελθὼν πρῶτος ἐγὼ παρῄνεσα, οἶμαι δὲ [x] καὶ μόνος ἢ
δεύτερος εἰπεῖν, ὅτι μοι σωφρονεῖν ἂν [y] δοκοῖτε, εἰ τὴν πρό-
φασιν τῆς παρασκευῆς μὴ τὴν πρὸς ἐκεῖνον ἔχθραν [z] ποιοῖ-
σθε, ἀλλὰ παρασκευάζοισθε μὲν πρὸς τοὺς ὑπάρχοντας
ἐχθρούς, ἀμύνοισθε δὲ κἀκεῖνον, ἐὰν ὑμᾶς ἀδικεῖν ἐπιχει-
ρῇ. καὶ οὐκ ἐγὼ μὲν [a] εἶπον ταῦτα, ὑμῖν δ' οὐκ ἐδόκουν
7 ὀρθῶς λέγειν, ἀλλὰ καὶ ὑμῖν ἤρεσκε ταῦτα. ἀκόλουθος
τοίνυν [b] ὁ νῦν λόγος ἐστί μοι τῷ τότε ῥηθέντι. ἐγὼ γάρ,
εἰ βασιλεὺς παρ' αὐτὸν ὄντα με σύμβουλον ποιοῖτο, ταῦτ'
ἂν αὐτῷ παραινέσαιμι ἅπερ ὑμῖν, ὑπὲρ μὲν τῶν ἑαυτοῦ
πολεμεῖν, ἐάν τις ἐναντιῶται τῶν Ἑλλήνων, [c] ὧν δὲ μηδὲν
αὐτῷ [d] προσήκει, τούτων μηδ' ἀντιποιεῖσθαι τὴν ἀρχήν.
8 εἰ μὲν οὖν ὅλως ἐγνώκατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσων ἂν
βασιλεὺς ἐγκρατὴς γένηται φθάσας [e] ἢ παρακρουσάμενός
τινας τῶν ἐν ταῖς πόλεσι, παραχωρεῖν, οὐ καλῶς ἐγνώ-
κατε, ὡς ἐγὼ κρίνω· εἰ δ' ὑπέρ [f] γε τῶν δικαίων καὶ
πολεμεῖν, ἂν τούτου δέῃ, καὶ πάσχειν [g] ὁτιοῦν οἴεσθε χρῆ-
ναι, πρῶτον μὲν ὑμῖν ἧττον δεήσει [h] τούτων, ὅσῳ ἂν μᾶλ-

[t] τὸν] τὸν αὐτὸν F. Y. O. u. v.

[u] περὶ] ὑπὲρ S. περὶ F.

[x] καὶ om. S.

[y] δοκοῖτε] δοκεῖτε S. O. et correctus v.

[z] ποιοῖσθε—ἀμύνοισθε] ποιεῖσθε—ἀμύνεσθε S.

[a] εἶπον ταῦτα] ταῦτα εἶπον F. Y. O. u. v.

[b] ὁ νῦν om. F. Y. O. u. v.

[c] ὧν om. pr. Y.

[d] προσήκει] προσήκειν u. v. pr. O. rec. Y.

[e] ἢ S. ceteri καί.

[f] γε om. S.

[g] ὁτιοῦν] ὅτι ἂν οὖν Y. ὁτιοῦν ἂν F. O. u. v.

[h] τούτων] τούτου (ων superscript) F. τούτου Y. O. u. v.

λον ἐγνωκότες ἦτε ταῦτα, ἔπειθ' ἃ προσήκει φρονεῖν δό-
ξετε.

9 Ὅτι δ' οὐδὲν καινὸν οὔτ' ἐγὼ λέγω νῦν κελεύων Ῥο-
δίους ἐλευθεροῦν, οὔθ' ὑμεῖς, [i] ἂν [k] πεισθῆτέ [l] μοι, ποιήσε-
τε, [m] τῶν γεγενημένων ὑμᾶς [n] τι καὶ [o] συνενηνοχότων ὑπο-
μνήσω. ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτε ὦ ἄνδρες Ἀθη-
ναῖοι βοηθήσοντα [p] Ἀριοβαρζάνῃ, προσγράψαντες τῷ ψη-
φίσματι "μὴ λύοντα τὰς σπονδὰς τὰς πρὸς [q] βασιλέα." 193
10 ἰδὼν δ' ἐκεῖνος τὸν μὲν [r] Ἀριοβαρζάνην φανερῶς ἀφεστῶτα
[s] βασιλέως, Σάμον δὲ φρουρουμένην ὑπὸ [t] Κυπροθέμιδος,
ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος, τῷ μὲν
ἀπέγνω μὴ βοηθεῖν, τὴν δὲ [u] προσκαθεζόμενος καὶ [x] βοη-
θήσας ἠλευθέρωσε· καὶ μέχρι τῆς τήμερον ἡμέρας οὐ γέ-
11 γονε πόλεμος διὰ ταῦθ' ὑμῖν. οὐ γὰρ ὁμοίως οὐδεὶς ὑπέρ
τε τοῦ πλεονεκτεῖν πολεμήσειεν ἂν καὶ [y] τῶν ἑαυτοῦ, ἀλλ'
ὑπὲρ μὲν ὧν ἐλαττοῦνται μέχρι τοῦ δυνατοῦ πάντες πο-
λεμοῦσιν, ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν οὐχ οὕτως, ἀλλ' ἐφίεν-
ται μέν, ἐάν τις ἐᾷ, ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι
τοὺς ἐναντιωθέντας [z] αὐτοῖς ἡγοῦνται.

12 Ὅτι δ' οὐδ' [a] ἂν ἐναντιωθῆναί μοι δοκεῖ τῇ πράξει
ταύτῃ νῦν Ἀρτεμισία τῆς πόλεως οὔσης ἐπὶ τῶν πραγ-
μάτων, μικρὰ ἀκούσαντες σκοπεῖτε, εἴτ' ὀρθῶς [b] ἐγὼ λο-

[i] ἂν] εἰ correctus Y.
[k] πεισθῆτε] πεισθείητε F. Y. O.
[l] μοι om. pr. S.
[m] τῶν om. pr. O.
[n] τι om. Anecd. p. 176, 21.
[o] συνενηνοχότων] συνενεγκόντων γρ. F. τῶν συνενηνοχότων O. u.
[p] Ἀριοβαρζάνῃ] ἀριοβαρζάνῃ φανερῶς ἀφεστῶτα τοῦ βασιλέως S.
[q] βασιλέα] τὸν βασιλέα S.
[r] Ἀριοβαρζάνην] ἀριοβαρζάνη S.
[s] βασιλέως] τοῦ βασιλέως F. Y. O. u. v.
[t] Κυπροθέμιδος] κυπροθέσμιδος pr. S.
[u] προσκαθεζόμενος] προσκαθήμενος O.
[x] βοηθήσας] πολεμήσας F. O. u. v.
[y] τῶν] ὑπὲρ τῶν F. Y. O. u. v.
[z] αὐτοῖς om. F. Y. O. u. v.
[a] ἂν om. F. Y. O. u. v.
[b] ἐγὼ post ὀρθῶς et καὶ post εἴτε om. S.

γίζομαι ταῦτ' εἴτε καὶ μή. ἐγὼ νομίζω πράττοντος μὲν ἐν Αἰγύπτῳ πάνθ', [c] ὡς ὥρμηκε, [d] βασιλέως σφόδρα ἂν Ἀρτεμισίαν πειραθῆναι περιποιῆσαι Ῥόδον αὐτῷ, οὐ τῇ βασιλέως εὐνοίᾳ, ἀλλὰ [e] τῷ βούλεσθαι πλησίον αὐτῆς διατρίβοντος ἐκείνου μεγάλην εὐεργεσίαν καταθέσθαι πρὸς
13 αὐτόν, ἵν' ὡς οἰκειότατ' [f] αὐτὴν ἀποδέχοιτο· πράττοντος δ' ὡς λέγεται, καὶ διημαρτηκότος οἷς ἐπεχείρησεν, ἡγεῖσθαι τὴν νῆσον ταύτην, ὅπερ ἔστιν, ἄλλο μὲν οὐδὲν [g] ἂν εἶναι βασιλεῖ χρησίμην ἐν τῷ παρόντι, τῆς δ' αὐτῆς ἀρχῆς ἐπιτείχισμα πρὸς τὸ μηδ' ὁτιοῦν παρακινεῖν. ὥστε μοι δοκεῖ μᾶλλον ἂν ὑμᾶς ἔχειν μὴ φανερῶς αὐτῆς ἐνδούσης ἢ [h] 'κεῖνον λαβεῖν βούλεσθαι. οἶμαι μὲν οὖν οὐδὲ βοηθή- 194
σειν αὐτήν, ἂν δ' ἄρα τοῦτο ποιῇ, φαύλως καὶ κακῶς·
14 ἐπεὶ καὶ βασιλέα [i] γ' ὅ τι [k] μὲν ποιήσει, μὰ Δί' οὐκ ἂν εἴποιμι ἔγωγ' ὡς οἶδα, ὅτι μέντοι συμφέρει τῇ πόλει δῆλον ἤδη γενέσθαι πότερα ἀντιποιήσεται τῆς πόλεως τῆς Ῥοδίων ἢ οὔ, [l] τοῦτ' ἂν ἰσχυρισαίμην· οὐ γὰρ ὑπὲρ Ῥοδίων βουλευτέον, [m] ὅταν ἀντιποιῆται, μόνον, ἀλλ' ὑπὲρ [n] ὑμῶν αὐτῶν καὶ [o] τῶν πάντων Ἑλλήνων.

15 Οὐ μὴν οὐδ' ἂν εἰ δι' αὐτῶν εἶχον τὴν πόλιν οἱ νῦν ὄντες ἐν αὐτῇ Ῥόδιοι, παρῄνεσα ἂν ὑμῖν τούτους ἑλέσθαι, οὐδ' εἰ πάνθ' ὑπισχνοῦντο [p] ὑμῖν ποιήσειν. ὁρῶ γὰρ αὐτοὺς τὸ μὲν πρῶτον, ὅπως καταλύσωσι τὸν δῆμον, προσλαβόντας τινὰς τῶν πολιτῶν, ἐπειδὴ δὲ τοῦτ' [q] ἔπραξαν, πά-

[c] ὡς] ὅσ' margo Y.
[d] βασιλέως] βασιλεὺς ὡς S.
[e] τῷ] τοῦ S.
[f] αὐτὴν] ταύτην S.
[g] ἂν om. F. u. v.
[h] 'κεῖνον S. ceteri ἐκεῖνον.
[i] γ' om. F. Y. O. u. v.
[k] μὲν] μέν ποτε F. Y. O. u. v.
[l] τοῦτ' S. u. ταῦτα F. vulg. ταῦτ'.
[m] ὅταν S. ceteri ἄν.
[n] ὑμῶν] ἡμῶν F. S.
[o] τῶν om. O. post πάντων ponunt F. Y. u. v.
[p] ὑμῖν F. S. vulg. ἡμῖν.
[q] ἔπραξαν] ἔπραξεν F.

λιν ἐκβαλόντας τούτους· τοὺς οὖν μηδετέροις πιστῶς κεχρημένους οὐδ' ἂν ὑμῖν βεβαίους ἡγοῦμαι γενέσθαι συμμάχους.

16 καὶ ταῦτ' [r] οὐδέποτ' εἶπον ἄν, εἰ τῷ Ῥοδίων δήμῳ μόνον ἡγούμην συμφέρειν· οὔτε γὰρ [s] προξενῶ τῶν ἀνδρῶν, οὔτ' ἰδίᾳ ξένος αὐτῶν οὐδείς ἐστί μοι. οὐ μὴν οὐδ' εἰ ταῦτ' ἀμφότερ' ἦν, εἰ μὴ συμφέρειν ὑμῖν ἡγούμην,

17 εἶπον ἄν, ἐπεὶ Ῥοδίοις γ', εἰ οἷόν τε τοῦτ' εἰπεῖν τῷ συναγορεύοντι τῇ σωτηρίᾳ αὐτῶν, συγχαίρω τῶν γεγενημένων, [t] ὅτι τοῦ κομίσασθαι τὰ ὑμέτερ' ὑμῖν φθονήσαντες τὴν αὑτῶν ἐλευθερίαν ἀπολωλέκασι, καὶ παρὸν αὐτοῖς Ἕλλησι καὶ βελτίοσιν [u] αὐτῶν ὑμῖν ἐξ ἴσου συμμαχεῖν, βαρβάροις καὶ δούλοις, οὓς εἰς τὰς ἀκροπόλεις παρεῖνται,

18 δουλεύουσιν. ὀλίγου [v] δὲ δέω λέγειν, ἂν ὑμεῖς αὐτοῖς ἐθελήσητε βοηθῆσαι, ὡς καὶ συνενήνοχε ταῦτ' αὐτοῖς· εὖ μὲν 195
γὰρ πράττοντες οὐκ οἶδ' εἴποτ' [x] ἂν εὖ φρονῆσαι ἠθέλησαν, ὄντες Ῥόδιοι, ἔργῳ δὲ πειραθέντες καὶ διδαχθέντες ὅτι πολλῶν κακῶν ἡ ἄνοια [y] πολλοῖς αἰτία γίγνεται, τάχ' ἄν, εἰ τύχοιεν, σωφρονέστεροι πρὸς [z] τὸν λοιπὸν [a] τοῦ χρόνου γένοιντο. τοῦτο δ' οὐ [b] μικρὸν αὐτοῖς ὠφέλημα ἡγοῦμαι.

19 φημὶ δὴ χρῆναι πειρᾶσθαι σώζειν τοὺς ἄνδρας καὶ μὴ μνησικακεῖν, ἐνθυμουμένους ὅτι πολλὰ καὶ ὑμεῖς [c] ὑπὸ τῶν [d] ἐπιβουλευσάντων ἐξηπατήσθε, ὧν οὐδενὸς αὐτοὶ [e] δοῦναι δίκην [f] δίκαιοι ἂν εἶναι φήσαιτε.

[r] οὐδέποτ'] οὐδεπώποτε S. et margo Y.

[s] προξενῶ] πρόξενος O. v.

[t] ὅτι τοῦ κομίσασθαι] τοῦ κομίσασθαι γὰρ S.

[u] αὐτῶν om. O. post ὑμῖν ponunt F. Y. u. v.

[v] δὲ om. S.

[x] ἂν ante εὖ om. F. O. u. v.

[y] πολλοῖς αἰτίᾳ] αἰτία τοῖς πολλοῖς S.

[z] τὸν] τὸ Y. O. u. v. et correctus F.

[a] τοῦ in margine S.

[b] μικρὸν αὐτοῖς ὠφέλημα] μικρὰν ὠφέλειαν αὐτοῖς S.

[c] ὑπὸ] ἐπὶ S.

[d] ἐπιβουλευσάντων] βουλευσάντων Y.

[e] δοῦναι δίκην S. vulg. δίκην δοῦναι.

[f] δίκαιοι Reiskius: libri δίκαιον.

20 Ὁρᾶτε δὲ κἀκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πολλοὺς
ὑμεῖς [g] πολέμους πεπολεμήκατε καὶ πρὸς δημοκρατίας
καὶ πρὸς ὀλιγαρχίας. καὶ τοῦτο [h] μὲν ἴστε καὶ αὐτοί·
ἀλλ' ὑπὲρ ὧν πρὸς ἑκατέρους ἔσθ' ὑμῖν ὁ πόλεμος, τοῦτ'
21 ἴσως ὑμῶν οὐδεὶς λογίζεται. ὑπὲρ τίνων οὖν ἐστίν; πρὸς
μὲν τοὺς δήμους ἢ περὶ τῶν ἰδίων ἐγκλημάτων, οὐ δυνη-
θέντων δημοσίᾳ [i] διαλύσασθαι ταῦτα, ἢ περὶ γῆς μέρους
ἢ ὅρων ἢ [k] φιλονεικίας ἢ τῆς ἡγεμονίας· πρὸς δὲ τὰς ὀλι-
γαρχίας ὑπὲρ μὲν τούτων οὐδενός, ὑπὲρ δὲ τῆς πολιτείας
22 καὶ τῆς ἐλευθερίας· ὥστ' ἔγωγ' οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν
μᾶλλον ἡγεῖσθαι συμφέρειν δημοκρατουμένους τοὺς Ἕλ-
ληνας ἅπαντας πολεμεῖν [l] ὑμῖν ἢ ὀλιγαρχουμένους φί-
λους εἶναι. πρὸς μὲν [m] γὰρ ἐλευθέρους ὄντας οὐ χαλεπῶς
ἂν [n] εἰρήνην ὑμᾶς ποιήσασθαι νομίζω, ὁπότε [o] βουληθείητε,
πρὸς δὲ [p] ὀλιγαρχουμένους οὐδὲ τὴν φιλίαν ἀσφαλῆ νομί-
ζω· [q] οὐ γὰρ ἔσθ' ὅπως ὀλίγοι πολλοῖς καὶ ζητοῦντες
ἄρχειν τοῖς μετ' ἰσηγορίας ζῆν [r] ᾑρημένοις εὖνοι γένοιντ' ἄν.
23 Θαυμάζω δ', εἰ μηδεὶς ὑμῶν ἡγεῖται Χίων ὀλιγαρχου- 196
μένων καὶ [s] Μυτιληναίων, καὶ νυνὶ Ῥοδίων καὶ πάντων
ἀνθρώπων ὀλίγου δέω λέγειν εἰς ταύτην τὴν δουλείαν ὑπα-
γομένων, [t] συγκινδυνεύειν τὴν παρ' [u] ἡμῖν πολιτείαν, μηδὲ
λογίζεται τοῦθ', ὅτι οὐκ ἔστιν ὅπως, εἰ δι' [x] ὀλιγαρχίας

[g] πολέμους πεπολεμήκατε S. ceteri πεπολεμήκατε πολέμους.

[h] μὲν om. pr. Y. post ἴστε ponunt F. O. u. v.

[i] διαλύσασθαι] λύσασθαι O.

[k] φιλονεικίας S. et margo Y. ceteri φιλοτιμίας.

[l] ὑμῖν O. u. vulg. ἡμῖν.

[m] γὰρ om. pr. v.

[n] εἰρήνην ὑμᾶς S. ceteri ὑμᾶς εἰρήνην.

θείητε
[o] βουληθείητε] βούλησθε F.

[p] ὀλιγαρχουμένους] τοὺς ὀλιγαρχουμένους F. Y. O. v.

[q] οὐ] οὐδὲ v.

[r] ᾑρημένοις] εἰρημένοις O.

[s] Μυτιληναίων S. et pr. F. vulg. Μιτυληναίων.

[t] συγκινδυνεύειν] συγκινδυνεύειν τι F. Y. O. u. v.

[u] ἡμῖν] ἡμῖν F.

[x] ὀλιγαρχίας] ὀλιγαρχιῶν (αις) F. ὀλιγαρχιῶν Y.

ἅπαντα συστήσεται, τὸν παρ' ὑμῖν δῆμον ἐάσουσιν. ἴσα-
σι γὰρ οὐδένας ἄλλους πάλιν εἰς ἐλευθερίαν τὰ [y] πράγ-
ματ' [z] ἐπανάξοντας· ὅθεν δὴ κακὸν αὐτοῖς ἄν τι γενέσθαι
24 προσδοκῶσι, [a] τούτους ἀνελεῖν βουλήσονται. τοὺς μὲν [b] οὖν
ἄλλους [c] τοὺς ἀδικοῦντάς τινας αὐτῶν τῶν κακῶς πεπονθό-
των ἐχθροὺς ἡγεῖσθαι [d] χρή· τοὺς δὲ τὰς πολιτείας κατα-
λύοντας [e] καὶ μεθιστάντας εἰς ὀλιγαρχίαν κοινοὺς ἐχθροὺς
παραινῶ νομίζειν πάντων τῶν ἐλευθερίας ἐπιθυμούντων.
25 ἔπειτα καὶ δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, δημοκρατουμέ-
νους αὐτοὺς τοιαῦτα φρονοῦντας φαίνεσθαι περὶ τῶν ἀτυ-
χούντων δήμων, [f] οἷάπερ ἂν τοὺς ἄλλους ἀξιώσαιτε φρο-
νεῖν περὶ ὑμῶν, εἴ ποθ', ὃ μὴ γένοιτο, τοιοῦτό τι συμβαίη.
26 καὶ γὰρ εἰ δίκαιά τις [g] φήσει Ῥοδίους πεπονθέναι, οὐκ
ἐπιτήδειος ὁ καιρὸς ἐφησθῆναι· δεῖ γὰρ τοὺς εὐτυχοῦντας
περὶ τῶν ἀτυχούντων ἀεὶ φαίνεσθαι [h] τὰ βέλτιστα βου-
λευομένους, [i] ἐπειδήπερ ἄδηλον τὸ μέλλον ἅπασιν ἀνθρώ-
ποις.

Ἀκούω δ' [k] ἔγωγε πολλάκις [l] ἐνταυθὶ παρ' ὑμῖν τι-
νῶν λεγόντων ὡς, ὅτε ἠτύχησεν [m] ὁ δῆμος ἡμῶν, συνεβου-
λεύθησάν τινες [n] αὐτὸν σωθῆναι· ὧν ἐγὼ μόνων Ἀργείων
27 ἐν τῷ παρόντι μνησθήσομαι βραχύ τι. οὐ γὰρ ἂν [o] ὑμᾶς

[y] πράγματ'] πραγματ' ἂν F. O. u. v.

[z] ἐπανάξοντας] ἐπάξοντας Y. ἐπάγοντας S.

[a] τούτους] τοῦτ' S.

[b] οὖν om. O.

[c] τοὺς om. S.

[d] χρὴ om. pr. S.

[e] καὶ om. S.

[f] οἷάπερ ἂν—ἀξιώσαιτε] οἷα—ἀξιώσετε F. Y. O. u. v.

[g] φήσει S. φήσειε O. ἂν φήσειε ceteri.

[h] τὰ βέλτιστα βουλευομένους S. βουλομένους τὰ βέλτιστα correctus Y. βουλευομένους τὰ βέλτιστα ceteri.

[i] ἐπειδήπερ] ἐπείπερ Y.

[k] ἔγωγε] ἐγὼ S.

[l] ἐνταυθὶ] ἐνταυθοῖ F. O. u. v. et correctus Y.

[m] ὁ δῆμος] ἡ πόλις F. Y. O. v.

[n] αὐτὸν] αὐτῆν F. αὐτὴν O. v.

[o] ὑμᾶς] ἡμᾶς O.

βουλοίμην, δόξαν ἔχοντας τοῦ σώζειν τοὺς [p] ἀτυχοῦντας
ἀεί, χείρους Ἀργείων ἐν ταύτῃ τῇ πράξει φανῆναι, οἳ χώ- 197
ραν ὅμορον [q] τῇ Λακεδαιμονίων οἰκοῦντες, ὁρῶντες ἐκείνους
γῆς καὶ θαλάττης ἄρχοντας, οὐκ ἀπώκνησαν οὐδ' [r] ἐφο-
βήθησαν εὐνοϊκῶς ὑμῖν ἔχοντες φανῆναι, ἀλλὰ καὶ πρέσ-
βεις ἐλθόντας ἐκ Λακεδαίμονος, ὥς φασιν, ἐξαιτήσοντάς
τινας τῶν φυγάδων τῶν ὑμετέρων ἐψηφίσαντο, ἐὰν μὴ
πρὸ ἡλίου [s] δύνοντος ἀπαλλάττωνται, πολεμίους κρίνειν.
28 εἶτ' οὐκ αἰσχρόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὸ μὲν Ἀργείων
πλῆθος οὐκ ἐφοβήθη τὴν Λακεδαιμονίων ἀρχὴν ἐν ἐκείνοις
τοῖς καιροῖς οὐδὲ τὴν ῥώμην, ὑμεῖς δ' ὄντες Ἀθηναῖοι βάρ-
29 βαρον ἄνθρωπον, καὶ ταῦτα γυναῖκα, [t] φοβηθήσεσθε; καὶ
μὴν οἱ μὲν [u] ἔχοιεν ἂν εἰπεῖν ὅτι πολλάκις ἥττηνται ὑπὸ
Λακεδαιμονίων, ὑμεῖς δὲ νενικήκατε μὲν πολλάκις βασι-
λέα, ἥττησθε δ' [x] οὐδ' ἅπαξ [y] οὔτε τῶν δούλων [a] τῶν βα-
σιλέως οὔτ' αὐτοῦ ἐκείνου· εἰ γάρ τί [b] που κεκράτηκε τῆς
πόλεως βασιλεύς, ἢ τοὺς πονηροτάτους τῶν Ἑλλήνων καὶ
προδότας αὐτῶν χρήμασι πείσας ἢ οὐδαμῶς ἄλλως κε-
30 κράτηκεν. καὶ οὐδὲ τοῦτο αὐτῷ συνενήνοχεν· [c] ἀλλ' ἅμα
εὑρήσετε αὐτὸν τήν τε πόλιν [d] διὰ Λακεδαιμονίων ἀσθενῆ
ποιήσαντα καὶ περὶ τῆς αὐτοῦ βασιλείας κινδυνεύσαντα
πρὸς Κλέαρχον καὶ Κῦρον. οὔτ' οὖν ἐκ [e] τοῦ φανεροῦ κε-
31 κράτηκεν, οὔτ' ἐπιβουλεῦσαι συνενήνοχεν αὐτῷ. ὁρῶ δ'
ὑμῶν ἐνίους Φιλίππου μὲν ὡς ἄρ' οὐδενὸς ἀξίου πολλάκις

[p] ἀτυχοῦντας S. vulg. ἀτυχήσαντας.
[q] τῇ Λακ.] τὴν λακ. F.
[r] ἐφοβήθησαν] ἐφόβησαν O.
[s] δύνοντος] δύντος γρ. Y.
[t] φοβηθήσεσθε] φοβήσεσθε F. φοβήσεσθαι S.
[u] ἔχοιεν ἂν] ἂν ἔχοιεν Y.
[x] οὐδ' om. pr. O.
[y] οὔτε om. S. quod addebatur ὑπὸ omisi cum F.O.u.v. et Anecd. p. 147, 1. ὧν
[a] τῶν βασιλέως] τοῦ βασιλέως F. τοῦ βασιλέως O. u.
[b] που] που καὶ F. u. v.
[c] ἀλλ' ἅμα] ἀλλὰ μὴν S. O. u. v. ἀλλὰ μην τε F.
[d] διὰ om. O. u. v.
[e] τοῦ post ἐκ om. S.

ὀλιγωροῦντας, βασιλέα δ' ὡς ἰσχυρὸν ἐχθρὸν οἷς ἂν προέληται φοβουμένους. εἰ δὲ τὸν μὲν ὡς φαῦλον οὐκ ἀμυνούμεθα, τῷ δὲ ὡς φοβερῷ πάνθ' ὑπείξομεν, πρὸς τίνας 198
ὦ ἄνδρες Ἀθηναῖοι παραταξόμεθα;

32 Εἰσὶ [f] δέ τινες [g] ὦ ἄνδρες Ἀθηναῖοι παρ' [h] ὑμῖν δεινότατοι [i] τὰ δίκαια λέγειν ὑπὲρ τῶν ἄλλων πρὸς ὑμᾶς, οἷς παραινέσαιμ' ἂν ἔγωγε τοσοῦτον μόνον, ὑπὲρ [k] ὑμῶν πρὸς τοὺς ἄλλους ζητεῖν τὰ δίκαια λέγειν, ἵν' αὐτοὶ τὰ προσήκοντα πρῶτοι φαίνωνται ποιοῦντες· ὡς ἔστιν ἄτοπον περὶ τῶν δικαίων ὑμᾶς διδάσκειν [l] αὐτὸν οὐ δίκαια ποιοῦντα· οὐ γάρ ἐστι δίκαιον ὄντα πολίτην τοὺς καθ' ὑμῶν λόγους, ἀλλὰ μὴ τοὺς [m] ὑπὲρ ὑμῶν ἐσκέφθαι. φέρε γὰρ πρὸς
33 [n] θεῶν σκοπεῖτε, τί δήποτ' ἐν Βυζαντίῳ οὐδείς ἐσθ' ὁ [o] διδάξων ἐκείνους μὴ καταλαμβάνειν Χαλκηδόνα, ἣ βασιλέως μέν ἐστιν, εἴχετε δ' [p] αὐτὴν ὑμεῖς, ἐκείνοις δ' οὐδαμόθεν [q] προσήκει· μηδὲ [r] Σηλυμβρίαν, πόλιν ὑμετέραν ποτὲ σύμμαχον οὖσαν, ὡς αὐτοὺς συντελῆ ποιεῖν καὶ [s] Βυζάντιον ὁρίζειν τὴν [t] τούτων χώραν παρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας, ἐν αἷς αὐτονόμους [u] τὰς πόλεις εἶναι γέ-
34 γραπται; οὐδὲ [x] Μαύσωλον ζῶντα, οὐδὲ τελευτήσαντος ἐκείνου τὴν Ἀρτεμισίαν οὐδείς ἐσθ' ὁ διδάξων μὴ καταλαμβάνειν [y] Κῶν καὶ Ῥόδον καὶ ἄλλας [z] πόλεις ἑτέρας

[f] δέ] δή O.
[g] ὦ ἄνδρες Ἀθηναῖοι] ὦ ἀθηναῖοι O. οἱ u. v.
[h] ὑμῖν] ημῖν (υ) F. ἡμῖν Y.O.u.v.
[i] τὰ om. S.
[k] ὑμῶν] ἡμῶν F.
[l] αὐτὸν (ους) — ποιοῦντα (ας) Y. O.
[m] ὑπὲρ ὑμῶν] ὑπὲρ ἡμῶν u. v.
[n] θεῶν] τῶν θεῶν Y.
[o] διδάξων] διδάσκων (ξ) Y. διδάσκων F. O. u. v.
[p] αὐτὴν ὑμεῖς S. vulg. ὑμεῖς αὐτήν.
[q] προσήκει] προσῆκεν S.
[r] Σηλυμβρίαν] σηλυμβραν S. συλημβρίαν O. u.
[s] Βυζάντιον] βυζαντιον (ους) F. βυζαντίους S. O. u. v.
[t] τούτων] τούτων (ου) F.
[u] τὰς πόλεις in margine Y. O. om. F. u. v.
[x] Μαύσωλον ζῶντα S. et correcti Y. O. μαυσώλου (ου) ζῶντα (ος) F. μαυσώλου ζῶντος u. v.
[y] Κῶν] κῶ F. u. v. et pr. Y.

Ἑλληνίδας, [a] ὧν βασιλεὺς ὁ [b] ἐκείνων δεσπότης ἐν ταῖς συνθήκαις ἀπέστη τοῖς Ἕλλησι, καὶ περὶ ὧν πολλοὺς κινδύνους καὶ καλοὺς ἀγῶνας οἱ κατ' ἐκείνους τοὺς χρόνους Ἕλληνες ἐποιήσαντο. εἰ δ' ἄρα καὶ [c] λέγει τις ἀμφοτέροις αὐτοῖς, ἀλλ' οἵ γε πειθόμενοι τούτοις, ὡς ἔοικεν,
35 οὐκ εἰσίν. ἐγὼ δὲ δίκαιον μὲν εἶναι νομίζω κατάγειν τὸν Ῥοδίων δῆμον· οὐ μὴν ἀλλὰ καὶ εἰ μὴ δίκαιον ἦν, ὅταν εἰς ἃ ποιοῦσιν οὗτοι βλέψω, προσήκειν οἶμαι [d] παραινέσαι κατάγειν. διὰ τί; ὅτι πάντων μὲν ὦ ἄνδρες Ἀθη- 199
ναῖοι τὰ δίκαια ποιεῖν ὡρμηκότων αἰσχρὸν ἡμᾶς μόνους μὴ ἐθέλειν, ἁπάντων δὲ τῶν ἄλλων ὅπως ἀδικεῖν [e] δυνήσονται παρασκευαζομένων μόνους ἡμᾶς τὰ δίκαια προτείνεσθαι, μηδενὸς ἀντιλαμβανομένους, οὐ δικαιοσύνην ἀλλ' [f] ἀνανδρίαν ἡγοῦμαι· ὁρῶ γὰρ ἅπαντας πρὸς τὴν
36 παροῦσαν δύναμιν [g] καὶ τῶν δικαίων ἀξιουμένους. καὶ παράδειγμα [h] λέγειν ἔχω τούτου [i] πᾶσιν ὑμῖν γνώριμον. εἰσὶ συνθῆκαι [k] τοῖς Ἕλλησι διτταὶ πρὸς βασιλέα, ἃς ἐποιήσατο ἡ πόλις ἡ ἡμετέρα, ἃς ἅπαντες ἐγκωμιάζουσι, καὶ μετὰ ταῦθ' ὕστερον Λακεδαιμόνιοι ταύτας ὧν δὴ κατηγοροῦσι· κἂν ταύταις οὐχὶ ταὐτὰ δίκαια [l] ἀμφοτέραις ὥρισται. τῶν μὲν γὰρ ἰδίων δικαίων τῶν ἐν ταῖς πολιτείαις οἱ νόμοι κοινὴν τὴν μετουσίαν ἔδοσαν καὶ ἴσην καὶ τοῖς ἀσθενέσι καὶ τοῖς ἰσχυροῖς· τῶν δ' Ἑλληνικῶν δικαίων οἱ κρατοῦντες ὁρισταὶ τοῖς [m] ἥττοσι γίγνονται.

Conf. Locella ad Xenophont. Ephes. p. 21, 3.

[z] πόλεις ἑτέρας] ἑτέρας πόλεις S.

[a] ὧν] ὧν καὶ F. Y. O. u. v.

[b] ἐκείνων] κείνων S.

[c] λέγει] λέγοι O. u.

[d] παραινέσαι] παραινεῖν S.

[e] δυνήσονται] δυνήσωνται O.

[f] ἀνανδρίαν] ἀνδρίαν u. et pr. v. ἀνδρειαν pr. S.

[g] καὶ om. S.

[h] λέγειν ἔχω τούτου S. ceteri τούτου λέγειν ἔχω.

[i] πᾶσιν] ἅπασιν O.

[k] τοῖς Ἕλλησι διτταὶ] διτταὶ τοῖς ἕλλησι O. u. v.

[l] ἀμφοτέραις] ἀμφοτέροις F. Y. O. u.

[m] ἥττοσι] ἥττω Y.

37 Ἐπειδὴ τοίνυν ὑμῖν ἐγνωκέναι τὰ δίκαια [o] ποιεῖν ὑπάρ-
χει, ὅπως καὶ πρᾶξαι ταῦτ' ἐφ' ὑμῖν ἔσται, δεῖ σκοπεῖν.
[p] ἔσται δὲ ταῦτ', ἐὰν ὑποληφθῆτε κοινοὶ προστάται τῆς
ἁπάντων ἐλευθερίας εἶναι. εἰκότως δέ μοι δοκεῖ χαλεπώ-
38 τατον ὑμῖν εἶναι πρᾶξαι τὰ δέοντα. τοῖς μὲν γὰρ ἄλλοις
ἅπασιν ἀνθρώποις εἷς ἀγών ἐστιν ὁ πρὸς τοὺς προδήλους
ἐχθρούς, ὧν ἐὰν κρατήσωσιν, οὐδὲν ἐμποδὼν αὐτοῖς κυρίοις
τῶν ἀγαθῶν εἶναι· ὑμῖν δ' ὦ ἄνδρες Ἀθηναῖοι δύο, οὗτός
θ' ὁ καὶ τοῖς ἄλλοις, καὶ [q] προσέθ' ἕτερος τούτου πρότε-
ρος καὶ μείζων· δεῖ γὰρ ὑμᾶς βουλευομένους κρατῆσαι
τῶν [r] τἀναντία τῇ πόλει παρ' ὑμῖν πράττειν προῃρημένων. 200
ὅταν οὖν [s] μηδὲν ᾖ διὰ τούτους ἀκονιτὶ τῶν δεόντων [t] γενέ-
σθαι, πολλῶν διαμαρτάνειν [u] ὑμᾶς εἰκότως συμβαίνει.
39 τοῦ μέντοι πολλοὺς ἀδεῶς ταύτην τὴν τάξιν αἱρεῖσθαι τῆς
πολιτείας, ἴσως μὲν αἱ παρὰ τῶν [x] μισθοδοτούντων [y] αὐ-
τοῖς [z] ὠφέλειαι μάλιστ' αἴτιαι, οὐ μὴν ἀλλὰ καὶ ὑμᾶς
ἄν τις ἔχοι δικαίως αἰτιᾶσθαι. ἐχρῆν γὰρ ὦ ἄνδρες Ἀθη-
ναῖοι τὴν αὐτὴν ἔχειν διάνοιαν ὑμᾶς περὶ τῆς ἐν τῇ πολι-
τείᾳ τάξεως, ἥν περ περὶ τῆς [a] ἐν ταῖς στρατείαις ἔχετε.
40 τίς οὖν ἐστὶν αὕτη; ὑμεῖς τὸν λείποντα τὴν ὑπὸ τοῦ στρα-
τηγοῦ τάξιν ταχθεῖσαν ἄτιμον οἴεσθε προσήκειν εἶναι καὶ
μηδενὸς τῶν κοινῶν μετέχειν. χρὴ τοίνυν καὶ τοὺς τὴν ὑπὸ
τῶν προγόνων τάξιν ἐν τῇ πολιτείᾳ παραδεδομένην [b] λεί-
ποντας καὶ πολιτευομένους ὀλιγαρχικῶς ἀτίμους τοῦ

[o] ποιεῖν] καὶ ποιεῖν F. Y. O. u. v.
[p] ἔσται δὲ] ἐστὶ δὲ S.
[q] προσεθ'] πρόσεσθ' F. Y. πρόσθ' O.
[r] τἀναντία] ἐναντία Y.
[s] μηδὲν ᾖ διὰ τούτους ἀκονιτὶ] μηδενὸς ἀκώητε Y. correctus O. γρ. F. S.
[t] γενέσθαι] γίγνεσθαι Y.
[u] ὑμῖν εἰκότως] εἰκότως ὑμῖν Y.
[x] μισθοδοτούντων] μισθοδοτῶν F. Y. O. u. μισθωτῶν v.
[y] αὐτοῖς] αὐτοὺς S.
[z] ὠφέλειαι] ὠφέλιαι O.
[a] ἐν ταῖς στρατείαις S. ἐν στρατείᾳ τάξεως u. v. ἐν τῇ στρατείᾳ τάξεως ceteri.
[b] λείποντας] λιπόντας Y. λιπόντας O. u. v.

41 συμβουλεύειν ὑμῖν [c] αὐτοῖς ποιεῖσθαι· νῦν δὲ τῶν μὲν
συμμάχων τοὺς [d] τὸν [e] αὐτὸν ἐχθρὸν [f] καὶ [g] φίλον ὑμῖν
[h] ἕξειν ὀμωμοκότας νομίζετε εὐνουστάτους, τῶν δὲ πολι-
τευομένων οὓς ἴστε σαφῶς τοὺς τῆς πόλεως ἐχθροὺς ᾑρη-
μένους, τούτους πιστοτάτους ἡγεῖσθε.

42 Ἀλλὰ γὰρ οὐχ ὅ τι τις κατηγορήσει τούτων ἢ τοῖς
ἄλλοις [i] ὑμῖν ἐπιπλήξει, χαλεπὸν εὑρεῖν· ἀλλ' ἀφ' ὁποίων
λόγων ἢ [k] ποίας πράξεως ἐπανορθώσεταί τις ἃ νῦν οὐκ
ὀρθῶς ἔχει, τοῦτ' ἔργον εὑρεῖν. ἴσως μὲν οὖν οὐδὲ τοῦ παρ-
όντος καιροῦ περὶ πάντων λέγειν· ἀλλ' ἐὰν ἃ προῄρησθε
[l] δυνηθῆτε ἐπικυρῶσαι συμφερούσῃ τινὶ πράξει, καὶ τἄλλ'
43 [m] ἂν ἴσως καθ' ἓν [n] ἀεὶ βέλτιον [o] σχοίη. ἐγὼ μὲν οὖν
οἶμαι δεῖν ὑμᾶς ἀντιλαμβάνεσθαι [p] τῶν πραγμάτων τού-
των ἐρρωμένως, καὶ πράττειν ἄξια τῆς πόλεως, ἐνθυμου- 201
μένους ὅτι χαίρετ' ἀκούοντες, ὅταν τις ἐπαινῇ τοὺς προγό-
νους ὑμῶν καὶ τὰ πεπραγμένα ἐκείνοις διεξίῃ καὶ τὰ
τρόπαια λέγῃ. νομίζετε τοίνυν ταῦτ' ἀναθεῖναι τοὺς προ-
γόνους ὑμῶν οὐχ ἵνα θαυμάζητ' [q] αὐτὰ θεωροῦντες [r] μόνον,
ἀλλ' ἵνα καὶ μιμῆσθε τὰς τῶν ἀναθέντων ἀρετάς.

[c] αὐτοῖς om. u.
[d] τὸν om. F. u. v. et pr. O.
[e] αὐτὸν ἐχθρὸν] αὐτοὺς ἐχθροὺς F. u. v.
[f] καὶ—πόλεως ἐχθροὺς om. u.
[g] φίλον] φίλους v.
[h] ἕξειν om. F. Y. O. u.
[i] ὑμῖν] ὑμῶν S.
[k] ποίας πράξεως] πράξεως ποίας S.
[l] δυνηθῆτε S. δύνησθε F. Y. O. u. et correctus v.
[m] ἂν om. O.
[n] ἀεὶ] ἂν F. O. u. v. et pr. Y.
[o] σχοίη] ἔχοι S.
[p] τῶν πραγμάτων τούτων] τούτων τῶν πραγμάτων F. Y. O. u. v.
[q] αὐτὰ] ταῦτα F. O. u. v.
[r] μόνον in margine S.

## Iϛ.

# ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ.

### ΥΠΟΘΕΣΙΣ.

Ὅτε Λακεδαιμόνιοι νικηθέντες ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας εἰς κίνδυνον μέγαν κατέστησαν, ἀποστάντων Ἀρκάδων καὶ προσθεμένων τοῖς Θηβαίοις, Ἀθηναῖοι σύμμαχοι Λακεδαιμονίοις γενόμενοι διέσωσαν αὐτούς. ὕστερον δὲ Λακεδαιμόνιοι τῶν κινδύνων ἀπαλλαγέντες καὶ προϊόντες πάλιν εἰς δύναμιν ἐπὶ Μεγάλην πόλιν τῆς Ἀρκαδίας ἤρχοντο, καὶ τοὺς Ἀθηναίους παρεκάλουν διὰ πρεσβείας κοινωνεῖν αὐτοῖς τοῦ πολέμου. πεπόμφασι δὲ καὶ οἱ Μεγαλοπολῖται πρέσβεις Ἀθήναζε παρακαλοῦντες ὑπὲρ ἑαυτῶν. ὁ τοίνυν Δημοσθένης συμβουλεύει μὴ περιορᾶν αἱρεθεῖσαν Μεγάλην πόλιν μηδὲ εἰς ἰσχὺν προελθόντας Λακεδαιμονίους, συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ μὴ φοβερὰν εἶναι τὴν Λακεδαίμονα.

ΑΜΦΟΤΕΡΟΙ μοι δοκοῦσιν ἁμαρτάνειν, ὦ ἄνδρες Ἀθη- 202
ναῖοι, καὶ οἱ τοῖς Ἀρκάσι καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες· ὥσπερ γὰρ ἀφ᾽ ἑκατέρων ἥκοντες, οὐχ ὑμῶν ὄντες πολῖται, πρὸς οὓς ἀμφότεροι [a] πρεσβεύονται,
2 κατηγοροῦσι καὶ διαβάλλουσιν ἀλλήλους. ἦν δὲ τοῦτο μὲν τῶν ἀφιγμένων ἔργον, τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγμάτων λέγειν καὶ τὰ βέλτιστα ὑπὲρ ὑμῶν σκοπεῖν ἄνευ φιλονεικίας τῶν ἐνθάδε συμβουλεύειν ἀξιούντων. νῦν δ᾽ ἔγωγε, εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκεσθαι καὶ τὸ τῇ φωνῇ λέγειν Ἀττικῶς, πολλοὺς ἂν οἶμαι τοὺς μὲν Ἀρ-
3 κάδας τοὺς δὲ Λάκωνας αὐτῶν εἶναι νομίσαι. ἐγὼ δ᾽ ὁρῶ μὲν ὡς χαλεπὸν τὰ βέλτιστα λέγειν ἐστί· συνεξηπατημένων γὰρ ὑμῶν, καὶ τῶν μὲν ταυτὶ [b] βουλομένων τῶν δὲ ταυτί, ἐὰν [c] τὰ μεταξύ τις ἐγχειρῇ λέγειν καὶ ὑμεῖς [d] μὴ [e] περιμένητε μαθεῖν, χαριεῖται μὲν οὐδετέροις, διαβε-

[a] πρεσβεύονται] πρεσβεύουσι S.
[b] βουλομένων ante ἐὰν ponit S.
[c] τὰ] τι S.
[d] μὴ om. S.
[e] περιμένητε] περιμείνητε F.Y.O.

4 βλήσεται δὲ πρὸς ἀμφοτέρους· οὐ μὴν ἀλλ᾽ αἱρήσομαι
μᾶλλον αὐτός, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν φλυαρεῖν, [f] ἢ
παρ᾽ ἃ βέλτιστα νομίζω τῇ πόλει, προέσθαι τισὶν ὑμᾶς
ἐξαπατῆσαι. τὰ μὲν οὖν ἄλλα ὕστερον, ἂν ὑμῖν βουλο-
μένοις [g] ᾖ, [h] λέξω· ἀπὸ δὲ τῶν ὁμολογουμένων ὑφ᾽ ἁπάν-
των ἄρξομαι, ἃ κράτιστα νομίζω, διδάσκειν.

5 Οὐκοῦν οὐδ᾽ ἂν εἷς ἀντείποι ὡς οὐ συμφέρει τῇ πόλει
καὶ Λακεδαιμονίους ἀσθενεῖς εἶναι καὶ Θηβαίους τουτου- 203
σί. ἔστι τοίνυν ἔν τινι [i] τοιούτῳ καιρῷ τὰ πράγματα
[k] νῦν, εἴ τι δεῖ τοῖς εἰρημένοις πολλάκις παρ᾽ ὑμῖν λόγοις
τεκμήρασθαι, ὥστε Θηβαίους μὲν Ὀρχομενοῦ καὶ [l] Θεσ-
πιῶν καὶ Πλαταιῶν οἰκισθεισῶν ἀσθενεῖς γενέσθαι, Λα-
κεδαιμονίους δ᾽, εἰ ποιήσονται [m] Ἀρκαδίαν ὑφ᾽ ἑαυτοῖς
καὶ Μεγάλην πόλιν [n] αἱρήσουσι, πάλιν ἰσχυροὺς γενήσε-
6 σθαι. σκεπτέον τοίνυν μὴ πρότερον τούσδε γενέσθαι φο-
βεροὺς καὶ μεγάλους ἐάσωμεν ἢ ἐκεῖνοι [o] μικροὶ γενήσον-
ται, καὶ λάθωσιν ἡμᾶς πλείονι μείζους οἱ Λακεδαιμόνιοι
γενόμενοι, ἢ ὅσῳ τοὺς Θηβαίους ἐλάττους συμφέρει γενέ-
σθαι. οὐ γὰρ ἐκεῖνό γ᾽ ἂν εἴποιμεν, ὡς ἀνταλλάξασθαι
βουλοίμεθα ἀντιπάλους Λακεδαιμονίους ἀντὶ Θηβαίων,
οὐδὲ τοῦτ᾽ ἔσθ᾽ ὃ σπουδάζομεν, ἀλλ᾽ ὅπως μηδέτεροι [p] δυ-
νήσονται μηδὲν ἡμᾶς ἀδικεῖν· οὕτω γὰρ [q] ἂν ἡμεῖς μετὰ
πλείστης ἀδείας εἴημεν.

7 Ἀλλὰ νὴ Δία ταῦτα μὲν οὕτω δεῖν ἔχειν φήσομεν,
δεινὸν δ᾽ εἰ, πρὸς οὓς παρεταττόμεθα ἐν [r] Μαντινείᾳ, τού-
τους συμμάχους αἱρησόμεθα· εἶτα βοηθήσομεν τούτοις

[f] ἢ παρ᾽] ἤπερ γρ. S.
[g] ᾖ] ἀκούειν ᾖ margo O.
[h] λέξω] δείξω S. λέξω δείξω F.
[i] τοιούτῳ καιρῷ] καιρῷ τοιούτῳ Y. O.
[k] νῦν] νυνὶ Y. O.
[l] Θεσπιῶν καὶ Πλαταιῶν] θεσπιέων καὶ πλαταιέων F. v.
[m] Ἀρκαδίαν] τὴν ἀρκαδίαν S.
[n] αἱρήσουσι] ἀναιρήσουσι S.
[o] μικροὶ] μικροι τε S.
[p] δυνήσονται] δυνήσωνται Y. O.
[q] ἂν post ἀδείας ponunt Y. O.
[r] Μαντινείᾳ] μαντινέα Y. O.

ἐναντία [s] ἐκείνων, μεθ' ὧν τότ' ἐκινδυνεύομεν. [t] κἀμοὶ
ταῦτα δοκεῖ, προσδεῖσθαι δ' ἔτι τοῦ τὰ δίκαια ποιεῖν ἐθε-
8 λόντων [u] τῶν ἑτέρων. εἰ μὲν τοίνυν ἐθελήσουσι [x] εἰρήνην
ἅπαντες ἄγειν, οὐ βοηθήσομεν τοῖς Μεγαλοπολίταις· οὐ-
δὲν γὰρ δεήσει· ὥστ' οὐδ' ὁτιοῦν ὑπεναντίον [y] ἡμῖν ἔσται
πρὸς τοὺς [z] συμπαραταξαμένους, σύμμαχοι δ' ἡμῖν οἱ
μὲν ὑπάρχουσιν, ὥς φασιν, οἱ δὲ προσγενήσονται νυνί. καὶ
9 τί ἂν ἄλλο βουλοίμεθα; ἐὰν δ' ἀδικῶσι καὶ πολεμεῖν οἴ-
ωνται δεῖν, εἰ μὲν ὑπὲρ τούτου μόνον βουλευτέον, εἰ χρὴ
Μεγάλην πόλιν ἡμᾶς προέσθαι Λακεδαιμονίοις ἢ μή, δί- 204
καιον μὲν οὔ, συγχωρῶ δ' ἔγωγ' ἐᾶσαι καὶ μηδὲν ἐναν-
τιωθῆναι τοῖς [a] τότε τῶν αὐτῶν μετασχοῦσι κινδύνων· εἰ
δ' ἅπαντες ἐπίστασθε ὅτι, ταύτην ἂν ἕλωσιν, ἴασιν ἐπὶ
Μεσσήνην, φρασάτω τις ἐμοὶ τῶν νῦν χαλεπῶν τοῖς Με-
γαλοπολίταις, τί τόθ' ἡμῖν [b] συμβουλεύσει ποιεῖν. ἀλλ'
10 οὐδεὶς ἐρεῖ. καὶ μὴν πάντες ἐπίστασθε ὡς [c] καὶ παραι-
νούντων τούτων καὶ μὴ βοηθητέον, καὶ διὰ τοὺς ὅρκους,
οὓς ὀμωμόκαμεν Μεσσηνίοις, καὶ διὰ τὸ συμφέρον εἶναι
κατοικεῖσθαι ταύτην τὴν πόλιν. σκοπεῖσθε [d] δὴ πρὸς
ὑμᾶς αὐτούς, ποτέραν τὴν ἀρχὴν καλλίονα καὶ φιλαν-
θρωποτέραν ποιήσεσθε τοῦ μὴ [e] ἐπιτρέπειν ἀδικεῖν Λακε-
δαιμονίοις, τὴν ὑπὲρ Μεγάλης πόλεως ἢ τὴν ὑπὲρ Μεσ-
11 σήνης; νῦν μέν γε βοηθεῖν δόξετε Ἀρκάσι, καὶ τὴν εἰ-
ρήνην σπουδάζειν εἶναι βεβαίαν, ὑπὲρ ἧς ἐκινδυνεύσατε
καὶ παρετάξασθε· τότε δ' εὔδηλοι πᾶσιν ἔσεσθε οὐ τοῦ

[s] ἐκείνων] ἐκείνοις F. S. Y. O. v.

[t] κἀμοὶ] καί μοι F. v.

[u] τῶν om. S.

[x] εἰρήνην ἅπαντες S. ceteri πάντες εἰρήνην.

[y] ἡμῖν] ὑμῖν F. Y. O. v.

[z] συμπαραταξαμένους] συμπαραταξαμένους (ἀντι superscr.) F. ἀντιπαραταξαμένους S. συνταξαμένους v.

[a] τότε] γε S.

[b] συμβουλεύσει] συμβουλεύει (σ superscr.) F. συμβουλεύει Y.

[c] καὶ post ὡς om. S.

[d] δὴ] δε (δὴ superscr.) F. δὲ Y.

[e] ἐπιτρέπειν ἀδικεῖν] ἀδικεῖν ἐπιτρέπειν Y. ἐπιτρέπειν ὑμᾶς ἀδικεῖν

δικαίου μᾶλλον ἕνεκα Μεσσήνην εἶναι βουλόμενοι ἢ τοῦ πρὸς Λακεδαιμονίους φόβου. δεῖ δὲ σκοπεῖν μὲν [f] ἀεὶ καὶ πράττειν τὰ δίκαια, συμπαρατηρεῖν δ' ὅπως ἅμα καὶ συμφέροντα ἔσται ταῦτα.

12 Ἔστι τοίνυν [g] καὶ τοιοῦτός τις λόγος [h] παρὰ τῶν ἀντι-
λεγόντων, ὡς κομίσασθαι τὸν Ὠρωπὸν ἡμᾶς ἐγχειρεῖν
δεῖ, εἰ δὲ τοὺς [i] βοηθήσαντας [k] ἂν ἡμῖν [l] ἐπ' αὐτὸν ἐχ-
θροὺς νῦν κτησόμεθα, οὐχ ἕξομεν συμμάχους. ἐγὼ δὲ τὸ
μὲν κομίσασθαι Ὠρωπὸν πειρᾶσθαι [m] φημὶ δεῖν καὶ αὐ-
τός· τὸ δ' ἐχθροὺς ἡμῖν [n] ἔσεσθαι Λακεδαιμονίους, νῦν
ἐὰν [o] ποιώμεθα συμμάχους Ἀρκάδων τοὺς βουλομένους
ἡμῖν εἶναι φίλους, μόνοις οὐδ' εἰπεῖν ἐξεῖναι νομίζω τοῖς
πείσασιν [p] ὑμᾶς, ὅτ' ἐκινδύνευον Λακεδαιμόνιοι, βοηθεῖν 205
13 [q] αὐτοῖς. οἱ γὰρ ταῦτα λέγοντες ἔπεισαν ὑμᾶς, πάντων
Πελοποννησίων ἐλθόντων [r] ὡς ὑμᾶς [s] καὶ μεθ' ὑμῶν ἀξι-
ούντων ἐπὶ τοὺς Λακεδαιμονίους ἰέναι, [t] τούτους μὲν μὴ
προσδέξασθαι (καὶ διὰ τοῦθ', ὅπερ ἦν ὑπόλοιπον αὐτοῖς,
ἐπὶ Θηβαίους ἦλθον), ὑπὲρ δὲ [u] τῆς Λακεδαιμονίων σω-
τηρίας καὶ χρήματ' εἰσφέρειν καὶ τοῖς σώμασι κινδυνεύ-
14 ειν. [x] καίτοι οὐδ' ἂν ὑμεῖς ἠθελήσατε δήπου σώζειν αὐ-
τούς, εἰ τοῦτο προὔλεγον ὑμῖν, ὅτι σωθέντες, ἐὰν μὴ ποι-
εῖν ὅ τι [y] βούλονται πάλιν αὐτοὺς ἐᾶτε καὶ ἀδικεῖν, οὐδε-

F. S. ἐπιτρέπειν ἡμᾶς ἀδικεῖν v.
[f] ἀεὶ καὶ πράττειν] καὶ πράττειν ἀεὶ S.
[g] καὶ om. S.
[h] παρὰ] περὶ v.
[i] βοηθήσαντας] βοηθήσαντας (ο superscr.) F. βοηθήσοντας v.
[k] ἂν om. S.
[l] ἐπ' αὐτὸν ἐχθροὺς νῦν] νοὺς ἐπ' αὐτοὺς ἐχθροὺς S. ἐχθροὺς ἐπ' αὐτὸν νῦν F. Y. O. v.
[m] φημὶ δεῖν] δεῖν φημὶ S.
[n] ἔσεσθαι Λακεδαιμονίους] λακεδαιμονίους ἔσεσθαι S.
[o] ποιώμεθα] ποιησώμεθα F. Y. O. v.
[p] ὑμᾶς] ἡμᾶς v.
[q] αὐτοῖς in margine S.
[r] ὡς om. pr. Y.
[s] καὶ om. O.
[t] τούτους] τοὺς F. S.
[u] τῆς om. O. et pr. Y.
[x] καίτοι om. S. et γρ. Y.
[y] βούλονται] βούλωνται S.

15 μίαν [z] ὑμῖν χάριν ἕξουσι τῆς σωτηρίας. καὶ μὴν εἰ [a] καὶ
σφόδρα ἐναντίον ἐστὶ τοῖς Λακεδαιμονίων ἐπιχειρήμασι
τὸ τοὺς Ἀρκάδας [b] ἡμᾶς συμμάχους ποιήσασθαι, προσ-
ήκει δήπου πλείω χάριν αὐτοὺς ἔχειν ὧν ἐσώθησαν ὑφ'
[c] ἡμῶν εἰς τοὺς ἐσχάτους ἐλθόντες κινδύνους, ἢ ὧν ἀδικεῖν
κωλύονται νῦν ὀργίζεσθαι. ὥστε πῶς οὐ βοηθήσουσιν
[d] ὑμῖν ἐπ' Ὠρωπόν, ἢ κάκιστοι πάντων ἀνθρώπων δόξουσιν
εἶναι; [e] μὰ τοὺς θεοὺς ἔγωγε οὐχ ὁρῶ.

16 Θαυμάζω τοίνυν [f] τῶν λεγόντων [g] τοῦτον τὸν λόγον, ὡς
εἰ συμμάχους ποιησόμεθα Ἀρκάδας καὶ ταῦτα πράζο-
μεν, μεταβάλλεσθαι δόξει καὶ οὐδὲν ἔχειν πιστὸν ἡ πό-
λις. ἐμοὶ [h] μὲν γὰρ δοκεῖ τοὐναντίον, ὦ ἄνδρες Ἀθηναῖοι.
διὰ τί; ὅτι τῶν [i] πάντων οὐδένα [k] ἂν ἀντειπεῖν οἶμαι ὡς
οὐ καὶ Λακεδαιμονίους καὶ πρότερον Θηβαίους καὶ τὸ
τελευταῖον [l] Εὐβοέας ἔσωσεν ἡ πόλις, καὶ μετὰ ταῦτα
17 συμμάχους ἐποιήσατο, ἕν τι [m] καὶ τὸ [n] αὐτὸ [o] βουλομένη
ἀεὶ πράττειν. ἔστι δὲ τοῦτο τί; τοὺς ἀδικουμένους σώ-
ζειν. εἰ τοίνυν [p] τοῦθ' οὕτως ἔχει, οὐκέτ' ἂν ἡμεῖς εἴημεν
οἱ μεταβαλλόμενοι, ἀλλ' οἱ μὴ θέλοντες τοῖς δικαίοις ἐμ- 206
μένειν, καὶ φανήσεται τὰ πράγματα διὰ τοὺς [q] ἀεὶ πλεο-
νεκτεῖν βουλομένους μεταβαλλόμενα, οὐχ ἡ πόλις ἡμῶν.

18 Δοκοῦσι δέ μοι Λακεδαιμόνιοι μάλα δεινῶν [r] ἔργον
ἀνθρώπων ποιεῖν. [s] νυνὶ γάρ φασιν ἐκεῖνοι δεῖν [t] Ἠλείους

[z] ὑμῖν χάριν] χάριν ὑμῖν F. Y. O. v.
[a] καὶ post εἰ om. S.
[b] ἡμᾶς] ὑμᾶς F. S. Y. O.
[c] ἡμῶν] ὑμῶν F.
[d] ὑμῖν] ἡμῖν S.
[e] μὰ] ὁ μὰ F. Y. O. v.
[f] τῶν] καὶ τῶν S.
[g] τοῦτον τὸν λόγον] τὸν λόγον τοῦτον F. Y. O. v.
[h] μὲν om. F. v.
[i] πάντων S. ceteri ἁπάντων.
[k] ἂν om. F. v. et pr. Y.
[l] Εὐβοέας] εὐβόας pr. O.
[m] καὶ om. pr. S.
[n] αὐτὸ] αὐτὸ πᾶσιν O.
[o] βουλομένη ἀεὶ S. ceteri ἀεὶ βουλομένη.
[p] τοῦθ'] ταῦθ' S.
[q] ἀεὶ ante διὰ ponit S.
[r] ἔργον ἀνθρώπων] ἀνθρώπων ἔργον S.
[s] νυνὶ] νῦν S.
[t] Ἠλείους] ηλιους S.

μὲν τῆς Τριφυλίας τινὰ κομίσασθαι, Φλιασίους δὲ τὸ
Τρικάρανον, ἄλλους δέ τινας τῶν Ἀρκάδων τὴν αὑτῶν
καὶ τὸν Ὠρωπὸν ἡμᾶς, οὐχ ἵν' ἑκάστους ἡμῶν ἴδωσιν
ἔχοντας τὰ ἑαυτῶν, οὐδ' ὀλίγου δεῖ· ὀψὲ γὰρ ἂν φιλάν-
19 θρωποι [u] γεγονότες εἶεν· ἀλλ' ἵνα πᾶσι δοκῶσι συμ-
πράττειν ὅπως [x] ἂν ἕκαστοι κομίσωνται ταῦθ' ἅ φασιν
αὑτῶν εἶναι, ἵν' ἐπειδὰν ἴωσιν ἐπὶ Μεσσήνην [y] αὐτοί, συ-
στρατεύωνται πάντες αὐτοῖς οὗτοι καὶ βοηθῶσι προθύμως,
ἢ δοκῶσιν ἀδικεῖν, [z] περὶ ὧν ἔφασαν ἕκαστοι σφῶν αὐ-
τῶν εἶναι συμψήφους λαβόντες ἐκείνους, μὴ τὴν ὁμοίαν
20 αὐτοῖς χάριν ἀποδιδόντες. ἐγὼ δὲ νομίζω τὴν πόλιν πρῶ-
τον μὲν καὶ χωρὶς τοῦ καθυφεῖναί [a] τινας Λακεδαιμονίοις
Ἀρκάδων Ὠρωπὸν ἂν κομίσασθαι καὶ μετ' ἐκείνων, ἂν
τὰ δίκαια ποιεῖν ἐθέλωσι, [[b] βοηθούντων] καὶ μετὰ τῶν
ἄλλων τῶν οὐκ οἰομένων δεῖν Θηβαίους [c] ἐᾶν ἔχειν τὰ
21 ἀλλότρια. εἰ δ' ἄρα τοῦτ' εὔδηλον ἡμῖν γένοιτο, ὅτι μὴ
Λακεδαιμονίους ἐῶντες τὴν Πελοπόννησον καταστρέψα-
σθαι οὐχ οἷοί τε ἐσόμεθα Ὠρωπὸν λαβεῖν, αἱρετώτερον,
εἰ οἷόν τ' εἰπεῖν, ἡγοῦμαι τὸν Ὠρωπὸν ἐᾶν ἢ Λακεδαι-
μονίοις Μεσσήνην προέσθαι καὶ Πελοπόννησον. οὐ γὰρ
ἂν ἡγοῦμαι περὶ τούτου μόνον ἡμῖν εἶναι τὸν λόγον πρὸς
ἐκείνους. ἀλλ' ἐάσω τό γ' ἐπελθόν εἰπεῖν μοι· περὶ πολ-
λῶν δ' ἂν οἶμαι κίνδυνον ἡμῖν γενέσθαι.
22 Ἀλλὰ μὴν ἅ γέ φασι πεπρᾶχθαι διὰ Θηβαίους τοῖς 207
Μεγαλοπολίταις ὑπεναντία πρὸς [d] ὑμᾶς, ἄτοπον νῦν μὲν
ἐν κατηγορίας μέρει ποιεῖσθαι, βουλομένων δὲ γενέσθαι
φίλων αὐτῶν, ἵνα τοὐναντίον εὖ ποιῶσιν ὑμᾶς, βασκαί-

[u] γεγονότες εἶεν] γένοιντο S.
[x] ἂν om. F. S. et γρ. Y.
[y] αὐτοί] καὶ αὐτοὶ F. Y. O. v.
[z] περὶ—ἀποδιδόντες] εἰ περὶ—ἀποδιδόασι Y. O.
[a] τινὰς Λακεδαιμονίοις S. ceteri Λακεδαιμονίοις τινάς.
[b] [βοηθούντων] om. S.
[c] ἐᾶν ἔχειν] ἔχειν ἐᾶν Y. O.
[d] ὑμᾶς—ὑμᾶς] ἡμᾶς—ἡμᾶς S.

23 νειν καὶ σκοπεῖν ἐξ ὅτου τρόπου μὴ γενήσονται, καὶ μὴ
γιγνώσκειν ὅτι ὅσῳ ἂν σπουδαιοτέρους [e] τούτους περὶ Θη-
βαίους γεγενημένους ἀποδείξωσι, τοσούτῳ πλείονος ὀργῆς
αὐτοὶ δικαίως ἂν τυγχάνοιεν, εἰ τοιούτων συμμάχων τὴν
πόλιν, ὅτ' ἐφ' ὑμᾶς προτέρους ἦλθον ἢ Θηβαίους, ἀπε-
στέρησαν. ἀλλ', οἶμαι, ταῦτα μέν ἐστι δεύτερον ἀνθρώπων
24 βουλομένων ἑτέρων ποιῆσαι τούτους συμμάχους. ἐγὼ δὲ
[f] οἶδα, ὅσα ἂν ἐκ λογισμοῦ σκοπῶν τις εἰκάσαι, καὶ
τοὺς πολλοὺς [g] οἶμαι ὑμῶν [h] ταῦτα [i] φῆσαι, ὅτι, εἰ λή-
ψονται Μεγάλην πόλιν Λακεδαιμόνιοι, κινδυνεύσει Μεσ-
σήνη· εἰ δὲ καὶ ταύτην λήψονται, φημὶ [k] ὑμᾶς ἔσεσθαι
25 συμμάχους Θηβαίων. πολὺ δὴ κάλλιον καὶ ἄμεινον τὴν
[l] μὲν Θηβαίων συμμαχίαν αὐτοὺς παραλαβεῖν, τῇ δὲ
Λακεδαιμονίων πλεονεξίᾳ μὴ [m] ἐπιτρέψαι, ἢ νῦν ὀκνοῦν-
τας μὴ τοὺς Θηβαίων σώσωμεν συμμάχους, τούτους μὲν
προέσθαι, πάλιν δὲ σώζειν αὐτοὺς τοὺς Θηβαίους, καὶ
26 προσέτι ἐν φόβῳ [n] καθεστάναι περὶ ἡμῶν αὐτῶν. οὐ γὰρ
ἔγωγ' ἀδεὲς τοῦθ' ὑπολαμβάνω τῇ πόλει, τὸ λαβεῖν Με-
γάλην [o] πόλιν Λακεδαιμονίους καὶ πάλιν γενέσθαι με-
γάλους. ὁρῶ γὰρ αὐτοὺς καὶ [p] νῦν οὐχ ὑπὲρ τοῦ μὴ πα-
θεῖν τι κακὸν [q] πόλεμον ἀραμένους, ἀλλ' ὑπὲρ τοῦ κομί-
σασθαι τὴν [r] πρότερον οὖσαν ἑαυτοῖς δύναμιν· ὧν δ', ὅτ'
ἐκείνην εἶχον, ὠρέγοντο, ταῦθ' [s] ὑμεῖς μᾶλλον [t] ἴσως εἰ-
δότες ἢ ἐγὼ φοβοῖσθ' ἂν εἰκότως.

[e] τούτους] τοὺς S.
[f] οἶδα] ἄλλα O. om. F. v.
[g] οἶμαι ὑμῶν S. O. vulg. ὑμῶν οἴομαι.
[h] ταῦτα] ἐμοὶ ταυτὰ S. et rec. Y. ἐγὼ ταυτὰ O.
[i] φῆσαι] φήσειν O. et correctus Y.
[k] ὑμᾶς] ἡμᾶς S.
[l] μὲν om. Y. O. v.
[m] ἐπιτρέψαι S. ceteri ἐπιτρέπειν.
[n] καθεστάναι] καθεστηκέναι γρ. S.
[o] πόλιν om. O.
[p] νῦν S. ceteri νυνί.
[q] πόλεμον ἀραμένους] πολεμεῖν αἱρουμένους S. et supra versum Y.
[r] πρότερον] προτέραν S. πρότερόν ποτε γρ. Y.
[s] ὑμεῖς] ὑμῖν pr. S.
[t] ἴσως om. O.

27 Ἡδέως δ᾽ ἂν πυθοίμην [u] τῶν λεγόντων καὶ τοὺς Θη-
βαίους μισεῖν φασκόντων καὶ τοὺς Λακεδαιμονίους, [x] πό- 208
τερα ἑκάτεροι μισοῦσιν, οὓς δὴ μισοῦσιν, ὑπὲρ ὑμῶν καὶ
τοῦ συμφέροντος ὑμῖν, ἢ ὑπὲρ [y] μὲν Λακεδαιμονίων Θη-
βαίους, ὑπὲρ δὲ Θηβαίων Λακεδαιμονίους ἑκάτεροι; εἰ
μὲν γὰρ ὑπὲρ ἐκείνων, οὐδετέροις ὡς μαινομένοις πείθεσθαι
προσήκει· εἰ δ᾽ ὑπὲρ [z] ὑμῶν φήσουσι, τί πέρα τοῦ καιροῦ
28 τοὺς [a] ἑτέρους ἐπαίρουσιν; ἔστι γάρ, ἔστι Θηβαίους τα-
πεινοὺς ποιεῖν ἄνευ τοῦ Λακεδαιμονίους ἰσχυροὺς [b] καθι-
στάναι, καὶ [c] πολύ γε ῥᾷον· ὡς δ᾽, ἐγὼ πειράσομαι
πρὸς ὑμᾶς εἰπεῖν. ἴσμεν ἅπαντες τοῦθ᾽, ὅτι τὰ μὲν δί-
καια πάντες, ἐὰν καὶ μὴ βούλωνται, [d] μέχρι τοῦ γε αἰ-
σχύνονται μὴ πράττειν, τοῖς δ᾽ [e] ἀδικοῦσιν ἐναντιοῦνται
φανερῶς, ἄλλως τε κἂν τινες βλάπτωνται· καὶ τοῦτο
[f] τὸ λυμαινόμενον πάνθ᾽ εὑρήσομεν, καὶ ταύτην [g] ἀρχὴν οὖ-
σαν [h] πάντων τῶν κακῶν, τὸ μὴ [i] ἐθέλειν τὰ δίκαια
29 πράττειν ἁπλῶς. ἵνα τοίνυν μὴ τοῦτο ἐμποδὼν γένηται
[k] τῷ [l] Θηβαίους γενέσθαι μικρούς, τὰς μὲν Θεσπιὰς καὶ
τὸν Ὀρχομενὸν καὶ τὰς Πλαταιὰς κατοικίζεσθαι φῶμεν
δεῖν καὶ συμπράττωμεν αὐτοῖς καὶ τοὺς ἄλλους ἀξιῶμεν
(ταῦτα γὰρ [m] καὶ καλὰ καὶ δίκαια, μὴ περιορᾶν πό-
λεις ἀρχαίας ἐξανεστώσας), τὴν δὲ Μεγάλην πόλιν καὶ
τὴν Μεσσήνην μὴ προώμεθα τοῖς ἀδικοῦσι, μηδ᾽ ἐπὶ τῇ
προφάσει τῇ [n] Θεσπιῶν καὶ Πλαταιῶν τὰς οὔσας [o] καὶ

[u] τῶν] καὶ τῶν F. Y.
[x] πότερα] πότερα δὴ F. Y. O. v.
[y] μὲν Λακεδ.] λακεδ. μὲν S.
[z] ὑμῶν] ἡμῶν v.
[a] ἑτέρους] ἑταίρους v.
[b] καθιστάναι] καθεστάναι pr. v.
[c] πολύ] πάνυ F. Y. O. v.
[d] μέχρι τοῦ] μέχρι τούτου F. Y. O. v.
[e] ἀδικοῦσιν] ἀδίκοις S.
[f] τὸ post τοῦτο om. O.
[g] ἀρχὴν] τὴν ἀρχὴν Y.
[h] πάντων] ἁπάντων O.
[i] ἐθέλειν S. ceteri θέλειν.
[k] τῷ] τὸ F. v.
[l] Θηβαίους] τοὺς θηβαίους F. Y. v.
[m] καὶ post γὰρ om. F. Y. O. v.
[n] Θεσπιῶν καὶ Πλαταιῶν] πλατεων καὶ θεσπιων S. θεσπιέων καὶ πλαταιέων F. Y. O. v.
[o] καὶ post οὔσας om. F.

30 κατοικουμένας πόλεις ἀναιρεθείσας περιίδωμεν. κἂν ᾖ [p] πρόδηλα ταῦτα, οὐδεὶς ὅστις οὐ βουλήσεται παύσασθαι Θηβαίους ἔχοντας τὴν ἀλλοτρίαν. εἰ δὲ μή, πρῶτον μὲν ἐναντίους ἕξομεν πρὸς ἐκεῖνα τούτους εἰκότως, ὅταν ἡγῶνται τὴν ἐκείνων [q] κατοίκισιν ἑαυτοῖς ὄλεθρον φέρειν, εἶτ' ἀνήνυτα πράγματα ἕξομεν αὐτοί· τί γὰρ ὡς ἀληθῶς 209 ἔσται πέρας, ὅταν ἀεὶ τὰς μὲν οὔσας πόλεις ἐῶμεν ἀναιρεῖν, τὰς δ' ἀνῃρημένας ἀξιῶμεν οἰκίζειν;

31 Λέγουσι τοίνυν οἱ μάλιστα δοκοῦντες δίκαια λέγειν, ὡς δεῖ τὰς στήλας καθελεῖν [r] αὐτοὺς τὰς πρὸς Θηβαίους, εἴπερ ἡμέτεροι βεβαίως ἔσονται σύμμαχοι. οἱ δὲ φασὶ μὲν αὐτοῖς οὐκ εἶναι στήλας, ἀλλὰ τὸ συμφέρον εἶναι τὸ ποιοῦν τὴν φιλίαν, τοὺς δὲ βοηθοῦντας ἑαυτοῖς, τούτους
32 νομίζειν εἶναι συμμάχους. ἐγὼ δ', εἰ τὰ μάλιστ' εἰσὶ τοιοῦτοι, ὡδί πως ἔχω. φημὶ δεῖν ἅμα [s] τούτους ἀξιοῦν καθαιρεῖν τὰς στήλας καὶ Λακεδαιμονίους ἄγειν εἰρήνην, ἐὰν δὲ μὴ ἐθέλωσι ποιεῖν ὁπότεροι ταῦτα, τότ' ἤδη μετὰ
33 τῶν ἐθελόντων ἡμᾶς γίγνεσθαι. εἴτε γὰρ εἰρήνης γιγνομένης αὐτοῖς οἱ Μεγαλοπολῖται ἔτι τῆς Θηβαίων συμμαχίας ἕξονται, φανεροὶ [t] δήπου πᾶσιν ἔσονται τὴν πλεονεξίαν τὴν Θηβαίων, οὐ τὸ δίκαιον αἱρούμενοι· εἴτε συμμάχους [u] ἡμᾶς ἀδόλως τῶν Μεγαλοπολιτῶν [x] ποιουμένων μὴ [y] ἐθελήσουσιν [z] ἄγειν εἰρήνην οἱ Λακεδαιμόνιοι, δῆλοι δήπου πᾶσιν ἔσονται οὐχ ἵνα Θεσπιαὶ κατοικισθῶσι [a] μόνον ποιούμενοι τὴν σπουδήν, ἀλλ' ἵνα τοῦ πολέμου

[p] πρόδηλα ταῦτα] ταῦτα πρόδηλα S.
[q] κατοίκισιν] κατοίκησιν S. v.
[r] αὐτοὺς om. F. O. v.
[s] τούτους] τούτους τε F. Y. O. v.
[t] δήπου om. S.
[u] ἡμᾶς ἀδόλως] ἀδόλως ἡμᾶς F. Y. O. v.
[x] ποιουμένων] ποιουμένων [ους] F. ποιουμένους [ων] S.
[y] ἐθελήσουσιν] θελήσουσιν O.
[z] ἄγειν εἰρήνην] εἰρήνην ἄγειν Y. O.
[a] μόνον om. F. Y. O. v.

[b] τούτου περιεστηκότος Θηβαίοις τὴν Πελοπόννησον ὑφ'
34 ἑαυτοῖς ποιήσωνται. θαυμάζω δ' ἐνίων, εἰ τὸ μὲν [c] Θηβαίων συμμάχους εἶναι τοὺς Λακεδαιμονίων ἐχθροὺς φοβοῦνται, εἰ δὲ καταστρέψονται Λακεδαιμόνιοι [d] τούτους, μηδὲν ἡγοῦνται φοβερόν, καὶ ταῦτ' ἔργῳ πεῖραν ἡμῖν δεδωκότος τοῦ χρόνου ὅτι Θηβαῖοι μὲν τούτοις συμμάχοις ἐπὶ Λακεδαιμονίους ἀεὶ χρῶνται, Λακεδαιμόνιοι δ' ὅτ' 210
εἶχον αὐτούς, ἐφ' ἡμᾶς ἐχρῶντο.

35 Οἶμαι τοίνυν ἔγωγε κἀκεῖνο ἐνθυμεῖσθαι δεῖν, ὅτι μὴ προσδεξαμένων μὲν ὑμῶν τοὺς Μεγαλοπολίτας, ἐὰν μὲν ἀναιρεθῶσι καὶ διοικισθῶσιν, ἰσχυροῖς Λακεδαιμονίοις [e] εὐθὺς ἔστιν εἶναι, ἐὰν δὲ σωθῶσιν ἄρα, ὡς ἤδη τι καὶ παρ' ἐλπίδας ἐξέβη, βέβαιοι σύμμαχοι Θηβαίων [f] δικαίως ἔσονται· ἐὰν δὲ προσδέξησθε, τούτοις μὲν ὑπάρξει ἤδη σωθῆναι δι' ὑμᾶς, τὸ δὲ συμβησόμενον καὶ τὸν τοῦ κινδύνου λογισμὸν μετενεγκόντες σκοπῶμεν ἐπὶ Θηβαίων
36 καὶ Λακεδαιμονίων. ἐὰν μὲν τοίνυν καταπολεμηθῶσιν οἱ Θηβαῖοι, ὥσπερ αὐτοὺς δεῖ, οὐκ ἔσονται μείζους τοῦ δέοντος οἱ Λακεδαιμόνιοι [g] τούτους ἔχοντες ἀντιπάλους τοὺς Ἀρκάδας, ἐγγὺς οἰκοῦντας· ἐὰν δὲ ἀνενέγκωσιν ἄρα [h] οἱ Θηβαῖοι καὶ [i] σωθῶσιν, ἀλλ' [k] οὖν ἀσθενέστεροί γε ἔσονται ἡμῖν συμμάχων γεγενημένων τῶνδε καὶ δι' ἡμᾶς σεσωσμένων· ὥστε πανταχῇ συμφέρει μήτε προέσθαι τοὺς Ἀρκάδας, μήτε δι' αὐτούς, ἂν ἄρα σωθῶσι, περιγεγονέναι [l] δοκεῖν, μήτε δι' ἄλλους τινὰς ἀλλὰ δι' ὑμᾶς.

37 Ἐγὼ μὲν [m] οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὰ τοὺς θεοὺς οὔτε

[b] τούτου om. S.
[c] Θηβαίων] θηβαιοῖς [ων] Y. θηβαίων [οις] F. θηβαίους Anecd. p. 148, 23.
[d] τούτους] τούτους αὐτοὺς F. Y. O. v.
[e] εὐθὺς ἔστιν] ἔστιν εὐθὺς S.
[f] δικαίως om. O.
[g] τούτους] τούσδε Y. O.
[h] οἱ om. Y. O.
[i] σωθῶσιν] σωθῶσι καὶ μὴ πέσωσιν F. Y. O. v.
[k] οὖν] ὅταν pr. S.
[l] δοκεῖν μήτε] δοκεῖν μηδὲ F.
[m] οὖν om. F. Y. O. v.

φιλῶν οὐδετέρους οὔτε μισῶν ἰδίᾳ εἴρηκα, ἀλλ' ἃ νομίζω συμφέρειν ὑμῖν· καὶ παραινῶ μὴ προέσθαι Μεγαλοπολίτας, μηδ' ἄλλον ἁπλῶς μηδένα τῶν ἐλαττόνων τῷ μείζονι.

## ΙΖ.

# ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ. 211

### ΥΠΟΘΕΣΙΣ.

Ἀλεξάνδρου τοῦ Μακεδόνος [a] καταγαγόντος εἰς Μεσσήνην τοὺς Φιλιάδου τοῦ τυράννου παῖδας, αἰτιᾶται παρὰ τὰς συνθήκας εἶναι τοῦτο τὰς παρὰ Ἀθηναίοις καὶ Ἕλλησι γενομένας· παραβεβηκέναι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τὰς συνθήκας φησὶ τοὺς Μακεδόνας, καὶ μὴ περιορᾷν ταῦτα παραινεῖ. ὁ δὲ λόγος ψευδεπίγραφος εἶναι δοκεῖ· οὐ γὰρ ἔοικε κατὰ τὴν ἰδέαν τοῖς ἄλλοις τοῖς τοῦ Δημοσθένους, ἀλλὰ τῷ [b] Ὑπερίδου χαρακτῆρι μᾶλλον προσχωρεῖ, τά τε ἄλλα καὶ λέξεις τινὰς ἔχει κατ' ἐκεῖνον μᾶλλον εἰρημένας ἢ τὸν [c] Δημοσθένη, οἷον [d] νεόπλουτοι καὶ [e] βδελυρεύσεται.

ΑΞΙΟΝ ἀποδέχεσθαι, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν, εἴπερ αὐτὸ πεπεισμένοι ποιοῦσιν· οἶμαι γὰρ οὐδὲν οὕτω τοῖς δημοκρατουμένοις πρέπειν [f] ὡς περὶ τὸ ἴσον καὶ τὸ δίκαιον σπουδάζειν. δεῖ τοίνυν τοὺς λίαν ἐπ' [g] αὐτὸ παρακαλοῦντας μὴ τῷ μὲν λόγῳ καταχρωμένους 212
2 ἐνοχλεῖν, πάντα δὲ μᾶλλον πράττειν, ἀλλ' ὑπομείναντας νυνὶ τὸν ἐξετασμὸν ἢ καὶ τὸ λοιπὸν πειθομένους ὑμᾶς

[a] καταγαγόντος] κατάγοντος F.
[b] Ὑπερίδου] ὑπερείδου F.
[c] Δημοσθένη F. Y. vulg. Δημοσθένην.
[d] νεόπλουτοι] νεοπλούτους F. Y.
[e] βδελυρεύσεται] βδελυρεύεσθαι Y. βδελυρευομένους F.
[f] ὡς περὶ] ὥσπερ S. et pr. F.
[g] αὐτὸ] αὐτῷ F. αὐτὰ S.

ἔχειν περὶ αὐτῶν, ἢ παραχωρήσαντας ἐᾶν συμβουλεύειν
τοὺς ἀληθέστερα περὶ τῶν δικαίων ἀποφαινομένους, ἵν' ἢ
ἑκόντες ἀδικούμενοι ἀνέχησθε καὶ αὐτὸ τοῦτο χαρίζησθε
τῷ ἀδικοῦντι, ἢ προελόμενοι περὶ πλείστου ποιήσασθαι
τὸ δίκαιον ἀνεγκλήτως πρὸς [h]ἅπαντας [i]χρῆσθε τῷ συμ-
3 φέροντι, μηκέτι μέλλοντες. ἐξ αὐτῶν δὲ τῶν συνθηκῶν
καὶ τῶν ὅρκων [k]σκεψαμένοις τῶν περὶ τῆς κοινῆς εἰρήνης
ἔξεστιν ἰδεῖν ἤδη, τίνες εἰσὶν οἱ παραβεβηκότες. ὡς δὲ
περὶ μεγάλων συντόμως διδάξω.
4 Εἰ δή τις ἐρωτήσειεν [l]ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ
τίνι ἂν μάλιστ' [m]ἀγανακτήσαιτε, [n]εἴποιτ' ἂν οἶμαι πάν-
τες, εἴ τις [o]ἀναγκάζοι, εἰ ἦσαν κατὰ τὸν [p]νυνὶ χρόνον οἱ
Πεισιστρατίδαι [q]καί τις ἐβιάζετο κατάγειν αὐτοὺς
[r]δευρί, ἁρπάσαντας ἂν ὑμᾶς τὰ ὅπλα πάντα κίνδυνον
ὑπομεῖναι ἀντὶ τοῦ [s]παραδέξασθαι ἢ πεισθέντας γε δου-
λεύειν ἀντὶ τῶν ἀργυρωνήτων, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ
τὸν μὲν οἰκέτην οὐδεὶς ἂν ἑκὼν ἀποκτείνειε, τοὺς δὲ τυ-
ραννουμένους [t]ἀκρίτους ἔστιν ὁρᾶν ἀπολλυμένους ἅμα καὶ
5 ὑβριζομένους εἰς παῖδας καὶ γυναῖκας. παρὰ τοὺς ὅρ-
κους τοίνυν καὶ τὰς συνθήκας τὰς ἐν τῇ κοινῇ εἰρήνῃ γε-
γραμμένας Ἀλέξανδρος εἰς Μεσσήνην καταγαγὼν τοὺς
Φιλιάδου παῖδας, ὄντας τυράννους, ἆρ' ἐφρόντισε τοῦ δι-
καίου, ἀλλ' οὐκ ἐχρήσατο τῷ αὑτοῦ [u]ἔθει τῷ τυραννικῷ,
6 βραχὺ φροντίσας ὑμῶν καὶ τῆς κοινῆς ὁμολογίας; οὐ [x]δὴ 213

[h] ἅπαντας] ἅπαντα S.
[i] χρῆσθε] χρῆσθαι v.
[k] σκεψαμένοις] σκεψαμένους S. σκοπουμένοις F. Y. O. v.
[l] ὑμᾶς om. S.
[m] ἀγανακτήσαιτε S. O. et correctus Y. ἀγανακτήσετε F. ἀγανακτήσητε v.
[n] εἴποιτ'—πάντες om. S.
[o] ἀναγκάζοι] ἀναγκάζοι οἶμαι S. ἀναγκάζοι ἂν F. v.
[p] νυνὶ] νῦν F. Y. om. v.
[q] καί] καὶ εἴ F. v. et pr. Y.
[r] δευρὶ] δευρ' εἰ S.
[s] παραδέξασθαι S. vulg. παραδέχεσθαι.
[t] ἀκρίτους] ἀκρίτως ους F. ἀκρίτως v.
[u] ἔθει S. ἤθει F. ceteri ἤθει.
[x] δὴ δεῖ] δ' ἤδει F. v.

δεῖ, εἰ μέν τις ὑμᾶς ταῦτα βιάζοιτο, μάλιστ' ἀγανακτῆ-
σαι, εἰ δ' ἑτέρωθί που γέγονε παρὰ τοὺς πρὸς ὑμᾶς ὅρ-
κους, μὴ [y] φυλάξασθαι, καὶ ἡμῖν μὲν διακελεύεσθαί τινας
[z] ἐνταυθὶ ἐμμένειν τοῖς ὅρκοις, τοῖς δ' αὐτοὺς οὕτω περι-
7 βοήτως ἀνῃρηκόσι [a] καταλείπειν ταύτην τὴν ἐξουσίαν. ἀλλ'
οὐχ οἷόν τε ταῦθ' οὕτως ἔχειν, ἐὰν βούλησθε τῷ δικαίῳ
χρῆσθαι· καὶ γὰρ ἔτι προσγέγραπται ἐν ταῖς συνθήκαις
πολέμιον εἶναι τὸν ἐκεῖνα ἅπερ Ἀλέξανδρος ποιοῦντα
ἅπασι τοῖς τῆς εἰρήνης κοινωνοῦσι, καὶ τὴν χώραν αὐτοῦ,
καὶ στρατεύεσθαι ἐπ' αὐτὸν ἅπαντας. οὐκοῦν ἐὰν ποιῶ-
μεν τὰ συγκείμενα, πολεμίῳ χρησόμεθα τῷ [b] καταγα-
8 γόντι. ἀλλὰ γὰρ εἴποιεν ἂν οἱ τυραννίζοντες οὗτοι ὅτι
πρὶν [c] τὰς συνθήκας γενέσθαι ἐτυράννουν [d] Μεσσηνίων οἱ
Φιλιάδου παῖδες· διὸ καὶ κατάγειν τὸν Ἀλέξανδρον αὐ-
τούς. ἀλλὰ καταγέλαστος ὁ λόγος, τοὺς μὲν ἐκ Λέσ-
βου τυράννους, οἷον ἐξ Ἀντίσσης καὶ [e] Ἐρέσου, ἐκβαλεῖν
ὡς ἀδικήματος ὄντος τοῦ πολιτεύματος, τοὺς πρὸ τῶν
ὁμολογιῶν τυραννήσαντας, ἐν δὲ Μεσσήνῃ μηδὲν [f] οἴεσθαι
9 διαφέρειν, τῆς αὐτῆς δυσχερείας ὑπαρχούσης. ἔπειτα
καὶ ἐπιτάττει ἡ συνθήκη εὐθὺς ἐν ἀρχῇ ἐλευθέρους εἶναι
καὶ αὐτονόμους τοὺς Ἕλληνας. διὸ καὶ πῶς οὐχ ὑπερά-
τοπον ἡγεῖσθαι μὲν τῶν συνθηκῶν τὸ αὐτονόμους εἶναι καὶ
ἐλευθέρους, τὸν δ' εἰς δουλείαν [g] ἀγαγόντα μὴ οἴεσθαι τἀ-
ναντία ταῖς κοιναῖς ὁμολογίαις διαπεπρᾶχθαι; οὐκοῦν
ἀναγκαῖόν ἐστιν ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ τοῖς ὅρ- 214

[y] φυλάξασθαι] φυλάξασθαι τοῦτο πράως ὑμᾶς ἔχειν καὶ ὅρκους μὴ φυλαξασθαι Y. O. v. et margo F.

[z] ἐνταυθὶ] ἐνταυθοῖ O. v. γρ. F. rec. Y.

[a] καταλείπειν] καταλιπεῖν F. S. Y. O. v.

[b] καταγαγόντι] κατάγοντι S.

[c] τὰς om. O.

[d] Μεσσηνίων] μεσηνίων Anecd. p. 174, 32. μεσσηνην S.

[e] Ἐρέσου] ἐρεσοῦ O. αἰρέσου F. αἰρέσου v.

[f] οἴεσθαι] οἴεσθε S.

[g] ἀγαγόντα S. vulg. ἄγοντα.

κοις καὶ ταῖς συνθήκαις ἐμμενοῦμεν καὶ τὰ δίκαια ποιήσομεν, ἐφ' ἃ ὑμᾶς παρακαλοῦσι, καθάπερ ἄρτι εἶπον, λαβοῦσι τὰ ὅπλα στρατεύεσθαι ἐπὶ τοὺς παραβεβηκότας
10 μετὰ τῶν βουλομένων. ἢ νομίζετε τὸν μὲν καιρόν [h] ποτ' ἰσχύειν καὶ ἄνευ τοῦ δικαίου τὸ συμφέρον πράττειν· νυνὶ δ', ὅτ' εἰς ταὐτὸ τὸ δίκαιον ἅμα καὶ ὁ καιρὸς καὶ τὸ συμφέρον συνδεδράμηκεν, ἄλλον ἄρα τινὰ χρόνον ἀναμενεῖτε τῆς ἰδίας ἐλευθερίας ἅμα καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ἀντιλαβέσθαι;

11 Ἐπ' ἄλλο δὲ δίκαιον ἔρχομαι τῶν κατὰ τὰς συνθήκας. ἔστι γὰρ [i] γεγραμμένον, ἐάν τινες τὰς πολιτείας τὰς παρ' ἑκάστοις οὔσας, ὅτε τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης ὤμνυσαν, καταλύσωσι, πολεμίους εἶναι πᾶσι τοῖς τῆς εἰρή-
12 νης μετέχουσιν. σκέψασθε [k] δ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Ἀχαιοὶ μὲν οἱ ἐν Πελοποννήσῳ ἐδημοκρατοῦντο, τούτων δ' ἐν Πελλήνῃ νῦν καταλέλυκε [l] τὸν δῆμον ὁ Μακεδὼν ἐκβαλὼν τῶν πολιτῶν τοὺς πλείστους, τὰ δ' ἐκείνων τοῖς οἰκέταις δέδωκε, Χαίρωνα δὲ τὸν παλαιστὴν τύραννον ἐγκατέστησεν. ἡμεῖς δὲ τῆς εἰρήνης μετέχομεν τῆς προσταττούσης πολεμίους ἡγεῖσθαι τοὺς ταῦτα πράττοντας.
13 ἐκ δὴ τούτων πότερον [m] πειθώμεθα τοῖς κοινοῖς προστάγμασι, πολεμίοις αὐτοῖς χρώμενοι, ἢ βδελυρεύσεταί τις οὐ φάσκων, τούτων τῶν μισθοφορούντων παρὰ τοῦ Μακεδόνος, τῶν καθ' ὑμῶν πεπλουτηκότων; οὐ γὰρ δὴ λέληθέ γε αὐ-
14 τοὺς οὐδὲν τούτων· ἀλλ' εἰς τοῦθ' ὕβρεως ἥκουσιν, ὥστε δορυφορούμενοι τοῖς τοῦ τυράννου στρατοπέδοις ἐν μὲν τοῖς παραβεβασμένοις ὅρκοις ἐμμένειν ὑμῖν διακελεύονται, ὡς 215
καὶ τῆς ἐπιορκίας αὐτοκράτορος ὄντος ἐκείνου, τοὺς δ'

[h] ποτ'] ποτε F. Y. τότε S.
[i] γεγραμμένον] Desinit S.
[k] δ'] δὴ Y. O.
[l] τὸν δῆμον] τὴν πόλιν F. v.
[m] πειθώμεθα] πειθόμεθα O.

ἰδίους ὑμᾶς νόμους ἀναγκάζουσι [n] λύειν, τοὺς μὲν κεκρι-
μένους ἐν τοῖς δικαστηρίοις [o] ἀφιέντες, ἕτερα δὲ παμπληθῆ
15 τοιαῦτα βιαζόμενοι παρανομεῖν. εἰκότως· τοῖς γὰρ πε-
πρακόσιν ἑαυτοὺς εἰς τἀναντία τοῖς τῇ πατρίδι συμφέρου-
σιν οὐκ ἔνι μέλειν νόμων οὐδ' ὅρκων· τοῖς δ' ὀνόμασιν αὐ-
τῶν μόνοις ἀποχρώμενοι παρακρούονται τοὺς παρέργως
[p] ἐνταυθί, ἀλλ' οὐκ ἐξεταστικῶς ἐκκλησιάζοντας, καὶ νο-
μίζοντας τὴν παραυτίκα ἡσυχίαν οὐκ ἔσεσθαί ποτ' αἰτίαν
16 ταραχῆς ἀτόπου [μεγάλης]. κελεύω δ' ἔγωγε, καθά-
περ ἐν ἀρχῇ προεῖπον, πείθεσθαι τούτοις τοῖς φάσκουσι
δεῖν ἐν ταῖς κοιναῖς ὁμολογίαις ἐμμένειν, εἰ μὴ ἐκεῖνο νο-
μίζουσιν, ὅταν μὲν λέγωσιν ὡς ἐμμενετέον τοῖς ὅρκοις, οὐ
λέγειν αὐτοὺς τὸ μηδὲν ἀδικεῖσθαι, οὐδένα δ' οἴονται αἰσ-
θήσεσθαι τυραννίδων ἀντὶ δημοκρατιῶν καθισταμένων καὶ
τῶν πολιτειῶν καταλυομένων.

17 [q] Τὸ δ' ἔτι καταγελαστότερον· ἔστι γὰρ ἐν ταῖς συν-
θήκαις ἐπιμελεῖσθαι τοὺς συνεδρεύοντας καὶ τοὺς ἐπὶ τῇ
κοινῇ φυλακῇ τεταγμένους, ὅπως ἐν ταῖς κοινωνούσαις
πόλεσι τῆς εἰρήνης μὴ γίγνωνται θάνατοι καὶ φυγαὶ παρὰ
τοὺς κειμένους ταῖς πόλεσι νόμους, μηδὲ χρημάτων δη-
μεύσεις, μηδὲ γῆς ἀναδασμοί, μηδὲ χρεῶν ἀποκοπαί,
18 μηδὲ δούλων ἀπελευθερώσεις ἐπὶ νεωτερισμῷ. οἱ δὲ [r] το-
σούτου δέουσι τούτων τι κωλύειν, ὥστε καὶ συγκατασκευ-
άζουσιν, οὓς πῶς οὐ προσήκει ἀπολωλέναι; οἱ τηλικαύ-
τας συμφορὰς παρασκευάζουσιν ἐν ταῖς πόλεσιν, ἃς διὰ 216
τὸ μέγεθος αὐτοῖς τοσούτοις οὖσι μὴ περιορᾶν [s] ἐπέταξαν.

19 Ἔτι δ' ἕτερον δείξω τὸ λελυκὸς τὰς συνθήκας. ἔστι

[n] λύειν om. pr. Y.
[o] ἀφιέντες] ἀφέντες F. Y. O.
[p] ἐνταυθὶ pr. F. vulg. ἐνταυθοῖ.
[q] Τὸ δ' ἔτι καταγελαστότερον Reiskius: libri τοῦτο δ' ἐστὶ καταγελαστότατον.
[r] τοσούτου] τοσοῦτο Y. O.
[s] ἐπέταξαν] ἐπέταξεν Y. O. v.

γὰρ γεγραμμένον ἐκ τῶν πόλεων τῶν κοινωνουσῶν τῆς εἰ-
ρήνης μὴ ἐξεῖναι φυγάδας ὁρμήσαντας ὅπλα ἐπιφέρειν ἐπὶ
πολέμῳ [t] μηδεμιᾷ πόλει τῶν μετεχουσῶν τῆς εἰρήνης· εἰ
δὲ μή, ἔκσπονδον εἶναι τὴν πόλιν, ἐξ ἧς ἂν [u] ὁρμήσωσιν.
20 οὕτω τοίνυν ῥᾳδίως τὰ ὅπλα [x] κεκίνηκεν ὁ Μακεδών, ὥστ'
οὐδὲ κατέθετο πώποτε, ἀλλ' ἔτι καὶ νῦν ἔχων περιέρχε-
ται καθ' ὅσον δύναται, τοσούτῳ δὲ νῦν μᾶλλον ἢ πρότε-
ρον, [y] ὅσῳ ἐκ προστάγματος ἄλλους τε ἑτέρωθι καὶ τὸν
παιδοτρίβην εἰς Σικυῶνα κατήγαγεν. οὐκοῦν εἰ δεῖ πεί-
θεσθαι ταῖς κοιναῖς ὁμολογίαις, καθάπερ οὗτοί φασιν,
ἔκσπονδοι ἡμῖν εἰσὶν αὗται αἱ πόλεις αἱ ταῦτα διαπε-
21 πραγμέναι. εἰ μὲν οὖν δεῖ ἐπικρύπτεσθαι τἀληθῆ, οὐδὲν
δεῖ λέγειν ὅτι εἰσὶν αἱ Μακεδονικαί· εἰ δ' οὐκ ἀνιᾶσιν
οἱ καθ' ὑμῶν τῷ Μακεδόνι ὑπηρέται προστάττοντες πράτ-
τειν τὰ ἐν ταῖς κοιναῖς ὁμολογίαις, πεισθῶμεν αὐτοῖς,
ἐπειδὴ τὰ δίκαια λέγουσι, καὶ καθάπερ κελεύει ὁ ὅρκος,
ἐκσπόνδους αὐτοὺς ποιήσαντες βουλευσώμεθα, πῶς δεῖ
χρῆσθαι τοῖς δεσποτικῶς καὶ ἀσελγῶς διακειμένοις, καὶ
διὰ τέλους τὰ μὲν ἐπιβουλεύουσι τὰ δὲ πράττουσι, καὶ
22 καταγελῶσι τῆς κοινῆς εἰρήνης. διὰ τί γὰρ οὐ φήσουσιν
οὗτοι δεῖν ταῦθ' οὕτως ἔχειν; ἢ τὴν μὲν ὁμολογίαν τὴν
κατὰ τῆς πόλεως οὖσαν βεβαίαν ἀξιοῦσιν εἶναι, τὴν δὲ
σώζουσαν οὐ [z] συγχωροῦσιν; ἆρά γε δοκεῖ δίκαια γίγνε-
σθαι; κἂν μέν τι ᾖ πρὸς τῶν ἐχθρῶν κατὰ τῆς [a] πόλεως
ἐν τοῖς ὅρκοις, τοῦτο μὲν ἰσχυρὸν ἀεὶ ποιήσουσιν· ἐὰν [b] δέ 217
τι ὑμέτερον ᾖ κατ' ἐκείνων ἅμα δίκαιον καὶ συμφέρον,
πρὸς τοῦτο δὲ διαμαχομένους οὐδέποτε [c] παύσασθαι οἰή-
σονται [d] δεῖν ἑαυτούς;

[t] μηδεμιᾷ πόλει] ἐπὶ μηδεμίαν πόλιν γρ. Y.
[u] ὁρμήσωσιν] ὁρμηθῶσιν γρ. Y.
[x] κεκίνηκεν] ἐπήνεγκεν F.Y.O.v.
[y] ὅσῳ] ὅτι Y. ὅτι ὅσῳ O.
[z] συγχωροῦσιν] συγχωρήσουσιν O.
[a] πόλεως] πόλεως ὡς Y. O. v.
[b] δὲ om. F.O.v. in γρ. habet Y.
[c] παύσασθαι] παύσεσθαι v.
[d] δεῖν] δεῖ pr. Y.

23 Ἵνα δ' εἰδῆτε ἔτι σαφέστερον ὅτι οὐδεὶς ὑμῖν ἐγκαλέσει
ποτὲ τῶν Ἑλλήνων ὡς ἄρα παρέβητέ τι τῶν κοινῇ ὁμολο-
γηθέντων, ἀλλὰ καὶ χάριν ἕξουσιν ὅτι μόνοι ἐξηλέγξατε
τοὺς ταῦτα ποιοῦντας, μικρὰ ἐπιδραμοῦμαι περὶ αὐτῶν
24 πολλῶν ὄντων. ἔστι γάρ που ἐν ταῖς συνθήκαις τὴν θά-
λατταν πλεῖν τοὺς μετέχοντας τῆς εἰρήνης, καὶ μηδένα
κωλύειν αὐτοὺς μηδὲ κατάγειν πλοῖον μηδένα τούτων·
ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, πολέμιον εἶναι πᾶσι τοῖς
25 τῆς εἰρήνης μετέχουσιν. οὐκοῦν ὦ ἄνδρες Ἀθηναῖοι ὑμεῖς
μὲν ἐναργέστατα ἴστε τοῦθ' ὑπὸ τῶν Μακεδόνων γεγενη-
μένον· εἰς τοῦτο γὰρ παρανομίας ἦλθον, ὥστε εἰς Τένεδον
ἅπαντα τὰ ἐκ τοῦ Πόντου [e]πλοῖα κατήγαγον, καὶ σκευ-
ωρούμενοι περὶ αὐτὰ οὐ πρότερον ἀφεῖσαν, πρὶν [f]οὗ ὑμεῖς
ἐψηφίσασθε τριήρεις ἑκατὸν πληροῦν καὶ καθέλκειν εὐθὺς
26 τότε, καὶ στρατηγὸν ἐπ' [g]αὐταῖς ἐτάξατε Μενεσθέα. πῶς
οὖν οὐκ ἄτοπον τοσαῦτα μὲν εἶναι καὶ τηλικαῦτα [h]τὰ
ἡμαρτημένα ἑτέροις, τοὺς δ' ἐνταῦθα φίλους αὐτῶν μὴ
ἐκείνους ἀποτρέπειν τοὺς παραβαίνοντας, ἀλλ' ἡμῖν συμ-
βουλεύειν ἐμμένειν τοῖς οὕτως [i]ὠλιγωρημένοις; ὥσπερ καὶ
τούτου προσγεγραμμένου, τοῖς μὲν ἐξεῖναι πλημμελεῖν,
27 τοῖς δὲ μηδ' ἀμύνεσθαι. πῶς δ' οὐχ ἅμα [k]παρενόμουν
ἐκεῖνοι καὶ ἀναίσθητοι ἦσαν, οἵ γε τηλικοῦτον παρέβησαν
[l]τῶν ὅρκων, ὃ παρ' ἐλάχιστον ἐποίησεν αὐτοὺς ἀφαιρεθῆ-
ναι δικαίως τὴν κατὰ θάλατταν ἡγεμονίαν; καὶ νῦν ἔτι
παραδεδώκασι τοῦτο [m]τὸ δίκαιον ἀνεγκλήτως ἡμῖν, ὅταν 218
βουληθῶμεν πράττειν· οὐ γὰρ ὅτι ἐπαύσαντο ἁμαρτάνον-
τες, ἧττόν [n]τι δήπου παραβεβήκασι τὰς κοινὰς ὁμολο-

[e] πλοῖα om. F. Y. O. v.
[f] οὗ om. O. expungit Y.
[g] αὐταῖς] αὐτὸν v.
[h] τὰ om. Y. O. v.
[i] ὠλιγωρημένοις] ὠλιγωρουμένοις O.
[k] παρενόμουν Y. O. παρηνόμουν F. παρηνόμουν v.
[l] τῶν ὅρκων] τὸν ὅρκον v.
[m] τὸ post τοῦτο om. pr. Y.
[n] τι om. F. v. et pr. Y.

28 γίας. ἀλλ' εὐτυχοῦσιν, ὅτι ἐναποχρῶνται τῇ ὑμετέρᾳ
ῥᾳθυμίᾳ τῇ [o] οὐδὲ τῶν δικαίων ἀπολαύειν προαιρουμένῃ.
[p] ὃ καὶ ὑβριστικώτατον συμβέβηκεν, εἰ οἱ μὲν ἄλλοι Ἕλ-
ληνες καὶ βάρβαροι ἅπαντες τὴν πρὸς ὑμᾶς ἔχθραν φο-
βοῦνται, οὗτοι δ' οἱ νεόπλουτοι μόνοι καταφρονεῖν ὑμᾶς
ὑμῶν αὐτῶν ἀναγκάζουσι, τὰ μὲν πείθοντες, τὰ δὲ βια-
ζόμενοι, ὥσπερ ἐν Ἀβδηρίταις ἢ [q] Μαρωνείταις, ἀλλ' οὐκ
29 ἐν Ἀθηναίοις πολιτευόμενοι. καὶ ἅμα μὲν μικρὰ τὰ ἡμέ-
τερα πράγματα ποιοῦσι, τὰ δὲ τῶν ἐχθρῶν ἰσχυρά, ἅμα
δὲ λανθάνουσιν ἑαυτοὺς ἀνυπόστατον τὴν πόλιν ὁμολογοῦν-
τες εἶναι, διακελευόμενοι τὸ δίκαιον οὐ δικαίως διαφυ-
λάττειν, ὡς τῷ συμφέροντί γε προελομένην χρῆσθαι κρα-
30 τεῖν ἂν τῶν πολεμίων ῥᾳδίως δυνηθεῖσαν. εἰκότως δ' αὐτὸ
πεπόνθασιν· ἕως γὰρ ἂν ἐξῇ τῶν κατὰ θάλατταν καὶ
μόνων ἀναμφισβητήτως εἶναι κυρίοις, τοῖς γε κατὰ γῆν
πρὸς τῇ ὑπαρχούσῃ δυνάμει [r] ἔστι [s] προβολὰς [t] ἑτέρας εὑ-
ρέσθαι, ἄλλως τε καὶ πεπαυμένων ὑπὸ τῆς τύχης τῶν
δορυφορουμένων ὑπὸ τῶν τυραννικῶν στρατοπέδων, καὶ τῶν
μὲν ἐφθαρμένων, τῶν δὲ ἐξεληλεγμένων οὐδενὸς ἀξίων ὄν-
των.

31 Τὸ μὲν οὖν περὶ τὰ πλοῖα πρὸς τοῖς ἄλλοις τοῖς προ-
ειρημένοις ὁ Μακεδὼν τηλικοῦτον παρέβη· τὸ δὲ ὑβριστικώ-
τατον καὶ ὑπεροπτικώτατον τῶν Μακεδόνων τὸ πρῴην γε-
γενημένον ἐστί, [u] τὸ τολμῆσαι εἰσπλεῦσαι εἰς τὸν Πειραιᾶ
παρὰ τὰς κοινὰς ἡμῖν πρὸς αὐτοὺς συνθήκας. καὶ τοῦτο, 219
ὦ ἄνδρες Ἀθηναῖοι, οὐχ ὅτι μία τριήρης ἦν, μικρὸν ὑπολη-
πτέον, ἀλλ' ὅτι ἀπόπειρα ἐγένετο, εἰ περιοψόμεθα, ἵνα

[o] οὐδὲ] οὐδὲν F. Y. O. v.
[p] ὃ om. F. v.
[q] Μαρωνείταις] μαρωνίταις Y.
[r] ἔστι om. pr. Y.
[s] προβολὰς] προσβολὰς F. Y. O. v.
[t] ἑτέρας] ἑτέρας ἰσχυροτέρας F.
[u] τὸ ante τολμῆσαι om. pr. F.

μετὰ πλειόνων αὐτοῖς ἐγγένηται τοῦτο πράττειν, καὶ ὅτι οὐκ ἐφρόντισαν τῶν κοινῶν δογμάτων, καθάπερ οὐδὲ τῶν
32 προειρημένων. ἐπεὶ ὅτι γε τοῦτο παράδυσις ἦν κατὰ μικρὸν καὶ ἐθισμὸς τοῦ ἀνέχεσθαι ἡμᾶς τοὺς τοιούτους εἴσπλους, κἀκεῖθεν δῆλον· τὸ γὰρ τὸν τότε εἰσπλεύσαντα ἐπὶ τῆς νεώς, ὃν ἔδει εὐθὺς μετὰ τῆς τριήρους ὑφ' ὑμῶν ἀπολωλέναι, αἰτεῖσθαι ναυπηγήσασθαι μικρὰ πλοῖα ἐν τοῖς ἡμετέροις λιμέσι, πῶς οὐ καταφανὲς [x] ποιεῖ ὅτι ἀντὶ τοῦ εἰσπλεῖν τὸ εὐθὺς ἔνδον εἶναι ἐμηχανῶντο; καὶ εἰ [y] λεπτὰ πλοῖα ὑπομενοῦμεν, ὀλίγον ὕστερον καὶ τριήρεις·
33 καὶ εἰ τὸ πρῶτον ὀλίγας, [z] μικρῷ ὕστερον πολλάς. οὐ γὰρ δὴ ἔστι γε εἰπεῖν ὡς Ἀθήνησι μὲν ἀφθόνων ὄντων [a] τῶν ναυπηγησίμων ξύλων, τῶν πόῤῥωθεν καὶ μόλις εἰσκομιζομένων, ἐν δὲ τῇ Μακεδονίᾳ ἐπιλελοιπότων, τῇ καὶ τοῖς ἄλλοις τοῖς βουλομένοις εὐτελέστατα [b] καθισταμένῃ, ἀλλ' ᾤοντο ἅμα τε [c] ναυπηγήσεσθαι ἐνταῦθα [d] καὶ πληρώσεσθαι ἐν τῷ λιμένι τῷ προειρημένῳ, ἐν ταῖς κοιναῖς ὁμολογίαις διειρημένου μηδὲν τοιοῦτον εἰσδέχεσθαι, καὶ ταῦτα ἐξέσται
34 ἐπὶ πλέον ἀεὶ ποιεῖν· οὕτω πάντοθεν καταπεφρονηκότως ἐκεῖνοι [e] τῇ πόλει χρῶνται διὰ τοὺς ἐντεῦθεν διδασκάλους τοὺς ὑπαγορεύοντας αὐτοῖς ἃ δεῖ ποιεῖν. οὕτω [f] δὲ κατεγνώκασι μετὰ τούτων ἀδιήγητόν τινα τῆς πόλεως ἔκλυσιν
καὶ μαλακίαν, καὶ οὔτε πρόνοιαν ὑπὲρ τῶν μελλόντων 220
εἶναι, οὔτε λογισμὸν οὐδένα παραγίγνεσθαι τίνα τρόπον χρῆται ὁ τύραννος ταῖς κοιναῖς ὁμολογίαις.

35 Αἷς ἐγὼ διακελεύομαι ὦ ἄνδρες Ἀθηναῖοι πείθεσθαι,

[x] ποιεῖ] ἦν ποιεῖ F. ἦν v.
[y] λεπτὰ] λεπτὰ τὰ O.
[z] μικρῷ] μικρὸν O.
[a] τῶν post ὄντων om. O.
[b] καθισταμένῃ] καθισταμένοις F.
[c] ναυπηγήσεσθαι] ναυπηγηθήσεσθαι F. Y. O. v.
[d] καὶ πληρώσεσθαι om. pr. Y.
[e] τῇ πόλει om. F. v. et pr. Y.
[f] δὲ F. Y. O. v. et Anecd. p. 150, 14. vulg. δή.

καθάπερ ἐδίδαξα, καὶ διεβεβαιωσάμην ἄν, ὡς τοῦθ' ἡλικίας ἔχων, ἅμα καὶ [g]τῷ δικαίῳ ἡμᾶς ἀνεγκλήτως καὶ τοῖς καιροῖς ἀσφαλέστατα χρῆσθαι τοῖς ἐπὶ τὸ συμφέρον κατεπείγουσιν. καὶ γὰρ ἔτι προσγέγραπται ταῖς συνθή-
36 καις, ἐὰν βουλώμεθα τῆς κοινῆς εἰρήνης μετέχειν· τὸ δ' ἐὰν βουλώμεθα ἐστὶν ἅμα καὶ τοὐναντίον, εἰ ἄρα ποτὲ δεῖ παύσασθαι αἰσχρῶς ἑτέροις ἀκολουθοῦντας, ἀλλὰ μηδ' ἀναμνησθῆναι μηδεμιᾶς φιλοτιμίας τῶν ἐξ ἀρχαιοτάτου καὶ [h]πλείστων καὶ μάλιστα πάντων ἀνθρώπων ὑμῖν ὑπαρχουσῶν. ἐὰν οὖν κελεύητε, ὦ ἄνδρες Ἀθηναῖοι, γράψω, καθάπερ αἱ συνθῆκαι κελεύουσι, πολεμεῖν τοῖς παραβεβηκόσιν.

[g] τῷ δικαίῳ] τῷ τῷ δικαίῳ Y.   [h] πλείστων] πλείστου F. u. v.

# ΙΗ.

# ΥΠΕΡ ΚΤΗΣΙΦΩΝΤΟΣ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Τεῖχος μὲν ὁ ῥήτωρ ὑπὲρ Ἀθηναίων προὐβάλετο τῶν συνήθων τούτων καὶ
χειροποιήτων ἀῤῥαγέστερόν τε καὶ βέλτιον, τήν τε εἰς τὴν πόλιν εὔνοιαν καὶ
περὶ λόγους δεινότητα, ὡς αὐτὸς εἴρηκεν "οὐ λίθοις καὶ πλίνθοις τὰς Ἀθήνας
"ὠχύρωσα, ἀλλὰ μεγάλαις δυνάμεσι καὶ πολλῇ τινὶ συμμαχίᾳ, τῇ μὲν ἐκ
"γῆς, τῇ δὲ ἐκ θαλάττης·" οὐ μὴν ἀλλὰ καὶ εἰς τὸν χειροποίητον περίβολον
οὐ μικρὰ τῇ πόλει συνεβάλετο. πεπονηκότος γὰρ κατὰ πολλὰ [a] μέρη τοῦ τεί- 221
χους τοῖς Ἀθηναίοις, ἐπειδὴ ἔδοξεν ἀνορθοῦν αὐτό, ᾑρέθησαν [b] ἐπὶ τὸ ἔργον ἄν-
δρες δέκα, φυλῆς ἑκάστης εἷς, οὓς ἔδει τὴν ἐπιμέλειαν [c] παρέχεσθαι [d] ψιλήν·
τὸ γὰρ ἀνάλωμα δημόσιον. εἷς τοίνυν τούτων καὶ ὁ ῥήτωρ γενόμενος οὐχ ὁμοίως
τοῖς ἄλλοις τὴν ἐπιμέλειαν μόνην εἰσήνεγκε τῇ χρείᾳ, ἀλλὰ τὸ μὲν ἔργον
ἀμέμπτως [e] ἀπετέλεσε, τὰ δὲ χρήματα ἔδωκεν οἴκοθεν τῇ πόλει. ἐπῄνεσεν
αὐτοῦ τὴν εὔνοιαν ταύτην ἡ βουλή, καὶ τὴν [f] προθυμίαν ἠμείψατο στεφάνῳ
χρυσῷ· ἕτοιμοι γὰρ Ἀθηναῖοι πρὸς τὰς χάριτας τῶν εὖ ποιούντων. Κτησιφῶν
δὲ ἦν ὁ τὴν γνώμην εἰπὼν ὡς δεῖ στεφανῶσαι τὸν Δημοσθένην, ἐν μὲν καιρῷ
τοῖς Διονυσίοις, ἐν δὲ τόπῳ τῷ τοῦ Διονύσου θεάτρῳ, ἐν δὲ θεαταῖς πᾶσι τοῖς
Ἕλλησιν, οὓς ἡ πανήγυρις συνήγαγε· καὶ τούτων ἐναντίον ἀνειπεῖν τὸν κήρυκα
ὅτι στεφανοῖ Δημοσθένην Δημοσθένους Παιανιέα ἡ πόλις ἀρετῆς συμπάσης
ἕνεκα καὶ εὐνοίας τῆς πρὸς [g] ἑαυτήν. ἦν οὖν πανταχόθεν ἡ τιμὴ θαυμαστή·
διὸ καὶ φθόνος αὐτῆς ἥψατο, καὶ τοῦ ψηφίσματος ἀπηνέχθη παρανόμων γρα-
φή. Αἰσχίνης γὰρ ἐχθρὸς ὢν τοῦ Δημοσθένους ἀγῶνα παρανόμων ἐπήγγειλε
Κτησιφῶντι, λέγων ἄρχοντα γεγονότα τὸν Δημοσθένην καὶ μὴ δόντα λόγον
ὑπεύθυνον εἶναι, νόμον δὲ κελεύειν τοὺς ὑπευθύνους μὴ στεφανοῦν, καὶ πάλιν
νόμον παρεχόμενος τὸν κελεύοντα, ἐὰν μέν τινα ὁ δῆμος ὁ Ἀθηναίων στεφανοῖ,
ἐν τῇ ἐκκλησίᾳ τὸν στέφανον ἀναγορεύεσθαι, ἐὰν δὲ ἡ βουλή, ἐν τῷ βουλευ-

[a] μέρη om. p.
[b] ἐπὶ τὸ ἔργον] ἐπὶ τῷ ἔργῳ pr. o.
[c] παρέχεσθαι] περαίνεσθαι F. v.
[d] ψιλὴν om. F. v. quæ addi solebant τοῦ ἔργου, omisi cum o. p.
[e] ἀπετέλεσε] ἐπετέλεσε O. v. p.
[f] προθυμίαν F. O. v. vulg. προμήθειαν.
[g] ἑαυτήν p. vulg. αὐτήν.

τηρίῳ, ἀλλαχόθι δὲ μὴ ἐξεῖναι. φησὶ δὲ καὶ τοὺς ἐπαίνους εἶναι τοὺς ἐπὶ τῷ 222 Δημοσθένει ψευδεῖς· μὴ γὰρ πεπολιτεῦσθαι καλῶς τὸν ῥήτορα, ἀλλὰ καὶ δωροδόκον εἶναι καὶ πολλῶν κακῶν αἴτιον τῇ πόλει. καὶ τάξει γε ταύτης τῆς κατηγορίας Αἰσχίνης κέχρηται, πρῶτον εἰπὼν περὶ τοῦ τῶν ὑπευθύνων νόμου καὶ δεύτερον περὶ τοῦ τῶν κηρυγμάτων καὶ τρίτον περὶ τῆς πολιτείας· ἠξίωσε δὲ καὶ τὸν Δημοσθένην τὴν αὐτὴν τάξιν ποιήσασθαι. ὁ δὲ ῥήτωρ καὶ ἀπὸ τῆς πολιτείας τὴν ἀρχὴν ἐποιήσατο καὶ πάλιν εἰς ταύτην τὸν λόγον κατέστρεψε, τεχνικῶς ποιῶν· δεῖ γὰρ ἄρχεσθαί τε ἀπὸ τῶν [h] ἰσχυροτέρων καὶ λήγειν εἰς ταῦτα· μέσα δὲ τέθεικε τὰ περὶ τῶν νόμων, καὶ τῷ μὲν περὶ τῶν ὑπευθύνων ἀντιτίθησι διανοίας, τῷ δὲ περὶ τῶν κηρυγμάτων νόμον ἕτερον ἤτοι νόμου μέρος, ὥς φησιν αὐτός, ἐν ᾧ συγκεχώρηται καὶ ἐν τῷ θεάτρῳ κηρύττειν, ἐὰν ὁ δῆμος ἢ ἡ βουλὴ τοῦτο ψηφίσηται.

## ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.

Ἀθηναῖοι καὶ Θηβαῖοι πολεμοῦντες πρὸς Φίλιππον ἐν Χαιρωνείᾳ, πόλει τῆς Βοιωτίας, ἡττήθησαν. ἐπικρατήσας οὖν ὁ Μακεδὼν φρουρὰν μὲν εἰς τὰς Θήβας ἐνέβαλε, καὶ εἶχεν ὑπὸ χεῖρα δουλεύουσαν. ἐλπίσαντες οὖν τὸ αὐτὸ παθεῖν Ἀθηναῖοι καὶ ὅσον οὐδέπω κατ' αὐτῶν ἥξειν προσδοκῶντες τὸν τύ- 223 ραννον, ἐσκέψαντο τὰ πεπονηκότα μέρη τῷ χρόνῳ τοῦ τείχους ἐπανορθώσασθαι, καὶ δὴ ἀφ' ἑκάστης φυλῆς τειχοποιοὶ προεβλήθησαν. τοιόνδε καὶ ἡ Πανδιονὶς ἐξ ἑαυτῆς εἵλετο πρὸς τὴν χρείαν τὸν ῥήτορα. τῆς τοίνυν ἐργασίας ἐν χερσὶν οὔσης, προσδεηθεὶς ἔτι χρημάτων μετὰ τὰ δεδομένα ὑπὸ τῆς πόλεως, ὁ ῥήτωρ ἐκ τῶν ἰδίων ἐδαπάνησε, καὶ οὐκ ἐλογίσατο αὐτὰ τῇ πόλει, ἀλλὰ καὶ ἐχαρίσατο. ταύτην ἀφορμὴν ὁ Κτησιφῶν, εἷς τῶν πολιτευομένων, δεξάμενος εἰσήνεγκε γνώμην ἐν τῇ βουλῇ περὶ αὐτοῦ τοιαύτην, "ἐπειδὴ διατελεῖ Δη-" "μοσθένης ὁ Δημοσθένους παρ' ὅλον τὸν βίον εὔνοιαν εἰς τὴν πόλιν ἐπιδεικνύ-" "μενος, καὶ νῦν δὲ τειχοποιὸς ὢν καὶ προσδεηθεὶς χρημάτων οἴκοθεν παρέσχε" "καὶ ἐχαρίσατο, διὰ τοῦτο δεδόχθω τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανοῦσθαι" "αὐτὸν χρυσέῳ στεφάνῳ, ἐν τῷ θεάτρῳ, τραγῳδιῶν ἀγομένων καινῶν," ἴσως ὅτε πλήθη συντρέχει ἐπιθυμοῦντα καινὰ δράματα βλέπειν. εἰσαγομένου τοίνυν καὶ εἰς τὸν δῆμον τοῦ προβουλεύματος, ἐφίσταται τοῦ Κτησιφῶντος κατήγορος Αἰσχίνης ἐκ τῆς πολιτείας ὑπάρχων ἐχθρός, παράνομον εἶναι φάσκων πρὸς τρεῖς νόμους τὸ ψήφισμα, ἕνα μὲν τὸν κελεύοντα τὸν ὑπεύθυνον μὴ στεφανοῦσθαι, πρὶν ἂν δῷ τὰς εὐθύνας· οὔπω δὲ ταύτας, φησίν, ὁ Δημοσθένης ἐδεδώκει καὶ τὰ θεωρικὰ διοικῶν καὶ τειχοποιῶν, καὶ ἔδει ἀναμεῖναι καὶ ἐπισχεῖν τὸ γέρας, ἕως ἂν ὀφθῇ καθαρὸς ἐξετασθείς. δεύτερον δὲ ἀναγινώσκει νόμον τὸν κελεύοντα ἐν Πνυκὶ στεφανοῦσθαι, οὐκ ἐν τῇ ἐκκλησίᾳ, διαβάλλων τοὺς πολίτας τοὺς δεξαμένους ἐν τῷ θεάτρῳ ἀναγορευθῆναι τοῦ Δημοσθένους τὸν στέφανον. 224 ὁ δὲ τρίτος νόμος εἰς τὴν ὅλην ὁρᾷ τοῦ βίου καὶ τῆς πολιτείας ἐξέτασιν· κελεύει γὰρ μηδέποτε ψευδῆ γράμματα εἰς τὸ Μητρῷον εἰσάγειν, ἔνθα ἐστὶν ὅλα τὰ

[h] ἰσχυροτέρων] ἰσχυρῶν o. p.

δημόσια γράμματα. ἐψεύσατο δέ, φησίν, εὔνοιαν καὶ σπουδὴν μαρτυρήσας τῷ Δημοσθένει· κακόνους γὰρ μᾶλλον καὶ πολέμιος εὑρίσκεται τῇ πατρίδι. τούτου τοῦ νόμου χρησίμου τυγχάνοντος, τοῦ τρίτου, ἀντιλαβόμενος ὥσπέρ τινος ἀγκύρας ὁ ῥήτωρ κατεπάλαισε τὸν ἀντίδικον, μεθόδῳ δεινοτάτῃ καὶ σοφωτάτῃ τῇ περὶ τοῦ κατηγόρου χρησάμενος· ἐκεῖθεν γὰρ ἔσχε λαβὴν ἑλεῖν καὶ καταγωνίσασθαι τὸν πολέμιον. τοὺς μὲν γὰρ ἄλλους δύο νόμους, τόν τε τῶν ὑπευθύνων καὶ τὸν τοῦ κηρύγματος, εἰς τὸ μέσον τοῦ λόγου ἀπέῤῥιψε, στρατηγικῶς κακοὺς δ' εἰς μέσον ἐλάσας, τῷ δὲ ἰσχυροτάτῳ εἰς τὰ ἄκρα προσκέχρηται, τὸ σαθρὸν τῶν ἄλλων ἐξ ἑκατέρου ῥωννύς. ἔοικε δὲ καὶ διοικεῖν πρὸς τὸ συμφέρον τὸν λόγον, καὶ οὐ σφόδρα ἀναιδῶς τὴν τέχνην ἐπιδεικνύμενος. δοκῶν γὰρ ἐν πρώτοις ὑπερβαίνειν τὸ νόμιμον, ἑτέρῳ τρόπῳ τῷ νομίμῳ προσκέχρηται· καὶ γὰρ νόμον ἀνέγνω Αἰσχίνης τὸν περὶ τῶν στεφάνων ψευδῆ, πρὸς ὃν ὁ ῥήτωρ ἀποκρινόμενος εὗρε καιρὸν εἰς μέσον ἀγαγεῖν τὰ ἑαυτοῦ πολιτεύματα, ὡς νομίμῳ μαχόμενος. καὶ ἡ μὲν διοίκησις τοῦ λόγου τοιαύτη, κεφάλαιον δὲ ἰσχυρὸν τῷ μὲν Αἰσχίνῃ τὸ νόμιμον, τῷ δὲ ῥήτορι τὸ δίκαιον, κοινὸν δὲ ἀπὸ τοῦ ἴσου τὸ συμφέρον, οὐκ ἔχον φανερὰν τὴν ἐξέτασιν. ἡ στάσις ἔγγραφος πραγματική·
περὶ ῥητοῦ γὰρ τὸ ψήφισμα. 225

Τῆς δὲ γραφῆς ἔτι Φιλίππου ζῶντος ἀποτεθείσης, ἐπὶ Ἀλεξάνδρου διαδεξαμένου τὴν ἀρχὴν ὁ λόγος ἐστὶ καὶ ἡ κρίσις. ὡς γὰρ ἀπέθανε Φίλιππος καὶ τὴν φρουρὰν οἱ Θηβαῖοι τεθαρσηκότες ἐξέβαλον, ὁ μὲν Ἀλέξανδρος ὡς καταφρονηθεὶς τὰς Θήβας κατέσκαψεν, εἶτα μεταγνοὺς ἐπὶ τῷ πεπραγμένῳ ἐξεχώρησε τῆς Ἑλλάδος αἰσχυνόμενος καὶ κατὰ τῶν βαρβάρων ἐστράτευσεν, οἱ δὲ Ἀθηναῖοι καιρὸν ἔχειν ἐνόμισαν κρίσει παραδοῦναι τοὺς προδότας τοὺς τὴν Ἑλλάδα ἀδικήσαντας, καὶ οὕτω συνεκροτήθη τὸ δικαστήριον.

ΠΡΩΤΟΝ μὲν ὦ ἄνδρες Ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε
πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν 226
εἰς τουτονὶ τὸν ἀγῶνα, ἔπειθ' ὅ πέρ ἐστι μάλισθ' ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν, μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ (σχέτλιον γὰρ [i] ἂν εἴη τοῦτό γε) ἀλλὰ τοὺς νόμους καὶ τὸν ὅρκον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ
2 τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν [k] ἀκροάσασθαι. τοῦτο

[i] ἂν om. u. [k] ἀκροάσασθαι S. vulg. ἀκροᾶσθαι.

δ' ἐστὶν οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδέν, οὐδὲ τὸ
τὴν εὔνοιαν ἴσην [l] ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ
τάξει καὶ [m] τῇ ἀπολογίᾳ, ὡς βεβούληται καὶ προῄρηται
τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι [n] χρήσασθαι.

3 Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν
ἀγῶνα Αἰσχίνου, δύο δ' [o] ὦ ἄνδρες Ἀθηναῖοι καὶ μεγά-
λα, ἓν μὲν ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι· οὐ γάρ
ἐστιν ἴσον νῦν ἐμοὶ τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν καὶ
τούτῳ [p] μὴ ἑλεῖν τὴν γραφήν, ἀλλ' [q] ἐμοὶ μέν, οὐ βούλο-
μαι [r] δὲ δυσχερὲς [s] εἰπεῖν οὐδὲν ἀρχόμενος τοῦ λόγου, οὗ-
4 τος δ' ἐκ περιουσίας μου κατηγορεῖ. ἕτερον δ', ὃ φύσει
πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ [t] τῶν
κατηγοριῶν [u] ἀκούειν ἡδέως, τοῖς [x] ἐπαινοῦσι δ' αὑτοὺς
ἄχθεσθαι· τούτων τοίνυν ὃ μέν ἐστι πρὸς ἡδονήν, τούτῳ
δέδοται, ὃ δὲ πᾶσιν ὡς ἔπος εἰπεῖν ἐνοχλεῖ, λοιπὸν ἐμοί.
[y] κἂν μὲν εὐλαβούμενος τοῦτο μὴ λέγω τὰ πεπραγμένα
ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ [z] κατηγορημένα δόξω
5 οὐδ' ἐφ' οἷς ἀξιῶ [a] τιμᾶσθαι δεικνύναι· [b] ἂν [c] δ' ἐφ' ἃ
καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδίζω, πολλάκις
λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. πειράσομαι μὲν 227
οὖν ὡς μετριώτατα τοῦτο ποιεῖν· ὅ τι δ' ἂν τὸ πρᾶγμα
αὐτὸ ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτός ἐστι δίκαιος
ἔχειν ὁ τοιοῦτον ἀγῶνα ἐνστησάμενος.

[l] ἀμφοτέροις om. pr. S.
[m] τῇ ἀπολ.] τὸ τῇ ἀπολ. Y.
[n] χρήσασθαι] χρῆσθαι p. r. s.
[o] ὦ om. p. r. ἄνδρες om. k. s.
[p] μὴ ἑλεῖν] μηλεῖν (λ ex alia littera effecto) S.
[q] ἐμοὶ] ἐγὼ γρ. Y.
[r] δὲ om. pr. S.
[s] εἰπεῖν οὐδὲν] οὐδὲν εἰπεῖν k. s.
[t] τῶν post καὶ om. O. u. v.
[u] ἀκούειν om. pr. S.
[x] ἐπαινοῦσι δ'] δ' ἐπαινοῦσι δ' O. u.
[y] κἂν μὲν] κἂν γὰρ r.
[z] κατηγορημένα] κατηγορούμενα O.
[a] τιμᾶσθαι δεικνύναι] δεικνύναι τιμᾶσθαι p.
[b] ἂν] ἐὰν S. k. o.
[c] δ' om. Q.

6 Οἶμαι δ' ὑμᾶς, ὦ [d] ἄνδρες [e] δικασταί, [f] πάντας ἂν ὁμολογῆσαι κοινὸν εἶναι [g] τουτονὶ τὸν ἀγῶνα [h] ἐμοὶ καὶ Κτησιφῶντι καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί· [i] πάντων [k] μὲν γὰρ [l] ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπόν, ἄλλως τε κἂν ὑπ' ἐχθροῦ τῳ τοῦτο [m] συμβαίνῃ, μάλιστα δὲ τῆς παρ' ὑμῶν [n] εὐνοίας καὶ φιλανθρωπίας, ὅσῳ περ
7 καὶ τὸ τυχεῖν τούτων μέγιστόν ἐστιν. περὶ τούτων δ' ὄντος τουτουῒ [o] τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν ἀκοῦσαί μου περὶ τῶν [p] κατηγορημένων ἀπολογουμένου δικαίως, ὥσπερ οἱ νόμοι κελεύουσιν, οὓς ὁ τιθεὶς ἐξ ἀρχῆς Σόλων, εὔνους ὢν ὑμῖν καὶ δημοτικός, οὐ μόνον τῷ γράψαι κυρίους ᾤετο δεῖν εἶναι, ἀλλὰ καὶ τῷ τοὺς δικάζοντας [q] ὑμᾶς ὀμωμοκέναι, οὐκ ἀπιστῶν ὑμῖν, ὥς [r] γ'
8 ἐμοὶ φαίνεται, ἀλλ' ὁρῶν ὅτι τὰς αἰτίας καὶ τὰς διαβολάς, αἷς ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν, εἰ μὴ τῶν δικαζόντων ἕκαστος ὑμῶν τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν [s] διαφυλάττων καὶ τὰ τοῦ λέγοντος [t] ὕστερον δίκαια εὐνοϊκῶς προσδέξεται, καὶ παρασχὼν ἑαυτὸν ἴσον καὶ κοινὸν ἀμφοτέροις ἀκροατὴν οὕτω τὴν διάγνωσιν ποιήσεται περὶ [u] ἁπάντων.

9 Μέλλων δὲ τοῦ τε ἰδίου [x] βίου παντός, ὡς ἔοικε, λόγον διδόναι τήμερον καὶ τῶν κοινῇ πεπολιτευμένων, [y] βούλομαι, καθάπερ ἐν ἀρχῇ, πάλιν τοὺς θεοὺς παρακαλέσαι,

[d] ἄνδρες om. k. o. s.
[e] δικασταί] ἀθηναῖοι S. O. k. o. s. om. p. r.
[f] πάντας post ὑμᾶς om. S.
[g] τουτονὶ τὸν ἀγῶνα] τὸν ἀγῶνα τουτονὶ O.
[h] ἐμοὶ pr. S. vulg. ἐμοί τε.
[i] πάντων] ἁπάντων O.
[k] μὲν om. k. s.
[l] ἀποστερεῖσθαι] ἀπορεῖσθαι S.
[m] συμβαίνῃ] συμβαίη k. q.
[n] εὐνοίας] εὐνοίας τε Y. k. o. r. s. t. v.
[o] τοῦ om. q.
[p] κατηγορημένων] κατηγορουμένων O. u.
[q] ὑμᾶς om. F. S.
[r] γ' ἐμοὶ F. S. Y. Q. O. k. o. r. s. t. u. v. vulg. γέ μοι.
[s] διαφυλάττων] φυλάττων S.
[t] ὕστερον] ὑστέρου Y. k. o. p. q. r. s.
[u] ἁπάντων S. k. s. ceteri πάντων.
[x] βίου om. k. s. et pr. O.
[y] βούλομαι καθάπερ ἐν ἀρχῇ om. S. k. s.

καὶ ἐναντίον ὑμῶν εὔχομαι πρῶτον μέν, ὅσην εὔνοιαν ἔχων [z] ἐγὼ διατελῶ τῇ [a] τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην 228 ὑπάρξαι μοι [b] παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα, ἔπειθ' ὅ τι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν κοινῇ καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆσαι [c] τοὺς θεοὺς πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς γνῶναι.

10 Εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν Αἰσχίνης, [d] κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἄλλα διεξιὼν [e] ἀνήλωκε καὶ τὰ πλεῖστα [f] κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα βραχέα, ὦ [g] ἄνδρες Ἀθηναῖοι, περὶ τούτων [h] εἰπεῖν πρῶτον, ἵνα μηδεὶς ὑμῶν τοῖς [i] ἔξωθεν λόγοις ἠγμένος [k] ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου.

11 Περὶ μὲν [l] δὴ τῶν ἰδίων ὅσα λοιδορούμενος βεβλασφήμηκε περὶ ἐμοῦ, θεάσασθε ὡς ἁπλᾶ καὶ δίκαια λέγω. εἰ μὲν ἴστε με τοιοῦτον οἷον [m] οὗτος ᾐτιᾶτο (οὐ γὰρ ἄλλοθί που βεβίωκα ἢ παρ' ὑμῖν), μηδὲ φωνὴν ἀνάσχησθε, μηδ' εἰ πάντα [n] τὰ κοινὰ ὑπέρευ πεπολίτευμαι, ἀλλ' ἀνα-
12 στάντες καταψηφίσασθε ἤδη· εἰ δὲ πολλῷ βελτίω τούτου καὶ ἐκ βελτιόνων, καὶ μηδενὸς τῶν μετρίων, ἵνα μηδὲν ἐπαχθὲς λέγω, χείρονα καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς ὑπειλήφατε καὶ γιγνώσκετε, τούτῳ [o] μὲν μηδ' ὑπὲρ τῶν ἄλλων πιστεύετε (δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ' ἐπλάττετο),

[z] ἐγὼ om. Y. p. r.
[a] τε om. S.
[b] παρ' ὑμῶν in margine S.
[c] τοὺς θεοὺς om. S.
[d] κἀγὼ] κἀγὼ δὲ k.
[e] ἀνήλωκεν S. Y. Q. k. o. p. q. r. s. ἀνήλωκεν (α superscript) F. ceteri ἀνάλωκεν.
[f] κατεψεύσατό] διεψεύσατό q.
[g] ἄνδρες om. p.
[h] εἰπεῖν πρῶτον S. vulg. πρῶτον εἰπεῖν.
[i] ἔξωθεν] ἔξω Y. o. p.
[k] ἀλλοτριώτερον] ἀλλοτριώτερος o. p. r.
[l] δὴ om. Q.
[m] οὗτος] αὐτὸς O. u.
[n] τὰ om. u. et pr. O.
[o] μὲν] μὲν δὴ Y. s. t.

ἐμοὶ δ', ἣν παρὰ πάντα τὸν χρόνον εὔνοιαν ἐνδέδειχθε ἐπὶ
πολλῶν ἀγώνων τῶν πρότερον [p] γεγενημένων, καὶ νυνὶ
13 παράσχεσθε. κακοήθης δ' ὤν, Αἰσχίνη, τοῦτο παντελῶς
[q] εὔηθες ᾠήθης, τοὺς περὶ τῶν πεπραγμένων καὶ πεπολι-
τευμένων λόγους ἀφέντα με πρὸς τὰς λοιδορίας τὰς
παρὰ σοῦ [r] τρέψεσθαι. οὐ δὴ ποιήσω τοῦτο· οὐχ οὕτω τε- 229
τύφωμαι· ἀλλ' ὑπὲρ μὲν τῶν πεπολιτευμένων ἃ κατε-
ψεύδου καὶ [s] διέβαλλες, [t] αὐτίκα ἐξετάσω, τῆς δὲ πομ-
πείας ταύτης τῆς [u] ἀνέδην [x] γεγενημένης ὕστερον, ἂν βου-
λομένοις [y] ἀκούειν [z] ᾖ [a] τουτοισί, μνησθήσομαι.

14 Τὰ μὲν οὖν κατηγορημένα πολλὰ [b] καὶ δεινά, καὶ
περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι [c] τάτ-
τουσι τιμωρίας· τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις
[d] αὕτη ἐχθροῦ μὲν [e] ἐπήρειαν ἔχει καὶ ὕβριν καὶ λοιδορίαν
καὶ προπηλακισμὸν [f] ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα· τῶν
μέντοι κατηγοριῶν καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ
ἦσαν ἀληθεῖς, οὐκ [g] ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν, οὐδ'
15 ἐγγύς. οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δήμῳ
καὶ λόγου τυχεῖν, οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο
ποιεῖν· οὔτε μὰ τοὺς θεοὺς ὀρθῶς ἔχον οὔτε πολιτικὸν οὔτε
δίκαιόν ἐστιν, ὦ [h] ἄνδρες Ἀθηναῖοι· ἀλλ' ἐφ' οἷς ἀδι-

[p] γεγενημένων om. S. k. s.

[q] εὔηθες] εὐήθης q.

[r] τρέψεσθαι] τρέψασθαι o. q. τρέψασθαι k. et pr. r. τρέπεσθαι u.

[s] διέβαλλες] διέβαλες Y. p. t.

[t] αὐτίκα om. F. S. Y. Q. post ἐξετάσω ponunt o. p. r. in margine q.

[u] ἀνέδην r. u. et correcti O. v. cum Anecd. p. 400, 2. vulg. ἀναίδην.

[x] Ante γεγενημένης cum S. k. s. et Anecd. omisi οὑτωσί.

[y] ἀκούειν om. F. Y. Q. o. p. r. ante μνησθήσομαι ponunt O. t. u. v.

[z] ᾖ] ἐστὶ k.

[a] τουτοισὶ F. S. Y. Q. o. p. q. r. vulg. τούτοις.

[b] καὶ δεινὰ om. S. k. s.

[c] τάττουσι] διδόασι S. et γρ. Q.

[d] αὕτη S. Q. o. p. r. t. vulg. αὐτή.

[e] ἐπήρειαν] προαίρεσιν S.

[f] ὁμοῦ] ἐμοῦ s.

[g] ἔνι] ἔχει S. ἐπὶ Y. k. s. ἔστι γρ. s.

[h] ἄνδρες om. o. p.

κοῦντά με ἑώρα τὴν πόλιν, οὖσί γε [i] τηλικούτοις ἡλίκα
νῦν ἐτραγῴδει καὶ διεξῄει, ταῖς ἐκ τῶν νόμων τιμωρίαις
16 παρ' αὐτὰ τἀδικήματα [k] χρῆσθαι, εἰ μὲν εἰσαγγελίας
ἄξια πράττοντά [l] με ἑώρα, εἰσαγγέλλοντα καὶ τοῦτον τὸν
τρόπον εἰς κρίσιν καθιστάντα παρ' ὑμῖν, εἰ δὲ γράφοντα
παράνομα, παρανόμων γραφόμενον· οὐ γὰρ δήπου Κτη-
σιφῶντα [m] μὲν δύναται διώκειν δι' ἐμέ, ἐμὲ δέ, εἴπερ
17 [n] ἐξελέγξειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο. καὶ μὴν εἴ
τι τῶν ἄλλων [o] ὧν νυνὶ [p] διέβαλλε καὶ διεξῄει ἢ καὶ ἄλλ'
ὁτιοῦν ἀδικοῦντά με [q] ὑμᾶς ἑώρα, εἰσὶ νόμοι περὶ πάντων
[r] καὶ τιμωρίαι καὶ ἀγῶνες καὶ κρίσεις [s] πικρὰ καὶ με-
γάλα [u] ἔχουσαι [x] τἀπιτίμια, καὶ τούτοις [y] ἐξῆν ἅπασι
χρῆσθαι [z] κατ' ἐμοῦ, καὶ ὁπηνίκα ἐφαίνετο ταῦτα πεποι- 230
ηκὼς καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς [a] πρὸς ἐμέ,
18 ὡμολογεῖτο ἂν ἡ κατηγορία τοῖς ἔργοις [b] αὐτοῦ. νῦν δ'
ἐκστὰς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ καὶ φυγὼν τοὺς παρ'
αὐτὰ [c] τὰ πράγματα ἐλέγχους, τοσούτοις ὕστερον χρόνοις
αἰτίας [d] καὶ σκώμματα καὶ λοιδορίας συμφορήσας ὑπο-
κρίνεται· εἶτα κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί, καὶ
τοῦ μὲν ἀγῶνος ὅλου τὴν πρὸς [e] ἐμὲ ἔχθραν προΐσταται,
οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοὶ τὴν ἑτέρου ζητῶν
19 ἐπιτιμίαν ἀφελέσθαι φαίνεται. καίτοι πρὸς ἅπασιν, ὦ

[i] τηλικούτοις] τοιούτοις k.
[k] χρῆσθαι] χρήσασθαι o. p. r.
[l] με post εἰσαγγέλλοντα ponit o.
[m] μὲν post Κτησιφῶντα om. k.
[n] ἐξελέγξειν k. ἐξελέγχειν (ξ supra) S. s. vulg. ἐξελέγχειν.
[o] ὧν om. t.
[p] διέβαλλε] διέβαλε p. r.
[q] ὑμᾶς om. pr. O.
[r] καὶ τιμωρίαι post κρίσεις ponunt k. s.
[s] πικρὰ] (μ supra) πικρὰ O. πικρὰ — ἐπιτίμια in margine rec. S.
[u] ἔχουσαι] ἔχοντες t. et γρ. Q. et margo S.
[x] τἀπιτίμια O. u. vulg. τὰ ἐπιτίμια.
[y] ἐξῆν ἅπασι] ἐξῆν αὐτῷ πᾶσι k.s.
[z] κατ' ἐμοῦ om. F. S. Y. Q. O. t. u. v.
[a] πρὸς ἐμέ] πρός με S.
[b] αὐτοῦ] αὐτοῖς q.
[c] τὰ post αὐτὰ om. u. et pr. O.
[d] καὶ ante σκώμματα om. u.
[e] ἐμὲ] ἐμέ πως s. t.

[f] ἄνδρες Ἀθηναῖοι, [g] τοῖς ἄλλοις [h] δικαίοις οἷς ἂν [i] εἰπεῖν τις ὑπὲρ Κτησιφῶντος ἔχοι, καὶ [k] τοῦτ' ἔμοιγε δοκεῖ καὶ [l] μάλ' εἰκότως ἂν λέγειν, ὅτι τῆς ἡμετέρας ἔχθρας ἡμᾶς ἐφ' ἡμῶν αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι, οὐ τὸ μὲν πρὸς ἀλλήλους ἀγωνίζεσθαι [m] παραλείπειν, ἑτέρῳ δ' ὅτῳ κακόν τι δώσομεν ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε.

20 Πάντα μὲν [n] τοίνυν τὰ κατηγορημένα ὁμοίως ἐκ τούτων ἄν τις ἴδοι οὔτε [o] δικαίως οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς εἰρημένα· βούλομαι δὲ καὶ καθ' [p] ἓν ἕκαστον αὐτῶν ἐξετάσαι, καὶ μάλισθ' [q] ὅσα ὑπὲρ τῆς εἰρήνης καὶ τῆς πρεσβείας κατεψεύσατό μου, τὰ πεπραγμένα ἑαυτῷ μετὰ Φιλοκράτους ἀνατιθεὶς ἐμοί. ἔστι δ' ἀναγκαῖον [r] ὦ ἄνδρες Ἀθηναῖοι καὶ προσῆκον ἴσως, ὡς κατ' ἐκείνους τοὺς χρόνους εἶχε τὰ πράγματα ἀναμνῆσαι [s] ὑμᾶς, ἵνα πρὸς τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε.

21 Τοῦ γὰρ Φωκικοῦ [t] συστάντος πολέμου, οὐ δι' ἐμὲ (οὐ γὰρ [u] δὴ ἔγωγε ἐπολιτευόμην [x] πω [y] τότε), πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθε, ὥστε Φωκέας μὲν [z] βούλεσθαι σωθῆ- 231
ναι, καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες, Θηβαίοις δ' ὁτιοῦν ἂν ἐφησθῆναι παθοῦσιν, οὐκ ἀλόγως οὐδ' ἀδίκως αὐτοῖς ὀργιζόμενοι· οἷς γὰρ [a] εὐτυχήκεσαν ἐν Λεύκτροις,
22 οὐ μετρίως ἐκέχρηντο· ἐπειθ' ἡ Πελοπόννησος ἅπασα δι-

[f] ἄνδρες om. o. p.
[g] τοῖς ἄλλοις ante ὦ ponunt k. s.
[h] δικαίοις in γρ. S. post ἔχοι k.
[i] εἰπεῖν τις] τις εἰπεῖν k. s.
[k] τοῦτ'] τοῦτό γε k. s.
[l] μάλ'] μάλιστα Q.
[m] παραλείπειν] παραλιπεῖν Q. o. r.
[n] τοίνυν] οὖν q.
[o] δικαίως] δικαίου q.
[p] ἓν om. k.
[q] ὅσα] ὅσα γε O. u.
[r] ὦ om. Q.
[s] ὑμᾶς] ἡμᾶς O. om. S.
[t] συστάντος πολέμου] πολέμου συστάντος k. s.
[u] δὴ om. k. s.
[x] πω om. p.
[y] τότε] ποτε F. Q. o. et pr. u. et γρ. S.
[z] βούλεσθαι] ἐβούλεσθε Y.
[a] εὐτυχήκεσαν] εὐτυχήκασιν q.

ειστήκει, καὶ οὔθ᾽ οἱ μισοῦντες Λακεδαιμονίους οὕτως
ἴσχυον ὥστε ἀνελεῖν αὐτούς, οὔθ᾽ οἱ πρότερον δι᾽ [b]ἐκείνων
ἄρχοντες κύριοι [c]τῶν πόλεων ἦσαν, ἀλλά τις ἦν ἄκριτος
καὶ παρὰ τούτοις καὶ [d]παρὰ τοῖς ἄλλοις [e]ἅπασιν ἔρις
23 καὶ ταραχή. ταῦτα δ᾽ ὁρῶν ὁ Φίλιππος (οὐ γὰρ ἦν
ἀφανῆ) τοῖς παρ᾽ ἑκάστοις προδόταις χρήματα ἀνα-
λίσκων πάντας συνέκρουε καὶ πρὸς [f]αὑτοὺς ἐτάραττεν·
εἶτ᾽ ἐν οἷς ἡμάρτανον [g]οἱ ἄλλοι καὶ κακῶς ἐφρόνουν, αὐ-
τὸς παρεσκευάζετο καὶ κατὰ πάντων ἐφύετο. ὡς δὲ τα-
λαιπωρούμενοι τῷ μήκει τοῦ πολέμου οἱ τότε μὲν βαρεῖς
[h]νῦν δ᾽ ἀτυχεῖς Θηβαῖοι φανεροὶ πᾶσιν ἦσαν ἀναγκασθη-
σόμενοι καταφεύγειν ἐφ᾽ ὑμᾶς, [i]ὁ Φίλιππος, ἵνα μὴ
τοῦτο [k]γένοιτο [l]μηδὲ συνέλθοιεν αἱ πόλεις, ὑμῖν μὲν εἰρήνην
24 ἐκείνοις δὲ βοήθειαν [m]ἐπηγγείλατο. τί οὖν συνηγωνίσατο
αὐτῷ πρὸς τὸ λαβεῖν ὀλίγου δεῖν [n]ὑμᾶς ἑκόντας ἐξαπα-
τωμένους; ἡ τῶν ἄλλων Ἑλλήνων, εἴτε χρὴ κακίαν εἴτ᾽
ἄγνοιαν εἴτε [o]καὶ ἀμφότερα ταῦτ᾽ εἰπεῖν, οἳ πόλεμον
συνεχῆ καὶ μακρὸν πολεμούντων ὑμῶν, καὶ τοῦτον ὑπὲρ
[p]τῶν πᾶσι συμφερόντων, ὡς ἔργῳ φανερὸν γέγονεν, οὔτε
χρήμασιν οὔτε σώμασιν [q]οὔτ᾽ ἄλλῳ οὐδενὶ τῶν [r]ἁπάντων
[s]συνελάμβανον ὑμῖν· οἷς [t]καὶ δικαίως καὶ προσηκόντως
25 ὀργιζόμενοι ἑτοίμως ὑπηκούσατε [u]τῷ Φιλίππῳ. ἡ μὲν οὖν
τότε συγχωρηθεῖσα [x]εἰρήνη διὰ ταῦτ᾽, οὐ δι᾽ ἐμέ, ὡς οὗτος 232

[b] ἐκείνων] ἐκεῖνον u. v.
[c] τῶν πόλεων] τῆς πόλεως r. et γρ. o.
[d] παρὰ ante τοῖς om. F.Y.Q.O. o.p.r.u.v. supra versum ponit t.
[e] ἅπασιν] ἅπασιν ἕλλησιν O. k. p. q. r. s. et γρ. F. Q.
[f] ἑαυτοὺς] ἀλλήλους k. s.
[g] οἱ om. S.
[h] νῦν] νυνὶ O. k. s.
[i] ὁ om. S. ὁ Φίλιππος om. Y.
[k] γένοιτο] γένηται k. o. s.
[l] μηδὲ] μὴ O.
[m] ἐπηγγείλατο] ἐπηγγέλλετο k.
[n] ὑμᾶς ἑκόντας] ἑκόντας ὑμᾶς k.s.
[o] καὶ ante ἀμφότερα om. o.
[p] τῶν πᾶσι S. ceteri τῶν κοινῇ πᾶσι.
[q] οὔτ᾽] οὐδὲ Y. Q. οὐδὲ v.
[r] ἁπάντων S. vulg. πάντων.
[s] συνελάμβανον] συνελαμβάνοντο γρ. S. Q.
[t] καὶ post οἷς om. O.
[u] τῷ om. k. s.
[x] εἰρήνη] εἰρήνη τῷ φιλίππῳ r.

[y]διέβαλλεν, ἐπράχθη· τὰ δὲ τούτων ἀδικήματα [z]καὶ δωροδοκήματα ἐν αὐτῇ τῶν [a]νυνὶ παρόντων πραγμάτων,
26 [b]ἄν τις ἐξετάζῃ δικαίως, αἴτια εὑρήσει. καὶ [c]ταυτὶ πάνθ' ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι καὶ διεξέρχομαι. εἰ γὰρ εἶναί [d]τι δοκοίη τὰ μάλιστα ἐν τούτοις ἀδίκημα, οὐδέν [e]ἐστι δήπου πρὸς ἐμέ, ἀλλ' ὁ μὲν πρῶτος εἰπὼν καὶ μνησθεὶς [f]ὑπὲρ τῆς εἰρήνης Ἀριστόδημος ἦν ὁ ὑποκριτής, ὁ δ' ἐκδεξάμενος καὶ γράψας καὶ ἑαυτὸν μετὰ τούτου μισθώσας ἐπὶ ταῦτα Φιλοκράτης ὁ Ἁγνούσιος, ὁ σὸς Αἰσχίνη κοινωνός, [g]οὐχ ὁ ἐμός, οὐδ' [h]ἂν σὺ [i]διαῤῥαγῇς ψευδόμενος, οἱ δὲ συνειπόντες ὅτου δήποτε ἕνεκα (ἐῶ γὰρ τοῦτό γ' ἐν τῷ παρόντι) Εὔβουλος καὶ Κηφι-
27 σοφῶν· ἐγὼ δ' οὐδὲν οὐδαμοῦ. ἀλλ' ὅμως, τούτων τοιούτων ὄντων καὶ ἐπ' αὐτῆς τῆς ἀληθείας οὕτω δεικνυμένων, εἰς τοῦθ' ἧκεν ἀναιδείας, [k]ὥστ' ἐτόλμα λέγειν ὡς ἄρα ἐγὼ [l]πρὸς τῷ τῆς εἰρήνης αἴτιος [m]γεγενῆσθαι [n]καὶ κεκωλυκὼς εἴην τὴν πόλιν μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων [o]αὐτὴν ποιήσασθαι. εἶτ' ὦ—τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; ἔστιν ὅπου σὺ παρών, τηλικαύτην πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην [p]νῦν [q]διεξῄεις, ὁρῶν ἀφαιρούμενόν με τῆς πόλεως ἠγανάκτησας, ἢ παρελθὼν ταῦτα ἃ [r]νῦν

[y] διέβαλλεν] διέβαλεν O. q. t. v.
[z] καὶ δωροδοκήματα om. pr. O.
[a] νυνὶ] νῦν k.
[b] ἄν τις ἐξετάζῃ] εἴ τις ἐξετάζοι k.
[c] ταυτὶ] ταῦτα k. p. r. s.
[d] τι—ἀδίκημα S. ceteri τινα—ἀδικήματα.
[e] ἐστι] ἐστι τούτων k. s.
[f] ὑπὲρ] περὶ F. Y. k. p. r. s.
[g] οὐχ ὁ S. vulg. οὐκ.
[h] ἂν] ἐὰν Q.
[i] διαῤῥαγῇς] διαρραγείης O. k. p. r. s. u.
[k] ὥστ' ἐτόλμα] ὥστε τολμᾷ F. Q. O. p. t. u. v. et correctus r.
[l] πρὸς τῷ] πρὸς τὸ O.
[m] Post γεγενῆσθαι omisi ἔτι cum F. S. Q. k. s.
[n] καὶ om. p. r.
[o] αὐτὴν] ταύτην S.
[p] νῦν] νυνὶ S.
[q] διεξῄεις] ἐτραγῴδεις καὶ διεξῄεις F. Q. O. k. p. r. s. t. u. v. διετραγῴδεις καὶ διεξῄεις Y.
[r] νῦν] νυνὶ S.

28 κατηγορεῖς ἐδίδαξας [t] καὶ διεξῆλθες; καὶ μὴν εἰ τὸ κω-
λῦσαι τὴν τῶν Ἑλλήνων κοινωνίαν ἐπεπράκειν [u] ἐγὼ Φι-
λίππῳ, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, ἀλλὰ βοᾶν καὶ
διαμαρτύρεσθαι καὶ δηλοῦν [x] τουτοισί. οὐ τοίνυν ἐποίησας
οὐδαμοῦ τοῦτο, οὐδ' ἤκουσέ σου ταύτην τὴν φωνὴν οὐδείς, 233
[y] εἰκότως· οὔτε γὰρ ἦν πρεσβεία πρὸς [z] οὐδένας ἀπεσταλ-
μένη τότε τῶν Ἑλλήνων, ἀλλὰ [a] πάλαι πάντες ἦσαν ἐξ-
εληλεγμένοι, οὔθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν.
29 χωρὶς δὲ τούτων [b] καὶ διαβάλλει τὴν πόλιν τὰ μέγιστα
ἐν οἷς ψεύδεται· εἰ γὰρ ὑμεῖς ἅμα, τοὺς μὲν [c] Ἕλληνας
εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ πρὸς Φίλιππον περὶ
[d] εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πρᾶγμα, οὐ πό-
λεως ἔργον οὐδὲ χρηστῶν ἀνθρώπων διεπράττεσθε. ἀλλ'
30 οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· τί γὰρ καὶ βουλόμενοι μετε-
πέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην;
ἀλλ' ὑπῆρχεν ἅπασιν. ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐ-
τοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. [e] Οὐκοῦν οὔτε τῆς ἐξ ἀρ-
χῆς εἰρήνης ἡγεμὼν οὐδ' αἴτιος ὢν ἐγὼ φαίνομαι, οὔτε
τῶν ἄλλων [f] ὧν κατεψεύσατό [g] μου οὐδὲν ἀληθὲς ὂν δεί-
κνυται.

31 Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα
πάλιν σκέψασθε τί ἡμῶν ἑκάτερος προείλετο πράττειν·
καὶ γὰρ ἐκ τούτων [h] εἴσεσθε, τίς ἦν ὁ Φιλίππῳ [i] πάντα
συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν καὶ τὸ
32 τῇ πόλει συμφέρον ζητῶν. ἐγὼ μὲν τοίνυν ἔγραψα βου-

[t] καὶ] ἢ F. Y. Q. O. p. r. t. u. v.
[u] ἐγὼ] ἔγωγε k. p. r. s.
[x] τουτοισί] τουτοισίν p. r.
[y] εἰκότως om. F. S. Y. Q. O. u. v.
[z] οὐδένας] οὐδένα F. S. Y. Q. p. r. t.
[a] πάλαι] τότε F. om. k.
[b] καὶ om. p.
[c] Ἕλληνας] ἄλλους ἕλληνας F. Y. Q. O. p. r. t. u. v.
[d] εἰρήνης] τῆς εἰρήνης S.
[e] Οὐκοῦν] οὔκουν S. Y. p.
[f] ὧν] οὐδὲν ὧν p. v. et pr. O.
[g] μου om. Y.
[h] εἴσεσθε] ὄψεσθε k. s.
[i] πάντα] τε τὴν εἰρήνην S.

λεύων ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις [k] ἐπὶ τοὺς
τόπους, ἐν οἷς ἂν [l] ὄντα Φίλιππον [m] πυνθάνωνται, καὶ
τοὺς ὅρκους [n] ἀπολαμβάνειν· οὗτοι δὲ [o] οὐδὲ γράψαντος
ἐμοῦ ταῦτα ποιεῖν ἠθέλησαν. τί δὲ τοῦτ' ἠδύνατο, [p] ὦ ἄν-
δρες Ἀθηναῖοι; ἐγὼ διδάξω. Φιλίππῳ μὲν ἦν συμφέρον
ὡς πλεῖστον [q] τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν
33 δ' ὡς ἐλάχιστον. διὰ τί; ὅτι ὑμεῖς μὲν οὐκ ἀφ' ἧς ὠ-
μόσατε [r] μόνον ἡμέρας, ἀλλ' ἀφ' ἧς ἠλπίσατε [s] τὴν εἰρή- 234
νην ἔσεσθαι, πάσας [t] ἐξελύσασθε τὰς παρασκευὰς τὰς
τοῦ πολέμου, ὁ δὲ τοῦτο ἐκ παντὸς τοῦ χρόνου μάλιστα
ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆς πόλεως
προλάβοι πρὸ τοῦ [u] τοὺς ὅρκους ἀποδοῦναι, πάντα [x] ταῦ-
τα βεβαίως ἕξειν· οὐδένα γὰρ τὴν εἰρήνην λύσειν τούτων
34 [y] ἕνεκα. ἃ ἐγὼ προορώμενος [z] ὦ ἄνδρες Ἀθηναῖοι καὶ λο-
γιζόμενος [a] τὸ ψήφισμα τοῦτο γράφω, πλεῖν ἐπὶ τοὺς
τόπους ἐν οἷς ἂν ᾖ Φίλιππος, καὶ τοὺς ὅρκους τὴν ταχί-
στην ἀπολαμβάνειν, ἵν' ἐχόντων τῶν Θρᾳκῶν, τῶν [b] ὑμε-
τέρων συμμάχων, τὰ χωρία [c] ταῦθ' ἃ νῦν οὗτος διέσυρε,
τὸ [d] Σέῤῥιον καὶ τὸ [e] Μύρτιον καὶ τὴν Ἐργίσκην, οὕτω γί-
γνοινθ' οἱ ὅρκοι, καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς ἐπικαί-

[k] ἐπὶ τοὺς τόπους in margine S. ἐπὶ τοῖς τόποις s.
[l] ὄντα Φίλιππον F. S. Q. O. p. t. u. v. vulg. ὄντα τὸν Φίλιππον.
[m] πυνθάνωνται] πυνθάνονται s.
[n] ἀπολαμβάνειν] τὴν ταχίστην ἀπολαμβάνειν k. s.
[o] οὐδὲ] οὐ pr. S.
[p] ὦ om. Q. O. k. p. u.
[q] τὸν om. F. Y. Q.
[r] μόνον ἡμέρας] ἡμέρας μόνον S. k. s.
[s] τὴν om. Y. Q. p. r.
[t] ἐξελύσασθε] ἐξελύσατε F. S. Y. k. p. r. s. t.
[u] τοὺς om. pr. v.
[x] ταῦτα ante πάντα ponit k. post ἕξειν p. r.
[y] ἕνεκα] ἕνεκεν k.
[z] ὦ om. S. O. p. r. u. v.
[a] τὸ ψήφισμα τοῦτο] τοῦτο τὸ ψήφισμα k. s.
[b] ὑμετέρων] ἡμετέρων k.
[c] ταῦθ' om. p. ante τὰ χωρία ponit S.
[d] Σέῤῥιον] σέρρειον Y. σέρρον pr. r.
[e] Μύρτιον] μυρτηνον (τι superscr.) S. μυρτηνὸν k.

ρους τῶν τόπων κύριος τῆς Θρᾴκης κατασταίη, μηδὲ πολ-
λῶν μὲν χρημάτων πολλῶν δὲ στρατιωτῶν εὐπορήσας ἐκ
35 τούτων ῥᾳδίως τοῖς [f] λοιποῖς ἐπιχειροίη πράγμασιν. εἶτα
τοῦτο μὲν οὐχὶ λέγει τὸ ψήφισμα, οὐδ᾽ ἀναγιγνώσκει·
εἰ δὲ βουλεύων ἐγὼ προσάγειν τοὺς πρέσβεις ᾤμην δεῖν,
τοῦτό μου διαβάλλει. ἀλλὰ τί ἐχρῆν με ποιεῖν; μὴ
προσάγειν γράψαι τοὺς ἐπὶ τοῦθ᾽ ἥκοντας, ἵν᾽ [g] ὑμῖν δια-
λεχθῶσιν; ἢ θέαν μὴ κατανεῖμαι τὸν ἀρχιτέκτονα αὐτοῖς
κελεῦσαι; ἀλλ᾽ ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄν, εἰ μὴ
τοῦτ᾽ ἐγράφη. τὰ [h] μικρὰ συμφέροντα τῆς πόλεως ἔδει
[i] με φυλάττειν, τὰ δ᾽ ὅλα, ὥσπερ οὗτοι, [k] πεπρακέναι;
οὐ [l] δήπου. Λέγε τοίνυν μοι τὸ ψήφισμα [m] τουτὶ λαβών,
ὃ σαφῶς [n] οὗτος εἰδὼς παρέβη. λέγε.

36 [o] ΨΗΦΙΣΜΑ. 235

Ἐπὶ ἄρχοντος Μνησιφίλου, ἑκατομβαιῶνος [p] ἕνῃ καὶ νέᾳ, φυλῆς
πρυτανευούσης Πανδιονίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς
εἶπεν, ἐπειδὴ Φίλιππος ἀποστείλας πρέσβεις περὶ τῆς [q] εἰρήνης
ὁμολογουμένας πεποίηται [r] συνθήκας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ
δήμῳ [s] τῷ Ἀθηναίων, ὅπως ἂν ἡ εἰρήνη ἐπιτελεσθῇ ἡ ἐπιχειροτο-
νηθεῖσα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ, πρέσβεις ἑλέσθαι ἐκ πάντων Ἀθη-
37 ναίων ἤδη πέντε, τοὺς δὲ χειροτονηθέντας ἀποδημεῖν μηδεμίαν
[t] ὑπερβολὴν ποιουμένους, ὅπου ἂν ὄντα πυνθάνωνται τὸν Φίλιππον,
καὶ τοὺς ὅρκους [u] λαβεῖν τε παρ᾽ αὐτοῦ καὶ δοῦναι τὴν ταχίστην

[f] λοιποῖς] ἄλλοις r.

[g] ὑμῖν] ἡμῖν k.

[h] μικρὰ om. pr. S. σμικρὰ rec. S.

[i] με] μοι k. μὲ μὴ pr. r.

[k] πεπρακέναι οὐ F. S. Y. Q. πεπρακέναι φιλίππῳ οὐ ceteri.

[l] δήπου] δήπω k.

[m] τουτὶ—λέγε in margine k.

[n] οὗτος εἰδὼς] εἰδὼς οὗτος s. et margo k.

[o] Psephisma in summa pagina ab ea manu, quæ scholia scripsit, Y.

[p] ἕνῃ] ἕννη k. p. r.

[q] εἰρήνης] εἰρήνης πρὸς Ἀθηναίους O. t. u. v.

[r] συνθήκας] συνθήκας πρὸς τὸν ἀθηναῖον δῆμον k. πρὸς τὸν ἀθηναίων δῆμον s.

[s] τῷ Ἀθηναίων] τῶν ἀθηναίων Q. O. p. r. t. u. v.

[t] ὑπερβολὴν F. S. Q. vulg. ἀναβολήν. Conf. Etym. M. p. 778, 36.

[u] λαβεῖν τε παρ᾽ αὐτοῦ] παρ᾽ αὐτοῦ λαβεῖν k. s.

ἐπὶ ταῖς [x] ὡμολογημέναις συνθήκαις αὐτῷ πρὸς τὸν [y] Ἀθηναίων δῆμον, [z] συμπεριλαμβάνοντας καὶ τοὺς ἑκατέρων συμμάχους. πρέσβεις ᾑρέθησαν Εὔβουλος Ἀναφλύστιος, [a] Αἰσχίνης Κοθωκίδης, [b] Κηφισοφῶν Ῥαμνούσιος, Δημοκράτης Φλυεύς, Κλέων Κοθωκίδης.

38 Ταῦτα γράψαντος ἐμοῦ τότε, καὶ τὸ [c] τῇ πόλει συμφέρον, οὐ [d] τὸ [e] Φιλίππῳ ζητοῦντος, βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι [f] καθῆντο ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θρᾴκης πάντα καταστρεψάμενος [g] τἀκεῖ, ἐξὸν ἡμερῶν δέκα, [h] μᾶλλον δὲ τριῶν ἢ τεττάρων, εἰς τὸν Ἑλλήσποντον ἀφῖχθαι καὶ τὰ χωρία σῶσαι, λαβόντας τοὺς ὅρκους πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά· οὐ γὰρ ἂν ἥψατ' αὐτῶν παρόντων ἡμῶν, ἢ οὐκ ἂν ὡρκίζομεν αὐτόν, ὥστε τῆς εἰρήνης ἂν διημαρτήκει καὶ οὐκ ἂν ἀμφότερα εἶχε, καὶ τὴν εἰρήνην καὶ τὰ χωρία. 236

39 Τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα μὲν Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδίκων τούτων ἀνθρώπων [i] καὶ θεοῖς ἐχθρῶν τοιοῦτον ἐγένετο· ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ [k] πολεμεῖν καὶ διαφέρεσθαι [l] τούτοις. ἕτερον δ' εὐθὺς ἐφεξῆς ἔτι τούτου μεῖζον κακούργη-
40 μα θεάσασθε. ἐπειδὴ γὰρ [m] ὤμοσε τὴν εἰρήνην [n] ὁ [o] Φίλιπ-

[x] ὡμολογημέναις] ὡμολογουμέναις O. ομολογουμέναις k. ὁμολογουμέναις o. p. q.

[y] Ἀθηναίων] ἀθηναῖον p. r.

[z] συμπεριλαμβάνοντας] συμπαραλαμβάνοντας r. s. συμπαραλαμβάνοντες p.

[a] Αἰσχίνης om. F. S. Y. Q. αἰσχίνης ἀτρομήτου rec. O.

[b] Κηφισοφῶν] κηφισῶν t. κτησιφῶν O. v.

[c] τῇ πόλει] τῆς πόλεως O.

[d] τὸ] τῷ O. r. u. v.

[e] Φιλίππῳ] τοῦ φιλίππου k. s.

[f] καθῆντο O. v. vulg. κάθηντο.

[g] τἀκεῖ om. pr. S. ante καταστρεψάμενος ponunt k. s. et rec. S.

[h] μᾶλλον] ὁμοίως S. k. s.

[i] καὶ θεοῖς ἐχθρῶν om. S. s.

[k] πολεμεῖν] καὶ πολεμεῖν S.

[l] τούτοις] τουτοισί k. s.

[m] ὤμοσε] ὤμοσε (ὡμολόγησε) s. ὡμολόγησε F. S. Q. O. u. v.

[n] ὁ om. k. s.

[o] Φίλιππος] φίλιππος ἕξειν Q. O. s. t. et in litura F. in Y. lacuna est post φίλιππος.

πος [p] προλαβὼν τὴν Θρᾴκην διὰ [q] τούτους οὐχὶ πεισθέντας
τῷ ἐμῷ ψηφίσματι, πάλιν ὠνεῖται παρ' αὐτῶν ὅπως μὴ
[r] ἀπίωσιν ἐκ Μακεδονίας, [s] ἕως τὰ τῆς [t] στρατείας τῆς
ἐπὶ τοὺς Φωκέας εὐτρεπῆ ποιήσαιτο, ἵνα μή, δεῦρ' ἀπαγ-
γειλάντων [u] αὐτῶν ὅτι μέλλει καὶ παρασκευάζεται πο-
ρεύεσθαι, ἐξέλθοιτε ὑμεῖς καὶ περιπλεύσαντες ταῖς τριή-
ρεσιν [x] εἰς Πύλας ὥσπερ πρότερον [y] κλείσαιτε τὸν [z] πορθ-
μόν, ἀλλ' ἅμ' [a] ἀκούοιτε ταῦτα ἀπαγγελλόντων [b] τούτων
κἀκεῖνος ἐντὸς εἴη Πυλῶν καὶ μηδὲν ἔχοιθ' [c] ὑμεῖς ποιῆ-
41 σαι. οὕτω δ' ἦν ὁ Φίλιππος ἐν φόβῳ [d] καὶ πολλῇ ἀγω-
νίᾳ, μὴ [e] καὶ ταῦτα προειληφότος αὐτοῦ, [f] εἰ πρὸ τοῦ
τοὺς Φωκέας ἀπολέσθαι [g] ψηφίσαισθε [h] βοηθεῖν [αὐτοῖς],
[i] ἐκφύγοι τὰ πράγματ' [k] αὐτόν, [l] ὥστε [m] μισθοῦται τὸν
κατάπτυστον τουτονί, οὐκέτι κοινῇ μετὰ τῶν ἄλλων πρέσ-
βεων ἀλλ' ἰδίᾳ καθ' αὐτόν, [n] τοιαῦτα πρὸς ὑμᾶς εἰπεῖν
42 καὶ ἀπαγγεῖλαι, δι' ὧν ἅπαντ' ἀπώλετο. ἀξιῶ [o] δέ, ὦ
[p] ἄνδρες Ἀθηναῖοι, καὶ δέομαι τοῦτο μεμνῆσθαι [q] ὑμᾶς

[p] προλαβὼν] πησλαβὼν Y. k. p. r. s.

[q] τούτους] τούτους τοὺς k. s.

[r] ἀπίωσιν] ἀπίωμεν (σιν supra) F. ἀπίωμεν S. k. r. s.

[s] ἕως τὰ S. vulg. ἕως ἂν τά.

[t] στρατείας] στρατιᾶς k. s.

[u] αὐτῶν] ἡμῶν S. k. s. et γρ. F. Q.

[x] εἰς] ἐς k.

[y] κλείσαιτε] κλείσετε Q. κλείσειτε F. κλείσητε k. p. κλείσητε (οι supra) r. κλείσοιτε O. t. u. v.

[z] πορθμὸν] τόπον S. k. s. et γρ. F. Q.

[a] ἀκούοιτε] ἀκούητε k.

[b] τούτων] ἡμῶν S. ὑμῶν k. ἡμῶν (ὑμῖν supra) s. vulg. ὑμῖν τούτων.

[c] ὑμεῖς om. k.

[d] καὶ πολλῇ ἀγωνίᾳ om. Y. k. p. r. s. v. in γρ. habent F. Q. t.

[e] καὶ ταῦτα προειληφότος αὐτοῦ—ἀπολέσθαι τοὺς Φωκέας] προειληφότος αὐτοῦ καὶ ταῦτα—τοὺς φωκέας ἀπολέσθαι γρ. s.

[f] εἰ recepi e S. Cum eodem post ἀπολέσθαι omisi ἀκούσαντες.

[g] ψηφίσαισθε] ψηφίσησθε S. Q. k. p. r. s.

[h] βοηθεῖν αὐτοῖς] τοῖς φωκεῦσι βοηθεῖν S. βοηθεῖν F. Q. Y.

[i] ἐκφύγοι] καὶ ἐκφύγοι F. Y. Q. O. k. p. r. s. t. u. v.

[k] αὐτὸν] αὐτοῦ (εν supra) O. αὐτοῦ u.

[l] ὥστε] ὥστε πάλιν omnes præter S.

[m] μισθοῦται] μισθοῦσθαι t.

[n] τοιαῦτα] τοιαῦτα μὲν u.

[o] δὲ] δὲ ὑμᾶς k.

[p] ἄνδρες om. p.

[q] ὑμᾶς om. S. k. s.

παρ' ὅλον τὸν ἀγῶνα, ὅτι μὴ κατηγορήσαντος Αἰσχίνου
μηδὲν ἔξω τῆς γραφῆς οὐδ' ἂν ἐγὼ λόγον οὐδένα ἐποιού- 237
μην ἕτερον, [r] ἁπάσαις δ' αἰτίαις καὶ βλασφημίαις ἅμα
[s] τούτου κεχρημένου ἀνάγκη [t] κἀμοὶ πρὸς ἕκαστα τῶν
43 [u] κατηγορημένων μικρὰ [x] ἀποκρίνασθαι. τίνες οὖν ἦσαν οἱ
παρὰ τούτου λόγοι τότε ῥηθέντες, καὶ δι' οὓς ἅπαντ' ἀπώ-
λετο; ὡς οὐ δεῖ θορυβεῖσθαι τῷ παρεληλυθέναι Φίλιππον
[y] εἴσω Πυλῶν· ἔσται [z] γὰρ ἅπανθ' ὅσα βούλεσθ' ὑμεῖς,
ἐὰν [a] ἔχηθ' ἡσυχίαν, καὶ ἀκούσεσθε [b] δυοῖν ἢ τριῶν ἡμερῶν,
οἷς μὲν ἐχθρὸς ἥκει, φίλον αὐτὸν γεγενημένον, οἷς δὲ φί-
λος, τοὐναντίον [c] ἐχθρόν. οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειό-
τητας ἔφη βεβαιοῦν, μάλα σεμνῶς ὀνομάζων, ἀλλὰ τὸ
ταὐτὰ συμφέρειν· [d] συμφέρειν δὲ Φιλίππῳ καὶ Φωκεῦσι
καὶ [e] ὑμῖν ὁμοίως ἅπασι τῆς ἀναλγησίας καὶ τῆς βαρύ-
44 τητος ἀπαλλαγῆναι τῆς τῶν [f] Θηβαίων. ταῦτα δ' ἀσμέ-
νως τινὲς ἤκουον αὐτοῦ διὰ τὴν τόθ' [g] ὑποῦσαν ἀπέχθειαν
πρὸς τοὺς Θηβαίους. τί οὖν συνέβη μετὰ [h] ταῦτ' εὐθύς,
οὐκ εἰς μακράν; τοὺς μὲν [i] ταλαιπώρους Φωκέας ἀπολέ-
σθαι καὶ κατασκαφῆναι τὰς πόλεις αὐτῶν, ὑμᾶς δ'
ἡσυχίαν [k] ἀγαγόντας καὶ τούτῳ πεισθέντας μικρὸν ὕστε-
ρον σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, τοῦτον δὲ χρυσίον λαβεῖν,
45 καὶ ἔτι πρὸς τούτοις τὴν μὲν ἀπέχθειαν τὴν [l] πρὸς Θηβαί-

[r] ἁπάσαις] πάσαις S.
[s] τούτου] τ'αυτοῦ S.
[t] κἀμοὶ] κἀμὲ k. p. r. s.
[u] κατηγορημένων] κατηγορουμένων S. εἰρημένων γρ. F. S. Q.
[x] ἀποκρίνασθαι S. k. r. s. ἀπολογήσασθαι F. S. Q. vulg. ἀποκρίνεσθαι.
[y] εἴσω] ἔσω k.
[z] γὰρ] καὶ o. p. q.
[a] ἔχηθ'] ἄγηθ' k. s. v.
[b] δυοῖν] δυεῖν k.
[c] ἐχθρόν] αὐτὸν ἐχθρὸν o. p. q. r.
[d] συμφέρειν δὲ S. p. vulg. συμφέρει δέ.
[e] ὑμῖν] ἡμῖν k.
[f] Θηβαίων] ἀθηναίων u.
[g] ὑποῦσαν] ὑπάρχουσαν k. s.
[h] ταῦτ'] τοῦτ' Y. k. p.
[i] ταλαιπώρους om. S.
[k] ἀγαγόντας S. ceteri ἄγοντας.
[l] πρὸς Θηβαίους S. k. p. r. s. vulg. πρὸς τοὺς Θηβαίους.

ους καὶ Θετταλοὺς τῇ πόλει [m] γενέσθαι, τὴν δὲ χάριν τὴν ὑπὲρ τῶν πεπραγμένων Φιλίππῳ. ὅτι δ' οὕτω ταῦτ' ἔχει, λέγε μοι [n] τό τε τοῦ Καλλισθένους ψήφισμα καὶ τὴν ἐπιστολὴν [o] τὴν τοῦ Φιλίππου, ἐξ ὧν ἀμφοτέρων [p] ταῦθ' ἅπανθ' ὑμῖν ἔσται φανερά. [q] λέγε.

[r] ΨΗΦΙΣΜΑ. 238

46 Ἐπὶ [s] Μνησιφίλου ἄρχοντος, συγκλήτου ἐκκλησίας ὑπὸ στρατηγῶν [t] γενομένης, καὶ πρυτάνεων καὶ βουλῆς γνώμῃ, [u] μαιμακτηριῶνος δεκάτῃ ἀπιόντος, Καλλισθένης Ἐτεονίκου Φαληρεὺς εἶπε μηδένα Ἀθηναίων μηδεμιᾷ παρευρέσει ἐν τῇ χώρᾳ κοιταῖον [x] γίγνεσθαι ἀλλ' ἐν ἄστει καὶ [y] Πειραιεῖ, ὅσοι μὴ ἐν τοῖς φρουρίοις εἰσὶν ἀποτεταγμένοι· τούτων δ' ἑκάστους, ἣν παρέλαβον
47 τάξιν, διατηρεῖν μήτε [z] ἀφημερεύοντας μήτε ἀποκοιτοῦντας. ὃς [a] δ' ἂν ἀπειθήσῃ [b] τῷδε τῷ ψηφίσματι, [c] ἔνοχος ἔστω τοῖς τῆς προδοσίας ἐπιτιμίοις, ἐὰν μή τι ἀδύνατον [d] ἐπιδεικνύῃ περὶ ἑαυτὸν [e] ὄν· περὶ δὲ [f] τοῦ ἀδυνάτου ἐπικρινέτω ὁ ἐπὶ τῶν ὅπλων στρατηγὸς καὶ ὁ ἐπὶ τῆς διοικήσεως καὶ ὁ γραμματεὺς τῆς βουλῆς. κατακομίζειν δὲ καὶ τὰ ἐκ τῶν ἀγρῶν [g] πάντα τὴν ταχίστην, τὰ μὲν ἐντὸς σταδίων ἑκατὸν [h] εἴκοσιν εἰς ἄστυ καὶ Πειραιᾶ, τὰ δὲ ἐκτὸς σταδίων ἑκατὸν εἴκοσιν [i] εἰς Ἐλευσῖνα καὶ Φυλὴν καὶ [k] Ἄφιδ-

[m] γενέσθαι] γεγενῆσθαι k. s.
[n] τό τε] τὸ τότε correctus O.
[o] τὴν post ἐπιστολὴν om. S. O. p. u.
[p] ταῦθ' ἅπαντ' ὑμῖν ἔσται S. ἅπαντα ταῦτ' ἔσται ὑμῖν k. s. ὑμῖν πάντα ταῦτα ἔσται p. r. vulg. ὑμῖν ἅπαντα ταῦτ' ἔσται.
[q] λέγε om. t.
[r] Psephisma et epistolam in ima pagina ponit . . . .
[s] Μνησιφίλου F. S. O. k. p. r. vulg. Μνησιφύλου.
[t] γενομένης om. F. S. Y. Q. ante ὑπὸ ponunt k. p. r. s.
[u] μαιμακτηριῶνος] μηνὸς μαιμακτηριῶνος k.
[x] γίγνεσθαι] γενέσθαι O. u.
[y] Πειραιεῖ] ἐν πειραιεῖ k. s.
[z] ἀφημερεύοντας] ἀφημεροῦντας o. q.
[a] δ' ἂν] ἂν δὲ F. Q. ἂν δὲ ἂν S.
[b] τῷδε τῷ ψηφίσματι] τῷ ψηφίσματι Y. p. r. τῷ ψηφίσματι τούτῳ F. Q. O. t. u. v.
[c] ἔνοχος ἔστω] ἔστω ἔνοχος p. r. ἔνοχος ἔσται k. s.
[d] ἐπιδεικνύῃ] ὑποδεικνύῃ p. r.
[e] ὄν om. F. S. Y. Q.
[f] τοῦ ἀδυνάτου] τῶν ἀδυνάτων o. q.
[g] πάντα] ἅπαντα r.
[h] εἴκοσιν—εἴκοσιν] εἴκοσι—εἴκοσι S.
[i] εἰς ante Ἐλευσῖνα om. F. S. Y. Q. r.
[k] Ἄφιδναν] ἄφνιδα S. Q. O. u. v. ἀφνίδα F. Y. p. r. ἄφιδνα t. ἄφυδναν k.

ναν καὶ Ῥαμνοῦντα καὶ [l] Σούνιον. [m] εἶπε Καλλισθένης Φαληρεύς.

48 Ἆρ' ἐπὶ ταύταις ταῖς ἐλπίσι [n] τὴν εἰρήνην ἐποιεῖσθε, ἢ ταῦτ' [o] ἐπηγγέλλεθ' ὑμῖν οὗτος ὁ μισθωτός; Λέγε [p] δὴ τὴν ἐπιστολὴν ἣν [q] δεῦρ' ἔπεμψε Φίλιππος μετὰ ταῦτα.

## ΕΠΙΣΤΟΛΗ [r] ΦΙΛΙΠΠΟΥ.

49 Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἴστε ἡμᾶς παρεληλυθότας εἴσω Πυλῶν καὶ τὰ κατὰ τὴν Φωκίδα ὑφ' [s] ἑαυτοὺς πεποιημένους, καὶ ὅσα μὲν ἑκουσίως προσετίθετο τῶν πολισμάτων, φρουρὰς εἰσαγηοχότας [[t] εἰς αὐτά], τὰ δὲ μὴ [u] ὑπακούοντα κατακράτος [x] λαβόντες καὶ ἐξαν- 239
50 δραποδισάμενοι κατεσκάψαμεν. ἀκούων δὲ [y] καὶ ὑμᾶς παρασκευάζεσθαι βοηθεῖν αὐτοῖς γέγραφα ὑμῖν, ἵνα μὴ [z] ἐπὶ [a] πλεῖον ἐνοχλῆσθε περὶ τούτων· [b] τοῖς μὲν γὰρ ὅλοις [c] οὐδὲν [d] μέτριόν [e] μοι δοκεῖτε ποιεῖν, τὴν [f] εἰρήνην [g] συνθέμενοι καὶ ὁμοίως ἀντιπαρεξάγοντες, καὶ ταῦτα οὐδὲ συμπεριειλημμένων τῶν Φωκέων ἐν ταῖς κοιναῖς ἡμῶν συνθήκαις. ὥστε ἐὰν μὴ ἐμμένητε τοῖς ὡμολογημένοις, οὐδὲν προτερήσετε ἔξω τοῦ [h] ἐφθακέναι ἀδικοῦντες.

51 Ἀκούετε ὡς σαφῶς δηλοῖ καὶ διορίζεται ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ πρὸς τοὺς ἑαυτοῦ συμμάχους, ὅτι "[i] ταῦ-"τα ἐγὼ πεποίηκα ἀκόντων Ἀθηναίων καὶ λυπουμένων, "ὥστ' εἴπερ εὖ φρονεῖτε, ὦ Θηβαῖοι καὶ Θετταλοί, τού-"τους μὲν ἐχθροὺς [k] ὑπολήψεσθε, ἐμοὶ δὲ πιστεύσετε," οὐ

[l] Σούνιον] σούννιον F. r. σούμνιον p. καὶ Σούνιον om. k. s.
[m] εἶπε Καλλ. Φαλ. om. F.S.Y.
[n] τὴν εἰρήνην ἐποιεῖσθε] τὴν εἰρήνην ἐποιήσασθε k. s. ἐποιεῖσθε τὴν εἰρήνην o. q.
[o] ἐπηγγέλλεθ'] ἐπηγγεῖλαθ' o. q.
[p] δὴ F. S. Q. Y. δ' αὐτὴν k. p. r. s. ceteri δ' αὖ.
[q] δεῦρ' om. S.
[r] ΦΙΛΙΠΠΟΥ om. r.
[s] ἑαυτοὺς] ἡμᾶς αὐτοὺς k. s.
[t] [εἰς αὐτά] εἰς αὐτάς s. om. F. Y. Q. o. p. q. t. u. v.
[u] ὑπακούοντα] ὑπακούσαντα k.
[x] λαβόντες] λαβόντας S. Q. r.
[y] καὶ om. k. s.
[z] ἐπὶ om. F. S. Y. Q. O. t. u. v.
[a] πλεῖον] πλέον k. p. r.
[b] τοῖς—ὅλοις] τούτοις—ὅλως k. r. s.
[c] οὐδὲν] οὐδὲ S. Q. p.
[d] μέτριον] μετριώτερον t. μέτριόν τι r.
[e] μοι δοκεῖτε] δοκεῖτέ μοι k. r.
[f] εἰρήνην] εἰρήνην ἣν S. Y. Q.
[g] συνθέμενοι] συντιθέμενοι k.
[h] ἐφθακέναι] ὠφληκέναι Y. p. r.
[i] ταῦτα ἐγὼ] ἐγὼ ταῦτα S.
[k] ὑπολήψεσθε] ὑπολήμψεσθε S.

τούτοις τοῖς ῥήμασι γράψας, ταῦτα δὲ βουλόμενος δεικ-
52 νύναι. τοιγαροῦν ἐκ τούτων ᾤχετο ἐκείνους λαβὼν εἰς τὸ
μηδ᾽ ὁτιοῦν [l] προορᾶν τῶν μετὰ ταῦτα μηδ᾽ αἰσθάνεσθαι,
ἀλλ᾽ ἐᾶσαι πάντα τὰ πράγματα ἐκεῖνον ὑφ᾽ ἑαυτῷ ποιή-
σασθαι· ἐξ ὧν ταῖς παρούσαις συμφοραῖς οἱ [m] ταλαί-
53 πωροι κέχρηνται. ὁ δὲ ταύτης τῆς πίστεως αὐτῷ συνερ-
γὸς καὶ [n] συναγωνιστὴς καὶ ὁ δεῦρ᾽ ἀπαγγείλας τὰ
ψευδῆ καὶ φενακίσας ὑμᾶς οὗτός ἐστιν ὁ τὰ Θηβαίων
[o] ὀδυρόμενος νῦν πάθη καὶ διεξιὼν ὡς οἰκτρά, καὶ τούτων
καὶ τῶν ἐν Φωκεῦσι κακῶν καὶ ὅσ᾽ ἄλλα πεπόνθασιν οἱ
54 Ἕλληνες ἁπάντων αὐτὸς ὢν αἴτιος. δῆλον γὰρ ὅτι σὺ
μὲν ἀλγεῖς ἐπὶ τοῖς συμβεβηκόσιν, Αἰσχίνη, καὶ τοὺς
Θηβαίους ἐλεεῖς, [p] κτήματ᾽ ἔχων ἐν τῇ Βοιωτίᾳ καὶ γεωρ-
γῶν τὰ ἐκείνων, ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξῃτούμην ὑπὸ
τοῦ ταῦτα πράξαντος. 240

Ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους, οὓς αὐτίκα [q] μᾶλλον [r] ἴσως ἁρμόσει λέγειν. ἐπάνειμι δὴ πάλιν ἐπὶ τὰς ἀποδείξεις, ὡς τὰ τούτων [s] ἀδικήματα τῶν νυνὶ παρόντων πραγμάτων γέγονεν αἴτια.

55 Ἐπειδὴ γὰρ ἐξηπάτησθε μὲν ὑμεῖς ὑπὸ τοῦ Φιλίππου διὰ τούτων τῶν ἐν ταῖς πρεσβείαις μισθωσάντων [t] ἑαυτοὺς καὶ οὐδὲν ἀληθὲς ὑμῖν ἀπαγγειλάντων, ἐξηπάτηντο δὲ οἱ ταλαίπωροι Φωκεῖς καὶ ἀνῄρητο αἱ πόλεις αὐτῶν, τί ἐγένετο; οἱ μὲν κατάπτυστοι Θετταλοὶ καὶ ἀναίσθητοι

[l] προορᾶν post ταῦτα ponunt k. s.

[m] ταλαίπωροι κέχρηνται S. ταλαίπωροι κέχρηνται θηβαῖοι, . . . ταλαίπωροι θηβαῖοι κέχρηνται ceteri.

[n] συναγωνιστὴς] συναγωνισθεὶς O.

[o] ὀδυρόμενος νῦν] νῦν ὀδυρόμενος k. s.

[p] κτήματ᾽] κτῆμ᾽ S.

[q] μᾶλλον] μάλα k. s.

[r] ἴσως post λέγειν ponunt o. q.

[s] ἀδικήματα] δωροδοκήματα p. r. ἀδικήματα καὶ δωροδοκήματα k. s. et γρ. S. δωροδοκήματα καὶ ἀδικήματα F. Y. Q. O. t. u. v.

[t] ἑαυτοὺς] ἑαυτοὺς τῷ φιλίππῳ F. S. Y. O. p. r. t. u. v.

Θηβαῖοι φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡγοῦντο·
πάντ' ἐκεῖνος [u]ἦν αὐτοῖς· [x]οὐδὲ φωνὴν ἤκουον, εἴ τις ἄλλο
τι βούλοιτο λέγειν. ὑμεῖς δὲ ὑφορώμενοι τὰ πεπραγμένα
καὶ δυσχεραίνοντες ἤγετε τὴν εἰρήνην ὅμως· οὐ γὰρ ἦν ὅ
56 τι ἂν ἐποιεῖτε [y]μόνοι. καὶ οἱ ἄλλοι δὲ Ἕλληνες, ὁμοίως
ὑμῖν πεφενακισμένοι καὶ διημαρτηκότες ὧν ἤλπισαν, ἦγον
τὴν εἰρήνην [z]ἄσμενοι, καὶ αὐτοὶ τρόπον τινὰ ἐκ πολλοῦ
πολεμούμενοι. ὅτε γὰρ περιιὼν [a]ὁ Φίλιππος Ἰλλυριοὺς
καὶ [b]Τριβαλλούς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέ-
φετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας [c]ἐποιεῖθ' ὑφ'
ἑαυτῷ, καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ [d]τῇ τῆς εἰρήνης
ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν,
[e]τότε πάντες, ἐφ' οὓς ταῦτα παρεσκευάζετ' ἐκεῖνος, ἐπο-
57 λεμοῦντο. εἰ δὲ μὴ ᾐσθάνοντο, ἕτερος [f]λόγος οὗτος, οὐ
πρὸς ἐμέ. ἐγὼ μὲν γὰρ προὔλεγον καὶ [g]διεμαρτυρόμην
καὶ παρ' ὑμῖν ἀεὶ καὶ [h]ὅποι πεμφθείην· αἱ δὲ πόλεις
ἐνόσουν τῶν [i]μὲν ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωρο-
δοκούντων καὶ διαφθειρομένων ἐπὶ χρήμασι, τῶν δὲ ἰδιω- 241
τῶν καὶ πολλῶν τὰ μὲν οὐ προορωμένων, τὰ δὲ τῇ καθ'
ἡμέραν ῥᾳστώνῃ καὶ σχολῇ δελεαζομένων, καὶ [k]τοιουτονί
τι πάθος πεπονθότων ἁπάντων, πλὴν οὐκ ἐφ' ἑαυτοὺς
[l]ἑκάστων οἰομένων τὸ δεινὸν ἥξειν, [m]ἀλλὰ διὰ τῶν ἑτέρων

[u] ἦν om. t.
[x] οὐδὲ] καὶ οὐδὲ F. Y. Q. O. p. r. t. u. v.
[y] μόνοι om. S. et pr. k. in γρ. habet s.
[z] ἄσμενοι καὶ om. S. καὶ αὐτοὶ —πολεμούμενοι supra versum s.
[a] ὁ om. S. k. s.
[b] Τριβαλλοὺς] τριβαλοὺς r.
[c] ἐποιεῖθ' ὑφ' ἑαυτῷ] ὑφ' ἑαυτῷ ἐποιεῖτο O. u.
[d] τῇ om. u.
[e] τότε] τότε δὴ τότε v.
[f] λόγος] ὁ λόγος S.
[g] διεμαρτυρόμην] διεμαρτυράμην r. s.
[h] ὅποι] ὅπου k.
[i] μὲν ἐν] μὲν γὰρ ἐν Q.
[k] τοιουτονί] τοιοῦτόν F. Y. O. p. r. t. u. v.
[l] ἑκάστων οἰομένων] οἰομένων ἑκάστων F. Y. Q. O. p. r. t. u. v.
[m] ἀλλὰ] καὶ k. καὶ S. Y. s. et ἀλλὰ γρ. r.

κινδύνων τὰ ἑαυτῶν ἀσφαλῶς [n] σχήσειν, ὅταν βούλωνται.
58 εἶτ' οἶμαι συμβέβηκε τοῖς μὲν πλήθεσιν ἀντὶ τῆς πολλῆς
καὶ ἀκαίρου ῥᾳθυμίας τὴν ἐλευθερίαν ἀπολωλεκέναι, τοῖς
δὲ προεστηκόσι καὶ τἆλλα [o] πλὴν ἑαυτοὺς οἰομένοις πω-
λεῖν πρώτους ἑαυτοὺς πεπρακόσιν [p] αἰσθέσθαι· ἀντὶ γὰρ
φίλων καὶ ξένων, ἃ τότε ὠνομάζοντο, ἡνίκα ἐδωροδόκουν,
νῦν κόλακες καὶ θεοῖς ἐχθροὶ καὶ τἆλλ' ἃ προσήκει πάντ'
59 ἀκούουσιν. [q] εἰκότως. οὐδεὶς γάρ, [r] ὦ [s] ἄνδρες Ἀθηναῖοι,
τὸ τοῦ [t] προδιδόντος συμφέρον ζητῶν χρήματ' ἀναλίσκει,
οὐδ' ἐπειδὰν ὧν [u] ἂν πρίηται κύριος γένηται, τῷ προδότῃ
συμβούλῳ περὶ τῶν λοιπῶν ἔτι χρῆται· οὐδὲν γὰρ [x] ἂν
ἦν εὐδαιμονέστερον προδότου. ἀλλ' οὐκ ἔστι ταῦτα, [y] οὐκ
ἔστι· πόθεν; πολλοῦ γε καὶ δεῖ. ἀλλ' ἐπειδὰν τῶν πραγ-
μάτων ἐγκρατὴς ὁ ζητῶν ἄρχειν καταστῇ, καὶ τῶν ταῦτα
[z] ἀποδομένων δεσπότης ἐστί, τὴν δὲ πονηρίαν εἰδὼς τότε
60 δή, τότε [a] καὶ μισεῖ καὶ ἀπιστεῖ καὶ προπηλακίζει. σκο-
πεῖτε [b] δέ· καὶ γὰρ εἰ παρελήλυθεν ὁ τῶν πραγμάτων
καιρός, ὁ τοῦ γε εἰδέναι τὰ τοιαῦτα καιρὸς ἀεὶ πάρεστι
τοῖς εὖ φρονοῦσι. μέχρι τούτου Λασθένης φίλος ὠνομά-
ζετο [c] Φιλίππου, ἕως προὔδωκεν Ὄλυνθον· μέχρι τούτου
Τιμόλαος, ἕως ἀπώλεσε Θήβας· μέχρι τούτου [d] Εὔδικος
καὶ [e] Σῖμος [f] οἱ Λαρισαῖοι, ἕως Θετταλίαν ὑπὸ Φιλίππῳ
ἐποίησαν. εἶτ' ἐλαυνομένων καὶ ὑβριζομένων καὶ τί κακὸν

[n] σχήσειν ὅταν S. vulg. σχήσειν ὑπολαμβανόντων ὅταν.

[o] πλὴν ἑαυτοὺς] πλὴν ἄλλους γρ. F.

[p] αἰσθέσθαι S. ceteri ᾐσθῆσθαι.

[q] εἰκότως om. F. S. u. v.

[r] ὦ om. S.

[s] ἄνδρες om. p.

[t] προδιδόντος] προδόντος Q.

[u] ἂν post ὧν om. k. s.

[x] ἂν ante ἦν om. S. k. t. post ἦν ponit F.

[y] Alterum οὐκ ἔστι om. S.

[z] ἀποδομένων] ἀπο δομένων Q. ἀποδιδομένων Y.

[a] καὶ ante μισεῖ om. k. s.

[b] δέ] δή correctus s.

[c] Φιλίππου om. S. Y. φιλίππῳ γρ. S.

[d] Εὔδικος] ἄδικος u.

[e] Σῖμος k. p. r. s. vulg. Σίμος.

[f] οἱ Λαρισαῖοι r. ὁ λαρισαῖος S. vulg. οἱ Λαρισσαῖοι.

οὐχὶ πασχόντων πᾶσα ἡ οἰκουμένη μεστὴ γέγονε [g] προδο- 242
τῶν. τί δ' Ἀρίστρατος ἐν Σικυῶνι, καὶ τί Περίλαος ἐν
61 Μεγάροις; οὐκ ἀπερριμμένοι; ἐξ ὧν καὶ σαφέστατ' ἄν
τις ἴδοι ὅτι [h] ὁ μάλιστα φυλάττων τὴν ἑαυτοῦ πατρίδα
καὶ πλεῖστα ἀντιλέγων τούτοις, οὗτος ὑμῖν, Αἰσχίνη,
τοῖς προδιδοῦσι καὶ μισθαρνοῦσι τὸ ἔχειν ἐφ' ὅτῳ δωρο-
δοκήσετε περιποιεῖ, καὶ διὰ τοὺς πολλοὺς [i] τούτους καὶ
[k] τοὺς ἀνθισταμένους τοῖς ὑμετέροις βουλήμασιν ὑμεῖς
ἐστὲ σῶοι καὶ ἔμμισθοι, ἐπεὶ διά γε ὑμᾶς αὐτοὺς πάλαι
ἂν [l] ἀπολώλειτε.

62 [m] Καὶ περὶ μὲν τῶν τότε πραχθέντων ἔχων ἔτι πολλὰ
λέγειν, καὶ ταῦτα ἡγοῦμαι πλείω τῶν ἱκανῶν [n] εἰρῆσθαι.
αἴτιος δ' οὗτος, ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς πονη-
ρίας τῆς ἑαυτοῦ καὶ τῶν ἀδικημάτων κατασκεδάσας, ἣν
ἀναγκαῖον ἦν πρὸς τοὺς νεωτέρους τῶν πεπραγμένων ἀπο-
λύσασθαι. [o] παρηνώχλησθε δὲ [p] καὶ [q] ὑμεῖς ἴσως, οἱ καὶ
πρὶν ἐμὲ [r] εἰπεῖν ὁτιοῦν εἰδότες [s] τὴν τούτου τότε μισθαρ-
63 νίαν. καίτοι φιλίαν [t] γε καὶ ξενίαν αὐτὴν ὀνομάζει, καὶ
νῦν εἶπέ που λέγων "ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων
"ἐμοί." ἐγώ σοι ξενίαν Ἀλεξάνδρου; πόθεν λαβόντι ἢ
πῶς ἀξιωθέντι; οὔτε Φιλίππου ξένον οὔτ' Ἀλεξάνδρου φί-
λον εἴποιμ' ἂν [u] ἐγώ σε, οὐχ οὕτω μαίνομαι, εἰ μὴ καὶ
τοὺς θεριστὰς καὶ τοὺς ἄλλο τι μισθοῦ πράττοντας φί-

[g] προδοτῶν in γρ. S.

[h] ὁ om. pr. k. post μάλιστα ponit rec. k.

[i] τούτους] τούτων F. Y. Q. O. k. p. r. u. v. τουτωνὶ S.

[k] τοὺς ἀνθισταμένους] τοῖς ἀνθισταμένοις F.

[l] ἀπολώλειτε] ἀπολώλατε O. t. u. v.

[m] Καὶ om. t.

[n] εἰρῆσθαι] ἔχειν k.

[o] παρηνώχλησθε] παρηνωχλησθαι S.

[p] καὶ om. S. k. s.

[q] ὑμεῖς om. S.

[r] εἰπεῖν ὁτιοῦν] ὁτιοῦν εἰπεῖν F. Q. O. u. v.

[s] τὴν τούτου τότε] τότε τὴν τούτου O. u.

[t] γε] τε F. Y. O. p. r. t. u. v.

[u] ἐγώ σε] ἔγωγέ σε p.

64 λους [x] καὶ ξένους δεῖ καλεῖν τῶν μισθωσαμένων. ἀλλ'
οὐκ ἔστι ταῦτα· [y] πόθεν; πολλοῦ γε καὶ δεῖ. ἀλλὰ μι-
σθωτὸν ἐγώ σε [z] Φιλίππου πρότερον καὶ νῦν Ἀλεξάνδρου
καλῶ, καὶ οὗτοι πάντες. εἰ δ' ἀπιστεῖς, ἐρώτησον αὐ-
τούς. μᾶλλον δ' ἐγὼ τοῦθ' ὑπὲρ σοῦ ποιήσω. πότερον
ὑμῖν, [a] ὦ ἄνδρες Ἀθηναῖοι, [b] δοκεῖ μισθωτὸς Αἰσχίνης ἢ 243
ξένος εἶναι Ἀλεξάνδρου; ἀκούεις ἃ λέγουσιν.

65 Βούλομαι τοίνυν [c] ἤδη καὶ περὶ τῆς γραφῆς αὐτῆς ἀ-
πολογήσασθαι καὶ διεξελθεῖν τὰ πεπραγμέν' ἐμαυτῷ,
ἵνα καίπερ εἰδὼς Αἰσχίνης ὅμως ἀκούσῃ δι' ἅ φημι καὶ
τούτων τῶν προβεβουλευμένων καὶ [d] πολλῷ μειζόνων ἔτι
τούτων δωρεῶν [e] δίκαιος εἶναι τυγχάνειν. Καί μοι λέγε
τὴν γραφὴν [f] αὐτὴν λαβών.

## ΓΡΑΦΗ.

66 Ἐπὶ [g] Χαιρώνδου ἄρχοντος, ἐλαφηβολιῶνος ἕκτῃ ἱσταμένου,
Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης ἀπήνεγκε πρὸς τὸν ἄρχοντα πα-
ρανόμων [h] γραφὴν κατὰ Κτησιφῶντος τοῦ [i] Λεωσθένους Ἀναφλυ-
στίου, ὅτι ἔγραψε παράνομον ψήφισμα, ὡς ἄρα δεῖ στεφανῶσαι
Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ, καὶ ἀναγο-
ρεῦσαι ἐν τῷ θεάτρῳ Διονυσίοις τοῖς μεγάλοις, τραγῳδοῖς καινοῖς,
67 ὅτι στεφανοῖ ὁ δῆμος Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ
στεφάνῳ ἀρετῆς ἕνεκα, καὶ εὐνοίας ἧς ἔχων διατελεῖ εἴς τε τοὺς
Ἕλληνας ἅπαντας καὶ τὸν δῆμον [k] τὸν Ἀθηναίων, καὶ [l] ἀνδραγα-
θίας, καὶ [m] διότι διατελεῖ πράττων καὶ λέγων τὰ βέλτιστα τῷ δήμῳ
καὶ πρόθυμός ἐστι ποιεῖν ὅ τι ἂν δύνηται ἀγαθόν, [n] πάντα ταῦτα

[x] καὶ ξένους om. t.
[y] πόθεν] οὐκ ἔστι p. οὐκ ἔστι πόθεν k. r. s.
[z] Φιλίππου πρότερον] πρότερον φιλίππου k. s.
[a] ὦ om. F. O. p. r. u. v.
[b] δοκεῖ post ὑμῖν ponit k.
[c] ἤδη om. k. s.
[d] πολλῷ] πολλῶν F. Q. p. r.
[e] δίκαιος] δίκαιον O.
[f] αὐτὴν] ταύτην k. p. r. s.
[g] Χαιρώνδου] χαιρωνίδου k. p. r. s.
[h] γραφὴν om. F S. Y. Q.
[i] Λεωσθένους] λεορσθένους s. λεοσθένους γρ. s.
[k] τὸν Ἀθηναίων Y. ceteri τῶν ἀθηναίων.
[l] ἀνδραγαθίας] ἀνδραγαθίας χάριν k. p. s.
[m] διότι] ὅτι k. s.
[n] πάντα ταῦτα] ταῦτα πάντα v r.

68 ψευδῆ γράψας καὶ παράνομα, τῶν νόμων οὐκ ἐώντων πρῶτον [o] μὲν ψευδεῖς γραφὰς εἰς τὰ δημόσια [p] γράμματα [q] καταβάλλεσθαι, εἶτα τὸν ὑπεύθυνον στεφανοῦν (ἔστι [r] δὲ Δημοσθένης τειχοποιὸς καὶ ἐπὶ [s] τῷ θεωρικῷ τεταγμένος), ἔτι δὲ μὴ ἀναγορεύειν τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδῶν [t] τῇ καινῇ, ἀλλ' ἐὰν μὲν 244
ἡ βουλὴ στεφανοῖ, ἐν τῷ βουλευτηρίῳ ἀνειπεῖν, ἐὰν δὲ ἡ πόλις, ἐν [u] Πυκνὶ [x] ἐν τῇ ἐκκλησίᾳ. τίμημα τάλαντα πεντήκοντα. [y] κλήτορες Κηφισοφῶν Κηφισοφῶντος Ῥαμνούσιος, Κλέων Κλέωνος Κοθωκίδης.

69 Ἃ μὲν διώκει τοῦ ψηφίσματος, [z] ὦ ἄνδρες Ἀθηναῖοι, [a] ταῦτ' ἐστίν. ἐγὼ δ' ἀπ' αὐτῶν τούτων πρῶτον [b] οἶμαι δῆλον ὑμῖν ποιήσειν ὅτι πάντα δικαίως ἀπολογήσομαι· τὴν γὰρ αὐτὴν τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν περὶ πάντων ἐρῶ καθ' ἕκαστον ἐφεξῆς καὶ οὐδὲν ἑκὼν
70 παραλείψω. [c] τοῦ μὲν οὖν [d] γράψαι πράττοντα καὶ λέγοντα τὰ βέλτιστά [e] με τῷ δήμῳ διατελεῖν καὶ πρόθυμον εἶναι ποιεῖν ὅ τι [f] ἂν δύνωμαι ἀγαθόν, καὶ ἐπαινεῖν ἐπὶ τούτοις, ἐν τοῖς πεπολιτευμένοις τὴν κρίσιν [g] εἶναι νομίζω· ἀπὸ γὰρ τούτων ἐξεταζομένων [h] εὑρεθήσεται, εἴτε ἀληθῆ περὶ ἐμοῦ γέγραφε Κτησιφῶν ταῦτα καὶ προσή-
71 κοντα εἴτε καὶ ψευδῆ· τὸ δὲ μὴ προσγράψαντα "ἐπειδὰν τὰς εὐθύνας δῷ" στεφανοῦν, καὶ ἀνειπεῖν ἐν τῷ

[o] μὲν om. p. r.
[p] γράμματα om. Y. post καταβάλλεσθαι ponit p.
[q] καταβάλλεσθαι] βάλλεσθαι pr. O.
[r] δὲ post ἔστι om. S. Y. Q. O. t. u. v.
[s] τῷ θεωρικῷ] τῶν θεωρικῶν S. O. r. t. u. v. τῶν θεωριῶν F. Y. Q.
[t] τῇ καινῇ] καινῶν k. r. s. et margo O.
[u] Πυκνὶ S. Y. Q. s. t. et pr. F. k. vulg. Πνυκί.
[x] ἐν ante ἐκκλησίᾳ om. k. p. s. expungit r.
[y] κλήτορες] κλητῆρες O. k. p. s. κλητ$^{η}$ορες u.
[z] ὦ ἄνδρες Ἀθηναῖοι om. k. ἄνδρες om. p.
[a] ταῦτ'] τοῦτ' u.
[b] οἶμαι F. S. Y. Q. t. u. v. et γρ. s. vulg. οἴομαι.
[c] τοῦ] τὸ k. s.
[d] γράψαι om. k. s.
[e] με post πράττοντα ponit . . post λέγοντα k. s.
[f] ἂν δύνωμαι] δύναμαι S.
[g] εἶναι] εἶναί μοι k. p. r. s.
[h] εὑρεθήσεται] εὑρήσεται k. et pr. r.

θεάτρῳ [i] τὸν στέφανον κελεῦσαι, κοινωνεῖν μὲν ἡγοῦμαι
καὶ τοῦτο τοῖς πεπολιτευμένοις, εἴτε [k] ἄξιός εἰμι τοῦ στε-
φάνου καὶ τῆς ἀναρρήσεως [l] τῆς ἐν τούτοις εἴτε [m] καὶ μή,
ἔτι μέντοι καὶ τοὺς νόμους δεικτέον εἶναί μοι δοκεῖ, καθ'
οὓς ταῦτα γράφειν ἐξῆν τούτῳ. οὑτωσὶ μὲν ὦ [n] ἄνδρες
Ἀθηναῖοι δικαίως καὶ ἁπλῶς τὴν ἀπολογίαν ἔγνωκα
72 ποιεῖσθαι, βαδιοῦμαι δ' ἐπ' αὐτὰ ἃ πέπρακταί μοι. καί
[o] με μηδεὶς [p] ὑπολάβῃ [q] ἀπαρτᾶν τὸν λόγον τῆς γραφῆς,
ἐὰν εἰς Ἑλληνικὰς πράξεις καὶ λόγους ἐμπέσω· ὁ γὰρ
διώκων τοῦ ψηφίσματος [r] τὸ λέγειν καὶ πράττειν τὰ 245
ἄριστά με καὶ γεγραμμένος ταῦτα ὡς οὐκ ἀληθῆ, οὗτός
ἐστιν ὁ τοὺς περὶ [s] ἁπάντων τῶν ἐμοὶ [t] πεπολιτευμένων
λόγους οἰκείους καὶ ἀναγκαίους τῇ γραφῇ πεποιηκώς.
εἶτα καὶ πολλῶν προαιρέσεων οὐσῶν τῆς πολιτείας τὴν
περὶ τὰς Ἑλληνικὰς πράξεις εἱλόμην ἐγώ, ὥστε καὶ τὰς
ἀποδείξεις ἐκ τούτων δίκαιός εἰμι ποιεῖσθαι.

73 Ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ
προὔλαβε καὶ κατέσχε Φίλιππος, ἐάσω· οὐδὲν γὰρ ἡγοῦ-
μαι τούτων εἶναι πρὸς ἐμέ· ἃ δ' ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦ-
τα ἐπέστην [u] ἐγὼ διεκωλύθη, ταῦτα ἀναμνήσω καὶ τού-
74 των ὑφέξω λόγον, τοσοῦτον ὑπειπών. πλεονέκτημα ὦ ἄν-
δρες Ἀθηναῖοι μέγα ὑπῆρξε Φιλίππῳ. παρὰ γὰρ τοῖς
Ἕλλησιν, οὐ τισὶν ἀλλὰ [x] πᾶσιν ὁμοίως, φορὰν προδοτῶν
καὶ δωροδόκων καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων συνέβη γενέ-

[i] τὸν στέφανον κελεῦσαι S. Y. k. p. r. s. ceteri κελεῦσαι τὸν στέφανον.

[k] ἄξιός εἰμι] εἰμὶ ἄξιος Y. p. r.

[l] τῆς ἐν τούτοις] τοῖς ἐν τούτοις r. om. Y. et γρ. Q.

[m] καὶ ante μὴ om. Y. k. r. s. et γρ. Q.

[n] ἄνδρες om. p.

[o] με] μοι O. u.

[p] ὑπολάβῃ post γραφῆς ponunt p. r. ὑπολάβοι k.

[q] ἀπαρτᾶν] ἀπατᾶν O.

[r] τὸ] τοῦ p.

[s] ἁπάντων] πάντων k.

[t] πεπολιτευμένων λόγους S. O. ceteri πεπολιτευμένων καὶ πεπραγμένων λόγους.

[u] ἐγὼ] καὶ t. ἐγὼ καὶ S.

[x] πᾶσιν] ἅπασιν S.

σθαι [y] τοσαύτην, ὅσην οὐδείς πω πρότερον μέμνηται γεγο-
75 νυῖαν· οὓς συναγωνιστὰς καὶ συνεργοὺς [z] λαβὼν καὶ πρό-
τερον κακῶς τοὺς Ἕλληνας ἔχοντας πρὸς ἑαυτοὺς καὶ
στασιαστικῶς ἔτι χεῖρον διέθηκε, τοὺς μὲν ἐξαπατῶν,
τοῖς δὲ διδούς, τοὺς δὲ πάντα τρόπον διαφθείρων, καὶ
[a] διέστησεν εἰς μέρη πολλὰ ἑνὸς τοῦ συμφέροντος ἅπασιν
76 ὄντος, κωλύειν ἐκεῖνον μέγαν γίγνεσθαι. ἐν τοιαύτῃ δὲ κα-
ταστάσει καὶ ἔτι ἀγνοίᾳ τοῦ συνισταμένου καὶ [b] φυομέ-
νου κακοῦ τῶν [c] ἁπάντων Ἑλλήνων ὄντων δεῖ σκοπεῖν
ὑμᾶς, [d] ὦ ἄνδρες Ἀθηναῖοι, τί προσῆκον ἦν ἑλέσθαι πράτ-
τειν καὶ ποιεῖν τὴν πόλιν, καὶ τούτων λόγον παρ' ἐμοῦ
λαβεῖν· ὁ γὰρ ἐνταῦθα ἑαυτὸν τάξας τῆς πολιτείας εἰμὶ
77 ἐγώ. πότερον αὐτὴν ἐχρῆν, Αἰσχίνη, τὸ φρόνημα ἀφεῖσαν 246
καὶ τὴν ἀξίαν τὴν αὑτῆς ἐν τῇ Θετταλῶν καὶ Δολόπων
τάξει συγκατακτᾶσθαι Φιλίππῳ τὴν τῶν Ἑλλήνων ἀρ-
χὴν καὶ τὰ τῶν προγόνων [e] καλὰ καὶ δίκαια ἀναιρεῖν;
ἢ τοῦτο μὲν μὴ ποιεῖν, δεινὸν γὰρ ὡς ἀληθῶς, ἃ δ' ἑώρα
συμβησόμενα, εἰ μηδεὶς [f] κωλύσει, [g] καὶ προῃσθάνεθ', [h] ὡς
78 ἔοικεν, ἐκ πολλοῦ, ταῦτα περιιδεῖν γιγνόμενα; ἀλλὰ νῦν
ἔγωγε τὸν μάλιστα ἐπιτιμῶντα τοῖς πεπραγμένοις ἡδέως
ἂν ἐροίμην, τῆς ποίας μερίδος [i] γενέσθαι τὴν πόλιν [k] ἐβού-
λετ' ἄν, πότερον τῆς συναιτίας τῶν συμβεβηκότων τοῖς
Ἕλλησι κακῶν καὶ αἰσχρῶν, ἧς ἂν Θετταλοὺς καὶ τοὺς
μετὰ τούτων εἴποι τις, ἢ τῆς [l] περιεωρακυίας ταῦτα γι-
γνόμενα ἐπὶ τῇ τῆς ἰδίας πλεονεξίας ἐλπίδι, ἧς ἂν Ἀρ-

[y] τοσαύτην] καὶ τοσαύτην p.
[z] λαβὼν] λαβὼν ὁ φίλιππος F. Q. k. p. s. t.
[a] διέστησεν] διέστησαν u. v. et pr. O.
[b] φυομένου] φυρομένου pr. S.
[c] ἁπάντων] πάντων k. s.
[d] ὦ om. S. v.
[e] καλὰ] κακὰ Q.
[f] κωλύσει] κωλύσῃ F.
[g] καὶ om. s.
[h] ὡς ἔοικεν om. Y.
[i] γενέσθαι τὴν πόλιν] τὴν πόλιν γενέσθαι Y. k.
[k] ἐβούλετ'] βούλετ' s. βούλοιτ' k.
[l] περιεωρακυίας] περιωρακυιας S.

79 κάδας καὶ Μεσσηνίους καὶ Ἀργείους θείημεν. ἀλλὰ καὶ
τούτων πολλοί, μᾶλλον δὲ πάντες, χεῖρον ἡμῶν ἀπηλ-
λάχασιν. καὶ [m] γὰρ εἰ μὲν ὡς ἐκράτησε Φίλιππος ᾤχετ'
[n] εὐθὺς ἀπιὼν καὶ μετὰ ταῦτ' ἦγεν ἡσυχίαν, μήτε τῶν
αὑτοῦ συμμάχων μήτε τῶν ἄλλων Ἑλλήνων μηδένα μη-
δὲν λυπήσας, [o] ὅμως ἦν ἄν τις κατὰ τῶν [[p] οὐκ] ἐναντιω-
θέντων οἷς ἔπραττεν ἐκεῖνος μέμψις καὶ κατηγορία· εἰ
δὲ ὁμοίως ἁπάντων τὸ ἀξίωμα, τὴν ἡγεμονίαν, τὴν ἐλευ-
θερίαν περιείλετο, μᾶλλον δὲ καὶ τὰς πολιτείας, [q] ὅσων
ἠδύνατο, πῶς οὐχ ἁπάντων ἐνδοξότατα ὑμεῖς ἐβουλεύ-
σασθε ἐμοὶ πεισθέντες;
80 Ἀλλ' ἐκεῖσε ἐπανέρχομαι. τί τὴν πόλιν, Αἰσχίνη,
προσῆκε ποιεῖν ἀρχὴν καὶ τυραννίδα [r] τῶν Ἑλλήνων ὁρῶ-
σαν ἑαυτῷ κατασκευαζόμενον Φίλιππον; ἢ τί τὸν σύμ-
βουλον ἔδει [s] λέγειν ἢ γράφειν τὸν Ἀθήνησιν [t] ἐμέ (καὶ 247
81 γὰρ [u] τοῦτο πλεῖστον διαφέρει), ὃς συνῄδειν [x] μὲν ἐκ παν-
τὸς [y] τοῦ χρόνου μέχρι [z] τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς αὐτὸς
ἐπὶ τὸ βῆμα ἀνέβην, ἀεὶ περὶ πρωτείων καὶ τιμῆς καὶ
δόξης ἀγωνιζομένην τὴν πατρίδα, καὶ πλείω [a] καὶ [b] σώ-
ματα καὶ χρήματα [c] ἀναλωκυῖαν ὑπὲρ φιλοτιμίας καὶ
τῶν [d] πᾶσι συμφερόντων ἢ τῶν ἄλλων Ἑλλήνων [e] ὑπὲρ

[m] γὰρ om. k. r. s.
[n] εὐθὺς] εὐθέως S.
[o] ὅμως om. S.
[p] [οὐκ] om. F. S. Q. k. p. r. s. t. u. v. in margine habent Y. O.
[q] ὅσων] ὅσω Y. et γρ. F.
[r] τῶν Ἑλλήνων ὁρῶσαν] ὁρῶσαν τῶν ἑλλήνων k. s.
[s] λέγειν ἢ γράφειν] γράφειν ἢ λέγειν Y.
[t] ἐμέ om. S.
[u] τοῦτο] καὶ τοῦτο k.
[x] μὲν post παντὸς ponunt F. Y. Q. O. p. r. t. u. v.
[y] τοῦ om. p. r.
[z] τῆς ἡμέρας ἐκείνης] τῆς ἡμέρας S. τῆσδε τῆς ἡμέρας k. p. r. s.
[a] καὶ post πλείω dederunt S. k. s.
[b] σώματα καὶ χρήματα] χρήματα καὶ σώματα S. a
[c] ἀναλωκυῖαν] ἀνηλωκυῖαν F. ἀνηλωκυῖαν S. p. r.
[d] πᾶσι συμφερόντων S. ceteri ἅπασι τοῖς ἕλλησι συμφερόντων.
[e] ὑπὲρ] οἱ τὰ ὑπὲρ F. Q. O. p. r. t. u. v. et in litura Y. in γρ. s.

82 αὐτῶν [f] ἀναλώκασιν ἕκαστοι, ἑώρων δ' αὐτὸν τὸν Φίλιππον, πρὸς ὃν [g] ἦν [h] ἡμῖν ὁ ἀγών, ὑπὲρ ἀρχῆς καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν κλεῖν κατεαγότα, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον, πᾶν [i] ὅ τι βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, [k] τοῦτο [[l] ῥᾳδίως καὶ ἑτοίμως] προϊέμενον, ὥστε [m] τῷ λοιπῷ μετὰ τιμῆς
83 καὶ δόξης ζῆν. καὶ μὴν οὐδὲ τοῦτό γε οὐδεὶς ἂν εἰπεῖν [n] τολμήσειεν, ὡς τῷ μὲν ἐν Πέλλῃ τραφέντι, χωρίῳ ἀδόξῳ τότε γε ὄντι καὶ [o] μικρῷ, τοσαύτην μεγαλοψυχίαν προσῆκεν [p] ἐγγενέσθαι, ὥστε τῆς τῶν Ἑλλήνων ἀρχῆς ἐπιθυμῆσαι καὶ τοῦτ' εἰς [q] τὸν νοῦν ἐμβαλέσθαι, ὑμῖν δ' οὖσιν Ἀθηναίοις καὶ [r] κατὰ τὴν ἡμέραν ἑκάστην ἐν πᾶσι καὶ λόγοις καὶ θεωρήμασι τῆς τῶν προγόνων ἀρετῆς [s] ὑπομνήμαθ' ὁρῶσι τοσαύτην κακίαν ὑπάρξαι, ὥστε τῆς [t] τῶν Ἑλλήνων ἐλευθερίας αὐτεπαγγέλτους [u] ἐθελοντὰς παραχω-
84 ρῆσαι Φιλίππῳ. οὐδ' ἂν εἷς ταῦτα [x] φήσειεν. λοιπὸν τοίνυν ἦν [y] καὶ ἀναγκαῖον ἅμα πᾶσιν οἷς ἐκεῖνος ἔπραττεν ἀδικῶν ὑμᾶς ἐναντιοῦσθαι δικαίως. τοῦτ' ἐποιεῖτε μὲν [z] ὑμεῖς ἐξ ἀρχῆς εἰκότως καὶ προσηκόντως, ἔγραφον δὲ καὶ συνεβούλευον καὶ ἐγὼ καθ' οὓς ἐπολιτευόμην χρόνους. 248
85 ὁμολογῶ. ἀλλὰ τί ἐχρῆν με ποιεῖν; ἤδη γάρ σ' ἐρωτῶ, πάντα τἄλλ' ἀφείς, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν,

[f] ἀναλώκασιν] ἀναλώκασιν F. ἀνηλώκασιν S. p. r.
[g] ἦν om. O. t. u. v.
[h] ἡμῖν] ὑμῖν u.
[i] ὅ τι βουληθείη F.S.Y.Q.O.u.v. vulg. ὅ τι ἂν βουληθείη.
[k] τοῦτο] τοῦτον Q.
[l] [ῥᾳδίως καὶ ἑτοίμως] om. S. cum Gellio 2, 27. ῥᾳδίως καὶ om. k. s.
[m] τῷ λοιπῷ] τὸ λοιπὸν k.
[n] τολμήσειεν] τολμήσαι S.
[o] μικρῷ] σμικρῷ k. s.
[p] ἐγγενέσθαι] γενέσθαι k. s.
[q] τὸν ante νοῦν om. F. Y. Q. O. p. r. t. u. v.
[r] κατὰ τὴν S. k. s. vulg. καθ'.
[s] ὑπομνήμαθ' ὁρῶσι] ὑπόμνημα θεωροῦσι S.
[t] τῶν Ἑλλήνων om. S.
[u] ἐθελοντὰς] ἐθέλοντας k. s.
[x] φήσειεν] φήσει u.
[y] καὶ post ἦν om. O.
[z] ὑμεῖς ἐξ ἀρχῆς] ἐξ ἀρχῆς ὑμεῖς O. t. u. v.

[a] Ἁλόννησον· οὐδενὸς τούτων μέμνημαι· [b] Σέρριον δὲ καὶ [c] Δορίσκον καὶ τὴν Πεπαρήθου πόρθησιν καὶ ὅσ' ἄλλα [d] τοιαῦτα ἡ πόλις [e] ἠδίκητο, οὐδ' εἰ γέγονεν οἶδα. καίτοι σύ γ' ἔφησθά με ταῦτα λέγοντα εἰς ἔχθραν ἐμβαλεῖν τουτουσί, Εὐβούλου [f] καὶ [g] Ἀριστοφῶντος καὶ [h] Διοπείθους τῶν περὶ τούτων [i] ψηφισμάτων ὄντων, οὐκ ἐμῶν, ὦ λέγων εὐχερῶς [k] ὅ τι ἂν βουληθῇς. [l] οὐδὲ νῦν περὶ τούτων ἐρῶ.

86 ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος [m] καὶ κατασκευάζων [n] ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ Μεγάροις ἐπιχειρῶν, καὶ καταλαμβάνων Ὠρεόν, καὶ κατασκάπτων Πορθμόν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον ἐν δ' Ἐρετρίᾳ Κλείταρχον, καὶ τὸν Ἑλλήσποντον ὑφ' ἑαυτῷ ποιούμενος, καὶ [o] Βυζάντιον πολιορκῶν, καὶ πόλεις Ἑλληνίδας [p] ἃς μὲν ἀναιρῶν, [q] εἰς ἃς δὲ [r] τοὺς φυγάδας κατάγων, πότερον [s] ταῦτα πάντα ποιῶν ἠδίκει καὶ παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνην ἢ οὔ; καὶ πότερον φανῆναί τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα [t] ποιεῖν

87 αὐτὸν ἐχρῆν ἢ μή; εἰ μὲν γὰρ μὴ ἐχρῆν, ἀλλὰ τὴν Μυσῶν λείαν καλουμένην τὴν Ἑλλάδα οὖσαν ὀφθῆναι ζώντων [u] Ἀθηναίων καὶ ὄντων, περιείργασμαι μὲν ἐγὼ περὶ τούτων εἰπών, περιείργασται δ' ἡ πόλις ἡ πεισθεῖσα ἐμοί,

[a] Ἁλόννησον F. p. ἀλόννησον Y. O. r. u. ἀλλόννησον Q. s. ἀλλόνησον k. vulg. Ἁλόνησον.

[b] Σέρριον] σέρρειον Y.

[c] Δορίσκον] κόρισκον Q.

[d] τοιαῦτα om. S.

[e] ἠδίκητο] ἠδικεῖτο S. Q.

[f] καὶ post Εὐβούλου om. p. r.

[g] Ἀριστοφῶντος] κτησιφῶντος S.

[h] Διοπείθους] διοπίθους O. u.

[i] ψηφισμάτων ὄντων] ὄντων ψηφισμάτων k. s.

[k] ὅ τι] πᾶν ὅτι Q. v.

[l] οὐδὲ] οὐδὲν k. r.

[m] καὶ κατασκ.—ἐπιχειρῶν om. k.

[n] ἐπιτείχισμα] ἐπιτειχίσματα O. u.

[o] Βυζάντιον] τὸ βυζάντιον k. p. r. s.

[p] ἃς μὲν] τὰς μὲν Y. p. r. s. et correctus O.

[q] εἰς ἃς] εἰς τὰς correctus O.

[r] τοὺς] καὶ τοὺς p. r.

[s] ταῦτα πάντα] πάντα ταῦτα F.

[t] ποιεῖν αὐτὸν] αὐτὸν ποιεῖν k.

[u] Ἀθηναίων post ὄντων ponunt S. k. s.

ἔστω δὲ ἀδικήματα [x] πάντα ἃ πέπρακται καὶ ἁμαρτή-
88 ματα ἐμά. [y] εἰ δὲ ἔδει [z] τινα τούτων κωλυτὴν φανῆναι,
τίνα [a] ἄλλον ἢ τὸν Ἀθηναίων δῆμον [b] προσῆκε γενέσθαι; 249
ταῦτα τοίνυν [c] ἐπολιτευόμην ἐγώ, καὶ ὁρῶν καταδουλού-
μενον πάντας ἀνθρώπους ἐκεῖνον ἠναντιούμην, καὶ προλέ-
γων καὶ διδάσκων μὴ [d] προΐεσθαι [e] ταῦτα Φιλίππῳ [f] διε-
τέλουν.
89 Καὶ μὴν τὴν εἰρήνην γ᾽ ἐκεῖνος ἔλυσε τὰ πλοῖα λαβών,
οὐχ ἡ πόλις, Αἰσχίνη. Φέρε [g] δὲ αὐτὰ τὰ ψηφίσματα
καὶ τὴν ἐπιστολὴν [h] τὴν τοῦ Φιλίππου, καὶ λέγε ἐφεξῆς·
ἀπὸ γὰρ τούτων [i] ἐξεταζομένων, τίς τίνος αἴτιός ἐστι,
γενήσεται φανερόν. [k] λέγε.

## ΨΗΦΙΣΜΑ.

90 Ἐπὶ ἄρχοντος Νεοκλέους, μηνὸς βοηδρομιῶνος, [l] ἐκκλησίας
συγκλήτου ὑπὸ στρατηγῶν [m] συναχθείσης, Εὔβουλος Μνησιθέου
[n] Κύπριος εἶπεν, ἐπειδὴ προσήγγειλαν οἱ στρατηγοὶ ἐν τῇ ἐκκλησίᾳ
ὡς [o] ἄρα Λεωδάμαντα τὸν ναύαρχον καὶ τὰ μετ᾽ αὐτοῦ ἀποστα-
λέντα σκάφη [p] εἴκοσιν ἐπὶ τὴν τοῦ σίτου παραπομπὴν εἰς Ἑλλή-
σποντον ὁ παρὰ Φιλίππου στρατηγὸς Ἀμύντας [q] καταγήοχεν εἰς
91 Μακεδονίαν καὶ [r] ἐν φυλακῇ ἔχει, ἐπιμεληθῆναι τοὺς πρυτάνεις καὶ
τοὺς στρατηγούς, ὅπως ἡ βουλὴ [s] συναχθῶσι καὶ αἱρεθῶσι [t] πρέσ-
βεις πρὸς [u] Φίλιππον, [x] οἵ τινες παραγενόμενοι διαλέξονται πρὸς

[x] πάντα ἃ F. S. Y. Q. ταῦτα πάντα ἃ k. vulg. πάντα ταῦτα ἅ.

[y] εἰ δὲ—γενέσθαι] εἰ δὲ ἔδει, τίνα τοῦτον ἄλλον ἢ τὸν ἀθηναίων δῆμον προσῆκε γίνεσθαι γρ. S.

[z] τινὰ post τούτων ponunt O. t. u. om. F. Y. Q. k. p. r. s. v.

[a] ἄλλον] μᾶλλον k.

[b] προσῆκε] προσήκει Y. O. t. u. v.

[c] ἐπολιτευόμην ἐγὼ S. k. s. ceteri ἐπολιτευόμην τότ᾽ ἐγώ.

[d] προΐεσθαι] προέσθαι O. k. s.

[e] ταῦτα Φιλίππῳ om. S.

[f] διετέλουν om. F. Y. O. t. u. v.

[g] δὲ S. k. s. ceteri δή.

[h] τὴν τοῦ om. k. s. τὴν om. p.

[i] ἐξεταζομένων in margine rec. S.

[k] λέγε om. F. S. Y. p. r.

[l] ἐκκλησίας συγκλήτου] ἐκκλησία σύγκλητος S.

[m] συναχθείσης om. F. S. Y. Q. O. t. u. v.

[n] Κύπριος] κόπριος F. S. Q.

[o] ἄρα om. O. k. s. t. u. v.

[p] εἴκοσιν] εἴκοσι S.

[q] καταγήοχεν] καταγείοχεν S.

[r] ἐν φυλακῇ ἔχει] ἔχει ἐν φυλακῇ t.

[s] συναχθῶσι] συναχθῇ k. p. r. s.

[t] πρέσβεις] πρέσβεις οἱ Y. p.

[u] Φίλιππον] τὸν φίλιππον k.

[x] οἵ τινες k. r. s. om. S. Y. Q. p. ceteri οἵ.

αὐτὸν περὶ τοῦ ἀφεθῆναι [y] τὸν ναύαρχον καὶ τὰ πλοῖα καὶ τοὺς [z] στρατιώτας. καὶ εἰ μὲν δι' ἄγνοιαν ταῦτα πεποίηκεν ὁ Ἀμύντας, [a] ὅτι οὐ μεμψιμοιρεῖ ὁ δῆμος [b] οὐδὲν [c] αὐτῷ· [d] εἰ δέ τι πλημμελοῦντα [e] παρὰ τὰ ἐπεσταλμένα λαβών, ὅτι [f] ἐπισκεψάμενοι Ἀθηναῖοι [g] ἐπιτιμήσουσι κατὰ τὴν τῆς ὀλιγωρίας ἀξίαν. εἰ δὲ μηδέτερον τούτων ἐστίν, [h] ἀλλ' ἰδίᾳ ἀγνωμονοῦσιν [i] ἢ [k] ὁ ἀπο- 250
στείλας ἢ ὁ ἀπεσταλμένος, καὶ [l] τοῦτο γράψαι λέγειν, ἵνα [m] αἰσθανόμενος ὁ δῆμος βουλεύσηται τί δεῖ ποιεῖν.

92 Τοῦτο μὲν τοίνυν τὸ ψήφισμα Εὔβουλος ἔγραψεν, οὐκ ἐγώ, τὸ δ' ἐφεξῆς Ἀριστοφῶν, εἶθ' Ἡγήσιππος, εἶτ' Ἀριστοφῶν πάλιν, εἶτα Φιλοκράτης, εἶτα Κηφισοφῶν, εἶτα [n] πάντες [o] οἱ ἄλλοι· ἐγὼ δ' οὐδὲν περὶ τούτων. Λέγε [p] τὸ ψήφισμα.

### [q] ΨΗΦΙΣΜΑ.

93 Ἐπὶ [r] Νεοκλέους ἄρχοντος, βοηδρομιῶνος [s] ἔνῃ καὶ νέᾳ, βουλῆς γνώμῃ, πρυτάνεις καὶ στρατηγοὶ ἐχρημάτισαν τὰ ἐκ τῆς ἐκκλησίας [t] ἀνενεγκόντες, ὅτι ἔδοξε τῷ δήμῳ πρέσβεις ἑλέσθαι πρὸς Φίλιππον περὶ τῆς τῶν πλοίων ἀνακομιδῆς καὶ ἐντολὰς δοῦναι καὶ τὰ [u] ἐκ τῆς ἐκκλησίας ψηφίσματα. καὶ εἵλοντο τούσδε, Κηφισοφῶντα Κλέωνος Ἀναφλύστιον, Δημόκριτον Δημοφῶντος Ἀναγυράσιον, Πολύκριτον Ἀπημάντου Κοθωκίδην. [x] πρυτανείᾳ φυλῆς Ἱπποθοωντίδος, Ἀριστοφῶν [y] Κολυττεὺς πρόεδρος εἶπεν.

[y] τὸν] τόν τε k. p. r. s.
[z] στρατιώτας] στρατηγοὺς F. S. Y. Q. et γρ. r.
[a] ὅτι οὐ] τί οὐ F. Q. t. τι ουν S. Y. v. ὅτι οὐδὲ k. p. r. s. et γρ. v. ὅτι O. u.
[b] οὐδὲν om. k. s.
[c] αὐτῷ ante ὁ δῆμος ponunt k. r. s. et γρ. v. om. S. αὐτοῦ O. v.
[d] εἰ δέ τι] ουδέτι F. S. Y. Q.
[e] παρὰ om. O.
[f] ἐπισκεψάμενοι] σκεψάμενοι O. u. v.
[g] ἐπιτιμήσουσι] ἐπιτιμήσωσι k.
[h] ἀλλ' ἰδίᾳ] ἀλλ' ἰδίᾳ τι p. r. ἀλλ' ἴδιαι δι' S. ἀλλ' ἀεὶ διατί s. ἀλλ' ἀεὶ διάτι k.
[i] ἢ post ἀγνωμ. om. k. p. r.
[k] ὁ ante ἀποστ. om. s.
[l] τοῦτο om. F. S. Y. Q. γράψαι om. F. S. Y. Q. O. r. t. u. v.
[m] αἰσθανόμενος] αἰσθόμενος O. u.
[n] πάντες] πάλιν p. r.
[o] οἱ ἄλλοι om. S.
[p] τὸ ψήφισμα om. S.
[q] ΨΗΦΙΣΜΑ om. r.
[r] Νεοκλέους] νικοκλέους F. S. Y. Q. O. k. p. r. s. t. u. v.
[s] ἔνῃ] ἕνῃ p.
[t] ἀνενεγκόντες] ἀπενεγκόντες k. r. s. ἐνεγκόντες O. t. u. v.
[u] ἐκ om. k. p. r. s.
[x] πρυτανείᾳ] πρυτανέα k. πρυτανια S.
[y] Κολυττεὺς] κολυτεὺς k. κολυτεὺς u.

94 Ὥσπερ τοίνυν ἐγὼ ταῦτα δεικνύω τὰ ψηφίσματα, οὕτω [z] καὶ σὺ δεῖξον, Αἰσχίνη, [a] ποῖον ἐγὼ γράψας ψήφισμα αἴτιός εἰμι τοῦ πολέμου. ἀλλ' οὐκ ἂν ἔχοις· εἰ γὰρ εἶχες, οὐδὲν ἂν αὐτοῦ πρότερον νυνὶ παρέσχου. καὶ μὴν οὐδ' [b] ὁ Φίλιππος οὐδὲν αἰτιᾶται [c] ἐμὲ ὑπὲρ τοῦ πολέμου, ἑτέροις ἐγκαλῶν. Λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν [d] τὴν τοῦ Φιλίππου.

## ΕΠΙΣΤΟΛΗ [e] ΦΙΛΙΠΠΟΥ.

95 Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ
δήμῳ χαίρειν. παραγενόμενοι πρὸς ἐμὲ οἱ παρ' ὑμῶν πρεσβευταί, 251
Κηφισοφῶν καὶ Δημόκριτος [f] καὶ Πολύκριτος, διελέγοντο περὶ τῆς
τῶν πλοίων ἀφέσεως ὧν ἐναυάρχει [g] Λαομέδων. καθ' ὅλου μὲν
[h] οὖν ἔμοιγε φαίνεσθε ἐν μεγάλῃ εὐηθείᾳ ἔσεσθαι, [i] εἰ οἴεσθ' [k] ἐμὲ
λανθάνειν ὅτι [l] ἐξαπεστάλη ταῦτα τὰ πλοῖα [m] πρόφασιν μὲν ὡς
τὸν σῖτον [n] παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς Λῆμνον, βοη-
θήσοντα δὲ [o] Σηλυμβριανοῖς τοῖς ὑπ' ἐμοῦ μὲν πολιορκουμένοις, οὐ
συμπεριειλημμένοις δὲ ἐν ταῖς τῆς φιλίας κοινῇ κειμέναις [p] ἡμῖν
96 συνθήκαις. καὶ ταῦτα συνετάχθη τῷ ναυάρχῳ ἄνευ [q] μὲν τοῦ δή-
μου [r] τοῦ Ἀθηναίων, ὑπὸ δέ τινων ἀρχόντων καὶ ἑτέρων ἰδιωτῶν
μὲν νῦν ὄντων, ἐκ παντὸς δὲ τρόπου βουλομένων τὸν δῆμον ἀντὶ
τῆς νῦν ὑπαρχούσης πρὸς ἐμὲ φιλίας τὸν πόλεμον ἀναλαβεῖν, πολ-
λῷ μᾶλλον [s] φιλοτιμουμένων τοῦτο [t] συντετελέσθαι ἢ τοῖς [u] Ση-

[z] καὶ om. pr. S.
[a] ποῖον] ὁποῖον S.
[b] ὁ om. u. v. et pr. O.
[c] ἐμὲ S. vulg. με.
[d] τὴν post ἐπιστολὴν addiderunt F. S. Y. k. r. s.
[e] ΦΙΛΙΠΠΟΥ om. r. v. Epistolam ipsam in margine ponit k. om. s. qui ceteris quoque id genus actis caret.
[f] καὶ Πολύκριτος om. Y. p. r.
[g] Λαομέδων] λαομένων S. λαοδάμων p. r.
[h] οὖν om. r.
[i] εἰ] εἶτ' S. Y. Q. O. t. u. εἶτ' v.
[k] ἐμὲ S. vulg. με.
[l] ἐξαπεστάλη] ἐξαπεστάλη μὲν k. s.
[m] πρόφασιν] προφάσει r.
[n] παραπέμψοντα] παραπέμψαντα r.
[o] Σηλυμβριανοῖς] σηλυβριανοῖς O. p. r. u.
[p] ἡμῖν συνθήκαις] συνθήκαις ἡμῖν p. r.
[q] μὲν] μὲν γὰρ O.
[r] τοῦ Ἀθηναίων S. Q. vulg. τῶν ἀθηναίων.
[s] φιλοτιμουμένων] φιλοτιμούμενον S. Q. p. r. u.
[t] συντετελέσθαι] συντελεσθαι S. συντελεῖσθαι Y. r. et correctus O. συντετάχθαι O. t. u. v.
[u] Σηλυμβριανοῖς] σηλυβριανοῖς p. r. u. συληβριανοῖς O.

λυμβριανοῖς βοηθῆσαι. καὶ ὑπολαμβάνουσιν αὐτοῖς τὸ [x] τοιοῦτο
97 [y] πρόσοδον ἔσεσθαι· οὐ μέντοι μοι δοκεῖ [z] τοῦτο χρήσιμον ὑπάρχειν οὔθ' ὑμῖν οὔτ' ἐμοί. διόπερ τά τε νῦν καταχθέντα πλοῖα πρὸς ἡμᾶς ἀφίημι ὑμῖν, καὶ τοῦ λοιποῦ, ἐὰν βούλησθε μὴ ἐπιτρέπειν τοῖς προεστηκόσιν ὑμῶν κακοήθως πολιτεύεσθαι, ἀλλ' ἐπιτιμᾶτε, πειράσομαι κἀγὼ διαφυλάττειν τὴν εἰρήνην. εὐτυχεῖτε.

98 Ἐνταῦθ' οὐδαμοῦ [a] Δημοσθένη γέγραφεν, οὐδ' αἰτίαν οὐδεμίαν κατ' ἐμοῦ. τί ποτ' οὖν τοῖς ἄλλοις ἐγκαλῶν τῶν ἐμοὶ πεπραγμένων οὐχὶ μέμνηται; ὅτι τῶν ἀδικημάτων ἂν ἐμέμνητο τῶν αὑτοῦ, εἴ τι περὶ ἐμοῦ [b] γέγραφε·
99 τούτων γὰρ εἰχόμην ἐγὼ καὶ τούτοις ἠναντιούμην. καὶ 252
πρῶτον μὲν τὴν εἰς Πελοπόννησον πρεσβείαν ἔγραψα, ὅτε πρῶτον ἐκεῖνος εἰς Πελοπόννησον παρεδύετο, εἶτα τὴν εἰς Εὔβοιαν, ἡνίκ' Εὐβοίας ἥπτετο, εἶτα τὴν ἐπ' [c] Ὠρεὸν ἔξοδον, οὐκέτι πρεσβείαν, καὶ τὴν εἰς [d] Ἐρέτριαν, ἐπειδὴ τυράννους ἐκεῖνος ἐν ταύταις ταῖς πόλεσι κατέστησεν. μετὰ ταῦτα δὲ τοὺς ἀποστόλους [e] ἅπαντας ἀπέστειλα, καθ' οὓς Χερρόνησος ἐσώθη καὶ [f] Βυζάντιον καὶ πάντες οἱ
100 σύμμαχοι. ἐξ ὧν [g] ὑμῖν μὲν τὰ κάλλιστα, ἔπαινοι, δόξαι, τιμαί, [h] στέφανοι, χάριτες παρὰ τῶν εὖ πεπονθότων [i] ὑπῆρχον· τῶν δ' ἀδικουμένων τοῖς μὲν ὑμῖν τότε πεισθεῖσιν ἡ σωτηρία περιεγένετο, τοῖς δ' ὀλιγωρήσασι τὸ πολλάκις ὧν ὑμεῖς προείπατε μεμνῆσθαι, καὶ νομίζειν ὑμᾶς μὴ μόνον εὔνους [k] ἑαυτοῖς ἀλλὰ καὶ φρονίμους ἀνθρώπους καὶ μάντεις εἶναι· πάντα γὰρ ἐκβέβηκεν ἃ

[x] τοιοῦτο S. Q. vulg. τοιοῦτον.
[y] πρόσοδον] προσολον S. πρὸς ὅλον F.
[z] τοῦτο] τοῦτο τὸ Y.
[a] Δημοσθένη Y. r. ceteri δημοσθένην.
[b] γέγραφε] Malim ἔγραφεν.
[c] Ὠρεὸν] ὠρεῶ k.
[d] Ἐρέτριαν Y. k. s. t. u. vulg. Ἐρετρίαν.
[e] ἅπαντας] πάντας k. s.
[f] Βυζάντιον] τὸ βυζάντιον S.
[g] ὑμῖν μὲν] μὲν ὑμῖν s.
[h] στέφανοι χάριτες] χάριτες στέφανοι r.
[i] ὑπῆρχον S. k. s. ceteri ἐγίγνοντο.
[k] ἑαυτοῖς S. k. p. r. s. vulg. αὐτοῖς.

101 [l] προείπατε. καὶ μὴν ὅτι πολλὰ μὲν [m] ἂν χρήματα
ἔδωκε Φιλιστίδης ὥστ' ἔχειν Ὠρεόν, πολλὰ δὲ Κλείταρ-
χος ὥστ' ἔχειν Ἐρέτριαν, πολλὰ δ' αὐτὸς ὁ Φίλιππος
ὥστε ταῦθ' ὑπάρχειν ἐφ' ὑμᾶς αὐτῷ, καὶ περὶ τῶν ἄλλων
μηδὲν [n] ἐξελέγχεσθαι μηδ' ἃ ποιῶν ἠδίκει μηδένα ἐξε-
τάζειν πανταχοῦ, οὐδεὶς ἀγνοεῖ, καὶ πάντων ἥκιστα σύ·
102 οἱ γὰρ παρὰ τοῦ Κλειτάρχου καὶ τοῦ Φιλιστίδου τότε
πρέσβεις δεῦρ' [o] ἀφικνούμενοι παρὰ σοὶ κατέλυον, [p] Αἰ-
σχίνη, καὶ σὺ προὐξένεις αὐτῶν· οὓς ἡ μὲν πόλις ὡς ἐχ-
θροὺς καὶ οὔτε δίκαια οὔτε συμφέροντα λέγοντας ἀπή-
λασε, σοὶ δ' ἦσαν φίλοι. οὐ τοίνυν ἐπράχθη τούτων οὐδέν,
ὦ βλασφημῶν περὶ ἐμοῦ καὶ λέγων ὡς σιωπῶ μὲν λα-
βών, βοῶ δ' ἀναλώσας. ἀλλ' οὐ σύ [q] γε, ἀλλὰ βοᾷς 253
μὲν ἔχων, [r] παύσει δὲ οὐδέποτ', ἐὰν μή σε οὗτοι παύσω-
103 σιν [s] ἀτιμώσαντες [t] τήμερον. στεφανωσάντων τοίνυν ὑμῶν
ἐμὲ ἐπὶ τούτοις τότε, καὶ γράψαντος Ἀριστονίκου τὰς
αὐτὰς συλλαβὰς ἅσπερ οὑτοσὶ Κτησιφῶν [u] νῦν γέγραφε,
καὶ ἀναῤῥηθέντος ἐν τῷ θεάτρῳ τοῦ στεφάνου, καὶ δευτέ-
ρου κηρύγματος ἤδη μοι τούτου [x] γιγνομένου, οὔτ' [y] ἀντεῖ-
πεν Αἰσχίνης παρὼν οὔτε τὸν [z] εἰπόντα ἐγράψατο. Καί
μοι λέγε [a] καὶ [b] τοῦτο τὸ ψήφισμα [c] λαβών.

## ΨΗΦΙΣΜΑ.

104 Ἐπὶ [d] Χαιρώνδου [e] Ἡγέμονος ἄρχοντος, γαμηλιῶνος ἕκτῃ

[l] προείπατε. καὶ S. vulg. προείπατε αὐτοῖς. καὶ
[m] ἂν om. k. s.
[n] ἐξελέγχεσθαι] ἐλέγχεσθαι Y. k. p. r. s.
[o] ἀφικνούμενοι] ἀφικόμενοι k. p. r. s.
[p] Αἰσχίνη om. Y.
[q] γε om. S.
[r] παύσει S. vulg. παύσῃ.
[s] ἀτιμώσαντες] ἀτιμάσαντες O.
[t] τήμερον] τήμερον περὶ τὸ βῆμα u.
[u] νῦν γέγραφε] γέγραφε νῦν k. s.
[x] γιγνομένου] γενομένου k. s.
[y] ἀντεῖπεν] ἀνεῖπεν pr. S.
[z] εἰπόντα] ἀντειπόντα S. et γρ. F. Q.
[a] καὶ post λέγε om. k. s.
[b] τοῦτο] τούτου pr. S.
[c] Post λαβών cum S. omisi λέγε.
[d] Χαιρώνδου F. S. Y. Q. O. t. u. vulg. Χαιρωνίδου.
[e] Ἡγέμονος] ἡγεμόνος F. O. p. r. u. v.

ἀπιόντος, φυλῆς πρυτανευούσης Λεοντίδος, Ἀριστόνικος [f] Φρεάρριος εἶπεν, ἐπειδὴ Δημοσθένης [g] Δημοσθένους Παιανιεὺς πολλὰς καὶ μεγάλας χρείας παρέσχηται τῷ δήμῳ [h] τῷ Ἀθηναίων καὶ [i] πολλοῖς τῶν συμμάχων [k] καὶ πρότερον, καὶ ἐν τῷ παρόντι καιρῷ βεβοήθηκε διὰ τῶν ψηφισμάτων, καί τινας τῶν ἐν τῇ Εὐβοίᾳ πόλεων ἠλευθέρωκε, καὶ διατελεῖ εὔνους ὢν τῷ δήμῳ [l] τῷ Ἀθηναίων, καὶ λέγει καὶ πράττει ὅ τι ἂν δύνηται ἀγαθὸν ὑπέρ τε αὐτῶν
105 Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων, [m] δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ [n] τῷ Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ [o] Διονυσίοις, τραγῳδοῖς καινοῖς, τῆς δὲ ἀναγορεύσεως τοῦ στεφάνου ἐπιμεληθῆναι τὴν πρυτανεύουσαν φυλὴν καὶ τὸν ἀγωνοθέτην. εἶπεν [p] Ἀριστόνικος [q] Φρεάρριος. 254

106 Ἔστιν οὖν ὅστις ὑμῶν οἶδέ τινα αἰσχύνην [r] τῇ πόλει συμβᾶσαν διὰ τοῦτο τὸ ψήφισμα ἢ χλευασμὸν ἢ γέλωτα, [s] ἃ νῦν οὗτος ἔφη συμβήσεσθαι, ἐὰν ἐγὼ στεφανῶμαι; καὶ μὴν ὅταν ᾖ νέα καὶ γνώριμα πᾶσι τὰ πράγματα, ἐάν τε καλῶς ἔχῃ, χάριτος τυγχάνει, ἐάν θ' ὡς ἑτέρως, τιμωρίας. φαίνομαι τοίνυν ἐγὼ χάριτος τετυχηκὼς τότε, καὶ οὐ μέμψεως οὐδὲ τιμωρίας.

107 Οὐκοῦν μέχρι μὲν τῶν χρόνων ἐκείνων, ἐν οἷς ταῦτ' ἐπράχθη, πάντας ἀνωμολόγημαι [t] τοὺς χρόνους τὰ ἄριστα [u] πράττειν τῇ πόλει, τῷ νικᾶν, [x] ὅτ' ἐβουλεύεσθε, λέγων καὶ γράφων, τῷ καταπραχθῆναι τὰ γραφέντα,

[f] Φρεάρριος] φερεαρριος S. O. u. φερεά$^{ρ}$ριος F.

[g] Δημοσθένους om. O.

[h] τῷ Ἀθηναίων S. Q. vulg. τῶν Ἀθηναίων.

[i] πολλοῖς] πολλοὺς r.

[k] καὶ ante πρότερον om. pr. u. post πρότερον om. O.

[l] τῷ Ἀθηναίων S. Y. vulg. τῶν Ἀθηναίων.

[m] δεδόχθαι] δεδόχθω p.

[n] τῷ Ἀθηναίων F. S. Q. vulg. τῶν Ἀθηναίων.

[o] Διονυσίοις om. S.

[p] Ἀριστόνικος] ἀριστόδημος S. Y. r.

[q] Φρεάρριος] φερεάρριος v. et correctus r. φερεά$^{ρ}$ριος F.

[r] τῇ πόλει συμβᾶσαν S. Y. k. p. r. s. ceteri συμβᾶσαν τῇ πόλει.

[s] ἃ] ἢ ἃ Y. u. v.

[t] τοὺς χρόνους in γρ. S.

[u] πράττειν] πράττειν καὶ λέγειν γρ. S. Q.

[x] ὅτ' ἐβουλεύεσθε] τε βουλεύεσθαι Y. ὅτ' ἐβούλεσθε s. u. ὅτε βούλεσθε O. r.

καὶ στεφάνους ἐξ αὐτῶν τῇ πόλει καὶ ἐμοὶ καὶ πᾶσιν [y] ὑμῖν [z] γενέσθαι, τῷ θυσίας [a] τοῖς θεοῖς καὶ προσόδους ὡς ἀγαθῶν τούτων ὄντων ὑμᾶς πεποιῆσθαι.
108 Ἐπειδὴ τοίνυν ἐκ τῆς Εὐβοίας ὁ Φίλιππος [b] ἐξηλάθη, τοῖς μὲν ὅπλοις ὑφ' ὑμῶν, τῇ δὲ πολιτείᾳ καὶ τοῖς ψηφίσμασι, κἂν διαῤῥαγῶσί τινες [c] τούτων, ὑπ' ἐμοῦ, ἕτερον κατὰ τῆς πόλεως ἐπιτειχισμὸν ἐζήτει. ὁρῶν δ' ὅτι σίτῳ πάντων ἀνθρώπων πλείστῳ χρώμεθ' ἐπεισάκτῳ, βουλό-
109 μενος τῆς [d] σιτοπομπίας κύριος γενέσθαι, παρελθὼν ἐπὶ Θρᾴκης Βυζαντίους συμμάχους ὄντας αὐτῷ τὸ μὲν πρῶτον ἠξίου συμπολεμεῖν τὸν πρὸς [e] ὑμᾶς πόλεμον, ὡς δ' οὐκ ἤθελον οὐδ' ἐπὶ τούτοις ἔφασαν τὴν συμμαχίαν πεποιῆσθαι, λέγοντες ἀληθῆ, [f] χαράκωμα [g] βαλόμενος πρὸς τῇ πόλει καὶ μηχανήματ' ἐπιστήσας ἐπολιόρκει. τούτων δὲ γιγνομένων ὅ τι μὲν [h] προσῆκε ποιεῖν [i] ὑμᾶς, [k] οὐκέτ'
110 ἐρωτήσω· δῆλον γάρ ἐστιν ἅπασιν. ἀλλὰ τίς ἦν ὁ βοη- 255
θήσας τοῖς Βυζαντίοις καὶ σώσας αὐτούς; τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον [l] ἀλλοτριωθῆναι κατ' ἐκείνους τοὺς χρόνους; ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι. τὸ δ' ὑμεῖς [m] ὅταν λέγω, τὴν πόλιν λέγω. τίς δ' ὁ τῇ πόλει λέγων καὶ γράφων καὶ πράττων καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ πράγματα
111 ἀφειδῶς [n] διδούς; ἐγώ. ἀλλὰ μὴν ἡλίκα ταῦτα ὠφέλη-

[y] ὑμῖν om. S.
[z] γενέσθαι] γίνεσθαι k. p. r.
[a] τοῖς θεοῖς καὶ προσόδους] καὶ προσόδους τοῖς θεοῖς k. s.
[b] ἐξηλάθη τοῖς μὲν ὅπλοις ὑφ' ὑμῶν] ὑφ' ἡμῶν ἐξηλάθη τοῖς μὲν ὅπλοις S. ὑφ' ὑμῶν μὲν ἐξηλάθη τοῖς ὅπλοις Y. p. r.
[c] τούτων om. p.
[d] σιτοπομπίας] σιτοπομπείας t. u. v.
[e] ὑμᾶς] ἡμᾶς k.
[f] χαράκωμα] χάρακα S. χαρακώματα F. Y. Q. O. p. r. t. u. v. et γρ. s.
[g] βαλόμενος] βαλλόμενος p. r. et γρ. S. βουλόμενος k.
[h] προσῆκε] προσήκει S.
[i] ὑμᾶς S. Q. k. s. ceteri ἡμᾶς.
[k] οὐκέτ' ἐρωτήσω] οὐκ ἐρωτήσω O. οὐκ ἐπερωτήσω S. et γρ. Q.
[l] ἀλλοτριωθῆναι F. S. O. p. t. u. v. vulg. ἀπαλλοτριωθῆναι.
[m] ὅταν λέγω S. ceteri ὅταν εἴπω.
[n] διδούς] δοὺς S. Y. Q. O. t. u. v. et correcti p. r.

σεν ἅπαντας, [o] οὐκέτ' ἐκ [p] λόγου δεῖ [q] μαθεῖν, ἀλλ' ἔργῳ πεπείρασθε· ὁ γὰρ τότε ἐνστὰς πόλεμος ἄνευ τοῦ καλὴν δόξαν ἐνεγκεῖν ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀφθονωτέροις καὶ εὐωνοτέροις [r] διήγαγεν [s] ὑμᾶς τῆς νῦν εἰρήνης, ἣν οὗτοι κατὰ τῆς πατρίδος τηροῦσιν οἱ χρηστοὶ ἐπὶ ταῖς [t] μελλούσαις ἐλπίσιν, ὧν διαμάρτοιεν, καὶ [u] μὴ μετάσχοιεν ὧν ὑμεῖς οἱ τὰ βέλτιστα βουλόμενοι τοὺς θεοὺς αἰτεῖτε, [x] μηδὲ μεταδοῖεν [y] ὑμῖν ὧν αὐτοὶ προῄρηνται. Λέγε δ' αὐτοῖς καὶ τοὺς [z] τῶν Βυζαντίων στεφάνους καὶ τοὺς [a] τῶν Περινθίων, οἷς ἐστεφάνουν [b] ἐκ τούτων τὴν πόλιν.

## [c] ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ.

112 Ἐπὶ ἱερομνάμονος Βοσπορίχω [d] Δαμάγητος ἐν [e] τᾷ ἁλίᾳ ἔλεξεν,
ἐκ τᾶς βωλᾶς λαβὼν ῥήτραν, ἐπειδὴ ὁ δᾶμος [f] ὁ Ἀθηναίων ἔν τε
τοῖς [g] προγενομένοις καιροῖς εὐνοέων διατελεῖ Βυζαντίοις καὶ τοῖς
συμμάχοις καὶ συγγενέσι Περινθίοις καὶ πολλὰς καὶ μεγάλας
[h] χρείας [i] παρέσχηται, ἔν τε τῷ παρεστακότι καιρῷ [k] Φιλίππω
τῶ Μακεδόνος [l] ἐπιστρατεύσαντος ἐπὶ τὰν χώραν καὶ τὰν πόλιν
ἐπ' ἀναστάσει Βυζαντίων καὶ Περινθίων καὶ τὰν χώραν [m] δαίοντος καὶ δενδροκοπέοντος, [n] βοηθήσας [o] πλοίοισιν ἑκατὸν καὶ εἴκοσι 256
καὶ σίτῳ καὶ βέλεσι καὶ ὁπλίταις ἐξείλετο [p] ἄμμε ἐκ τῶν μεγάλων κινδύνων καὶ ἀποκατέστασε τὰν πάτριον πολιτείαν καὶ τὼς

[o] οὐκέτ'] οὐκ F. Y. Q. O. p. r. t. u. v.

[p] λόγου] τοῦ λόγου S.

[q] μαθεῖν] μαθεῖν ὑμᾶς k. s.

[r] διήγαγεν] διηγεν S.

[s] ὑμᾶς] ἡμᾶς s.

[t] μελλούσαις] μέλλουσιν pr. S.

[u] μὴ om. S.

[x] μηδὲ] μη S.

[y] ὑμῖν] ἡμῖν (ὑ superscr.) F. ἡμῖν p. r.

[z] τῶν ante Βυζαντίων om. F. Q. O. u. v.

[a] τῶν ante Περινθίων om. O. u. v.

[b] ἐκ om. r.

[c] ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ] στεφάνων ψηφίσματα u. v.

[d] Δαμάγητος] δημάγητος O. v.

[e] τᾷ ἁλίᾳ] τεαλια F. S. Y. Q. p. r. t. u. v. τελια O.

[f] ὁ Ἀθηναίων] τῶν ἀθηναίων p. r.

[g] προγενομένοις] προγεναμένοις S. Y. Q. r. προγεγεναμένοις p.

[h] χρείας om. r. post παρέσχηται ponit p.

[i] παρέσχηται] παράσχηται S.

[k] Φιλίππω τῶ] φιλίππου τοῦ F.

[l] ἐπιστρατεύσαντος] ἐπιστατεύσαντος S.

[m] δαίοντος] δέοντος F. S. Q. O.

[n] βοηθήσας] βοηθῆσαι F. S. Q. r. et pr. Y.

[o] πλοίοισιν] πλοίοις S. Q. O. t. u. v.

[p] ἄμμε] ἄμε S. t. v. ἀμὲ Y. ἐμὲ p. r.

113 νόμως καὶ τὼς τάφως, [q]δεδόχθαι τῷ δάμῳ [r]τῷ Βυζαντίων καὶ Περινθίων Ἀθηναίοις [s]δόμεν ἐπιγαμίαν, πολιτείαν, [t]ἔγκτασιν γᾶς καὶ [u]οἰκιᾶν, προεδρίαν ἐν τοῖς ἀγῶσι, [x]πόθοδον ποτὶ τὰν βωλὰν καὶ τὸν δᾶμον [y]πράτοις μετὰ τὰ ἱερά, καὶ τοῖς κατοικεῖν ἐθέλουσι τὰν πόλιν ἀλειτουργήτοις ἦμεν [z]πασᾶν τᾶν λειτουργιᾶν· στᾶσαι δὲ καὶ εἰκόνας τρεῖς ἑκκαιδεκαπήχεις ἐν τῷ [a]Βοσπορίχῳ, στεφανούμενον τὸν δᾶμον τὸν Ἀθηναίων ὑπὸ τῶ δάμω [b]τῶ Βυζαντίων καὶ Περινθίων· ἀποστεῖλαι δὲ καὶ [c]θεωρίας ἐς τὰς ἐν [d]τᾷ Ἑλλάδι πανηγύριας, Ἴσθμια καὶ Νέμεα καὶ Ὀλύμπια καὶ Πύθια, καὶ ἀνακαρῦξαι [e]τὼς στεφάνως [f]ὡς ἐστεφάνωται ὁ δᾶμος ὁ [g]Ἀθηναίων ὑφ' [h]ἡμῶν, ὅπως ἐπιστέωνται οἱ Ἕλλανες [i]πάντες Ἀθηναίων ἀρετὰν καὶ τὰν Βυζαντίων καὶ Περινθίων [k]εὐχαριστίαν.

114 Λέγε καὶ τοὺς παρὰ τῶν ἐν Χεῤῥονήσῳ στεφάνους.

## [l]ΨΗΦΙΣΜΑ ΧΕΡΡΟΝΗΣΙΤΩΝ.

Χεῤῥονησιτῶν οἱ κατοικοῦντες Σηστόν, Ἐλεοῦντα, Μάδυτον, [m]Ἀλωπεκόννησον, στεφανοῦσιν Ἀθηναίων τὴν βουλὴν καὶ τὸν δῆμον χρυσῷ στεφάνῳ ἀπὸ ταλάντων ἑξήκοντα, καὶ χάριτος βωμὸν ἱδρύονται καὶ [n]δήμου Ἀθηναίων, ὅτι πάντων [o]μεγίστου [p]ἀγαθῶν

[q] δεδόχθαι] δεδόχθω F. S. Y. Q. O. p. u. v.

[r] τῷ Βυζαντίων] τῶν βυζαντίων O. p. u. v.

[s] δόμεν] δοῦναι Y. r.

[t] ἔγκτασιν] ἔκτασιν F. S. Y. Q. O. p. r. t. u. v.

[u] οἰκιᾶν] οἰκίαν F.O. οἰκείαν p.r. t. u. v. οἰκίαν Y.

[x] πόθοδον] ποθολον F.S.Y.Q. ποθ' ὅλον O. t. u. v. ποτὶ θολον correctus r. et γρ. p. qui ipse om.

[y] πράτοις μετὰ] παρα τοις παρὰ F. S. Y. Q. O. p. r. t. u. v. An fuit πράτοις πεδά?

[z] πασᾶν τᾶν λειτουργιᾶν] πᾶσαν τὰν λειτουργίαν F. S. Y. p. t. πᾶσαν τὴν λειτουργίαν O. u. v.

[a] Βοσπορίχῳ] βοσπορειχωι S.

[b] τῶ Βυζαντίων S. Q. r.

[c] θεωρίας] δωριας F.S.Y.Q.r.t.u. δωρίας v. δωρεὰς p. et correctus O.

[d] τᾷ] τε F.S.Y.Q.O.p.t.u.v.

[e] τὼς στεφάνως] τῶ στεφάνω plerique omnes.

[f] ὧς ἐστεφάνωται Reiskius. οἷς ἐστεφάνωται Valckenar. diatr. Euripid. p. 278. ὅσοι στεφανωιται S. ὅσοι στεφάνωται F. Q. ὧσυστεφανωται Y. p. r. t. ὧ συνεστεφανωται u. v. ὧ συνεστεφάνωται O.

[g] Ἀθηναίων] τῶν ἀθηναίων p.

[h] ἡμῶν] ὑμῶν S. Y. t. v.

[i] πάντες] πάντων O.

[k] εὐχαριστίαν] εὐχαριστείαν S.

[l] ΨΗΦ. ΧΕΡΡΟΝ.] ψήφισμα χερρονήσου p. στεφάνων ψήφισμα v. στεφάνων ψηφίσματα u. στεφανη χερρονησιτῶν O.

[m] Ἀλωπεκόννησον] ἀλωπεκόνησον t.

[n] δήμου] δῆμον r.

[o] μεγίστου] μεγίστων F.S.Y.Q. p. r. μέγιστον O. t. u. v.

[p] ἀγαθῶν] ἀγαθὸν O. u. v.

[q] παραίτιος γέγονε Χεῤῥονησίταις, ἐξελόμενος [r] ἐκ τῆς Φιλίππου καὶ ἀποδοὺς τὰς πατρίδας, τοὺς νόμους, τὴν ἐλευθερίαν, τὰ ἱερά. 257
καὶ ἐν τῷ μετὰ ταῦτα αἰῶνι παντὶ οὐκ [s] ἐλλείψει εὐχαριστῶν καὶ ποιῶν ὅ τι ἂν δύνηται ἀγαθόν. ταῦτα [t] ἐψηφίσαντο [u] ἐν κοινῷ βουλευτηρίῳ.

115 Οὐκοῦν οὐ μόνον τὸ [x] Χεῤῥόνησον καὶ Βυζάντιον σῶσαι, οὐδὲ τὸ κωλῦσαι τὸν Ἑλλήσποντον ὑπὸ Φιλίππῳ γενέσθαι τότε, οὐδὲ τὸ τιμᾶσθαι τὴν πόλιν ἐκ τούτων ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία διεπράξατο, ἀλλὰ καὶ πᾶσιν [y] ἔδειξεν ἀνθρώποις τήν τε τῆς πόλεως καλοκαγαθίαν καὶ τὴν Φιλίππου κακίαν. ὁ μέν [z] γε [a] φίλος [b] καὶ σύμμαχος ὢν τοῖς Βυζαντίοις πολιορκῶν αὐτοὺς ἑωρᾶτο ὑπὸ πάντων,
116 οὗ τί γένοιτ' ἂν αἴσχιον ἢ μιαρώτερον; ὑμεῖς δ' οἱ καὶ μεμψάμενοι πολλὰ καὶ δίκαια ἂν [c] ἐκείνοις εἰκότως περὶ ὧν ἠγνωμονήκεσαν εἰς ὑμᾶς ἐν τοῖς [d] ἔμπροσθεν χρόνοις, οὐ μόνον οὐ μνησικακοῦντες οὐδὲ προϊέμενοι τοὺς ἀδικουμένους, ἀλλὰ καὶ [e] σώζοντες ἐφαίνεσθε, ἐξ ὧν δόξαν, εὔνοιαν, [f] τιμὴν παρὰ πάντων ἐκτᾶσθε. καὶ μὴν ὅτι [g] μὲν πολλοὺς ἐστεφανώκατ' ἤδη τῶν [h] πολιτευομένων, [i] ἅπαντες ἴσασι· δι' ὅντινα δ' ἄλλον ἡ πόλις ἐστεφάνωται, σύμβουλον [k] λέγω καὶ ῥήτορα, πλὴν δι' ἐμέ, οὐδ' ἂν εἷς εἰπεῖν ἔχοι.

[q] παραίτιος] πράττειν F.S.Y.Q. αἴτιος O.p.t.u.v. πράττειν r.
[r] ἐκ τῆς] ἐκ τοῦ Y.p.r.
[s] ἐλλείψει] ἐκλείψει O.t.u.v.
[t] ἐψηφίσαντο] ἐψήφισαν O.
[u] ἐν om. S.Y.p.r.
[x] Χεῤῥόνησον] χερόννησον s.
[y] ἔδειξεν ἀνθρώποις S.Y.Q.k.p.r.s. vulg. ἀνθρώποις ἔδειξε.
[z] γε] γὰρ S.
[a] φίλος] φίλιππος p.r. om. cum ipso καὶ S.
[b] καὶ σύμμαχος ὢν] ὢν καὶ σύμμαχος k.s.
[c] ἐκείνοις om. k.
[d] ἔμπροσθεν] ἔμπροσθε s.
[e] σώζοντες] σωιζοντες F.S.Y.Q.
[f] τιμὴν om. F.S.Y.Q.O.p.t.u.v.
[g] μὲν πολλοὺς S.k.s. vulg. πολλοὺς μέν.
[h] πολιτευομένων] πεπολιτευμένων F.
[i] ἅπαντες supra versum S.
[k] λέγω om. pr. Y.

117 Ἵνα τοίνυν, καὶ τὰς βλασφημίας, ἃς κατὰ τῶν Εὐ-
βοέων καὶ τῶν Βυζαντίων ἐποιήσατο, εἴ τι δυσχερὲς αὐ-
τοῖς ἐπέπρακτο πρὸς ὑμᾶς ὑπομιμνήσκων, συκοφαντίας
οὔσας ἐπιδείξω μὴ μόνον τῷ ψευδεῖς εἶναι (τοῦτο μὲν
γὰρ ὑπάρχειν ὑμᾶς εἰδότας [l]ἡγοῦμαι) ἀλλὰ καὶ τῷ, εἰ
τὰ μάλιστ' ἦσαν ἀληθεῖς, οὕτως ὡς ἐγὼ κέχρημαι τοῖς
πράγμασι συμφέρειν [m]χρήσασθαι, ἓν ἢ δύο βούλομαι τῶν
καθ' ὑμᾶς πεπραγμένων καλῶν τῇ πόλει διεξελθεῖν, καὶ 258
ταῦτ' ἐν βραχέσι· καὶ γὰρ ἄνδρα ἰδίᾳ καὶ πόλιν κοινῇ,
πρὸς τὰ κάλλιστα τῶν ὑπαρχόντων ἀεὶ δεῖ [n]πειρᾶσθαι
118 τὰ λοιπὰ πράττειν. ὑμεῖς τοίνυν, [o]ὦ [p]ἄνδρες Ἀθηναῖοι,
Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων καὶ τὰ κύ-
κλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς,
Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν ἅπασαν, Μέγαρα, Αἴ-
γιναν, Κλεωνάς, [q]τὰς ἄλλας νήσους, οὐ ναῦς, οὐ τείχη
τῆς πόλεως τότε [r]κεκτημένης, ἐξήλθετε εἰς Ἁλίαρτον καὶ
πάλιν οὐ πολλαῖς ἡμέραις ὕστερον εἰς Κόρινθον, τῶν τότε
Ἀθηναίων πόλλ' ἂν ἐχόντων μνησικακῆσαι καὶ Κορινθίοις
καὶ Θηβαίοις τῶν περὶ [s]τὸν [t]Δεκελεικὸν πόλεμον πραχ-
119 θέντων· ἀλλ' οὐκ ἐποίουν τοῦτο, οὐδ' ἐγγύς. καίτοι [u]τότε
ταῦτα ἀμφότερα, Αἰσχίνη, οὔθ' ὑπὲρ εὐεργετῶν ἐποίουν
οὔτ' ἀκίνδυνα ἑώρων. ἀλλ' οὐ διὰ ταῦτα [x]προεῖντο τοὺς
καταφεύγοντας [y]ἐφ' ἑαυτούς, ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τι-
μῆς ἤθελον τοῖς δεινοῖς αὑτοὺς διδόναι, ὀρθῶς καὶ καλῶς

[l] ἡγοῦμαι] εἰδέναι S.
[m] χρήσασθαι] χρῆσθαι O. k. s. u. et γρ. v.
[n] πειρᾶσθαι τὰ λοιπὰ S. ceteri τὰ λοιπὰ πειρᾶσθαι.
[o] ὦ om. S.
[p] ἄνδρες om. p.
[q] τὰς om. S.
[r] κεκτημένης] κτησαμένης S.
[s] τὸν om. pr. O.
[t] Δεκελεικὸν] δεκελικὸν S.
[u] τότε om. k. s.
[x] προεῖντο] προΐεντο S.
[y] ἐφ' ἑαυτοὺς] ὑφ' ἑαυτοὺς r. ἐπ' αὐτοὺς k. s.

120 βουλευόμενοι. πέρας [z]μὲν γὰρ ἅπασιν ἀνθρώποις [a]ἐστὶ
τοῦ βίου [b]θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθείρξας
τηρῇ· δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν
ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέ-
121 ρειν δ' [c]ὅ τι ἂν [d]ὁ θεὸς διδῷ γενναίως. ταῦτ' ἐποίουν οἱ
[e]ὑμέτεροι πρόγονοι, ταῦθ' [f]ὑμῶν οἱ πρεσβύτεροι, οἳ Λακε-
δαιμονίους οὐ φίλους ὄντας οὐδ' εὐεργέτας, ἀλλὰ πολλὰ
τὴν πόλιν ἡμῶν ἠδικηκότας καὶ μεγάλα, ἐπειδὴ Θηβαῖοι
κρατήσαντες ἐν Λεύκτροις ἀνελεῖν ἐπεχείρουν, διεκωλύσατε,
οὐ φοβηθέντες τὴν τότε Θηβαίοις ῥώμην καὶ δόξαν ὑπάρ- 259
χουσαν, οὐδ' ὑπὲρ οἷα πεποιηκότων ἀνθρώπων κινδυνεύσετε
122 διαλογισάμενοι, καὶ γάρ τοι πᾶσι τοῖς Ἕλλησιν ἐδείξατε
ἐκ τούτων ὅτι κἂν ὁτιοῦν [g]τις εἰς ὑμᾶς ἐξαμάρτῃ, [h]τούτῳ
τὴν ὀργὴν εἰς τἄλλα ἔχετε, ἂν δ' ὑπὲρ [i]σωτηρίας ἢ ἐλευ-
θερίας κίνδυνός τις αὐτοὺς καταλαμβάνῃ, οὔτε μνησικα-
123 κήσετε οὔθ' ὑπολογιεῖσθε. [k]καὶ οὐκ ἐπὶ τούτων [l]μόνον
οὕτως ἐσχήκατε, ἀλλὰ πάλιν σφετεριζομένων Θηβαίων
τὴν Εὔβοιαν οὐ περιείδετε, οὐδ' ὧν ὑπὸ Θεμίσωνος καὶ
Θεοδώρου περὶ Ὠρωπὸν ἠδίκησθε ἀνεμνήσθητε, ἀλλ' ἐβοη-
θήσατε καὶ τούτοις, τῶν [m]ἐθελοντῶν [n]τότε τριηράρχων πρῶ-
τον γενομένων τῇ πόλει, ὧν εἷς ἦν ἐγώ. ἀλλ' οὔπω περὶ
124 τούτων. [o]καίτοι καλὸν μὲν ἐποιήσατε καὶ τὸ σῶσαι τὴν
νῆσον, πολλῷ δ' ἔτι τούτου κάλλιον τὸ καταστάντες κύ-

[z] μὲν om. k.
[a] ἐστὶ τοῦ βίου om. Q.
[b] θάνατος] ὁ θάνατος Q. O. t.
[c] ὅ τι ἂν] ἂν ὁ S.
[d] ὁ om. γρ. S.
[e] ὑμέτεροι] ἡμέτεροι k. s.
γρ. ὑμῶν
[f] ὑμῶν] ὑμῖν s. ὑμῖν k. ὑμεῖς S.
[g] τις om. k. s.
[h] τούτῳ] τούτων S.
[i] σωτηρίας ἢ ἐλευθερίας] ἐλευθερίας καὶ σωτηρίας k. s.
[k] καὶ om. t.
[l] μόνον] μόνων k. s.
[m] ἐθελοντῶν] ἐθελόντων F. S. Y. O. k. p. s. t. u. v.
[n] τότε τριηράρχων S. vulg. τριηραρχῶν τότε.
[o] καίτοι καλὸν] καὶ καλὸν S. καὶ καλὸν Q.

ριοι καὶ τῶν σωμάτων, καὶ τῶν πόλεων ἀποδοῦναι ταῦτα
δικαίως αὐτοῖς τοῖς ἐξημαρτηκόσιν εἰς ὑμᾶς, μηδὲν ὧν
ἠδίκησθε [p] ἐν οἷς ἐπιστεύθητε ὑπολογισάμενοι. μυρία τοί-
νυν [q] ἕτερα εἰπεῖν ἔχων [r] παραλείπω, ναυμαχίας, ἐξόδους
πεζάς, [s] στρατείας, καὶ πάλαι γεγονυίας καὶ νῦν ἐφ'
[t] ὑμῶν αὐτῶν, ἃς ἁπάσας ἡ πόλις τῆς τῶν [u] ἄλλων [x] ἕνεχ'
125 Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας πεποίηται. εἶτ' ἐγὼ
τεθεωρηκὼς ἐν τοσούτοις καὶ τοιούτοις τὴν πόλιν ὑπὲρ τῶν
τοῖς ἄλλοις συμφερόντων ἐθέλουσαν ἀγωνίζεσθαι, ὑπὲρ
αὐτῆς τρόπον τινὰ τῆς [y] βουλῆς οὔσης τι [z] ἔμελλον κελεύ-
σειν ἢ [a] τί [b] συμβουλεύσειν αὐτῇ ποιεῖν; [c] μνησικακεῖν νὴ
Δία πρὸς τοὺς βουλομένους σώζεσθαι, καὶ προφάσεις ζη-
126 τεῖν δι' ἃς ἅπαντα [d] προησόμεθα. καὶ τίς οὐκ ἂν ἀπέκ- 260
τεινέ με δικαίως, εἴ τι τῶν ὑπαρχόντων τῇ πόλει καλῶν
λόγῳ μόνον [e] καταισχύνειν [f] ἐπεχείρησα; ἐπεὶ τόγε ἔργον
οὐκ ἂν [g] ἐποιήσαθ' ὑμεῖς, [h] ἀκριβῶς οἶδ' ἐγώ· εἰ γὰρ
ἠβούλεσθε, τί ἦν ἐμποδών; οὐκ ἐξῆν; οὐχ ὑπῆρχον οἱ ταῦτ'
ἐροῦντες [i] οὗτοι;

127 Βούλομαι τοίνυν [k] ἐπανελθεῖν ἐφ' ἃ τούτων ἑξῆς ἐπολι-
τευόμην· καὶ σκοπεῖτε ἐν τούτοις πάλιν αὖ, τί [l] τὸ τῇ πό-
λει βέλτιστον ἦν. ὁρῶν γὰρ ὦ ἄνδρες Ἀθηναῖοι [m] τὸ ναυ-

[p] ἐν οἷς ἐπιστεύθητε in γρ. S.
[q] ἕτερα om. k. s.
[r] παραλείπω] περιλείπω t.
[s] στρατείας] στρατιὰς S. k.
[t] ὑμῶν] ἡμῶν F. S. Q. k.
[u] ἄλλων om. k. s.
[x] ἕνεχ' om. S. post Ἑλλήνων ponunt k. s.
[y] βουλῆς] συμβουλῆς F. συμβολῆς t. v.
[z] ἔμελλον] ἤμελλον p.
[a] τί om. k.
[b] συμβουλεύσειν] συμβουλεύειν k. s.
[c] μνησικακεῖν] μνησικακήσειν F. S. Q. O. t. v. et γρ. s.
[d] προησόμεθα] προηγησόμεθα O. Quæ addebantur τὰ συμφέροντα, omisi cum F. S. Q. k. s.
[e] καταισχύνειν] αἰσχύνειν k. p. r. s.
[f] ἐπεχείρησα] ἐπεχείρησ' ἂν S. ἐπεχείρησα ἂν F. ἐπεχείρησα ἂν Q.
[g] ἐποιήσαθ'] ἐποιήσασθ' k. s.
[h] ἀκριβῶς om. k. s.
[i] οὗτοι] αὐτοί p. r.
[k] ἐπανελθεῖν] ἐπελθεῖν O.
[l] τὸ post τί om. O.
[m] τὸ ναυτικὸν] τὸν ναυτικὸν O.

τικὸν ὑμῶν καταλυόμενον, καὶ τοὺς μὲν πλουσίους ἀτε-
λεῖς [n]ἀπὸ μικρῶν ἀναλωμάτων [o]γιγνομένους, τοὺς δὲ μέ-
τρια [p]ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν [q]τὰ ὄντα [r]ἀπολ-
λύντας, ἔτι δ' [s]ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν τῶν
128 καιρῶν, ἔθηκα νόμον καθ' ὃν [t]τοὺς μὲν τὰ δίκαια ποιεῖν
ἠνάγκασα, τοὺς πλουσίους, τοὺς δὲ πένητας ἔπαυσ' ἀδι-
κουμένους, τῇ πόλει δ' ὅπερ ἦν χρησιμώτατον, ἐν καιρῷ
γίγνεσθαι [u]τὰς παρασκευὰς ἐποίησα. καὶ [x]γραφεὶς τὸν
ἀγῶνα [y]τοῦτον εἰς ὑμᾶς εἰσῆλθον καὶ ἀπέφυγον, καὶ [z]τὸ
129 μέρος τῶν ψήφων ὁ διώκων οὐκ ἔλαβεν. καίτοι πόσα χρή-
ματα [a]τοὺς ἡγεμόνας τῶν συμμοριῶν ἢ τοὺς δευτέρους καὶ
τρίτους οἴεσθέ μοι διδόναι, ὥστε μάλιστα μὲν μὴ [b]θεῖναι τὸν
νόμον τοῦτον, εἰ δὲ μή, [c]καταβαλόντα ἐᾶν ἐν ὑπωμοσίᾳ;
τοσαῦτ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα ὀκνήσαιμ' ἂν [d]πρὸς
130 ὑμᾶς εἰπεῖν. καὶ ταῦτ' εἰκότως ἔπραττον ἐκεῖνοι. ἦν γὰρ
αὐτοῖς ἐκ μὲν τῶν [e]προτέρων νόμων συνεκκαίδεκα λειτουρ-
γεῖν, αὐτοῖς μὲν μικρὰ καὶ οὐδὲν ἀναλίσκουσι, τοὺς δ'
ἀπόρους τῶν πολιτῶν ἐπιτρίβουσιν, ἐκ δὲ τοῦ ἐμοῦ νόμου 261
τὸ γιγνόμενον κατὰ τὴν οὐσίαν ἕκαστον τιθέναι, καὶ δυοῖν
ἐφάνη τριήραρχος ὁ τῆς μιᾶς ἕκτος καὶ [f]δέκατος [g]πρότερον
συντελής· [h]οὐδὲ γὰρ τριηράρχους [i]ἔτι ὠνόμαζον ἑαυτούς,

[n] ἀπὸ] ὑπὸ k.
[o] γιγνομένους] γενομένους Q.
[p] ἢ] καὶ k. s.
[q] τὰ ὄντα om. pr. S.
[r] ἀπολλύντας] ἀπολλύοντας S.Q. ἀπολλύ ντας F.
[s] ὑστερίζουσαν ἐκ τούτων] ἐκ τούτων ὑστερίζουσαν Y.
[t] τοὺς ante μὲν om. S. Q.
[u] τὰς] ναυτικὰς γρ. S. Q.
[x] γραφεὶς] γραφεὶς εἰς k.r.s. γραφεὶς παρανόμων γρ. F. S. Q.
[y] τοῦτον] τοῦτον παρανόμων O. k. p. r. s. t. u. v.
[z] τὸ μέρος F.S.Q. vulg. τὸ πέμπτον μέρος.
[a] τοὺς ante ἡγεμόνας om. pr. O.
[b] θεῖναί] θεῖναί με Y.O.p.r.u.v.
[c] καταβαλόντα] καταβάλλοντα S. Y. Q. t. καταβαλλόντα r. καταλαβόντα O.
[d] πρὸς ὑμᾶς εἰπεῖν] εἰπεῖν ἐγὼ πρὸς ὑμᾶς Y. k. p. r. s. et γρ. Q.
[e] προτέρων] πρότερον k. s.
[f] Post δέκατος cum F. S. Q. k. omisi ὤν.
[g] πρότερον] πρότερος k. p. r. s.
[h] οὐδὲ] οὐ p. r.
[i] ἔτι ὠνόμαζον] ἐπωνόμαζον F. Y. Q. O. p. r. u. v.

131 ἀλλὰ συντελεῖς. [k]ὥστε δὴ ταῦτα λυθῆναι καὶ μὴ τὰ δίκαια ποιεῖν ἀναγκασθῆναι, [l]οὐκ ἔσθ' ὅ τι οὐκ ἐδίδοσαν. Καί μοι λέγε πρῶτον μὲν τὸ ψήφισμα καθ' ὃ εἰσῆλθον τὴν γραφήν, εἶτα τοὺς [m]καταλόγους, τόν τ' ἐκ τοῦ προτέρου [n]νόμου καὶ [o]τὸν κατὰ τὸν ἐμόν. λέγε.

## ΨΗΦΙΣΜΑ.

132 Ἐπὶ ἄρχοντος Πολυκλέους, μηνὸς βοηδρομιῶνος ἕκτῃ ἐπὶ δέκα, φυλῆς [p]πρυτανευούσης Ἱπποθοωντίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἰσήνεγκε νόμον εἰς τὸ τριηραρχικὸν ἀντὶ τοῦ [q]προτέρου, καθ' ὃν αἱ συντέλειαι ἦσαν τῶν [r]τριηράρχων· καὶ ἐπεχειροτόνησεν ἡ βουλὴ καὶ ὁ δῆμος· καὶ ἀπήνεγκε [s]παρανόμων Δημοσθένει Πατροκλῆς Φλυεύς, καὶ [t]τὸ μέρος τῶν ψήφων οὐ λαβὼν [u]ἀπέτισε τὰς [x]πεντακοσίας δραχμάς.

133 Φέρε δὴ [y]καὶ τὸν καλὸν κατάλογον.

## ΚΑΤΑΛΟΓΟΣ.

Τοὺς τριηράρχους καλεῖσθαι ἐπὶ τὴν τριήρη συνεκκαίδεκα [z]ἐκ τῶν ἐν τοῖς [a]λόχοις συντελειῶν, ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν εἰς τετταράκοντα, ἐπὶ ἴσον τῇ χορηγίᾳ [b]χρωμένους.

Φέρε δὴ παρὰ τοῦτον τὸν ἐκ τοῦ ἐμοῦ νόμου κατάλογον.

## [c]ΚΑΤΑΛΟΓΟΣ. 262

134 Τοὺς τριηράρχους αἱρεῖσθαι ἐπὶ τὴν τριήρη ἀπὸ τῆς οὐσίας κατὰ τίμησιν, ἀπὸ ταλάντων δέκα· ἐὰν δὲ πλειόνων ἡ οὐσία ἀποτετιμημένη ᾖ χρημάτων, κατὰ τὸν ἀναλογισμὸν ἕως τριῶν [d]πλοίων καὶ ὑπηρετικοῦ ἡ λειτουργία ἔστω. κατὰ τὴν αὐτὴν δὲ ἀναλογίαν ἔστω καὶ οἷς ἐλάττων [e]οὐσία ἐστὶ τῶν δέκα ταλάντων, εἰς συντέλειαν συναγομένοις εἰς τὰ δέκα τάλαντα.

[k] ὥστε δὴ] ὥσθ' ὑπὲρ τοῦ γρ. S.
[l] οὐκ ἔστιν] οὐσθ' pr. r.
[m] καταλόγους] λόγους Y.
[n] νόμου] νόμον v.
[o] τὸν ante κατὰ om. Y. post κατὰ om. k.
[p] πρυτανευούσης—Παιανιεὺς] πρυτανιεὺς u.
[q] προτέρου] πρότερον F. S. Q. u. v.
[r] τριηράρχων] τριηραρχῶν Y. Q. O. t. u. v.
[s] παρανόμων] παρανόμων γραφὴν k. s.
[t] τὸ μέρος] τὸ πέμπτον μέρος O. k. s.
[u] ἀπέτισε] ἀπητησε S. Q.
[x] πεντακοσίας] τριακοσίας O.
[y] καὶ post δὴ om. k. s.
[z] ἐκ τῶν] ἐτῶν F.
[a] λόχοις] λόγοις O.
[b] χρωμένους] χρώμενον F. S. Q. O. p. r. t. u. v.
[c] ΚΑΤΑΛΟΓΟΣ] καταλόγου S. Q.
[d] πλοίων om. Q.
[e] οὐσία] ἡ οὐσία p. r.

135 Ἆρά [f] γε μικρὰ βοηθῆσαι τοῖς πένησιν [g] ὑμῶν δοκῶ, ἢ
μικρὰ [h] ἀναλῶσαι [i] ἂν τοῦ μὴ τὰ δίκαια [k] ποιεῖν οἱ
πλούσιοι; οὐ τοίνυν μόνον τῷ μὴ καθυφεῖναι ταῦτα σεμ-
νύνομαι, οὐδὲ τῷ [l] γραφεὶς [m] ἀποφυγεῖν, ἀλλὰ καὶ τῷ
συμφέροντα θεῖναι τὸν νόμον καὶ τῷ πεῖραν ἔργῳ δεδω-
136 κέναι. πάντα γὰρ τὸν πόλεμον τῶν ἀποστόλων γιγνο-
μένων κατὰ τὸν νόμον τὸν ἐμὸν οὐχ ἱκετηρίαν ἔθηκε τριή-
ραρχος οὐδεὶς πώποθ' [n] ὡς ἀδικούμενος παρ' ὑμῖν, οὐκ ἐν
Μουνυχίᾳ ἐκαθέζετο, οὐχ ὑπὸ τῶν [o] ἀποστολέων [p] ἐδέθη,
οὐ τριήρης οὔτ' ἔξω [q] καταληφθεῖσα ἀπώλετο τῇ πόλει,
137 οὔτ' αὐτοῦ [r] ἀπελείφθη οὐ δυναμένη [s] ἀνάγεσθαι. καίτοι
[t] κατὰ τοὺς προτέρους νόμους ἅπαντα ταῦτα [u] ἐγίγνετο.
τὸ δ' αἴτιον, ἐν τοῖς πένησιν ἦν [x] τὸ λειτουργεῖν· πολλὰ
[y] δὴ τὰ ἀδύνατα συνέβαινεν. ἐγὼ δ' ἐκ τῶν ἀπόρων εἰς
τοὺς εὐπόρους μετήνεγκα [z] τὰς τριηραρχίας· πάντ' οὖν τὰ
138 δέοντα ἐγίγνετο. καὶ μὴν καὶ κατ' [a] αὐτὸ τοῦτο ἄξιός
εἰμι ἐπαίνου τυχεῖν, ὅτι πάντα τὰ τοιαῦτα προῃρούμην
πολιτεύματα, ἀφ' ὧν ἅμα δόξαι καὶ τιμαὶ καὶ δυνάμεις
συνέβαινον τῇ πόλει· βάσκανον δὲ καὶ πικρὸν καὶ κα- 263
κόηθες οὐδέν ἐστι πολίτευμα ἐμόν, οὐδὲ ταπεινόν, οὐδὲ τῆς
139 πόλεως ἀνάξιον. ταὐτὸ τοίνυν ἦθος ἔχων ἔν τε τοῖς κατὰ
τὴν πόλιν πολιτεύμασι καὶ [b] ἐν τοῖς Ἑλληνικοῖς φανήσο-

[f] γε om. pr. S. Q.
[g] ὑμῶν] ὑμῖν p. t.
[h] ἀναλῶσαι] ἀναλώσειαν γρ. F.
[i] ἂν] ἀντὶ p. r.
[k] ποιεῖν] ποιεῖν ἐθέλειν F.S.Q.O. t.u.v.
[l] γραφεὶς] γραφῆς F. Q.
[m] ἀποφυγεῖν] ἀποφεύγειν S.
[n] ὡς om. S.
[o] ἀποστολέων] ἀποστόλων O. u.
[p] ἐδέθη] ἐδεήθη Q.
[q] καταληφθεῖσα] καταλειφθεῖσα F. S. Y. Q. O. k. r. t. u. v.
[r] ἀπελείφθη] ἀπελήφθη S.
[s] ἀνάγεσθαι] ἀπάγεσθαι F.
[t] κατὰ] καὶ s.
[u] ἐγίγνετο] ἐγένετο O.
[x] τὸ λειτουργεῖν πολλὰ S. Q. τὸ μὴ δύνασθαι λειτουργεῖν πολλὰ k. s. τὸ λειτουργεῖν μὴ δύνασθαι πολλὰ ceteri.
[y] δὴ] ἂν r. δὴ ἂν Y.
[z] τὰς om. O.
[a] αὐτὸ om. Y. k.
[b] ἐν τοῖς om. Y. r.

μαι· οὔτε γὰρ ἐν τῇ πόλει τὰς παρὰ τῶν πλουσίων χάριτας μᾶλλον ἢ τὰ τῶν πολλῶν δίκαια εἱλόμην, [c]οὔτ' ἐν τοῖς Ἑλληνικοῖς [d]τὰ Φιλίππου δῶρα καὶ τὴν ξενίαν ἠγάπησα ἀντὶ τῶν κοινῇ πᾶσι τοῖς Ἕλλησι συμφερόντων.

140 Ἡγοῦμαι τοίνυν λοιπὸν εἶναί [e]μοι περὶ τοῦ κηρύγματος εἰπεῖν καὶ τῶν εὐθυνῶν· τὸ γὰρ ὡς τὰ ἄριστά τε ἔπραττον καὶ διὰ παντὸς εὔνους εἰμὶ καὶ πρόθυμος εὖ ποιεῖν ὑμᾶς, ἱκανῶς ἐκ τῶν εἰρημένων δεδηλῶσθαί μοι νομίζω. [f]καίτοι τὰ μέγιστά [g]γε τῶν [h]πεπολιτευμένων καὶ πεπραγμένων ἐμαυτῷ παραλείπω, ὑπολαμβάνων πρῶτον μὲν ἐφεξῆς τοὺς περὶ αὐτοῦ τοῦ παρανόμου λόγους ἀποδοῦναί με δεῖν, εἶτα, κἂν μηδὲν εἴπω περὶ τῶν λοιπῶν πολιτευμάτων, ὁμοίως παρ' ὑμῶν [i]ἑκάστῳ τὸ συνειδὸς [k]ὑπάρχειν μοι.

141 Τῶν μὲν οὖν λόγων, οὓς [l]οὗτος ἄνω καὶ κάτω [m]διακυκῶν ἔλεγε [n]περὶ [o]τῶν [p]παραγεγραμμένων νόμων, οὔτε μὰ τοὺς θεοὺς [q]ὑμᾶς οἶμαι μανθάνειν, οὔτ' αὐτὸς ἠδυνάμην [r]συνεῖναι τοὺς [s]πολλούς· ἁπλῶς δὲ τὴν [t]ὀρθὴν περὶ
142 τῶν δικαίων διαλέξομαι. [u]τοσούτου γὰρ δέω λέγειν ὡς οὐκ εἰμὶ ὑπεύθυνος, ὃ νῦν [x]οὗτος διέβαλλε καὶ διωρίζετο, ὥσθ' ἅπαντα τὸν βίον ὑπεύθυνος εἶναι ὁμολογῶ ὧν ἢ [y]δια-

[c] οὔτ'] οὐδ' O.
[d] τὰ om. p. r. s.
[e] μοι om. Y. delent p. r.
[f] καίτοι] καί μοι r.
[g] γε] τε O. u.
[h] πεπολιτευμένων] πολιτευομένων O.
[i] ἑκάστῳ] ἑκάστου F. Y. O. p. t. u. v.
[k] ὑπάρχειν] ὑπάρχει F.
[l] οὗτος] οὕτως k.
[m] διακυκῶν] κυκῶν Y. k. s. διακυκλῶν v. κυκλῶν r.
[n] περὶ] παρὰ v.
[o] τῶν om. k. r. s.
[p] παραγεγραμμένων] γεγραμμένων O. k. r. s. u. πεπραγμένων S.
[q] ὑμᾶς post οἶμαι ponunt F. S. Q. O. p. r. t. u. om. k.
[r] συνεῖναι] συνιέναι p. r. u.
[s] πολλοὺς] πολλοὺς αὐτῶν Y. et γρ. F. Q.
[t] ὀρθὴν περὶ F. S. Q. et correctus p. ceteri ὀρθὴν ὁδὸν περί. Sed Y. hoc ὁδὸν post δικαίων ponit.
[u] τοσούτῳ S. Q.
[x] οὗτος διέβαλλε F. S. οὗτος πολλάκις διέβαλλε ceteri.
[y] διακεχείρικα] διακεχειρ$\overset{η}{ι}$κα O. διακεχείρηκα Y. k. s. et pr. r.

κεχείρικα ἢ πεπολίτευμαι παρ' ὑμῖν. ὧν μέντοι γε ἐκ τῆς ἰδίας οὐσίας ἐπαγγειλάμενος δέδωκα τῷ δήμῳ, οὐδεμίαν ἡμέραν ὑπεύθυνος εἶναί φημι (ἀκούεις Αἰσχίνη;) 264
οὐδ' ἄλλον οὐδένα, οὐδ' ἂν τῶν ἐννέα ἀρχόντων τις ὢν
143 τύχῃ. τίς γάρ ἐστι νόμος τοσαύτης ἀδικίας καὶ μισανθρωπίας μεστός, ὥστε τὸν δόντα τι τῶν ἰδίων καὶ ποιήσαντα πρᾶγμα φιλάνθρωπον καὶ φιλόδωρον τῆς χάριτος μὲν ἀποστερεῖν, εἰς [z] δὲ τοὺς συκοφάντας ἄγειν, καὶ τούτους ἐπὶ τὰς εὐθύνας ὧν [a] ἔδωκεν ἐφιστάναι; οὐδὲ [b] εἷς. εἰ δέ φησιν οὗτος, δειξάτω, κἀγὼ στέρξω καὶ σιωπήσομαι.
144 ἀλλ' οὐκ ἔστιν, [c] ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὗτος συκοφαντῶν, ὅτι ἐπὶ τῷ θεωρικῷ τότε ὢν ἐπέδωκα τὰ χρήματα, ἐπῄνεσεν [d] αὐτόν φησιν [e] ἡ βουλὴ ὑπεύθυνον ὄντα. οὐ περὶ τούτων γε [f] οὐδενός, ὧν ὑπεύθυνος ἦν, ἀλλ' ἐφ' οἷς [g] ἐπέδωκα, ὦ συκοφάντα. ἀλλὰ καὶ τειχοποιὸς ἦσθα, [h] φησί. καὶ [i] διά γε τοῦτο ὀρθῶς ἐπῃνούμην, ὅτι [k] τἀνηλωμένα [l] ἐπέδωκα καὶ οὐκ ἐλογιζόμην. ὁ μὲν γὰρ λογισμὸς εὐθυνῶν καὶ τῶν [m] ἐξετασόντων προσδεῖται, ἡ δὲ δωρεὰ χάριτος καὶ ἐπαίνου δικαία [n] ἐστὶ τυγχάνειν· διόπερ
145 ταῦτ' ἔγραψεν ὁδὶ περὶ ἐμοῦ· ὅτι δ' οὕτω [o] ταῦτα οὐ μόνον ἐν τοῖς νόμοις ἀλλὰ καὶ ἐν τοῖς [p] ὑμετέροις ἤθεσιν ὥρισται, ἐγὼ ῥᾳδίως πολλαχόθεν δείξω. πρῶτον μὲν

[z] δὲ post συκοφάντας ponunt Y. k. p. r. s. utrobique ponit S.
[a] ἔδωκεν F.S.Y.O.p.r.t.v. vulg. δέδωκεν.
[b] εἷς. εἰ S. Q. k. s. vulg. εἷς δήπου εἰ.
[c] ὦ om. F. S. O. k. p. u. v.
[d] αὐτόν φησιν] φησὶν αὐτὸν t.
[e] ἡ βουλὴ om. S.
[f] οὐδενός] οὐδέν Y. et γρ. O.
[g] ἐπέδωκα] ἕνεκα Y.
[h] φησί om. S. Q.
[i] διά γε F. S. Q. vulg. δι' αὐτό γε.
[k] τἀνηλωμένα] τἀναλωμένα k. et γρ. r.
[l] ἐπέδωκα] ἔδωκα S. Q. k. s.
[m] ἐξετασόντων] ἐξεταζόντων γρ. s. ἐξεταζομένων k. p. r. s.
[n] ἐστὶ τυγχάνειν] τυγχάνειν ἐστί Y. k. p. r. s.
[o] ταῦτα οὐ F. S. Q. k. s. vulg. ταῦτα ἔχει καὶ οὐ.
[p] ὑμετέροις S. Q. ceteri ἡμετέροις.

[q] γὰρ Ναυσικλῆς στρατηγῶν, ἐφ' οἷς ἀπὸ τῶν ἰδίων προ-
εῖτο, πολλάκις ἐστεφάνωται ὑφ' ὑμῶν· εἴθ' [r] ὅτι τὰς
ἀσπίδας Διότιμος ἔδωκε καὶ πάλιν Χαρίδημος, [s] ἐστε-
φανοῦντο· εἴθ' [t] οὑτοσὶ Νεοπτόλεμος πολλῶν ἔργων ἐπι-
146 στάτης ὤν, ἐφ' οἷς ἐπέδωκε, τετίμηται. σχέτλιον γὰρ ἂν
εἴη τοῦτό γε, εἰ τῷ τινὰ ἀρχὴν ἄρχοντι ἢ διδόναι [u] τῇ
πόλει τὰ ἑαυτοῦ διὰ τὴν ἀρχὴν μὴ ἐξέσται, ἢ τῶν δοθέν-
των ἀντὶ τοῦ κομίσασθαι χάριν εὐθύνας [x] ὑφέξει. Ὅτι 265
τοίνυν ταῦτ' ἀληθῆ [y] λέγω, λέγε τὰ ψηφίσματά μοι τὰ
τούτοις γεγενημένα αὐτὰ λαβών. λέγε.

## ΨΗΦΙΣΜΑ.

147 Ἄρχων Δημόνικος Φλυεύς, βοηδρομιῶνος ἕκτῃ μετ' εἰκάδα, γνώμῃ βουλῆς καὶ δήμου, Καλλίας [z] Φρεάῤῥιος εἶπεν ὅτι δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Ναυσικλέα τὸν ἐπὶ τῶν ὅπλων, ὅτι Ἀθηναίων ὁπλιτῶν δισχιλίων ὄντων ἐν Ἴμβρῳ καὶ βοηθούντων τοῖς κατοικοῦσιν Ἀθηναίων τὴν νῆσον, οὐ δυναμένου [a] Φίλωνος τοῦ ἐπὶ τῆς διοικήσεως κεχειροτονημένου διὰ τοὺς χειμῶνας πλεῦσαι καὶ μισθοδοτῆσαι τοὺς ὁπλίτας, ἐκ τῆς ἰδίας οὐσίας ἔδωκε καὶ οὐκ εἰσέπραξε τὸν δῆμον, καὶ ἀναγορεῦσαι τὸν στέφανον Διονυσίοις τραγῳδοῖς καινοῖς.

## ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ.

148 Εἶπε Καλλίας [b] Φρεάῤῥιος, [c] πρυτάνεων λεγόντων βουλῆς γνώμη, ἐπειδὴ Χαρίδημος ὁ ἐπὶ τῶν ὁπλιτῶν, ἀποσταλεὶς εἰς Σαλαμῖνα, καὶ Διότιμος ὁ [d] ἐπὶ τῶν ἱππέων, ἐν τῇ ἐπὶ τοῦ ποταμοῦ μάχῃ τῶν στρατιωτῶν τινῶν ὑπὸ τῶν πολεμίων σκυλευθέντων, ἐκ τῶν ἰδίων ἀναλωμάτων καθώπλισαν τοὺς νεανίσκους ἀσπίσιν ὀκτακοσίαις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Χαρίδημον καὶ Διότιμον χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι Παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ γυμνικῷ ἀγῶνι καὶ Διονυσίοις τραγῳδοῖς

[q] γὰρ om. s.
[r] ὅτι] ὅτε F. S. Y. Q. p. r. s.
[s] ἐστεφανοῦντο] ἐστεφανοῦτο O. p.
[t] οὑτοσὶ] οὗτος F. S. Y. Q. O. u. v.
[u] τῇ πόλει τὰ ἑαυτοῦ S. ceteri τὰ ἑαυτοῦ τῇ πόλει.
[x] ὑφέξει] ὑφέξει F.
[y] λέγω om. p. r. λέγε om. Y.
[z] Φρεάῤῥιος] φερεάρριος u. v.
[a] Φίλωνος] φιάλωνος O. p. r. t. u. v.
[b] φρεάῤῥιος] φερεάριος p.
[c] πρυτάνεων] πρυτάνεως S. r. v.
[d] ἐπὶ τῶν ἱππέων ἐν τῇ om. O.

καινοῖς· τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι θεσμοθέτας, πρυτά- 266
νεις, ἀγωνοθέτας.

149 Τούτων ἕκαστος, Αἰσχίνη, τῆς μὲν ἀρχῆς ἧς ἦρχεν ὑπεύθυνος ἦν, ἐφ' οἷς δ' ἐστεφανοῦτο, οὐχ ὑπεύθυνος. οὐκοῦν οὐδ' ἐγώ· ταὐτὰ γὰρ δίκαιά ἐστί μοι περὶ τῶν αὐτῶν τοῖς ἄλλοις δήπου. ἐπέδωκα; [e] ἐπαινοῦμαι διὰ ταῦτα, οὐκ ὢν [f] ὧν ἐπέδωκα ὑπεύθυνος. ἦρχον; καὶ [g] δέδωκά [h] γε εὐθύνας ἐκείνων, οὐχ ὧν ἐπέδωκα. νὴ Δί', ἀλλ' ἀδίκως ἦρξα; εἶτα παρών, ὅτε με εἰσῆγον οἱ λογισταί, [i] οὐ κατηγόρεις;

150 Ἵνα τοίνυν [k] εἰδῆτε ὅτι αὐτὸς οὗτός μοι μαρτυρεῖ ἐφ' οἷς οὐχ ὑπεύθυνος ἦν ἐστεφανῶσθαι, λαβὼν ἀνάγνωθι τὸ ψήφισμα ὅλον τὸ γραφέν μοι. οἷς γὰρ οὐκ ἐγράψατο τοῦ προβουλεύματος, τούτοις, ἃ διώκει, [l] συκοφαντῶν φανήσεται. λέγε.

## ΨΗΦΙΣΜΑ.

151 Ἐπὶ ἄρχοντος Εὐθυκλέους, πυανεψιῶνος [m] ἐνάτῃ ἀπιόντος, φυλῆς πρυτανευούσης Οἰνηΐδος, Κτησιφῶν [n] Λεωσθένους Ἀναφλύστιος εἶπεν, ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεὺς γενόμενος ἐπιμελητὴς τῆς τῶν τειχῶν ἐπισκευῆς καὶ προσαναλώσας εἰς τὰ ἔργα ἀπὸ τῆς ἰδίας οὐσίας τρία τάλαντα ἐπέδωκε ταῦτα τῷ δήμῳ, καὶ ἐπὶ τοῦ θεωρικοῦ κατασταθεὶς ἐπέδωκε τοῖς ἐκ πασῶν τῶν φυ-
152 λῶν θεωρικοῖς ἑκατὸν μνᾶς εἰς θυσίας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ [o] τῷ Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους [p] Παιανιᾶ ἀρετῆς ἕνεκα καὶ καλοκαγαθίας ἧς ἔχων διατελεῖ ἐν παντὶ καιρῷ εἰς τὸν δῆμον [q] τὸν Ἀθηναίων, καὶ στεφανῶσαι χρυσῷ στε-
φάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις τρα- 267
γῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι τὸν ἀγωνοθέτην.

[e] ἐπαινοῦμαι] καὶ ἐπαινοῦμαι O. t. u. v. et γρ. s.
[f] ὧν ἐπέδωκα] ὧν ἔδωκα S. Q.
[g] δέδωκά] ἔδωκα p. r.
[h] γε om. Y. s.
[i] οὐ] διὰ τί οὐ t. u. v.
[k] εἰδῆτε] ἴδητε S.
[l] συκοφαντῶν φανήσεται] φανήσεται συκοφαντῶν Y.
[m] ἐνάτῃ] ἐννάτῃ F. O. p. r. u.
[n] Λεωσθένους] λεοσθένους t.
[o] τῷ Ἀθηναίων F. S. Q. vulg. τῶν ἀθηναίων.
[p] Παιανια S. ceteri παιανιέα.
[q] τὸν Ἀθηναίων S. vulg. τῶν ἀθηναίων.

153 Οὐκοῦν ἃ μὲν ἐπέδωκα, ταῦτ᾽ ἐστίν, ὧν οὐδὲν σὺ γέγραψαι· ἃ δέ φησιν ἡ βουλὴ δεῖν ἀντὶ τούτων [r] γενέσθαι μοι, ταῦτ᾽ ἔσθ᾽ ἃ διώκεις. τὸ λαβεῖν οὖν τὰ διδόμενα [s] ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφῃ. ὁ δὲ παμπόνηρος ἄνθρωπος καὶ θεοῖς ἐχθρὸς καὶ βάσκανος ὄντως ποῖός τις ἂν εἴη πρὸς θεῶν; οὐχ [t] ὁ τοιοῦτος;

154 Καὶ μὴν περὶ τοῦ γ᾽ ἐν τῷ θεάτρῳ κηρύττεσθαι, τὸ μὲν μυριάκις [u] μυρίους κεκηρῦχθαι παραλείπω καὶ τὸ πολλάκις αὐτὸς ἐστεφανῶσθαι πρότερον. ἀλλὰ πρὸς θεῶν οὕτω σκαιὸς εἶ καὶ ἀναίσθητος, Αἰσχίνη, ὥστ᾽ οὐ [x] δύνασαι λογίσασθαι ὅτι τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον ὁ στέφανος, [y] ὅπου [z] ἂν ἀναῤῥηθῇ, τοῦ δὲ τῶν στεφανούντων [a] ἕνεκα συμφέροντος ἐν τῷ θεάτρῳ [b] γίγνεται τὸ κήρυγμα; οἱ γὰρ ἀκούσαντες ἅπαντες εἰς τὸ ποιεῖν εὖ τὴν πόλιν προτρέπονται, καὶ τοὺς ἀποδιδόντας [c] τὴν χάριν μᾶλλον ἐπαινοῦσι τοῦ στεφανουμένου· διόπερ τὸν νόμον
155 τοῦτον ἡ πόλις γέγραφεν. Λέγε δ᾽ αὐτόν [d] μοι τὸν νόμον λαβών.

## ΝΟΜΟΣ.

Ὅσους στεφανοῦσί τινες τῶν δήμων, τὰς ἀναγορεύσεις τῶν στεφάνων [e] ποιεῖσθαι ἐν αὐτοῖς [f] ἑκάστους τοῖς ἰδίοις δήμοις, ἐὰν μή τινας ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἢ ἡ βουλὴ στεφανοῖ· τούτους δ᾽ ἐξεῖναι ἐν τῷ θεάτρῳ Διονυσίοις [[g] ἀναγορεύεσθαι].

[r] γενέσθαι μοι] μοι γενέσθαι k.

[s] ὁμολογῶν ἔννομον εἶναι] ἔννομον εἶναι ὁμολογῶν Y. p. r.

[t] ὁ τοιοῦτος] οὗτος p.

[u] μυρίους] μυρία u.

[x] δύνασαι S. Y. Q. k. r. s. δύνασαι/σθαι F. vulg. δύνασθαι.

[y] ὅπου] ὅποι O. p. r. t. u. v.

[z] ἂν om. s.

[a] ἕνεκα] εἵνεκα F. O. u.

[b] γίγνεται τὸ κήρυγμα] τὸ κήρυγμα γίγνεται k. s.

[c] τὴν χάριν μᾶλλον] μᾶλλον τὴν χάριν r.

[d] μοι om. k. s.

[e] ποιεῖσθαι] ποιεῖσθε S.

[f] ἑκάστους] ἑκάστοις O.

[g] [ἀναγορεύεσθαι] ἐξεῖναι εσθαι S. Y. v. στεφανοῦσθαι O. t. u. in Q. lacuna est, in F. r. lituræ.

156 Ἀκούεις, Αἰσχίνη, τοῦ νόμου λέγοντος σαφῶς, πλὴν
ἐάν τινας ὁ δῆμος ἢ ἡ βουλὴ [h] ψηφίσηται· τούτους δὲ 268
ἀναγορευέτω. τί οὖν, ὦ ταλαίπωρε, συκοφαντεῖς; τί λό-
γους [i] πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις ἐπὶ τούτοις;
ἀλλ᾽ οὐδ᾽ αἰσχύνῃ φθόνου δίκην [k] εἰσάγων, οὐκ ἀδικήμα-
τος [l] οὐδενός, καὶ [m] νόμους μεταποιῶν, τῶν δ᾽ ἀφαιρῶν
μέρη, οὓς ὅλους δίκαιον ἦν ἀναγιγνώσκεσθαι τοῖς γε ὀμω-
157 μοκόσι κατὰ τοὺς νόμους [n] ψηφιεῖσθαι; [o] ἔπειτα τοι-
αῦτα ποιῶν λέγεις [p] ἃ δεῖ προσεῖναι τῷ δημοτικῷ, ὥσπερ
ἀνδριάντα ἐκδεδωκὼς κατὰ συγγραφήν, εἶτ᾽ οὐκ ἔχοντα
ἃ προσῆκεν ἐκ τῆς [q] συγγραφῆς κομιζόμενος, ἢ λόγῳ
τοὺς δημοτικοὺς ἀλλ᾽ οὐ τοῖς πράγμασι καὶ τοῖς πολι-
τεύμασι [r] γιγνωσκομένους. [s] καὶ βοᾷς ῥητὰ καὶ ἄῤῥητα
ὀνομάζων, ὥσπερ ἐξ ἁμάξης, ἃ σοὶ καὶ τῷ σῷ γένει
158 πρόσεστιν, οὐκ ἐμοί. καίτοι καὶ τοῦτο, ὦ ἄνδρες Ἀθη-
ναῖοι. ἐγὼ λοιδορίαν κατηγορίας [t] τούτῳ διαφέρειν ἡγοῦ-
μαι, τῷ τὴν μὲν κατηγορίαν ἀδικήματ᾽ ἔχειν, ὧν ἐν τοῖς
νόμοις εἰσὶν [u] αἱ τιμωρίαι, τὴν δὲ λοιδορίαν βλασφημίας,
ἃς κατὰ τὴν αὑτῶν φύσιν τοῖς ἐχθροῖς περὶ ἀλλήλων
συμβαίνει λέγειν. οἰκοδομῆσαι δὲ τοὺς [x] προγόνους ταυτὶ
τὰ δικαστήρια ὑπείληφα οὐχ ἵνα συλλέξαντες [y] ὑμᾶς εἰς
ταῦτα ἀπὸ τῶν ἰδίων κακῶς τὰ ἀπόῤῥητα λέγωμεν [z] ἀλ-
λήλους, ἀλλ᾽ ἵνα ἐξελέγχωμεν, ἐάν τις ἠδικηκώς [a] τι

[h] ψηφίσηται] στεφανώσηται t. v. et γρ. F. S. Q. r.
[i] πλάττεις] πράττεις s.
[k] εἰσάγων] εἰσάγειν S. Q.
[l] οὐδενός. καὶ F. S. Y. Q. p. t. v. vulg. οὐδενὸς λαβεῖν τιμωρίαν. καί.
[m] νόμους μεταποιῶν S. ceteri νόμους τοὺς μὲν μεταποιῶν.
[n] ψηφιεῖσθαι] ψηφιεισθε S.
[o] ἔπειτα] ἔπειτα σὺ O.p.r.s.t.u. εἶτα σὺ k.
[p] ἃ δεῖ] πρὸς ἃ δεῖ S.
[q] συγγραφῆς] γραφῆς s.
[r] γιγνωσκομένους] γιγνωμένους O.
[s] καὶ om. S. k. in γρ. habet s.
[t] τούτῳ] τοῦτο O.
[u] αἱ om. Y.
[x] προγόνους] προγόνους ὑμῶν O. s. προγόνους ἡμῶν k.
[y] ὑμᾶς] ἡμᾶς p.r.
[z] ἀλλήλους] ἀλλήλοις (ους) p.
[a] τι om. F. O. k. u. v.

159 τυγχάνῃ τὴν πόλιν. ταῦτα τοίνυν εἰδὼς Αἰσχίνης οὐδὲν
ἧττον ἐμοῦ [b] πομπεύειν ἀντὶ τοῦ κατηγορεῖν εἵλετο. οὐ μὴν
οὐδ' ἐνταῦθα ἔλαττον ἔχων δίκαιός ἐστιν ἀπελθεῖν. ἤδη
δ' ἐπὶ ταῦτα πορεύσομαι, τοσοῦτον αὐτὸν ἐρωτήσας. πό-
τερόν σέ τις, Αἰσχίνη, τῆς πόλεως ἐχθρὸν ἢ ἐμὸν εἶναι
[c] φῇ; ἐμὸν δῆλον ὅτι. εἶτα οὗ μὲν ἦν παρ' ἐμοῦ δίκην 269
κατὰ τοὺς νόμους ὑπὲρ τούτων λαβεῖν, εἴπερ ἠδίκουν,
[d] ἐξέλιπες, ἐν ταῖς εὐθύναις, ἐν ταῖς γραφαῖς, ἐν ταῖς
160 ἄλλαις κρίσεσιν· οὗ δ' ἐγὼ μὲν ἀθῷος [e] ἅπασι, τοῖς νό-
μοις, τῷ χρόνῳ, τῇ προθεσμίᾳ, τῷ κεκρίσθαι περὶ [f] πάν-
των [g] πολλάκις πρότερον, τῷ μηδεπώποτε ἐξελεγχθῆναι
μηδὲν ὑμᾶς ἀδικῶν, τῇ πόλει [h] δ' ἢ πλέον ἢ ἔλαττον
ἀνάγκη τῶν γε δημοσίᾳ πεπραγμένων μετεῖναι τῆς δόξης,
ἐνταῦθα ἀπήντηκας; ὅρα μὴ τούτων [i] μὲν ἐχθρὸς ᾖς, [k] ἐμὸς
δὲ προσποιῇ.

161 Ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος
ἅπασι δέδεικται, δεῖ [l] δέ με, ὡς ἔοικε, καίπερ [m] οὐ φιλο-
λοίδορον ὄντα [n] φύσει, διὰ τὰς ὑπὸ τούτου βλασφημίας
εἰρημένας ἀντὶ πολλῶν καὶ ψευδῶν αὐτὰ τἀναγκαιότατ'
εἰπεῖν περὶ αὐτοῦ, καὶ δεῖξαι τίς ὢν καὶ τίνων ῥᾳδίως
οὕτως ἄρχει τοῦ κακῶς λέγειν, καὶ λόγους [o] τίνας [p] δια-
σύρει, αὐτὸς εἰρηκὼς ἃ τίς οὐκ [q] ἂν ὤκνησε τῶν μετρίων
162 ἀνθρώπων φθέγξασθαι; εἰ γὰρ Αἰακὸς ἢ Ῥαδάμανθυς ἢ
Μίνως ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμ-

[b] πομπεύειν] λοιδορεῖν O. u.
[c] φῇ] θῇ k. s.
[d] ἐξέλιπες] ἐξέλειπες S.
[e] ἅπασι] πᾶσι Y. k. r. s.
[f] πάντων] τούτων k. s.
[g] πολλάκις om. k. s. πολλάκις τούτων O. t. u. v.
[h] δ' ἢ] δὲ Q.
[i] μὲν ἐχθρὸς] ἐχθρὸς μὲν p. r.
[k] ἐμὸς] ἐμοί F. ἐμοὶ S. Q. p. r. et γρ. s.
[l] δέ με] δή με p.
[m] οὐ om. pr. r.
[n] φύσει om. Y. et pr. S. in γρ. habet F. Q.
[o] τινὰς F. Y. O. p. r. s. u.
[p] διασύρειν Y. k. p. r. s.
[q] ἂν in γρ. s.

μα ἀγορᾶς, ὄλεθρος γραμματεύς, οὐκ ἂν αὐτὸν οἶμαι [r] τοιαῦτ' εἰπεῖν οὐδ' ἂν οὕτως ἐπαχθεῖς λόγους πορίσασθαι, ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ καὶ τὰ τοιαῦτα, καὶ πάλιν σύνεσιν καὶ παιδείαν ἐπικαλούμενον, ᾗ τὰ καλὰ καὶ τὰ αἰσχρὰ διαγιγνώσκεται· ταῦτα γὰρ δήπουθεν [s] ἠκούετ' αὐτοῦ λέγοντος.

163 σοὶ δὲ ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς τίς μετουσία; ἢ καλῶν ἢ μὴ τοιούτων τίς διάγνωσις; [t] πόθεν ἢ πῶς ἀξιωθέντι; ποῦ δὲ παιδείας σοι θέμις μνησθῆναι, ἧς τῶν [u] μὲν
ὡς ἀληθῶς τετυχηκότων οὐδ' ἂν εἷς εἴποι περὶ αὑτοῦ τοι- 270
οῦτον οὐδέν, ἀλλὰ κἂν ἑτέρου λέγοντος ἐρυθριάσειε, τοῖς δ' ἀπολειφθεῖσι μὲν ὥσπερ [x] σύ, προσποιουμένοις δ' ὑπ' ἀναισθησίας τὸ τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖν, ὅταν λέγωσιν, οὐ τὸ δοκεῖν [y] τοιούτοις εἶναι περίεστιν.

164 Οὐκ ἀπορῶ δ' ὅ τι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν, ἀπορῶ τοῦ πρώτου μνησθῶ, πότερ' ὡς ὁ πατήρ σου Τρόμης ἐδούλευε παρ' [z] Ἐλπίᾳ [a] τῷ πρὸς τῷ Θησείῳ διδάσκοντι γράμματα, χοίνικας [b] παχείας ἔχων [c] καὶ ξύλον, ἢ ὡς ἡ μήτηρ [d] σου τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ [e] κλισίῳ τῷ πρὸς τῷ Καλαμίτῃ [f] ἥρωϊ χρωμένη τὸν καλὸν ἀνδριάντα καὶ τριταγωνιστὴν ἄκρον ἐξέθρεψέ [g] σε; [h] ἀλλὰ πάντες
165 ἴσασι ταῦτα, κἂν ἐγὼ μὴ λέγω. ἀλλ' ὡς ὁ τριηραύλης Φορμίων, ὁ Δίωνος τοῦ Φρεαρρίου δοῦλος, ἀνέστησεν αὐτὴν ἀπὸ ταύτης τῆς καλῆς ἐργασίας; ἀλλὰ νὴ τὸν Δία καὶ

[r] τοιαῦτ'] ταῦτ' F. S. Q.
[s] ἠκούετ'] ἠκούσατε k. s.
[t] πόθεν] πόθεν λαβόντι t. rec. S. γρ. Q.
[u] μὲν om. u.
[x] σὺ] σοὶ (σὺ superscr.) k.
[y] τοιούτοις] τοιούτους Y. k. r. s.
[z] Ἐλπίᾳ] ἐλπίδαι S.
[a] τῷ ante πρὸς om. k.
[b] παχείας ἔχων] ἔχων παχείας p. r.
[c] καὶ om. u.
[d] σου om. F. S. Q.
[e] κλισίῳ] κλεισίῳ r. κλεισειωι S. κλισείω Q. κλησίω O. k. s.
[f] ἥρωϊ om. k. et pr. s.
[g] σε om. Y.
[h] ἀλλὰ—λέγω om. F. S. Q. Y. t. v.

[i] τοὺς θεοὺς ὀκνῶ μὴ περὶ σοῦ τὰ προσήκοντα λέγων αὐ-
τὸς οὐ προσήκοντας ἐμαυτῷ δόξω προῃρῆσθαι λόγους.
ταῦτα μὲν οὖν [k] ἐάσω, [l] ἀπ' αὐτῶν δὲ ὧν [m] αὐτὸς βεβίω-
κεν, ἄρξομαι· [n] οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν, ἀλλ' οἷς ὁ δῆμος
166 καταρᾶται. ὀψὲ γάρ ποτε—, ὀψὲ λέγω; [o] χθὲς μὲν
οὖν καὶ πρώην ἅμ' Ἀθηναῖος καὶ ῥήτωρ [p] γέγονε, καὶ δύο
συλλαβὰς προσθεὶς τὸν μὲν πατέρα ἀντὶ Τρόμητος [q] ἐποί-
ησεν Ἀτρόμητον, τὴν δὲ μητέρα [r] σεμνῶς πάνυ Γλαυκο-
θέαν [s] ὠνόμασεν, ἣν Ἔμπουσαν ἅπαντες ἴσασι καλου-
μένην, ἐκ τοῦ πάντα ποιεῖν καὶ [t] πάσχειν δηλονότι ταύ-
167 της τῆς ἐπωνυμίας τυχοῦσαν· πόθεν γὰρ ἄλλοθεν; ἀλλ'
ὅμως οὕτως ἀχάριστος εἶ καὶ πονηρὸς φύσει, ὥστ' ἐλεύ-
θερος ἐκ δούλου καὶ πλούσιος ἐκ πτωχοῦ διὰ [u] τουτουσὶ 271
γεγονὼς οὐχ ὅπως χάριν αὐτοῖς [x] ἔχεις, [y] ἀλλὰ μισθώσας
σαυτὸν κατὰ [z] τουτωνὶ πολιτεύῃ. καὶ περὶ ὧν μὲν ἐστί
τις ἀμφισβήτησις, ὡς ἄρα ὑπὲρ τῆς πόλεως εἴρηκεν,
ἐάσω· ἃ δ' ὑπὲρ τῶν ἐχθρῶν [a] φανερῶς [b] ἀπεδείχθη πράτ-
των, ταῦτα ἀναμνήσω.

168 Τίς γὰρ [c] ὑμῶν οὐκ οἶδε [d] τὸν ἀποψηφισθέντα Ἀντι-
φῶντα, ὃς ἐπαγγειλάμενος Φιλίππῳ τὰ νεώρια ἐμπρή-
σειν [e] τὰ ὑμέτερα εἰς τὴν πόλιν ἦλθεν; ὃν λαβόντος ἐμοῦ

[i] τοὺς om. S.

[k] ἐάσω] παραλείψω γρ. S.

[l] ἀπ' αὐτῶν δὲ] ἀλλ' ἀπ' αὐτῶν k. ἀλλ' ἀπ' αὐτῶν τῶν p. r. ἀπὸ δ' αὐτῶν γρ. S.

[m] αὐτὸς om. Y. et γρ. S.

[n] οὐδὲ γὰρ — καταρᾶται] Hæc post λόγους ponit γρ. S.

[o] χθὲς] ἐχθὲς Q.

[p] γέγονε om. k. s.

[q] ἐποίησεν Ἀτρόμητον] ἀτρόμητον ἐποίησεν O. u.

[r] σεμνῶς πάνυ] ἀσέμνως Y. μάλα σεμνῶς correctus Y.

[s] ὠνόμασεν om. S.

[t] πάσχειν] πάσχειν καὶ γίγνεσθαι S.

[u] τουτουσὶ] τούτους Y.

[x] ἔχεις] ἔχοις O.

[y] ἀλλὰ] ἀλλὰ καὶ Q. k. s.

[z] τουτωνὶ] τούτων k.

[a] φανερῶς] καθαρῶς Q. k. s.

[b] ἀπεδείχθη F. S. O. t. u. vulg. ἐπεδείχθη.

[c] ὑμῶν om. k. s.

[d] τὸν om. Anecd. p. 440, 5.

[e] τὰ ὑμέτερα] τὰ ἡμέτερα k. om. S. in γρ. habent F. Q.

κεκρυμμένον ἐν Πειραιεῖ καὶ καταστήσαντος εἰς τὴν ἐκ-
κλησίαν βοῶν ὁ βάσκανος οὗτος καὶ κεκραγώς, ὡς ἐν
δημοκρατίᾳ δεινὰ ποιῶ τοὺς ἠτυχηκότας τῶν πολιτῶν
ὑβρίζων καὶ ἐπ' οἰκίας [f] βαδίζων ἄνευ ψηφίσματος,
169 ἀφεθῆναι ἐποίησεν. καὶ εἰ μὴ [g] ἡ βουλὴ ἡ ἐξ Ἀρείου πά-
γου τὸ πρᾶγμα αἰσθομένη καὶ τὴν ὑμετέραν ἄγνοιαν ἐν οὐ
δέοντι συμβεβηκυῖαν ἰδοῦσα ἐπεζήτησε τὸν ἄνθρωπον καὶ
[h] συλλαβοῦσα ἐπανήγαγεν [i] ὡς ὑμᾶς, ἐξήρπαστ' ἂν ὁ
τοιοῦτος καὶ τὸ δίκην δοῦναι διαδὺς ἐξεπέμπετ' ἂν ὑπὸ
τοῦ [k] σεμνολόγου [l] τουτουί· νῦν δ' ὑμεῖς στρεβλώσαντες
170 αὐτὸν ἀπεκτείνατε, ὡς ἔδει γε καὶ τοῦτον. τοιγαροῦν
εἰδυῖα ταῦτα ἡ βουλὴ ἡ ἐξ Ἀρείου [m] πάγου τότε τούτῳ
πεπραγμένα, χειροτονησάντων [n] αὐτὸν ὑμῶν σύνδικον ὑπὲρ
τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ ἀπὸ τῆς αὐτῆς ἀγνοίας [o] ἀφ'
ἧσπερ πολλὰ [p] προΐεσθε τῶν κοινῶν, ὡς προείλεσθε κά-
κείνην [q] καὶ [r] τοῦ πράγματος κυρίαν ἐποιήσατε, τοῦτον
μὲν εὐθὺς ἀπήλασεν ὡς προδότην, [s] Ὑπερίδῃ δὲ λέγειν
προσέταξε· καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα τὴν ψῆ-
φον ἔπραξε, καὶ οὐδεμία ψῆφος [t] ἠνέχθη τῷ μιαρῷ 272
τούτῳ. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει [u] μοι τούτων
τοὺς μάρτυρας.

171 [x] ΜΑΡΤΥΡΕΣ.

Μαρτυροῦσι Δημοσθένει ὑπὲρ ἁπάντων οἵδε, Καλλίας Σουνι-

[f] βαδίζων] βαδίζω k.
[g] ἡ ante βουλὴ om. Y.
[h] συλλαβοῦσα] ξυλλαβοῦσα k.
[i] ὡς] πρὸς k. (ὡς superscr.)
[k] σεμνολόγου] σεμνολογουμένου Y. et γρ. F.
[l] τουτουί] τούτου Y. k. r. s.
[m] Post πάγου cum S. omisi τά.
[n] αὐτὸν ὑμῶν] ὑμῶν αὐτὸν p. r.
[o] ἀφ' om. F. S. Q. in γρ. habet r. omittunt etiam k. s. qui post ἧσπερ addunt ἕνεκα.
[p] προΐεσθε] προΐστε S. Q. προεῖσθε k. r. s.
[q] καὶ om. Y. r.
[r] τοῦ πράγματος κυρίαν F. S. Y. Q. O. k. r. s. t. u. v. vulg. κυρίαν τοῦ πράγματος.
[s] Ὑπερίδῃ] ὑπερειδηι F. S. p. r. ὑπερίδην O. t. u. v.
[t] ἠνέχθη] ἐξηνέχθη Q.
[u] μοι om. S. Y. Q. O. p. t. r. u.
[x] ΜΑΡΤΥΡΕΣ] μαρτυρίαι O. μαρτυρία k.

εύς, Ζήνων Φλυεύς, Κλέων Φαληρεύς, Δημόνικος Μαραθώνιος, ὅτι τοῦ δήμου ποτὲ χειροτονήσαντος Αἰσχίνην σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ [y] εἰς τοὺς Ἀμφικτύονας συνεδρεύσαντες ἡμεῖς ἐκρίναμεν [z] Ὑπερίδην ἄξιον εἶναι μᾶλλον ὑπὲρ τῆς πόλεως λέγειν, καὶ ἀπεστάλη Ὑπερίδης.

172 Οὐκοῦν ὅτε τούτου [a] μέλλοντος λέγειν ἀπήλασεν [b] αὐτὸν ἡ βουλὴ καὶ προσέταξεν ἑτέρῳ, τότε καὶ προδότην [c] εἶναι καὶ κακόνουν [d] ὑμῖν ἀπέφηνεν.

Ἓν μὲν τοίνυν [e] τοῦτο [f] τοιοῦτο πολίτευμα τοῦ νεανίου τούτου, ὅμοιόν γε, οὐ γάρ; οἷς ἐμοῦ κατηγορεῖ· ἕτερον δὲ
173 ἀναμιμνήσκεσθε. ὅτε γὰρ Πύθωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον καὶ παρὰ τῶν αὐτοῦ συμμάχων [g] πάντων συνέπεμψε πρέσβεις, ὡς [h] ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν καὶ δείξων ἀδικοῦσαν, τότε ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν [i] οὐκ εἶξα οὐδ' ὑπεχώρησα, ἀλλ' ἀναστὰς ἀντεῖπον καὶ τὰ τῆς πόλεως δίκαια οὐχὶ προὔδωκα, ἀλλ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξα φανερῶς οὕτως ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογεῖν· οὗτος δὲ συνηγωνίζετο καὶ τἀναντία [k] ἐμαρτύρει τῇ πατρίδι, καὶ ταῦτα ψευδῆ.

174 Καὶ οὐκ ἀπέχρη ταῦτα, [l] ἀλλὰ πάλιν μετὰ ταῦθ' [m] ὕστερον [n] Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. καίτοι ὅστις τῷ ὑπὸ τῶν πολεμίων 273
πεμφθέντι μόνος μόνῳ [o] συνῄει καὶ ἐκοινολογεῖτο, οὗτος

[y] εἰς om. Q.
[z] Ὑπερίδην] ὑπερείδην S.
[a] μέλλοντος λέγειν] λέγοντος F.Q. μέλλοντος S.
[b] αὐτὸν om. S.
[c] εἶναι om. Q.
[d] ὑμῖν] ἡμῖν r.
[e] τοῦτο om. k.
[f] τοιοῦτο πολίτευμα τοῦ νεανίου τούτου] τοῦ νεανίου τούτου καὶ τοιοῦτο πολίτευμα γρ. s.
[g] πάντων S.Y.p.r.s. πάντως k. vulg. ἁπάντων.
[h] ἐν om. O.
[i] οὐκ εἶξα οὐδ'] οὐχ S.Q.
[k] ἐμαρτύρει] συνεμαρτύρει k.
[l] ἀλλὰ] ἀλλὰ καὶ Y.O.t.u.v.
[m] ὕστερον ante τῷ ponit k.
[n] Ἀναξίνῳ] ἀναξεινωι S. ἀξείνωι Y. ἀξίνῳ γρ. F.Q.
[o] συνῄει] συνείη r.

αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος καὶ πολέμιος τῇ πατρίδι. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

## ΜΑΡΤΥΡΕΣ.

175 [p] Τελέδημος Κλέωνος, Ὑπερίδης Καλλαίσχρου, Νικόμαχος Διοφάντου μαρτυροῦσι Δημοσθένει καὶ ἐπωμόσαντο ἐπὶ τῶν στρατηγῶν εἰδέναι Αἰσχίνην Ἀτρομήτου Κοθωκίδην συνερχόμενον νυκτὸς εἰς τὴν Θράσωνος οἰκίαν καὶ κοινολογούμενον Ἀναξίνῳ, ὃς ἐκρίθη εἶναι κατάσκοπος [q] παρὰ Φιλίππου. αὗται ἀπεδόθησαν αἱ μαρτυρίαι [r] ἐπὶ Νικίου, ἑκατομβαιῶνος [s] τρίτῃ ἱσταμένου.

176 Μυρία τοίνυν [t] ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ παραλείπω. καὶ γὰρ οὕτω πως ἔχει. πολλὰ ἂν ἐγὼ [u] νῦν [x] ἔτι τούτων ἔχοιμι δεῖξαι, ὧν οὗτος κατ' ἐκείνους τοὺς χρόνους τοῖς μὲν ἐχθροῖς ὑπηρετῶν ἐμοὶ δ' ἐπηρεάζων εὑρέθη. ἀλλ' οὐ τίθεται ταῦτα παρ' ὑμῖν εἰς ἀκριβῆ μνήμην οὐδ' ἣν προσῆκεν ὀργήν, ἀλλὰ δεδώκατε ἔθει τινὶ φαύλῳ πολλὴν ἐξουσίαν τῷ βουλομένῳ τὸν [y] λέγοντά [z] τι τῶν ὑμῖν συμφερόντων ὑποσκελίζειν καὶ συκοφαντεῖν, τῆς ἐπὶ ταῖς λοιδορίαις ἡδονῆς καὶ χάριτος τὸ τῆς πόλεως συμφέρον [a] ἀνταλλαττόμενοι· διόπερ ῥᾷόν ἐστι καὶ ἀσφαλέστερον ἀεὶ τοῖς ἐχθροῖς ὑπηρετοῦντα μισθαρνεῖν ἢ τὴν ὑπὲρ ὑμῶν ἑλόμενον τάξιν πολιτεύεσθαι.

177 Καὶ τὸ μὲν δὴ πρὸ τοῦ πολεμεῖν φανερῶς συαγωνίζεσθαι Φιλίππῳ δεινὸν μέν, ὦ γῆ καὶ θεοί, πῶς γὰρ οὔ; κατὰ τῆς πατρίδος· δότε δ', εἰ βούλεσθε, δότε αὐτῷ 274
τοῦτο. ἀλλ' ἐπειδὴ φανερῶς ἤδη τὰ πλοῖα ἐσεσύλητο,

[p] Τελέδημος F. S. Y. Q. p. r. primam litteram om. t. vulg. Μελέδημος.
[q] παρὰ om. O.
[r] ἐπὶ] παρὰ O. u. v.
[s] τρίτῃ] τρίτης O.
[t] ἕτερα post ἔχων ponit k. ἕτερ'—αὐτοῦ om. pr. Q.
[u] νῦν om. S.
[x] ἔτι] ἐπὶ s.
[y] λέγοντά] λέξοντά p.
[z] τι] τι περὶ Q.
[a] ἀνταλλαττόμενοι] ἀντικαταλλαττόμενοι Y. k. p. r. s. et γρ. Q.

Χερρόνησος ἐπορθεῖτο, ἐπὶ τὴν Ἀττικὴν [b]ἐπορεύεθ' ἄνθρωπος, οὐκέτ' [c]ἐν ἀμφισβητησίμῳ τὰ πράγματα [d]ἦν ἀλλ'

178 [e]ἐνεστήκει πόλεμος, ὅ τι μὲν [f]πώποτ' ἔπραξεν ὑπὲρ ὑμῶν ὁ βάσκανος [g]οὑτοσὶ [h]ἰαμβειοφάγος, [i]οὐκ ἂν ἔχοι δεῖξαι, οὐδ' ἔστιν οὔτε μεῖζον οὔτ' ἔλαττον ψήφισμα οὐδὲν Αἰσχίνῃ [k]περὶ τῶν συμφερόντων τῇ πόλει. εἰ δέ φησι, νῦν δειξάτω [l]ἐν τῷ ἐμῷ ὕδατι. ἀλλ' οὐκ ἔστιν οὐδέν. καίτοι δυοῖν [m]αὐτὸν ἀνάγκη θάτερον, ἢ μηδὲν τοῖς πραττομένοις ὑπ' ἐμοῦ τότ' ἔχοντ' ἐγκαλεῖν μὴ γράφειν παρὰ ταῦθ' ἕτερα, ἢ τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα μὴ φέρειν εἰς [n]μέσον τὰ τούτων ἀμείνω.

179 Ἆρ' οὖν οὐδ' ἔλεγεν, ὥσπερ [o]οὐδ' ἔγραφεν, ἡνίκα ἐργάσασθαί [p]τι δέοι κακὸν [q]ὑμᾶς; οὐ μὲν οὖν ἦν εἰπεῖν ἑτέρῳ. καὶ τὰ μὲν ἄλλα καὶ φέρειν ἠδύναθ', ὡς ἔοικεν, ἡ [r]πόλις καὶ ποιῶν οὗτος [s]λανθάνειν· ἓν δ' ἐπεξειργάσατο [t]ὦ ἄνδρες Ἀθηναῖοι τοιοῦτον, ὃ πᾶσι τοῖς προτέροις ἐπέθηκε τέλος· περὶ οὗ τοὺς πολλοὺς ἀνάλωσε λόγους, τὰ τῶν [u]Ἀμφισσέων [x]τῶν Λοκρῶν διεξιὼν δόγματα, ὡς διαστρέψων τἀληθές. τὸ δ' οὐ τοιοῦτόν ἐστι· [y]πόθεν; οὐδέποτ' ἐκνίψῃ σὺ τἀκεῖ πεπραγμένα σαυτῷ· οὐχ οὕτω πολλὰ ἐρεῖς.

[b] ἐπορεύεθ' ἄνθρωπος F. Q. vulg. ἐπορεύετ' ἄνθρωπος.
[c] ἐν] κἂν ἐν r. in Y. litura.
[d] ἦν om. Y.
[e] ἐνεστήκει S. ceteri ἐνειστήκει.
[f] πώποτ'] τῷ ποτ' k.
[g] οὑτοσὶ] οὗτος k. s.
[h] ἰαμβειοφάγος] ἰαμβιογράφος S. Q. ἰαμβειογράφος O. t. u. v. ἰαμβογράφος k. s. ἰαμβειομάχος γρ. F.
[i] οὐκ] οὐδ' k. s.
[k] περὶ] ὑπὲρ S.
[l] ἐν] ἐπὶ F. S. Q. O. t. u. v. ἐφ' ἑνὶ p. r.
[m] αὐτὸν ἀνάγκη] ἀνάγκη αὐτὸν Y. k. r. s.
[n] μέσον] τὸ μέσον Y. p. r.
[o] οὐδ' ἔγραφεν] οὐκ ἔγραφεν r.
[p] τι om. t.
[q] ὑμᾶς om. S. in γρ. habent F. Q.
[r] πόλις καὶ S. k. s. πόλις ἃ ceteri.
[s] λανθάνειν S. vulg. ἐλάνθανεν.
[t] ὦ om. F. S. O. k. p. u. v.
[u] Ἀμφισσέων] ἀμφισέων S.
[x] τῶν Λοκρῶν om. Y. τῶν om. p. s.
[y] πόθεν· οὐδέποτ' F.S.Q.k.s. vulg. πόθεν· πολλοῦ γε καὶ δεῖ· οὐδέποτ'.

180 Καλῶ δ' ἐναντίον ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι τοὺς θεοὺς
[z] ἅπαντας καὶ πάσας, ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττι-
κήν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον, ὃς πατρῷός ἐστι τῇ
πόλει, [a] καὶ ἐπεύχομαι πᾶσι τούτοις, εἰ μὲν ἀληθῆ πρὸς
ὑμᾶς εἴποιμι καὶ εἶπον [b] τότ' εὐθὺς ἐν τῷ δήμῳ, ὅτε πρῶ- 275
τον εἶδον [c] τουτονὶ τὸν μιαρὸν τούτου τοῦ πράγματος ἁπτό-
μενον (ἔγνων γάρ, εὐθέως ἔγνων), εὐτυχίαν μοι δοῦναι καὶ
σωτηρίαν, εἰ δὲ πρὸς ἔχθραν ἢ φιλονεικίας ἰδίας ἕνεκ' αἰ-
τίαν ἐπάγω τούτῳ ψευδῆ, πάντων τῶν ἀγαθῶν [d] ἀνόνητόν
με [e] ποιῆσαι.

181 Τί οὖν ταῦτ' ἐπήραμαι καὶ διετεινάμην οὑτωσὶ σφο-
δρῶς; ὅτι [f] καὶ γράμματ' [g] ἔχων ἐν τῷ δημοσίῳ κείμενα,
ἐξ ὧν ταῦτ' ἐπιδείξω σαφῶς, καὶ ὑμᾶς εἰδὼς τὰ πε-
πραγμένα [h] μνημονεύοντας, ἐκεῖνο φοβοῦμαι, μὴ τῶν εἰρ-
γασμένων [i] αὐτῷ κακῶν [k] ὑποληφθῇ ἐλάττων οὗτος· [l] ὅπερ
πρότερον [m] συνέβη, ὅτε τοὺς ταλαιπώρους Φωκέας ἐποίη-
182 σεν ἀπολέσθαι τὰ ψευδῆ δεῦρ' ἀπαγγείλας. τὸν γὰρ ἐν
Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν ἦλθε Φίλιππος
[n] καὶ δι' ὃν ᾑρέθη τῶν Ἀμφικτυόνων ἡγεμών, ὃς ἅπαντ'
ἀνέτρεψε τὰ τῶν [o] Ἑλλήνων, οὗτός ἐστιν ὁ συγκατα-
σκευάσας καὶ πάντων εἷς ἀνὴρ [p] τῶν μεγίστων αἴτιος
183 [q] κακῶν. καὶ τότ' εὐθὺς ἐμοῦ [r] διαμαρτυρομένου καὶ βο-
ῶντος ἐν τῇ ἐκκλησίᾳ "πόλεμον εἰς τὴν Ἀττικὴν [s] εἰσά-

[z] ἅπαντας] πάντας Y. p. r.
[a] καὶ ἐπεύχομαι πᾶσι τούτοις] πᾶσι τούτοις ἐπεύχομαι k.
[b] τότ'] καὶ τότ' S. Q.
[c] τουτονὶ] τοῦτον k.
[d] ἀνόνητον] ἀνόητον O. u.
[e] ποιῆσαι] γενέσθαι s.
[f] καὶ post ὅτι om. S.
[g] ἔχων om. pr. Y.
[h] μνημονεύοντας] μνημονεύσοντας S. Q.
[i] αὐτῷ] ἑαυτῶ k. r. s.
[k] ὑποληφθῇ οὗτος ἐλάττων S. ceteri οὗτος ἐλάττων ὑποληφθῇ.
[l] ὅπερ] ὥσπερ p.
[m] συνέβη] ἑαυτῶ συνέβη k.
[n] καὶ δι' ὃν] καὶ δι' ὧν O.
[o] Ἑλλήνων] ἑλλήνων πράγματα Y. k. r. s. v.
[p] τῶν om. F. S. Q.
[q] κακῶν] κακῶν γεγενημένος k. r. s.
[r] διαμαρτυρομένου] διαμαρτυρουμένου O.
[s] εἰσάγεις] ἄγεις F. Q. O. t. u. v.

“ γεις, Αἰσχίνη, πόλεμον Ἀμφικτυονικόν” οἱ μὲν ἐκ
παρακλήσεως συγκαθήμενοι οὐκ εἴων με λέγειν, οἱ δ’
ἐθαύμαζον καὶ [t] κενὴν αἰτίαν διὰ τὴν ἰδίαν ἔχθραν ἐπά-
184 γειν με ὑπελάμβανον αὐτῷ. ἥτις δ’ ἡ φύσις ὦ ἄνδρες
Ἀθηναῖοι γέγονε τούτων τῶν πραγμάτων, καὶ τίνος [u] ἕνεκα
ταῦτα συνεσκευάσθη καὶ πῶς ἐπράχθη, νῦν [x] ἀκούσατε,
ἐπειδὴ [y] τότε ἐκωλύθητε· καὶ [z] γὰρ εὖ πρᾶγμα συντεθὲν
ὄψεσθε, καὶ μεγάλα [a] ὠφελήσεσθε πρὸς [b] ἱστορίαν τῶν
κοινῶν, καὶ ὅση δεινότης ἦν [c] ἐν τῷ Φιλίππῳ, [d] θεάσεσθε.
185 Οὐκ ἦν τοῦ πρὸς [e] ὑμᾶς πολέμου πέρας οὐδ’ ἀπαλ-
λαγὴ Φιλίππῳ, εἰ μὴ Θηβαίους καὶ Θετταλοὺς ἐχθροὺς 276
ποιήσειε τῇ πόλει· ἀλλὰ καίπερ ἀθλίως καὶ κακῶς τῶν
στρατηγῶν τῶν ὑμετέρων πολεμούντων αὐτῷ ὅμως ὑπ’ αὐ-
τοῦ τοῦ πολέμου καὶ τῶν λῃστῶν μυρία ἔπασχε κακά.
οὔτε γὰρ ἐξήγετο τῶν ἐκ τῆς χώρας γιγνομένων οὐδέν,
186 οὔτ’ [f] εἰσήγετο ὧν [g] ἐδεῖτ’ αὐτῷ· ἦν δὲ οὔτ’ ἐν τῇ θαλάττῃ
[h] τότε κρείττων [i] ὑμῶν, οὔτ’ εἰς τὴν Ἀττικὴν [k] ἐλθεῖν δυνα-
τὸς μήτε Θετταλῶν ἀκολουθούντων μήτε Θηβαίων διιέν-
των· [l] συνέβαινε δὲ αὐτῷ τῷ πολέμῳ κρατοῦντι τοὺς ὁποι-
ουσδήποθ’ ὑμεῖς ἐξεπέμπετε στρατηγούς (ἐῶ γὰρ τοῦτό
γε) αὐτῇ τῇ φύσει τοῦ τόπου καὶ τῶν ὑπαρχόντων ἑκατέ-
187 ροις κακοπαθεῖν. εἰ μὲν οὖν τῆς ἰδίας [m] ἕνεκ’ ἔχθρας ἢ
τοὺς Θετταλοὺς ἢ τοὺς Θηβαίους συμπείθοι βαδίζειν ἐφ’

[t] κενὴν] κοινὴν r.
[u] ἕνεκα] εἵνεκα S. O. v. ἕνεκεν k. s.
[x] ἀκούσατε] ὑπακούσατε S. Q.
[y] τότε] γὰρ τότε k.
[z] γὰρ om. Y.
[a] ὠφελήσεσθε] ὠφεληθήσεσθε correctus r.
[b] ἱστορίαν] σωτηρίαν s.
[c] ἐν om. k.
[d] θεάσεσθε O. p. u. v. θεασεσθε t. θεάσασθε k. θεάσασθε ceteri.
[e] ὑμᾶς] ἡμᾶς k. s.
[f] εἰσήγετο] ἐσήγετο S. u.
[g] ἐδεῖτ’ αὐτῷ] ἔδει ταυτῷ s.
[h] τότε κρείττων] κρείττων τότε Q. O. p. s. u. v.
[i] ὑμῶν] ἡμῶν k.
[k] ἐλθεῖν om. Y.
[l] συνέβαινε δὲ] συνέβαινέ τε k. s.
[m] ἕνεκ’] ἕνεκεν Y. O. p. r. s. t. u. v.

ὑμᾶς, [n] οὐδέν᾽ ἂν [o] ἡγεῖτο προσέξειν αὐτῷ τὸν νοῦν· ἂν δὲ
τὰς ἐκείνων κοινὰς προφάσεις λαβὼν ἡγεμὼν [p] αἱρεθῇ,
ῥᾷον ἤλπιζε τὰ μὲν [q] παρακρούσεσθαι, τὰ δὲ πείσειν. τί
οὖν; ἐπιχειρεῖ, θεάσασθ᾽ ὡς εὖ, πόλεμον ποιῆσαι τοῖς
[r] Ἀμφικτύοσι καὶ περὶ τὴν Πυλαίαν ταραχήν· εἰς γὰρ
188 ταῦτ᾽ εὐθὺς [s] αὐτοὺς ὑπελάμβανεν αὐτοῦ δεήσεσθαι. εἰ
μὲν τοίνυν [t] τοῦτο ἢ τῶν παρ᾽ ἑαυτοῦ πεμπομένων ἱερομνη-
μόνων ἢ τῶν ἐκείνου συμμάχων [u] εἰσηγοῖτό τις, ὑπόψε-
σθαι τὸ πρᾶγμα ἐνόμιζε καὶ τοὺς Θηβαίους καὶ τοὺς
Θετταλοὺς καὶ [x] πάντας [y] φυλάξεσθαι, ἂν δ᾽ Ἀθηναῖος
ᾖ καὶ παρ᾽ ὑμῶν τῶν ὑπεναντίων ὁ τοῦτο ποιῶν, εὐπόρως
189 λήσειν· ὅπερ συνέβη. πῶς οὖν ταῦτ᾽ ἐποίησεν; μισθοῦται
τουτονί. [z] οὐδενὸς δὲ προειδότος, οἶμαι, τὸ πρᾶγμα οὐδὲ
φυλάττοντος, ὥσπερ εἴωθε τὰ τοιαῦτα παρ᾽ [a] ὑμῖν γίγ- 277
νεσθαι, προβληθεὶς [b] πυλαγόρας οὗτος καὶ τριῶν [c] ἢ τετ-
190 τάρων χειροτονησάντων αὐτὸν ἀνερρήθη. ὡς δὲ τὸ τῆς πό-
λεως ἀξίωμα λαβὼν ἀφίκετο εἰς τοὺς Ἀμφικτύονας,
πάντα τἄλλ᾽ ἀφεὶς καὶ [d] παριδὼν ἐπέραινεν ἐφ᾽ οἷς ἐμι-
σθώθη, καὶ λόγους εὐπροσώπους καὶ μύθους, ὅθεν ἡ [e] Κιρ-
ῥαία χώρα καθιερώθη, συνθεὶς καὶ διεξελθὼν ἀνθρώπους
[f] ἀπείρους λόγων καὶ τὸ μέλλον οὐ προορωμένους, τοὺς
191 ἱερομνήμονας, πείθει ψηφίσασθαι περιελθεῖν τὴν χώραν
ἣν οἱ μὲν Ἀμφισσεῖς σφῶν αὐτῶν οὖσαν γεωργεῖν ἔφα-

[n] οὐδέν᾽ ἂν] οὐδὲν ἂν O. u. οὐδένα k. s.

[o] ἡγεῖτο προσέξειν] προσέχειν k. s.

[p] αἱρεθῇ] ηρεθηι S. Q.

[q] παρακρούσεσθαι] παρακρούσασθαι s. v.

[r] Ἀμφικτύοσιν] ἀμφικτυόσιν r.

[s] αὐτοὺς om. k.

[t] τοῦτο] τοῦτον p. u. v. et pr. Y. u.

[u] εἰσηγοῖτό Y. p. r. s. εἰσηγεῖτό (οἱ supra) F. vulg. εἰσηγεῖτο.

[x] πάντας] ἅπαντας Y. k. p. r.

[y] φυλάξεσθαι] φυλάξασθαι Y. k. p. r. s. t. v.

[z] οὐδενὸς] μηδενὸς k. omisso δέ.

[a] ὑμῖν] ὑμῶν F. O. u. v.

[b] πυλαγόρας] πυλαγορος pr. S.

[c] ἢ τεττάρων om. k.

[d] παριδὼν] περιδὼν u.

[e] Κιῤῥαία] καιρραια s.

[f] ἀπείρους] ἀπείρων r.

σαν, οὗτος δὲ τῆς ἱερᾶς χώρας ᾐτιᾶτο εἶναι, οὐδεμίαν δί-
κην τῶν Λοκρῶν [g] ἐπαγόντων ἡμῖν, οὐδ' ἃ νῦν [h] οὗτος προ-
192 φασίζεται, λέγων οὐκ ἀληθῆ. γνώσεσθε δ' ἐκεῖθεν. οὐκ
ἐνῆν ἄνευ τοῦ [i] προσκαλέσασθαι δήπου τοῖς Λοκροῖς δίκην
κατὰ τῆς πόλεως [k] τελέσασθαι. τίς οὖν ἐκλήτευσεν ἡμᾶς;
[l] ἐπὶ ποίας ἀρχῆς; εἰπὲ τὸν εἰδότα, δεῖξον. ἀλλ' οὐκ ἂν
ἔχοις, ἀλλὰ [m] κενῇ προφάσει ταύτῃ κατεχρῶ καὶ ψευ-
193 δεῖ. περιιόντων τοίνυν τὴν χώραν τῶν Ἀμφικτυόνων κατὰ
τὴν ὑφήγησιν τὴν τούτου, [n] προσπεσόντες οἱ Λοκροὶ μι-
κροῦ [o] μὲν [p] ἅπαντας κατηκόντισαν, τινὰς δὲ [q] καὶ συνήρ-
πασαν τῶν ἱερομνημόνων. ὡς δ' ἅπαξ ἐκ τούτων ἐγκλή-
ματα καὶ πόλεμος πρὸς τοὺς Ἀμφισσεῖς [r] ἐταράχθη, τὸ
μὲν πρῶτον ὁ Κόττυφος αὐτῶν τῶν Ἀμφικτυόνων ἤγαγε
194 στρατιάν, ὡς δ' οἱ μὲν οὐκ ἦλθον, οἱ δ' ἐλθόντες οὐδὲν
ἐποίουν, εἰς τὴν ἐπιοῦσαν πυλαίαν ἐπὶ τὸν Φίλιππον εὐ-
θὺς ἡγεμόνα ἦγον οἱ κατεσκευασμένοι καὶ πάλαι πονηροὶ
τῶν Θετταλῶν καὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσι. καὶ προ-
φάσεις εὐλόγους εἰλήφεσαν· ἢ γὰρ αὐτοὺς εἰσφέρειν καὶ
ξένους τρέφειν ἔφασαν δεῖν καὶ ζημιοῦν τοὺς μὴ [s] ταῦτα 278
195 ποιοῦντας, ἢ ἐκεῖνον αἱρεῖσθαι. τί δεῖ τὰ πολλὰ λέγειν;
ᾑρέθη γὰρ ἐκ τούτων ἡγεμών. καὶ μετὰ ταῦτ' [t] εὐθὺς
[u] δύναμιν συλλέξας καὶ παρελθὼν ὡς ἐπὶ τὴν [x] Κιῤῥαίαν,

[g] ἐπαγόντων] ἐχόντων p. r.

[h] οὗτος προφασίζεται λέγων S. οὗτος λέγων προφασίζεται F. Q. O. u. v. προφασίζεται οὗτος λέγων k. p. r. s. t. προφασίζεται λέγων Y.

[i] προσκαλέσασθαι] προκαλέσασθαι F. O. k. r. s. u.

[k] τελέσασθαι S. k. s. vulg. συντελέσασθαι.

[l] ἐπὶ] ἀπὸ F. S. Y. Q. O. p. u. v.

[m] κενῇ] καινῆι S. k. s.

[n] προσπεσόντες] προπεσόντες s.

[o] μὲν om. S.

[p] ἅπαντας κατηκόντισαν] κατηκόντισαν ἅπαντας S. k. s. ἅπαντες (α) κατηκόντισαν u.

[q] καὶ συνήρπασαν] συνήρπασαν καὶ r.

[r] ἐταράχθη] ἐπράχθη p. et correctus r. ἐτάχθη k. s.

[s] ταῦτα] τοιαῦτα k.

[t] εὐθὺς] εὐθέως S. k.

[u] δύναμιν] ὁ φίλιππος δύναμιν k. s.

[x] Κιῤῥαίαν] κίρραν S. καιρραίαν s.

[y] ἐῤῥῶσθαι [z] φράσας πολλὰ [a] Κιῤῥαίοις καὶ Λοκροῖς, τὴν Ἐλάτειαν καταλαμβάνει. εἰ μὲν οὖν μὴ μετέγνωσαν [b] εὐθύς, [c] ὡς τοῦτ' εἶδον, οἱ Θηβαῖοι καὶ μεθ' ἡμῶν ἐγένοντο, ὥσπερ χειμάῤῥους ἂν ἅπαν τοῦτο τὸ πρᾶγμα εἰς
196 τὴν πόλιν εἰσέπεσε· νῦν δὲ [d] τό γ' ἐξαίφνης ἐπέσχον [e] αὐτὸν ἐκεῖνοι, μάλιστα μὲν ὦ ἄνδρες Ἀθηναῖοι θεῶν [f] τινὸς εὐνοίᾳ πρὸς ὑμᾶς, εἶτα μέντοι, καὶ ὅσον καθ' ἕνα ἄνδρα, καὶ δι' ἐμέ. δὸς δέ μοι [g] τὰ δόγματα ταῦτα καὶ τοὺς χρόνους ἐν οἷς ἕκαστα πέπρακται, ἵν' [h] εἰδῆτε ἡλίκα πράγματα ἡ μιαρὰ κεφαλὴ ταράξασα αὕτη δίκην [i] οὐκ ἔδωκε. [k] λέγε μοι τὰ δόγματα.

## [l] ΔΟΓΜΑ ΑΜΦΙΚΤΥΟΝΩΝ.

197 Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς [m] πυλαγόροις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων [n] καὶ τῷ κοινῷ τῶν Ἀμφικτυόνων, ἐπειδὴ Ἀμφισσεῖς ἐπιβαίνουσιν ἐπὶ τὴν ἱερὰν χώραν καὶ σπείρουσι καὶ βοσκήμασι κατανέμουσιν, ἐπελθεῖν τοὺς [o] πυλαγόρους καὶ τοὺς συνέδρους, καὶ στήλαις διαλαβεῖν τοὺς ὅρους, καὶ ἀπειπεῖν τοῖς Ἀμφισσεῦσι τοῦ λοιποῦ μὴ ἐπιβαίνειν.

## [p] ΕΤΕΡΟΝ ΔΟΓΜΑ.

198 Ἐπὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς [q] πυλαγόροις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων καὶ τῷ κοινῷ τῶν 279
Ἀμφικτυόνων, ἐπειδὴ οἱ ἐξ Ἀμφίσσης τὴν ἱερὰν χώραν κατανει-

[y] ἐῤῥῶσθαι] ἐρρῶσθε S. ἔρρωσθε Q.
[z] φράσας πολλὰ] πολλὰ φράσας k. s.
[a] Κιῤῥαίοις] καιρραίοις s. καὶ κιρραίοις F. Q. Y. O. p. r. t. u. v.
[b] εὐθὺς] εὐθέως S. k.
[c] ὡς τοῦτο εἶδον οἱ om. F. Y. O. p. t. u. in γρ. habet Q.
[d] τόγ' S. Q. τόγ' (τ' superscr.) F. τότε Y. p. et correctus r. τοῦτο γε k. s. vulg. τότε γ'.
[e] αὐτὸν om. k. s. in γρ. habet F. Q.
[f] τινὸς] τινων (δς superscr.) O. τινῶν u.
[g] τὰ δόγματα ταῦτα] ταῦτα τὰ δόγματα r.
[h] εἰδῆτε] εἰδεῖτε O.
[i] οὐκ ἔδωκεν] οὐ δέδωκεν Y. k. p. s.
[k] λέγε μοι] καί μοι λέγε k. r. s.
[l] ΔΟΓΜΑ] δόγματα S. Q. O. k. v.
[m] πυλαγόροις F. S. Y. Q. r. ceteri πυλαγόραις.
[n] καὶ τῷ κοινῷ τῶν Ἀμφικτυόνων om. F. S. O. r. t. u. v.
[o] πυλαγόρους F. S. Y. Q. r. ceteri πυλαγόρας.
[p] ΕΤΕΡΟΝ om. v.
[q] πυλαγόροις F. S. O. ceteri πυλαγόραις.

μάμενοι γεωργοῦσι καὶ [r] βοσκήματα νέμουσι, καὶ κωλυόμενοι τοῦτο ποιεῖν, ἐν τοῖς ὅπλοις παραγενόμενοι, τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον κεκωλύκασι μετὰ βίας, τινὰς δὲ καὶ τετραυματίκασι,
199 [καὶ] τὸν στρατηγὸν τὸν ᾑρημένον τῶν Ἀμφικτυόνων Κόττυφον τὸν Ἀρκάδα πρεσβεῦσαι πρὸς Φίλιππον τὸν Μακεδόνα, καὶ ἀξιοῦν ἵνα βοηθήσῃ τῷ τε Ἀπόλλωνι καὶ τοῖς Ἀμφικτύοσιν, ὅπως μὴ περιίδῃ ὑπὸ τῶν ἀσεβῶν Ἀμφισσέων τὸν θεὸν πλημμελούμενον· καὶ διότι αὐτὸν στρατηγὸν αὐτοκράτορα αἱροῦνται οἱ Ἕλληνες οἱ μετέχοντες τοῦ συνεδρίου τῶν Ἀμφικτυόνων.

200 Λέγε δὴ καὶ τοὺς χρόνους ἐν οἷς ταῦτ' [s] ἐγίγνετο· εἰσὶ γὰρ καθ' οὓς ἐπυλαγόρησεν οὗτος. λέγε.

## ΧΡΟΝΟΙ.

Ἄρχων Μνησιθείδης, μηνὸς ἀνθεστηριῶνος ἕκτῃ ἐπὶ δεκάτῃ.

201 Δὸς δή [t] μοι τὴν ἐπιστολὴν ἥν, ὡς οὐχ [u] ὑπήκουον [x] οἱ Θηβαῖοι, πέμπει πρὸς τοὺς ἐν Πελοποννήσῳ συμμάχους ὁ Φίλιππος, ἵν' εἰδῆτε καὶ ἐκ ταύτης σαφῶς ὅτι τὴν μὲν ἀληθῆ πρόφασιν τῶν πραγμάτων, τὸ ταῦτ' ἐπὶ τὴν Ἑλλάδα καὶ τοὺς Θηβαίους καὶ [y] ὑμᾶς πράττειν, ἀπεκρύπτετο, κοινὰ δὲ καὶ τοῖς Ἀμφικτύοσι δόξαντα ποιεῖν προσεποιεῖτο· ὁ δὲ τὰς ἀφορμὰς ταύτας καὶ τὰς προφάσεις [z] αὐτῷ παρασχὼν [a] οὗτος ἦν. λέγε.

## ΕΠΙΣΤΟΛΗ [b] ΦΙΛΙΠΠΟΥ. 280

202 Βασιλεὺς Μακεδόνων Φίλιππος Πελοποννησίων τῶν ἐν τῇ συμμαχίᾳ τοῖς δημιουργοῖς καὶ τοῖς συνέδροις καὶ τοῖς ἄλλοις [c] συμμάχοις πᾶσι χαίρειν. ἐπειδὴ Λοκροὶ οἱ καλούμενοι ὀζόλαι, κατοικοῦντες ἐν Ἀμφίσσῃ, πλημμελοῦσιν εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Δελφοῖς καὶ τὴν ἱερὰν χώραν ἐρχόμενοι μεθ' ὅπλων λεηλατοῦσι, βούλομαι τῷ θεῷ μεθ' ὑμῶν βοηθεῖν καὶ ἀμύνασθαι τοὺς

[r] βοσκήματα] βοσκήμασι correctus O.
[s] ἐγίγνετο] ἐγένετο p.
[t] μοι om. S. k. s.
[u] ὑπήκουον] ὑπήκουσαν pr. S.
[x] οἱ om. u. v.
[y] ὑμᾶς] ἡμᾶς O.
[z] αὐτῷ παρασχὼν S. et γρ. Q. vulg. παραδοὺς αὐτῷ.
[a] οὗτος ἦν] οὗτος ἦν αὐτῷ k. p. r. s. et rec. S. pr. enim om.
[b] ΦΙΛΙΠΠΟΥ om. S. k. r. v.
[c] συμμάχοις πᾶσι] πᾶσι συμμάχοις r.

παραβαίνοντάς τι τῶν ἐν ἀνθρώποις εὐσεβῶν· ὥστε συναντᾶτε μετὰ τῶν ὅπλων εἰς τὴν Φωκίδα, ἔχοντες ἐπισιτισμὸν ἡμερῶν [d] τεσσαράκοντα, τοῦ ἐνεστῶτος μηνὸς λῴου, ὡς ἡμεῖς ἄγομεν, ὡς δὲ Ἀθηναῖοι, βοηδρομιῶνος, ὡς δὲ Κορίνθιοι, [e] πανέμου. τοῖς δὲ μὴ συναντήσασι πανδημεὶ χρησόμεθα, τοῖς δὲ συμβούλοις [f] ἡμῖν κειμένοις ἐπιζημίοις. εὐτυχεῖτε.

203 Ὁρᾶθ' ὅτι φεύγει [g] μὲν τὰς ἰδίας προφάσεις, εἰς δὲ τὰς Ἀμφικτυονικὰς καταφεύγει. τίς οὖν ὁ ταῦτα [h] συμπαρασκευάσας αὐτῷ; τίς ὁ τὰς προφάσεις ταύτας ἐνδούς; τίς ὁ τῶν κακῶν τῶν γεγενημένων μάλιστα αἴτιος; οὐχ οὗτος; μὴ τοίνυν λέγετε, ὦ ἄνδρες Ἀθηναῖοι, περιιόντες ὡς ὑφ' ἑνὸς τοιαῦτα πέπονθεν ἡ Ἑλλὰς ἀνθρώπου.

204 οὐχ ὑφ' ἑνός, ἀλλ' ὑπὸ πολλῶν καὶ πονηρῶν [i] τῶν παρ' ἑκάστοις, ὦ γῆ καὶ θεοί· ὧν εἷς [k] οὑτοσί, ὅν, [l] εἰ μηδὲν εὐλαβηθέντα τἀληθὲς εἰπεῖν δέοι, οὐκ ἂν ὀκνήσαιμι ἔγωγε κοινὸν ἀλιτήριον τῶν μετὰ ταῦτα ἀπολωλότων ἁπάντων εἰπεῖν, ἀνθρώπων, τόπων, πόλεων· ὁ γὰρ τὸ σπέρμα παρασχών, οὗτος τῶν [m] φύντων αἴτιος. ὃν ὅπως ποτὲ οὐκ εὐθὺς ἰδόντες ἀπεστράφητε, θαυμάζω· πλὴν πολύ τι 281 σκότος, ὡς ἔοικεν, [n] ἐστὶ παρ' ὑμῖν πρὸ τῆς ἀληθείας.

205 Συμβέβηκε τοίνυν μοι τῶν κατὰ τῆς πατρίδος τούτῳ πεπραγμένων ἁψαμένῳ εἰς ἃ τούτοις ἐναντιούμενος αὐτὸς πεπολίτευμαι [o] ἀφῖχθαι· ἃ πολλῶν μὲν ἕνεκ' [p] ἂν εἰκότως [q] ἀκούσαιτέ μου, μάλιστα δ' ὅτι αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ μὲν τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πό-

[d] τεσσαράκοντα S. Q. O. t. ceteri τετταράκοντα.

[e] πανέμου] πανήμου F.S.Y.Q.p.

[f] ἡμῖν κειμένοις F. S. Y. Q. p. r. vulg. interponunt μή.

[g] μὲν om. S.

[h] συμπαρασκευάσας] παρασκευάσας k. s.

[i] τῶν om. pr. S.

[k] οὑτοσί S. ceteri οὗτός ἐστιν.

[l] εἰ om. pr. s. post εὐλαβηθέντα ponit rec. s.

[m] φύντων αἴτιος Y. O. t. u. v. ceteri φύντων κακῶν αἴτιος.

[n] ἐστὶν ante ὡς ponit Y.

[o] ἀφῖχθαι om. pr. S.

[p] ἂν addidit S.

[q] ἀκούσαιτε Y. et correctus Q. ἀκούσατε k. r. s. ἀκούετε O. vulg. ἀκούσετε.

νων ὑπέμεινα, ὑμεῖς δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθε.
206 ὁρῶν γὰρ ἐγὼ Θηβαίους, σχεδὸν δὲ καὶ [r] ὑμᾶς ὑπὸ τῶν
τὰ Φιλίππου [s] φρονούντων καὶ διεφθαρμένων παρ' ἑκατέ-
ροις, ὃ μὲν ἦν ἀμφοτέροις φοβερὸν καὶ φυλακῆς πολλῆς
δεόμενον, τὸ τὸν Φίλιππον ἐᾶν αὐξάνεσθαι, παρορῶντας
καὶ οὐδὲ καθ' ἓν φυλαττομένους, εἰς ἔχθραν δὲ καὶ τὸ
προσκρούειν [t] ἀλλήλοις ἑτοίμως ἔχοντας, ὅπως [u] τοῦτο μὴ
207 [x] γένοιτο παρατηρῶν διετέλουν, οὐκ ἀπὸ τῆς ἐμαυτοῦ γνώ-
μης μόνον ταῦτα συμφέρειν ὑπολαμβάνων, ἀλλ' εἰδὼς
Ἀριστοφῶντα καὶ πάλιν Εὔβουλον πάντα τὸν χρόνον
βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν, καὶ περὶ τῶν
ἄλλων πολλάκις ἀντιλέγοντας [y] ἑαυτοῖς [z] τοῦθ' ὁμογνω-
μονοῦντας ἀεί. οὓς σὺ ζῶντας μέν, [a] ὦ [b] κίναδος, κολα-
κεύων παρηκολούθεις, τεθνεώτων δ' οὐκ [c] αἰσθάνει κατη-
γορῶν· ἃ γὰρ περὶ Θηβαίων ἐπιτιμᾷς ἐμοί, ἐκείνων πολὺ
μᾶλλον ἢ ἐμοῦ κατηγορεῖς, τῶν [d] πρότερον ἢ ἐγὼ ταύτην
208 τὴν συμμαχίαν δοκιμασάντων. ἀλλ' ἐκεῖσε ἐπάνειμι,
ὅτι τὸν ἐν Ἀμφίσσῃ πόλεμον τούτου μὲν ποιήσαντος,
συμπεραναμένων δὲ τῶν ἄλλων τῶν συνεργῶν αὐτῷ τὴν
[e] πρὸς Θηβαίους ἔχθραν, συνέβη τὸν Φίλιππον ἐλθεῖν ἐφ'
ἡμᾶς, οὗπερ ἕνεκα τὰς πόλεις οὗτοι συνέκρουον, καὶ εἰ 282
μὴ [f] προεξανέστημεν μικρόν, [g] οὐδ' ἀναλαβεῖν [h] αὐτοὺς ἂν
ἠδυνήθημεν· οὕτω μέχρι πόρρω προήγαγον οὗτοι [i] τὸ πρᾶγ-

[r] ὑμᾶς] ἡμᾶς O.
[s] φρονούντων S. k. r. s. et γρ. Q. O. vulg. πραττόντων.
[t] ἀλλήλοις] ἀλλήλους γρ. s.
[u] τοῦτο μὴ] μὴ τοῦτο O. u.
[x] γένοιτο S. vulg. γενήσεται.
[y] ἑαυτοῖς om. pr. S.
[z] τοῦθ'] εἰς τοῦθ' k. s.
[a] ὦ] ὡς k. s.
[b] κίναδος] κίναιδος k. p. r. u.
[c] αἰσθάνει S. ceteri αἰσχύνῃ.
[d] πρότερον] προτέρων u.
[e] πρὸς Θηβαίους S. vulg. πρὸς τοὺς θηβαίους.
[f] προεξανέστημεν] προσεξανέστημεν S. προεξέστη O.
[g] οὐδ'] οὐδ' ἂν F.
[h] αὐτοὺς om. S. k. s.
[i] τὸ πρᾶγμα om. k. s. et γρ. S. Q. τὴν ἔχθραν S. p. r. et altera γρ. Q.

μα. ἐν οἷς δ' ἦτε ἤδη τὰ πρὸς ἀλλήλους, [k] τουτωνὶ τῶν ψηφισμάτων ἀκούσαντες καὶ τῶν ἀποκρίσεων εἴσεσθε. [l] Καί μοι λέγε ταῦτα λαβών.

### [m] ΨΗΦΙΣΜΑ.

209 Ἐπὶ ἄρχοντος Ἡροπύθου, μηνὸς ἐλαφηβολιῶνος ἕκτῃ φθίνοντος, φυλῆς πρυτανευούσης Ἐρεχθηΐδος, βουλῆς καὶ στρατηγῶν γνώμῃ, ἐπειδὴ Φίλιππος ἃς μὲν κατείληφε πόλεις τῶν ἀστυγειτόνων, τινὰς δὲ πορθεῖ, κεφαλαίῳ δὲ ἐπὶ τὴν Ἀττικὴν παρασκευάζεται [n] παραγίγνεσθαι, παρ' οὐδὲν [o] ἡγούμενος τὰς ἡμετέρας συνθήκας, καὶ τοὺς ὅρκους λύειν ἐπιβάλλεται καὶ τὴν εἰρήνην, παραβαίνων
210 τὰς κοινὰς πίστεις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ πέμπειν πρὸς αὐτὸν [p] πρέσβεις, οἵτινες αὐτῷ διαλέξονται καὶ παρακαλέσουσιν αὐτὸν μάλιστα μὲν τὴν πρὸς ἡμᾶς ὁμόνοιαν διατηρεῖν καὶ τὰς συνθήκας, εἰ δὲ μή, [q] πρὸς τὸ βουλεύσασθαι δοῦναι χρόνον τῇ πόλει καὶ τὰς ἀνοχὰς ποιήσασθαι μέχρι τοῦ θαργηλιῶνος μηνός. ᾑρέθησαν ἐκ [r] τῆς βουλῆς [s] Σῖμος [t] Ἀναγυράσιος, Εὐθύδημος [u] Φλυάσιος, [x] Βουλαγόρας Ἀλωπεκῆθεν.

### [y] ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ.

211 Ἐπὶ ἄρχοντος Ἡροπύθου, μηνὸς μουνυχιῶνος ἕνῃ καὶ νέᾳ, πολεμάρχου γνώμῃ, ἐπειδὴ Φίλιππος εἰς ἀλλοτριότητα [z] Θηβαίους πρὸς ἡμᾶς ἐπιβάλλεται καταστῆσαι, παρεσκεύασται δὲ καὶ παντὶ τῷ στρατεύματι πρὸς τοὺς ἔγγιστα τῆς Ἀττικῆς παραγίγνεσθαι τόπους, παραβαίνων τὰς πρὸς ἡμᾶς ὑπαρχούσας αὐτῷ συν- 283
212 θήκας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ πέμψαι πρὸς αὐτὸν κήρυκα καὶ πρέσβεις, οἵτινες ἀξιώσουσι καὶ παρακαλέσουσιν αὐτὸν ποιήσασθαι τὰς ἀνοχάς, ὅπως [a] ἐνδεχομένως ὁ δῆμος βουλεύσηται· καὶ γὰρ νῦν οὐ κέκρικε βοηθεῖν [b] ἐν οὐδενὶ τῶν μετρίων. ᾑρέθησαν

[k] τουτωνὶ] τούτων k.
[l] Καί—λαβών om. k. s.
[m] ΨΗΦΙΣΜΑ] ψηφίσματα S.
[n] παραγίγνεσθαι] πορεύεσθαι p.
[o] ἡγούμενος] ποιούμενος p.
[p] πρέσβεις] κήρυκα καὶ πρέσβεις k. s.
[q] πρὸς τὸ] πρὸς τῷ O. u.
[r] τῆς om. S. F.
[s] Σῖμος Y. vulg. Σίμος.
[t] Ἀναγυράσιος] ἀναγυρρασιος F. S. p. r. t. u. v. ἀνασυρράσιος O.
[u] Φλυάσιος] φλειασιος S. φλιάσιος F. Y. Q. O. r. t. u. v.
[x] Βουλαγόρας] δουλαγόρας r.
[y] ΕΤΕΡΟΝ om. S.
[z] Θηβαίους] τοὺς θηβαίους u.
[a] ἐνδεχομένως] ἐνδεχόμενον p. r. ἐνδεχομένων F. S. Y. Q.
[b] ἐν om. pr.

ἐκ [c] τῆς βουλῆς Νέαρχος Σωσινόμου, Πολυκράτης Ἐπίφρονος, καὶ κῆρυξ Εὔνομος Ἀναφλύστιος [d] ἐκ τοῦ δήμου.

Λέγε δὴ καὶ τὰς ἀποκρίσεις.

[e] ΑΠΟΚΡΙΣΙΣ [f] ΑΘΗΝΑΙΟΙΣ.

213 Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἣν μὲν ἀπ' ἀρχῆς εἴχετε πρὸς ἡμᾶς αἵρεσιν, οὐκ ἀγνοῶ, καὶ τίνα σπουδὴν ποιεῖσθε προσκαλέσασθαι βουλόμενοι Θετταλοὺς καὶ Θηβαίους, ἔτι δὲ καὶ Βοιωτούς· βέλτιον δ' αὐτῶν φρονούντων καὶ μὴ βουλομένων ἐφ' ὑμῖν ποιήσασθαι τὴν ἑαυτῶν
214 αἵρεσιν, ἀλλὰ κατὰ τὸ συμφέρον ἱσταμένων, νῦν ἐξ ὑποστροφῆς ἀποστείλαντες ὑμεῖς πρός με πρέσβεις καὶ [g] κήρυκα συνθηκῶν μνημονεύετε καὶ τὰς ἀνοχὰς αἰτεῖσθε, κατ' οὐδὲν ὑφ' ἡμῶν [h] πεπλημμελημένοι. ἐγὼ μέντοι [i] ἀκούσας τῶν [k] πρεσβευτῶν συγκατατίθεμαι τοῖς παρακαλουμένοις καὶ ἕτοιμός εἰμι ποιεῖσθαι τὰς ἀνοχάς, ἄν περ [l] τοὺς οὐκ ὀρθῶς συμβουλεύοντας ὑμῖν παραπέμψαντες τῆς προσηκούσης ἀτιμίας [m] ἀξιώσητε. [n] ἔρρωσθε.

[o] ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΟΙΣ.

215 Βασιλεὺς Μακεδόνων Φίλιππος Θηβαίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἐκομισάμην τὴν παρ' ὑμῶν ἐπιστολήν, δι' ἧς μοι τὴν ὁμόνοιαν καὶ τὴν εἰρήνην [p] ἀνανεοῦσθε. πυνθάνομαι μέντοι διότι 284
πᾶσαν ὑμῖν Ἀθηναῖοι προσφέρονται φιλοτιμίαν βουλόμενοι ὑμᾶς συγκαταίνους γενέσθαι τοῖς ὑπ' αὐτῶν παρακαλουμένοις. πρότερον [q] μὲν οὖν ὑμῶν κατεγίγνωσκον ἐπὶ τῷ μέλλειν πείθεσθαι ταῖς ἐκεί-
216 νων ἐλπίσι καὶ ἐπακολουθεῖν αὐτῶν τῇ προαιρέσει. νῦν δ' ἐπιγνοὺς ὑμᾶς [r] τὰ πρὸς ἡμᾶς ἐξητηκότας ἔχειν εἰρήνην μᾶλλον ἢ ταῖς ἑτέρων ἐπακολουθεῖν γνώμαις, ἥσθην καὶ μᾶλλον ὑμᾶς ἐπαινῶ [s] κατὰ πολλά, μάλιστα δ' ἐπὶ τῷ βουλεύσασθαι περὶ τούτων ἀσφαλέσ-

[c] τῆς om. F. S. Y. Q. p. r.
[d] ἐκ τοῦ δήμου om. O. u. v.
[e] ΑΠΟΚΡΙΣΙΣ] ἀποκρίσεις F. S. Y. Q. p. u. v.
[f] ΑΘΗΝΑΙΟΙΣ om. O. u. v.
[g] κήρυκα Reiskius: libri κήρυκας. ελημ
[h] πεπλημμελημένοι] πεπλημμένοι S. πεπληγμένοι Y. O. t. u. v.
[i] ἀκούσας ante συγκατ. ponunt O. u.
[k] πρεσβευτῶν] πρεσβυτῶν r.
[l] τοὺς] τούτους S.
[m] ἀξιώσητε] ἐξεώσητε Y.
[n] ἔρρωσθε om. Q.
[o] ΑΠΟΚΡΙΣΙΣ] αποκρισεις F. S. Q. p. u. v.
[p] ἀνανεοῦσθε] τωσεμοι ειτε S. ἀνανεοῦσθε καὶ τὴν εἰρήνην et deinde lacunam Q.
[q] μὲν om. p. r.
[r] τὰ] τὴν Q. k. p. s.
[s] κατὰ] καὶ τὰ F. S. Y. Q. O. p. r. v.

τερον καὶ τὰ πρὸς ἡμᾶς ἔχειν ἐν εὐνοίᾳ· ὅπερ οὐ μικρὰν ὑμῖν οἴ-
σειν ἐλπίζω ῥοπήν, ἐάν περ ἐπὶ ταύτης μένητε τῆς [t]προθέσεως.
ἔῤῥωσθε.

217 Οὕτω [u]διαθεὶς ὁ Φίλιππος τὰς πόλεις πρὸς [x]ἀλλή-
λας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι
καὶ ταῖς ἀποκρίσεσιν, ἧκεν ἔχων τὴν δύναμιν καὶ τὴν
Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ᾽ ἂν εἴ τι γένοιτο ἔτι συμ-
πνευσόντων [y]ἡμῶν καὶ τῶν Θηβαίων. ἀλλὰ μὴν τὸν τότε
συμβάντα [z]ἐν τῇ πόλει θόρυβον ἴστε μὲν ἅπαντες· μικρὰ
δ᾽ ἀκούσατε ὅμως, [a]αὐτὰ τἀναγκαιότατα.

218 Ἑσπέρα μὲν [b]γὰρ ἦν, ἧκε δ᾽ [c]ἀγγέλλων τις ὡς τοὺς
πρυτάνεις ὡς Ἐλάτεια κατείληπται. καὶ μετὰ ταῦτα
οἱ μὲν εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες τούς τ᾽ ἐκ
τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον καὶ τὰ γέῤῥα
ἐνεπίμπρασαν, οἱ δὲ τοὺς στρατηγοὺς [d]μετεπέμποντο καὶ
τὸν [e]σαλπιγκτὴν ἐκάλουν· καὶ θορύβου πλήρης ἦν ἡ πό-
219 λις. τῇ δ᾽ ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ οἱ μὲν πρυτάνεις τὴν
βουλὴν ἐκάλουν εἰς τὸ βουλευτήριον, ὑμεῖς δ᾽ εἰς τὴν ἐκ-
κλησίαν ἐπορεύεσθε, καὶ πρὶν ἐκείνην χρηματίσαι καὶ προ- 285
βουλεῦσαι πᾶς ὁ δῆμος ἄνω [f]καθῆτο. καὶ μετὰ ταῦτα
ὡς [g]εἰσῆλθεν ἡ βουλὴ καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ
προσηγγελμένα [h]ἑαυτοῖς καὶ τὸν ἥκοντα παρήγαγον κά-
220 κεῖνος εἶπεν, ἠρώτα μὲν ὁ κῆρυξ "τίς ἀγορεύειν βούλεται;"
παρῄει δ᾽ οὐδείς. [i]πολλάκις δὲ τοῦ κήρυκος ἐρωτῶντος
οὐδὲν μᾶλλον ἀνίστατ᾽ οὐδείς, ἁπάντων μὲν τῶν στρατη-

[t] προθέσεως] πίστεως t.
[u] διαθεὶς] διατεθεὶς k.
[x] ἀλλήλας] ἀλλήλους Y.
[y] ἡμῶν Q. ὑμῶν (ἡ superscr.) F. ἂν ἡμῶν S. k. s. ὑμῶν ceteri.
[z] ἐν om. k. r. s.
[a] αὐτὰ τὰ om. pr. S.
[b] γὰρ om. k.
[c] ἀγγέλλων] ἀγγέλων O. s.
[d] μετεπέμποντο] κατεπέμποντο t.
[e] σαλπιγκτὴν] σαλπικτὴν F. S. Y. Q.
[f] καθῆτο] κάθητο O. καθῆστο k. p. r. s.
[g] εἰσῆλθεν] ἦλθεν S. Q. k. s.
[h] ἑαυτοῖς] αὐτοῖς k. r.
[i] πολλάκις] πολλάκι Y.

γῶν [k]παρόντων, [l]ἁπάντων [m]δὲ τῶν ῥητόρων, καλούσης δὲ
[n]τῆς πατρίδος τῇ κοινῇ φωνῇ τὸν ἐροῦνθ' ὑπὲρ σωτηρίας·
ἣν γὰρ ὁ κῆρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην
221 κοινὴν τῆς πατρίδος δίκαιόν [o]ἐστιν ἡγεῖσθαι. καίτοι εἰ
μὲν [p]τοὺς σωθῆναι τὴν πόλιν βουλομένους παρελθεῖν ἔδει,
πάντες [q]ἂν ὑμεῖς καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἀναστάντες ἐπὶ
τὸ βῆμα ἐβαδίζετε· πάντες [r]γὰρ οἶδ' ὅτι σωθῆναι αὐτὴν
[s]ἠβούλεσθε· εἰ δὲ τοὺς πλουσιωτάτους, οἱ τριακόσιοι· εἰ δὲ
τοὺς ἀμφότερα ταῦτα, καὶ εὔνους τῇ πόλει καὶ πλουσί-
ους, οἱ μετὰ ταῦτα τὰς μεγάλας ἐπιδόσεις ἐπιδόντες·
222 καὶ γὰρ εὐνοίᾳ καὶ πλούτῳ τοῦτ' ἐποίησαν. ἀλλ' ὡς ἔοι-
κεν, ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη οὐ μόνον εὔνουν
καὶ πλούσιον ἄνδρα ἐκάλει, ἀλλὰ καὶ παρηκολουθηκότα
τοῖς πράγμασιν ἐξ ἀρχῆς, καὶ συλλελογισμένον [t]ὀρθῶς
τίνος [u]ἕνεκα ταῦτ' ἔπραττεν ὁ Φίλιππος καὶ τί βουλό-
μενος· ὁ γὰρ μὴ ταῦτ' εἰδὼς [x]μηδ' ἐξητακὼς πόῤῥωθεν
[y]ἐπιμελῶς, οὔτ' εἰ εὔνους ἦν οὔτ' εἰ πλούσιος, οὐδὲν μᾶλ-
λον ἤμελλεν ὅ τι χρὴ ποιεῖν εἴσεσθαι οὐδ' ὑμῖν ἕξειν συμ-
223 βουλεύειν. ἐφάνην τοίνυν [z]οὗτος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγώ,
καὶ παρελθὼν εἶπον εἰς ὑμᾶς, ἅ μου [a]δυοῖν [b]ἕνεκ' ἀκού- 286
σατε [c]προσέχοντες τὸν νοῦν, ἑνὸς μέν, ἵν' εἰδῆτε ὅτι μόνος
τῶν λεγόντων καὶ πολιτευομένων ἐγὼ τὴν τῆς εὐνοίας τά-
ξιν ἐν τοῖς δεινοῖς οὐκ ἔλιπον, ἀλλὰ [d]καὶ λέγων καὶ

[k] Ante παρόντων duas tresve litteras delevit S.
[l] ἁπάντων ante δὲ om. pr. S.
[m] δὲ τῶν] δὲ καὶ τῶν p. δὲ O.
[n] τῆς πατρίδος τῇ κοινῇ φωνῇ γρ. S.Q. τῆς κοινῆς πατρίδος φωνῆς S.p. τῇ κοινῇ τῆς πατρίδος φωνῇ k. s. τῆς κοινῆς τῆς πατρίδος φωνῆς ceteri.
[o] ἐστιν om. F. O. t. u. v.
[p] τοὺς] τοῦ r.
[q] ἂν om. r.
[r] γὰρ οἶδ' S. vulg. γὰρ εὖ οἶδ' ὅτι.
[s] ἠβούλεσθε] ἐβούλεσθε S.
[t] ὀρθῶς] εξαρχῆς ὀρθῶς S.
[u] ἕνεκα] ἕνεκεν k. ἕνεκε s.
[x] μηδ' S. k. s. vulg. μήτ'.
[y] ἐπιμελῶς om. pr. S.
[z] οὗτος om. O.
[a] δυοῖν] δυεῖν k. s.
[b] ἕνεκ'] εἵνεκα k.
[c] προσέχοντες] προσσχόντες Q. προσχόντες S.
[d] καὶ post ἀλλὰ om. r.

γράφων ἐξηταζόμην τὰ δέονθ' ὑπὲρ ὑμῶν ἐν αὐτοῖς τοῖς φοβεροῖς, ἑτέρου δέ, ὅτι μικρὸν ἀναλώσαντες χρόνον [e] πολλῷ πρὸς τὰ λοιπὰ [f] τῆς πάσης πολιτείας ἔσεσθ' ἐμπειρότεροι.

224 εἶπον τοίνυν ὅτι "τοὺς μὲν ὡς ὑπαρχόντων [g] Θηβαίων [h] Φιλίππῳ λίαν θορυβουμένους ἀγνοεῖν τὰ παρόντα πράγμαθ' ἡγοῦμαι· εὖ γὰρ οἶδ' ὅτι, εἰ τοῦθ' οὕτως ἐτύγχανεν ἔχον, οὐκ ἂν αὐτὸν ἠκούομεν ἐν Ἐλατείᾳ [i] ὄντα, ἀλλ' ἐπὶ τοῖς ἡμετέροις ὁρίοις. ὅτι μέντοι ἵν' ἕτοιμα [k] ποιήσηται τὰ ἐν [l] Θήβαις ἥκει, σαφῶς ἐπίσταμαι. ὡς δ'

225 ἔχει" [m] ἔφην "ταῦτα, ἀκούσατέ μου. ἐκεῖνος ὅσους ἢ πεῖσαι χρήμασι Θηβαίων ἢ ἐξαπατῆσαι ἐνῆν, ἅπαντας [n] ηὐτρέπισται· τοὺς δ' ἀπ' ἀρχῆς ἀνθεστηκότας αὐτῷ καὶ νῦν ἐναντιουμένους οὐδαμῶς πεῖσαι δύναται. τί οὖν βούλεται, καὶ τίνος [o] ἕνεκα τὴν Ἐλάτειαν [p] κατείληφεν; πλησίον δύναμιν δείξας καὶ παραστήσας τὰ ὅπλα τοὺς μὲν ἑαυτοῦ φίλους ἐπᾶραι καὶ [q] θρασεῖς ποιῆσαι, τοὺς δ' ἐναντιουμένους καταπλῆξαι, ἵν' ἢ συγχωρήσωσι

226 φοβηθέντες ἃ νῦν οὐκ ἐθέλουσιν, ἢ βιασθῶσιν. εἰ μὲν [r] τοίνυν προαιρησόμεθ' ἡμεῖς" ἔφην "ἐν τῷ παρόντι, εἴ τι δύσκολον πέπρακται Θηβαίοις πρὸς ἡμᾶς, τούτου μεμνῆσθαι καὶ ἀπιστεῖν αὐτοῖς ὡς ἐν τῇ τῶν ἐχθρῶν οὖσι μερίδι, πρῶτον μὲν ἃ ἂν εὔξαιτο Φίλιππος ποιήσομεν, εἶτα φοβοῦμαι μὴ προσδεξαμένων τῶν νῦν ἀνθεστηκότων αὐτῷ καὶ μιᾷ γνώμῃ πάντων φιλιππισάν- 287

[e] πολλῷ] πολλῷ Y.
[f] τῆς πάσης] πάσης τῆς Q. τῆς ἄλλης k.
[g] Θηβαίων] τῶν θηβαίων r.
[h] Φιλίππῳ λίαν S. φίλων φιλίππῳ λίαν F. Y. Q. O. p. r. t. u. v. φιλίππῳ φίλων λίαν k. s.
[i] ὄντα] νῦν ὄντα k. r. s.
[k] ποιήσηται] ποιήσητε O. v.
[l] Θήβαις] θηβαίοις F. p. u.
[m] ἔφην ταῦτα S. vulg. ταῦτα ἔφην.
[n] ηὐτρέπισται] εὐτρέπισται S.
[o] ἕνεκα] ἕνεκεν k. s.
[p] κατείληφεν] κατείληφεν ἵνα S. Q.
[q] θρασεῖς ποιῆσαι καὶ ἐπᾶραι F. Y. Q. O. p. r. t. u. v.
[r] τοίνυν S. ceteri οὖν.

" των εἰς τὴν Ἀττικὴν ἔλθωσιν ἀμφότεροι. ἂν μέντοι πει-
" σθῆτ᾽ ἐμοὶ καὶ πρὸς τῷ σκοπεῖν ἀλλὰ μὴ [s]φιλονεικεῖν
" περὶ ὧν ἂν λέγω [t]γένησθε, οἶμαι καὶ τὰ δέοντα λέγειν
" δόξειν καὶ τὸν ἐφεστηκότα κίνδυνον τῇ πόλει διαλύσειν.
227 " τί οὖν φημὶ δεῖν; πρῶτον μὲν τὸν παρόντα ἐπανεῖναι
" φόβον, εἶτα μεταθέσθαι καὶ φοβεῖσθαι πάντας ὑπὲρ
" Θηβαίων· πολὺ γὰρ τῶν δεινῶν εἰσὶν [u]ἡμῶν ἐγγυτέρω,
" καὶ προτέροις αὐτοῖς [x]ἐστὶν ὁ κίνδυνος· ἔπειτ᾽ ἐξελθόν-
" τας Ἐλευσῖνάδε τοὺς ἐν ἡλικίᾳ καὶ τοὺς ἱππέας δεῖξαι
" πᾶσιν [y]ὑμᾶς αὐτοὺς ἐν τοῖς ὅπλοις ὄντας, ἵνα τοῖς ἐν
" Θήβαις φρονοῦσι τὰ [z]ὑμέτερα ἐξ ἴσου γένηται τὸ παρ-
" ῥησιάζεσθαι περὶ τῶν δικαίων, [a]εἰδόσιν ὅτι, ὥσπερ τοῖς
" πωλοῦσι Φιλίππῳ [b]τὴν πατρίδα πάρεσθ᾽ ἡ βοηθήσουσα
" δύναμις ἐν Ἐλατείᾳ, οὕτω τοῖς ὑπὲρ τῆς ἐλευθερίας
" ἀγωνίζεσθαι βουλομένοις ὑπάρχεθ᾽ ὑμεῖς ἕτοιμοι καὶ
228 " βοηθήσετ᾽, ἐάν τις ἐπ᾽ αὐτοὺς ἴῃ. μετὰ ταῦτα χειρο-
" τονῆσαι [c]κελεύω δέκα πρέσβεις, καὶ ποιῆσαι τούτους
" κυρίους [d]μετὰ τῶν στρατηγῶν καὶ τοῦ πότε [e]δεῖ βαδί-
" ζειν ἐκεῖσε καὶ τῆς ἐξόδου. ἐπειδὰν δ᾽ ἔλθωσιν οἱ πρέσ-
" βεις εἰς Θήβας, πῶς [f]χρήσασθαι τῷ πράγματι [g]παρ-
229 " αινῶ; τούτῳ πάνυ μοι προσέχετε τὸν νοῦν. [h]μὴ [i]δεῖσθε

[s] φιλονεικεῖν] φιλονικεῖν O.

[t] γένησθε] γενήσεσθε Y. Q. p.

[u] ἡμῶν recepi ex S. k. r. s. et γρ. Q.

[x] ἐστὶν ὁ κίνδυνος S. et γρ. Q. ἐσθ᾽ ὁ κίνδυνος k. r. s. ὁ κίνδυνος F. Q. Y. O. p. t. u. v.

[y] ὑμᾶς] ἡμᾶς k.

[z] ὑμέτερα] ἡμέτερα k. r. et correctus S.

[a] εἰδόσιν] εἰδοῦσιν Y. Q. ἰδοῦσιν S. k. r.

[b] τὴν] καὶ τὴν t.

[c] κελεύω om. pr. O.

[d] μετὰ] κατὰ s.

[e] δεῖ βαδίζειν ἐκεῖσε S.k.s. ἐκεῖσε δεῖ βαδίζειν O. ceteri δεῖ ἐκεῖσε βαδίζειν.

[f] χρήσασθαι] χρήσεσθαι F.O.p.r. χρήσεσθε s. u. v.

[g] παραινῶ τούτῳ] τούτῳ παραινῶ k. s.

[h] μὴ — καιρός ante ἐπειδὰν ponit r.

[i] δεῖσθε] δεῖσθαι F.S.Q.O.k.u.

“ Θηβαίων μηδέν (αἰσχρὸς γὰρ ὁ καιρός) ἀλλ' [k]ἐπαγ-
“ γέλλεσθε βοηθήσειν, ἐὰν κελεύωσιν, ὡς ἐκείνων [l]μὲν ὄντων
“ ἐν τοῖς ἐσχάτοις [m]κινδύνοις, ἡμῶν δὲ ἄμεινον ἢ [n]'κεῖνοι
“ [o]τὸ μέλλον προορωμένων· ἵν' ἐὰν μὲν δέξωνται ταῦτα
“ καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν διῳκημένοι 288
“ καὶ μετὰ [p]προσχήματος ἀξίου τῆς πόλεως ταῦτα
“ πράξωμεν, ἐὰν δ' ἄρα μὴ συμβῇ [q]κατατυχεῖν, ἐκεῖνοι
“ μὲν ἑαυτοῖς ἐγκαλῶσιν, ἄν τι νῦν [r]ἐξαμαρτάνωσιν, ἡμῖν
230 “ δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ᾖ πεπραγμένον.” Ταῦτα
καὶ [s]παραπλήσια τούτοις εἰπὼν κατέβην. συνεπαινεσάντων
δὲ πάντων καὶ οὐδενὸς εἰπόντος ἐναντίον οὐδὲν οὐκ εἶπον
μὲν ταῦτα, οὐκ ἔγραψα δέ, οὐδ' ἔγραψα μέν, οὐκ ἐπρέσ-
βευσα δέ, οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους·
ἀλλ' ἀπὸ τῆς ἀρχῆς [t]διὰ πάντων [u]ἄχρι τῆς τελευτῆς δι-
εξῆλθον, καὶ ἔδωκ' ἐμαυτὸν [x]ὑμῖν ἁπλῶς εἰς τοὺς περι-
εστηκότας τῇ πόλει κινδύνους. Καί μοι φέρε τὸ ψή-
φισμα τὸ τότε [y]γενόμενον.

231 Καίτοι τίνα βούλει σέ, [z]Αἰσχίνη, καὶ τίνα ἐμαυτὸν
ἐκείνην τὴν ἡμέραν εἶναι [a]θῶ; βούλει ἐμαυτὸν [b]μέν, ὃν ἂν
σὺ λοιδορούμενος καὶ διασύρων καλέσαις, [c]Βάταλον, [d]σὲ
δὲ μηδ' [e]ἥρω τὸν τυχόντα, ἀλλὰ τούτων τινὰ τῶν ἀπὸ

[k] ἐπαγγέλλεσθε] ἐπαγγέλλεσθαι F. S. Q. p. r. ἐπαγγείλασθε O. u. v. ἐπαγγείλασθαι t.

[l] μὲν om. F. S. Q. O. t. u. v.

[m] κινδύνοις om. S.

[n] κεῖνοι S. Q. κείνων Y. O. u. v. ἐκείνων F. p. r. t. ἐκεῖνοι k. s.

[o] τὸ μέλλον om. S. post προορωμένων ponit γρ. S.

[p] προσχήματος] σχήματος k. s.

[q] κατατυχεῖν] κατὰ τύχην F.

[r] ἐξαμαρτάνωσιν S. ceteri ἐξαμάρτωσιν.

[s] παραπλήσια] τὰ παραπλήσια s.

[t] διὰ πάντων om. pr. S.

[u] ἄχρι] μέχρι t.

[x] ὑμῖν om. k. s.

[y] γενόμενον] γινόμενον r.

[z] Αἰσχίνη] ὦ αἰσχίνη k.

[a] θῶ] φῶ k.

[b] μὲν om. k.

[c] Βάταλον] βάτταλον S. k. κατάλογον p.

[d] σὲ] σὺ O.

[e] ἥρω] ἥρωα F. S. Y. p. r. t. u. v. ἥροα O.

τῆς σκηνῆς, Κρεσφόντην ἢ Κρέοντα ἢ ὃν ἐν [f] Κολυττῷ ποτὲ Οἰνόμαον [g] κακὸς κακῶς [h] ὑποκρινόμενος ἐπέτριψας; τότε τοίνυν κατ' ἐκεῖνον τὸν καιρὸν ὁ Παιανιεὺς ἐγὼ Βάταλος Οἰνομάου τοῦ Κοθωκίδου σοῦ πλείονος ἄξιος ὢν ἐφάνην τῇ πατρίδι. σὺ μέν γε οὐδὲν οὐδαμοῦ χρήσιμος ἦσθα· ἐγὼ δὲ [i] πάντα, [k] ὅσα προσῆκε τὸν ἀγαθὸν πολίτην, [l] ἔπραττον. Λέγε τὸ [m] ψήφισμα.

## ΨΗΦΙΣΜΑ [n] ΔΗΜΟΣΘΕΝΟΥΣ.

232 Ἐπὶ ἄρχοντος Ναυσικλέους, φυλῆς πρυτανευούσης [o] Αἰαντίδος,
σκιροφοριῶνος ἕκτῃ ἐπὶ [p] δέκα, Δημοσθένης Δημοσθένους Παια-
νιεὺς εἶπεν, ἐπειδὴ Φίλιππος ὁ Μακεδόνων [q] βασιλεὺς ἔν [r] τε τῷ 289
παρεληλυθότι χρόνῳ παραβαίνων φαίνεται τὰς γεγενημένας αὐτῷ
συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον περὶ τῆς εἰρήνης, ὑπεριδὼν τοὺς
ὅρκους καὶ [s] τὰ παρὰ πᾶσι τοῖς Ἕλλησι νομιζόμενα εἶναι δίκαια,
καὶ πόλεις [t] παραιρεῖται οὐδὲν αὐτῷ προσηκούσας, τινὰς δὲ καὶ
Ἀθηναίων οὔσας [u] δοριαλώτους πεποίηκεν οὐδὲν προαδικηθεὶς ὑπὸ
233 τοῦ δήμου [x] τοῦ Ἀθηναίων, ἔν τε τῷ παρόντι ἐπὶ πολὺ προάγει τῇ
τε βίᾳ καὶ τῇ ὠμότητι· καὶ γὰρ Ἑλληνίδας πόλεις ἃς μὲν [y] ἐμ-
φρούρους ποιεῖ καὶ τὰς πολιτείας καταλύει, τινὰς δὲ καὶ [z] ἐξαν-
δραποδιζόμενος κατασκάπτει, εἰς ἐνίας δὲ καὶ ἀντὶ Ἑλλήνων βαρ-
βάρους κατοικίζει ἐπὶ τὰ ἱερὰ καὶ τοὺς τάφους ἐπάγων, οὐδὲν ἀλ-
λότριον ποιῶν οὔτε τῆς ἑαυτοῦ πατρίδος οὔτε τοῦ τρόπου, καὶ τῇ
νῦν αὐτῷ παρούσῃ τύχῃ κατακόρως χρώμενος, ἐπιλελησμένος ἑαυ-
τοῦ ὅτι ἐκ μικροῦ καὶ τοῦ τυχόντος γέγονεν ἀνελπίστως [a] μέγας.
234 καὶ ἕως μὲν πόλεις ἑώρα παραιρούμενον αὐτὸν βαρβάρους καὶ

[f] Κολυττῷ] κολυτωι S. κολλυτῷ k.
[g] κακὸς om. F.S.O.k.p.r.s.t.u. v. καὶ Y.
[h] ὑποκρινόμενος om. pr. S.
[i] πάντα] ἅπαντα k. s.
[k] ὅσα] ἃ k.
[l] ἔπραττον om. Y.
[m] ψήφισμα] ψήφισμά μοι S. k.
[n] ΔΗΜΟΣΘΕΝΟΥΣ om. O. u.
[o] Αἰαντίδος] αἰτιαντῖδος O.
[p] δέκα] δεκάδι p. r. t.
[q] βασιλεὺς om. F. S. Q.
[r] τε om. Y. p. r.
[s] τὰ om. Y.
[t] παραιρεῖται] παραιτεῖται S.
[u] δοριαλώτους F. S. Y. Q. vulg. δορυαλώτους.
[x] τοῦ Ἀθηναίων S. Q. vulg. τῶν Ἀθηναίων.
[y] ἐμφρούρους] ἐμφόρους O.
[z] ἐξανδραποδιζόμενος] ἐξανδραποσαδιζόμενος r.
[a] μέγας om. F. S. Y. Q. O. r. t. u. v. ante ἀνελπίστως ponit margo r.

ἰδίας, [b] ὑπελάμβανεν ἔλαττον εἶναι ὁ δῆμος [c] ὁ Ἀθηναίων τὸ εἰς
αὑτὸν πλημμελεῖσθαι· νῦν δὲ ὁρῶν Ἑλληνίδας πόλεις τὰς μὲν
ὑβριζομένας τὰς δὲ ἀναστάτους γιγνομένας, δεινὸν ἡγεῖται [d] εἶναι
καὶ ἀνάξιον τῆς τῶν προγόνων δόξης τὸ περιορᾶν τοὺς Ἕλληνας
235 καταδουλουμένους. διὸ δέδοκται τῇ βουλῇ καὶ τῷ δήμῳ [e] τῷ Ἀθη-
ναίων, εὐξαμένους καὶ θύσαντας τοῖς θεοῖς καὶ ἥρωσι τοῖς κατέ-
χουσι τὴν πόλιν καὶ τὴν χώραν [f] τὴν Ἀθηναίων, καὶ [g] ἐνθυμηθέν-
τας τῆς τῶν προγόνων ἀρετῆς, διότι περὶ πλείονος ἐποιοῦντο τὴν
τῶν Ἑλλήνων ἐλευθερίαν διατηρεῖν ἢ τὴν ἰδίαν πατρίδα, διακοσίας
ναῦς καθέλκειν εἰς τὴν θάλατταν καὶ τὸν ναύαρχον ἀναπλεῖν ἐντὸς
Πυλῶν, καὶ [h] τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον τὰς πεζὰς καὶ τὰς
236 ἱππικὰς δυνάμεις Ἐλευσῖνάδε ἐξάγειν, πέμψαι δὲ καὶ [i] πρέσβεις
πρὸς τοὺς ἄλλους Ἕλληνας, πρῶτον δὲ πάντων πρὸς Θηβαίους
διὰ τὸ ἐγγυτάτω εἶναι τὸν Φίλιππον τῆς ἐκείνων χώρας, παρα-
καλεῖν δὲ αὐτοὺς μηδὲν καταπλαγέντας τὸν Φίλιππον ἀντέχεσθαι
τῆς ἑαυτῶν καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας, καὶ ὅτι ὁ
Ἀθηναίων δῆμος, [k] οὐδὲν μνησικακῶν εἴ τι πρότερον γέγονεν ἀλ-
λότριον ταῖς πόλεσι [l] πρὸς ἀλλήλας, [m] βοηθήσει καὶ δυνάμεσι καὶ
237 χρήμασι καὶ βέλεσι καὶ ὅπλοις, εἰδὼς ὅτι [[n] καὶ] αὐτοῖς μὲν πρὸς
ἀλλήλους διαμφισβητεῖν περὶ τῆς ἡγεμονίας οὖσιν Ἕλλησι καλόν,
ὑπὸ δὲ ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι καὶ τῆς ἡγεμονίας ἀποστε-
ρεῖσθαι ἀνάξιον εἶναι καὶ τῆς τῶν [o] Ἑλλήνων δόξης καὶ [p] τῆς τῶν
προγόνων ἀρετῆς. ἔτι [q] δὲ οὐδὲ ἀλλότριον ἡγεῖται [r] εἶναι ὁ Ἀθη-
ναίων δῆμος τὸν Θηβαίων δῆμον οὔτε τῇ συγγενείᾳ οὔτε τῷ [s] ὁμο-
238 φύλῳ. ἀναμιμνήσκεται δὲ καὶ τὰς [t] τῶν προγόνων τῶν ἑαυτοῦ εἰς
τοὺς Θηβαίων προγόνους [u] εὐεργεσίας· καὶ γὰρ τοὺς Ἡρακλέους

[b] ὑπελάμβανεν] ὑπελάμβανον Y. p. r.

[c] ὁ post δῆμος om. Y. ὁ τῶν k. s.

[d] εἶναι καὶ ἀνάξιον] καὶ ἀνάξιον εἶναι r.

[e] τῷ Ἀθηναίων F. S. Y. Q. vulg. τῶν Ἀθηναίων.

[f] τὴν Ἀθηναίων F. S. Q. O. u. v. vulg. τῶν Ἀθηναίων.

[g] ἐνθυμηθέντας k. s. ceteri ἐνθυμηθεῖσι.

[h] τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον om. Y. p. r.

[i] πρέσβεις] τοὺς πρέσβεις S.

[k] οὐδὲν] οὐδὲ Y. p. r.

[l] πρὸς ἀλλήλας et καὶ δυνάμεσι om. Q.

[m] βοηθήσει] βοηθήσεσι S.

[n] [καὶ] αὐτοῖς] ἑαυτοῖς p.

[o] Ἑλλήνων] προγόνων F. S. Y. Q. O. p. r. t. u.

[p] τῆς τῶν προγόνων om. p.

[q] δὲ om. r.

[r] εἶναι om. p.

[s] ὁμοφύλῳ] ὁμοφύλλῳ O. u.

[t] τῶν προγόνων om. p.

[u] εὐεργεσίας] ἐλευθερίας u.

παῖδας [x] ἀποστερουμένους ὑπὸ [y] Πελοποννησίων τῆς πατρῴας ἀρχῆς κατήγαγον, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πειρωμένους τοῖς Ἡρακλέους [z] ἐγγόνοις, καὶ τὸν Οἰδίπουν καὶ τοὺς μετ' [a] ἐκείνου ἐκπεσόντας ὑπεδεξάμεθα, καὶ [b] ἕτερα πολλὰ ἡμῖν
239 [c] ὑπάρχει φιλάνθρωπα καὶ ἔνδοξα πρὸς Θηβαίους· [d] διόπερ οὐδὲ 291
νῦν ἀποστήσεται ὁ Ἀθηναίων δῆμος τῶν Θηβαίοις τε καὶ [e] τοῖς ἄλλοις Ἕλλησι συμφερόντων. συνθέσθαι δὲ πρὸς αὐτοὺς καὶ συμμαχίαν καὶ ἐπιγαμίαν ποιήσασθαι καὶ ὅρκους δοῦναι καὶ λαβεῖν. πρέσβεις Δημοσθένης Δημοσθένους Παιανιεύς, [f] Ὑπερίδης Κλεάνδρου Σφήττιος, Μνησιθείδης Ἀντιφάνους Φρεάρριος, Δημοκράτης Σωφίλου Φλυεύς, [g] Κάλλαισχρος Διοτίμου Κοθωκίδης.

240 Αὕτη τῶν περὶ Θήβας [h] ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων. τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον παρελθεῖν ἐποίησεν ὥσπερ νέφος. ἦν μὲν [i] τοίνυν τοῦ δικαίου πολίτου τότε δεῖξαι πᾶσιν, εἴ τι τούτων εἶχεν ἄμεινον,
241 [k] μὴ νῦν ἐπιτιμᾶν. ὁ γὰρ σύμβουλος καὶ ὁ συκοφάντης,
[m] οὐδὲ τῶν ἄλλων [n] οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν· ὁ [o] μέν γε πρὸ τῶν πραγμάτων γνώμην ἀποφαίνεται, καὶ δίδωσιν αὑτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι, τῇ τύχῃ, [p] τοῖς καιροῖς, τῷ βουλομένῳ· ὁ δὲ σιγήσας ἡνίκ' ἔδει λέγειν, ἄν τι δύσκολον συμβῇ, τοῦτο
242 [q] βασκαίνει. ἦν μὲν οὖν, ὅπερ εἶπον, ἐκεῖνος ὁ καιρὸς τοῦ
[r] γε φροντίζοντος ἀνδρὸς τῆς πόλεως καὶ τῶν δικαίων λό-

[x] ἀποστερουμένους] ἀποστερομένους r.
[y] Πελοποννησίων] τῶν πελοποννησίων k. s. t.
[z] ἐγγόνοις] ἐκγόνοις Y. p. r.
[a] ἐκείνου] ἐκεῖνον u. v.
[b] ἕτερα] ἕτερ' ἂν Y. r.
[c] ὑπάρχει] ὑπάρχῃ r.
[d] διόπερ] διὸ v.
[e] τοῖς solus habet p.
[f] Ὑπερίδης] ὑπερείδης S.
[g] Κάλλαισχρος] κάλαισχρος O. u.
[h] ἐγένετο] ἐγίγνετο S. Y. Q. r. s.
[i] τοίνυν] τότε k.
[k] μὴ νῦν] μὴ τοίνυν k. s.
[m] οὐδὲ S. οὐδενὶ k. r. s. ἐν οὐδενὶ ceteri.
[n] οὐδὲν om. O. u. v.
[o] μέν γε S. ceteri μὲν γάρ.
[p] τοῖς καιροῖς] τῶι καιρῶι S.
[q] βασκαίνει] βασκαίνειν k.
[r] γε] τε k. s. om. O. u. v.

γων· ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὥστε ἂν νῦν
ἔχῃ τις δεῖξαί [s] τι βέλτιον, [t] ἢ ὅλως εἴ [u] τι ἄλλο ἐνῆν
πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ. εἰ γὰρ ἔσθ'
ὅ τι τις νῦν ἑώρακεν, ὃ συνήνεγκεν ἂν τότε πραχθέν, τοῦτ'
ἐγώ φημι δεῖν ἐμὲ μὴ λαθεῖν. εἰ δὲ μήτ' ἔστι μήτε ἦν μήτ'
ἂν εἰπεῖν ἔχοι μηδεὶς μηδέπω καὶ τήμερον, τί τὸν σύμ- 292
βουλον ἐχρῆν ποιεῖν; οὐ τῶν φαινομένων καὶ ἐνόντων τὰ
243 κράτιστα ἑλέσθαι; τοῦτο τοίνυν ἐποίησα [x] ἐγώ, τοῦ κήρυ-
κος ἐρωτῶντος, Αἰσχίνη, "τίς ἀγορεύειν βούλεται," οὐ
"τίς [y] αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων," οὐδὲ "τίς
"ἐγγυᾶσθαι τὰ μέλλοντ' ἔσεσθαι." σοῦ δ' ἀφώνου κατ'
ἐκείνους τοὺς χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου ἐγὼ
[z] παριὼν ἔλεγον. ἐπειδὴ δ' οὐ τότε, ἀλλὰ [a] νῦν δεῖξον. εἰ-
πὲ τίς ἢ λόγος, ὅντιν' ἐχρῆν [b] εὑρεῖν, ἢ καιρὸς συμφέρων
[c] ὑπ' ἐμοῦ παρελείφθη τῇ πόλει; τίς δὲ [d] συμμαχία,
τίς πρᾶξις, ἐφ' ἣν [e] μᾶλλον ἔδει με ἀγαγεῖν [f] τουτουσί;
244 Ἀλλὰ μὴν τὸ [g] μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀ-
φεῖται, καὶ οὐδεὶς περὶ τούτου [h] προτίθησιν οὐδαμοῦ βου-
λήν· [i] τὸ δὲ μέλλον ἢ τὸ παρὸν τὴν τοῦ συμβούλου τάξιν
ἀπαιτεῖ. τότε τοίνυν τὰ μὲν ἤμελλεν, ὡς ἐδόκει, τῶν δει-
νῶν, τὰ δ' ἤδη παρῆν, ἐν οἷς τὴν προαίρεσίν μου σκόπει
τῆς πολιτείας, μὴ τὰ [k] συμβάντα συκοφάντει. τὸ μὲν
γὰρ πέρας, ὡς ἂν ὁ δαίμων βουληθῇ, [l] πάντων γίγνεται·

[s] τι ante δεῖξαι ponit . . . om. k. s.
[t] ἢ ὅλως correctus S.
[u] τι om. O. u. v.
[x] ἐγὼ om. S. Y. Q. O. t. u. v.
[y] αἰτιᾶσθαι] αἰτιάσασθαι F. Y. Q. O. p. t. u.
[z] παριὼν k. r. s. περιών S. παρελθὼν ceteri.
[a] νῦν] νυνὶ k.
[b] εὑρεῖν] εὐπορεῖν S.
[c] ὑπ'] παρ' (ὑπ' superscr.) k.
[d] συμμαχία] συμμαχία ἢ k.
[e] μᾶλλον om. Y.
[f] τουτουσί] τουτουσίν O. u. v.
[g] μὲν om. p.
[h] προτίθησιν] προστίθησιν k.
[i] τὸ δὲ] τοτε S.
[k] συμβάντα] συμβαίνοντα Y. O. r. t. u.
[l] πάντων] πάντα r.

ἡ δὲ προαίρεσις [m] αὐτὴ τὴν τοῦ συμβούλου διάνοιαν δηλοῖ.
245 μὴ δὴ τοῦτο ὡς ἀδίκημα ἐμὸν θῇς, εἰ κρατῆσαι συνέβη Φιλίππῳ [n] τῇ μάχῃ· ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν, οὐκ [o] ἐν ἐμοί. ἀλλ' [p] ὡς οὐχ ἅπαντα ὅσα ἐνῆν κατ' ἀνθρώπινον λογισμὸν [q] εἱλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔπραξα καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ [r] ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πράγματα [s] ἐνεστησάμην καὶ ἀναγκαῖα, ταῦτά μοι δεῖξον, καὶ τότ' ἤδη κατηγόρει
246 μου. εἰ δ' ὁ συμβὰς σκηπτὸς [ἢ χειμὼν] μὴ μόνον [t] ἡμῶν ἀλλὰ καὶ [u] πάντων τῶν [x] ἄλλων Ἑλλήνων [y] μείζων γέγονε, τί χρὴ ποιεῖν; ὥσπερ ἂν εἴ τις ναύκληρον πάντ' ἐπὶ 293
σωτηρίᾳ πράξαντα, καὶ [z] πᾶσι κατασκευάσαντα [a] τὸ πλοῖον ἀφ' ὧν ὑπελάμβανε σωθήσεσθαι, εἶτα χειμῶνι [b] χρησάμενον καὶ πονησάντων αὐτῷ τῶν σκευῶν ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῷτο. ἀλλ' οὔτ' [c] ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἄν, ὥσπερ οὐδ' [d] ἐστρατήγουν ἐγώ, [e] οὔτε τῆς τύχης κύριος ἦν, ἀλλ' ἐκείνη τῶν πάντων.
247 ἀλλ' ἐκεῖνο λογίζου καὶ ὅρα, εἰ μετὰ [f] Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι, τί [g] χρῆν προσδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους ἀλλὰ Φιλίππῳ προσέθεντο, ὑπὲρ οὗ τότ' ἐκεῖνος πάσας ἀφῆκε φωνάς; καὶ εἰ νῦν τριῶν ἡμερῶν ἀπὸ τῆς Ἀττικῆς [h] ὁδὸν τῆς μά-

[m] αὐτὴ] αὕτη r.
[n] τῇ μάχῃ F. S. vulg. τὴν μάχην.
[o] ἐν ante ἐμοὶ om. S.
[p] ὡς οὐχ] οὐχ ὡς t.
[q] εἱλόμην om. u.
[r] ὡς post ἢ om. O.
[s] ἐνεστησάμην] ἀνεστησάμην r.
[t] ἡμῶν] ὑμῶν F. r.
[u] πάντων om. k.
[x] ἄλλων om. r.
[y] μείζων] μεῖζον Y.
[z] πᾶσι om. S.
[a] τὸ πλοῖον] τὸν λόγον Y.
[b] χρησάμενον] χρησάμενον καὶ φθαρὲν O. u.
[c] ἐκυβέρνων] ὁ κυβερνῶν r.
[d] ἐστρατήγουν] στρατηγῶν r.
[e] οὔτε] οὐδὲ Y. r.
[f] Θηβαίων] τῶν θηβαίων Y.
[g] χρῆν p. ceteri χρή.
[h] ὁδὸν ante ἀπὸ ponunt omnes præter S.

χης [i] γενομένης τοσοῦτος κίνδυνος καὶ φόβος περιέστη τὴν
πόλιν, τί ἄν, εἴ [k] που τῆς χώρας ταὐτὸ τοῦτο [l] πάθος
248 συνέβη, προσδοκῆσαι χρῆν; ἆρ' [m] οἶσθ' ὅτι νῦν μὲν στῆ-
ναι, συνελθεῖν, ἀναπνεῦσαι, πολλὰ μία ἡμέρα καὶ δύο
καὶ τρεῖς ἔδοσαν τῶν εἰς σωτηρίαν τῇ πόλει, τότε δ' —, οὐκ
ἄξιον εἰπεῖν, ἅ γε [n] μηδὲ πεῖραν ἔδωκε θεῶν τινὸς [o] εὔνοια
καὶ [p] τὸ [q] προβαλέσθαι τὴν πόλιν ταύτην [r] τὴν συμμα-
χίαν, ἧς [s] σὺ κατηγορεῖς.
249 Ἔστι δὲ ταυτὶ πάντα μοι, τὰ πολλά, πρὸς ὑμᾶς,
[t] ἄνδρες δικασταί, καὶ τοὺς περιεστηκότας ἔξωθεν καὶ
ἀκροωμένους, ἐπεὶ πρός γε τοῦτον [[u] αὐτὸν] τὸν κατάπτυ-
στον βραχὺς καὶ σαφὴς [x] ἐξήρκει λόγος. εἰ μὲν γὰρ ἦν
σοι πρόδηλα τὰ μέλλοντα, Αἰσχίνη, μόνῳ τῶν ἄλλων, ὅτ'
ἐβουλεύεθ' ἡ πόλις περὶ τούτων, τότ' ἔδει προλέγειν. εἰ
δὲ μὴ προῄδεις, τῆς αὐτῆς [y] ἀγνοίας ὑπεύθυνος εἶ τοῖς
ἄλλοις, ὥστε τί μᾶλλον ἐμοῦ σὺ ταῦτα [z] κατηγορεῖς ἢ 294
250 ἐγὼ σοῦ; [a] τοσοῦτον γὰρ ἀμείνων ἐγὼ σοῦ πολίτης γέγο-
να εἰς αὐτὰ ταῦθ' ἃ λέγω (καὶ οὔπω περὶ τῶν ἄλλων
διαλέγομαι), ὅσον ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι
δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον οὐδ'
ὑπολογισάμενος, σὺ δὲ [b] οὔθ' ἕτερα [c] εἶπες βελτίω τούτων
(οὐ γὰρ ἂν τούτοις ἐχρῶντο), [d] οὔτ' εἰς ταῦτα χρήσιμον

[i] γενομένης] γεγενημένης F. O. t. u. v.
[k] που] πλησίον k. που πλησίον r. s.
[l] πάθος] πάθους (ες) s. πάθους k.
[m] οἶσθ'] οἴεσθ' F. S. p. οἶσθε Y.
[n] μηδὲ] μηδ' ἐς Reiskius.
[o] εὔνοια] εὐνοίᾳ F. Q. O. r. s.
[p] τὸ] τῷ F. S. Y. Q. O. r. s. u. v.
[q] προβαλέσθαι] προβάλλεσθαι S. Q. O.
[r] τὴν post ταύτην om. k.
[s] σὺ] σὺ νῦν k.
[t] ἄνδρες] ὦ k.
[u] [αὐτὸν] om. S. et γρ. Q.
[x] ἐξήρκει] ἐξήρκει μοι k. r. s.
[y] ἀγνοίας] ἀγροικίας r.
[z] κατηγορεῖς] κατηγόρεις r.
[a] τοσοῦτον] τοσούτῳ k. r. s. τοσούτων Y.
[b] οὔθ'] οὐδ' k. s.
[c] εἶπες] εἶπας u.
[d] οὔτ'] οὐδ' Y.

251 οὐδὲν [e] σαυτὸν παρέσχες, ὅπερ δ' ἂν ὁ φαυλότατος καὶ
δυσμενέστατος [f] ἄνθρωπος τῇ πόλει, τοῦτο [g] πεποιηκὼς
ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι, καὶ ἅμα Ἀρίστρατος ἐν
Νάξῳ καὶ [h] Ἀριστόλεως ἐν Θάσῳ, οἱ καθάπαξ ἐχθροὶ
τῆς πόλεως, [i] τοὺς Ἀθηναίων κρίνουσι φίλους καὶ Ἀθήνη-
252 σιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ. καίτοι ὅτῳ τὰ τῶν
Ἑλλήνων ἀτυχήματα ἐνευδοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι
μᾶλλον οὗτός ἐστι δίκαιος ἢ κατηγορεῖν ἑτέρου· καὶ ὅτῳ
συνενηνόχασιν οἱ αὐτοὶ καιροὶ καὶ τοῖς τῆς πόλεως ἐχ-
253 θροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι. δηλοῖς δὲ
[k] καὶ ἐξ ὧν ζῇς καὶ ποιεῖς καὶ πολιτεύῃ καὶ πάλιν οὐ
πολιτεύῃ. πράττεταί τι τῶν [l] ὑμῖν δοκούντων συμφέρειν;
ἄφωνος Αἰσχίνης. ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει;
πάρεστιν Αἰσχίνης· ὥσπερ τὰ ῥήγματα καὶ τὰ [m] σπά-
σματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται.
254 Ἐπειδὴ δὲ [n] πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βού-
λομαί τι καὶ παράδοξον εἰπεῖν. καί μου πρὸς Διὸς καὶ
θεῶν μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας
ὃ λέγω θεωρησάτω. εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλ-
λοντα [o] γενήσεσθαι, καὶ προῄδεσαν [p] ἅπαντες, καὶ σὺ
προὔλεγες [q] Αἰσχίνη καὶ [r] διεμαρτύρου βοῶν καὶ κεκρα-
γώς, ὃς οὐδ' ἐφθέγξω, οὐδ' οὕτως ἀποστατέον τῇ πόλει 295
τούτων ἦν, εἴπερ [s] ἢ δόξης ἢ προγόνων ἢ τοῦ μέλλοντος
255 αἰῶνος εἶχε λόγον. νῦν [t] μέν γε ἀποτυχεῖν δοκεῖ τῶν

[e] σεαυτὸν παρέσχες] παρέσχες σαυτὸν k.

[f] ἄνθρωπος τῇ S. k. s. ἄνθρωπος ποιήσειε τῇ ceteri.

[g] πεποιηκὼς] πεποίηκας Y.

[h] Ἀριστόλεως] ἀριστόλεος S. ἀριστόλαος F. Y. Q. O. p. r. t. u. v.

[i] τοὺς] τῶν t.

[k] καὶ ante ἐξ om. Y. O. t. u. v.

[l] ὑμῖν] ἡμῖν k. r. s.

[m] σπάσματα] σπαράγματα s.

[n] πολὺς] καὶ πολὺς p.

[o] γενήσεσθαι] ἔσεσθαι k. s.

[p] ἅπαντες] πάντες S. Q. r. v.

[q] Αἰσχίνη om. F. Y. O. k. p. r. s. t. u. v. et γρ. Q.

[r] διεμαρτύρου] διεμαρτύρω k. s.

[s] ἢ δόξης] καὶ δόξης u. v.

[t] μέν γε S. k. s. μὲν γὰρ ceteri.

πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ θεῷ
ταῦτα δοκῇ· τότε δ᾽ ἀξιοῦσα προεστάναι τῶν [u] ἄλλων,
εἶτ᾽ ἀποστᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντας
ἂν ἔσχεν αἰτίαν. εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτί, περὶ ὧν
[x] οὐδένα κίνδυνον [y] ὅντιν᾽ [z] οὐχ ὑπέμειναν οἱ πρόγονοι, [a] τίς
οὐχὶ κατέπτυσεν ἂν σοῦ; μὴ [b] γὰρ τῆς πόλεώς [c] γε,
256 μηδ᾽ ἐμοῦ. τίσι δ᾽ ὀφθαλμοῖς πρὸς Διὸς ἑωρῶμεν ἂν
τοὺς [d] εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ [e] μὲν
πράγματ᾽ εἰς ὅπερ νυνὶ [f] περιέστη, ἡγεμὼν δὲ καὶ κύριος
ᾑρέθη Φίλιππος ἁπάντων, τὸν δ᾽ ὑπὲρ τοῦ μὴ γενέσθαι
ταῦτ᾽ ἀγῶνα ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι, καὶ
ταῦτα μηδεπώποτε τῆς πόλεως ἐν τοῖς [g] ἔμπροσθε χρό-
νοις ἀσφάλειαν ἄδοξον μᾶλλον ἢ τὸν ὑπὲρ τῶν καλῶν
257 κίνδυνον [h] ᾑρημένης. τίς γὰρ [i] οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ
βαρβάρων, ὅτι καὶ παρὰ Θηβαίων καὶ παρὰ τῶν ἔτι
τούτων πρότερον ἰσχυρῶν [k] γενομένων Λακεδαιμονίων καὶ
[l] παρὰ τοῦ Περσῶν βασιλέως μετὰ πολλῆς χάριτος τοῦτ᾽
ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ τι βούλεται λαβούσῃ καὶ
τὰ [m] ἑαυτῆς ἐχούσῃ τὸ κελευόμενον ποιεῖν καὶ ἐᾶν ἕτερον
258 τῶν Ἑλλήνων προεστάναι. ἀλλ᾽ οὐκ ἦν ταῦθ᾽, [n] ὡς ἔοικε,
τοῖς [o] τότε Ἀθηναίοις πάτρια οὐδ᾽ ἀνεκτὰ οὐδ᾽ ἔμφυτα,
οὐδ᾽ ἠδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρό-
νου πεῖσαι τοῖς ἰσχύουσι μὲν μὴ δίκαια δὲ πράττουσι

[u] ἄλλων] Ἑλλήνων γρ. S. Q.
[x] οὐδένα] οὐχ ἕνα k. s.
[y] ὅντιν᾽] ὁντινοῦν F. Y. Q. O. r. t. u. v. et correctus s.
[z] οὐχ om. t.
[a] τίς] τίς ἂν k. s.
[b] γὰρ] γὰρ δὴ k. r. s.
[c] γε om. k.
[d] εἰς] πρὸς k.
[e] μὲν om. O. u. v.
[f] περιέστη] περιέστηκεν k. r.
[g] ἔμπροσθε S. Y. Q. s. vulg. ἔμπροσθεν.
[h] ᾑρημένης] η in prima et secunda syllaba correctum S.
[i] οὐκ οἶδεν Ἑλλήνων] ἑλλήνων οὐκ οἶδεν r.
[k] γενομένων] γεγενημένων k. r. s.
[l] παρὰ] παρ᾽ αὐτοῦ u.
[m] ἑαυτῆς] ἑαυτῇ O.
[n] ὡς ἔοικε post Ἀθηναίοις ponit r.
[o] τότε soli habent k. s.

προσθεμένην ἀσφαλῶς δουλεύειν, ἀλλ' ἀγωνιζομένη περὶ
πρωτείων καὶ τιμῆς καὶ δόξης [p] κινδυνεύουσα πάντα τὸν
259 αἰῶνα διατετέλεκε. καὶ ταῦθ' οὕτω σεμνὰ καὶ προσή- 296
κοντα τοῖς ὑμετέροις [q] ἤθεσιν ὑμεῖς [r] ὑπολαμβάνετ' εἶναι,
ὥστε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ'
ἐπαινεῖτε, εἰκότως. τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν
ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ τὴν πόλιν [s] ἐκ-
λιπεῖν ὑπέμειναν εἰς τὰς τριήρεις [t] ἐμβάντες ὑπὲρ τοῦ μὴ
τὸ κελευόμενον ποιῆσαι, τὸν μὲν ταῦτα συμβουλεύσαντα
Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν [u] ἀ-
ποφηνάμενον τοῖς ἐπιταττομένοις [x] Κυρσίλον καταλιθώσαν-
τες, οὐ μόνον αὐτόν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι
260 τὴν γυναῖκα αὐτοῦ. οὐ γὰρ ἐζήτουν οἱ τότ' Ἀθηναῖοι οὔτε
ῥήτορα οὔτε στρατηγὸν δι' ὅτου [y] δουλεύσουσιν [z] εὐτυχῶς,
ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ' [a] ἐλευθερίας ἐξέσται
[b] τοῦτο ποιεῖν. ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος οὐχὶ τῷ πατρὶ
καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι.
διαφέρει δὲ τί; [c] ὅτι ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι
νομίζων τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον
περιμένει, ὁ δὲ καὶ τῇ πατρίδι ὑπὲρ τοῦ μὴ ταύτην ἐπι-
δεῖν δουλεύουσαν ἀποθνήσκειν ἐθελήσει, καὶ φοβερωτέρας
ἡγήσεται τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ
τῇ πόλει φέρειν ἀνάγκη, [d] τοῦ θανάτου.

[p] κινδυνεύουσα] καὶ κινδυνεύουσα k. r. s.

[q] ἤθεσιν] ἔθεσιν O.

[r] ὑπολαμβάνετ'] ὑπελαμβάνετε F. Y. Q. O. r. s. u. v.

[s] ἐκλιπεῖν ὑπέμειναν] ὑπέμειναν ἐκλιπεῖν k.

[t] ἐμβάντες] ἐκβάντες s.

[u] ἀποφηνάμενον τοῖς ἐπιταττομένοις S. k. s. ceteri τοῖς ἐπιταττομένοις ἀποφηνάμενον.

[x] Κυρσίλον] κυρσῖλον r.

[y] δουλεύσουσιν] δουλεύουσιν O.

[z] εὐτυχῶς om. S.

[a] ἐλευθερίας ἐξέσται S. ἐλευθερίας αὐτοῖς ἐξέσται ceteri.

[b] τοῦτο ante ἐξέσται ponit k.

[c] ὅτι om. r.

[d] τοῦ θανάτου in γρ. habent F. Q. om. Y. O. t. u. v.

261 Εἰ μὲν τοίνυν τοῦτ' ἐπεχείρουν λέγειν, [e] ὡς [f] ἐγὼ [g] προ-
ήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ [h] ἔσθ' [i] ὅστις
[k] οὐκ ἂν εἰκότως [l] ἐπιτιμήσειέ μοι. νῦν δ' ἐγὼ [m] μὲν ὑμε-
τέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι
ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ' εἶχε τὸ φρόνημα ἡ πόλις, τῆς
μέντοι διακονίας τῆς ἐφ' ἑκάστοις τῶν πεπραγμένων καὶ
262 ἐμαυτῷ μετεῖναί φημι, οὗτος δὲ τῶν ὅλων κατηγορῶν, καὶ 297
κελεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν ὡς φόβων καὶ κινδύνων
αἰτίῳ τῇ πόλει [n] γεγενημένῳ, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς
ἐμὲ [o] ἀποστερῆσαι γλίχεται, τὰ δ' εἰς ἅπαντα τὸν λοι-
πὸν χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται. εἰ γὰρ ὡς [p] οὐ τὰ
βέλτιστα ἐμοῦ πολιτευσαμένου τουδὶ καταψηφιεῖσθε, ἡ-
μαρτηκέναι [q] δόξετε, οὐ [r] τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ
263 συμβάντα παθεῖν. ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως [s] ἡμάρ-
τετε, ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας
καὶ σωτηρίας κίνδυνον ἀράμενοι, [t] μὰ τοὺς [u] Μαραθῶνι
προκινδυνεύσαντας τῶν προγόνων καὶ τοὺς ἐν [x] Πλαταιαῖς
παραταξαμένους καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας
καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς
264 δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαν-
τας [y] ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς [z] ἔθα-
ψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας [a] αὐτῶν οὐδὲ τοὺς

[e] ὡς] ὡς ἄρα k. s.
[f] ἐγὼ] ἔγωγε r.
[g] προήγαγον] προσήγαγον O.
[h] ἔσθ' S. vulg. ἔστιν.
[i] ὅστις] ὅτις ἂν S.
[k] οὐκ ἂν] ουν καν S. οὐκ ἂν οὐκ F. Y. Q. p. t.
[l] ἐπιτιμήσειέ] ἐπετίμησέ Y. k. p. r. s.
[m] μὲν om. k.
[n] γεγενημένῳ om. S. k. s.
[o] ἀποστερῆσαι γλίχεται] γλίχεται ἀποστερῆσαι r.
[p] οὐ om. O. p.
[q] δόξετε] δόξαιτε t.
[r] τῇ om. O.
[s] ἡμάρτετε] ἡμαρτήκατε k. r. s.
[t] μὰ S. ceteri οὐ μά. Conf. Toup. ad Hesych. 3. p. 312.
[u] Μαραθῶνι S. vulg. ἐν Μαραθῶνι.
[x] Πλαταιαῖς] πλαταιᾶ k.
[y] ὁμοίως ἡ πόλις] ἡ πόλις ὁμοίως k. s.
[z] ἔθαψεν] ἐθαύμασεν γρ. F.
[a] αὐτῶν] αὐτοὺς S.

κρατήσαντας μόνους. δικαίως. ὃ μὲν γὰρ ἦν [b] ἀνδρῶν ἀγαθῶν ἔργον, ἅπασι πέπρακται· [c] τῇ τύχῃ δ', ἣν ὁ δαί-
265 μων [d] ἔνειμεν ἑκάστοις, ταύτῃ κέχρηνται. ἔπειτ', ὦ κατάρατε καὶ γραμματοκύφων, σὺ μὲν τῆς παρὰ τουτωνὶ τιμῆς καὶ φιλανθρωπίας ἔμ' ἀποστερῆσαι βουλόμενος τρόπαια καὶ μάχας καὶ παλαιὰ ἔργα [e] ἔλεγες, ὧν τίνος προσεδεῖτο ὁ παρὼν ἀγὼν οὑτοσί; ἐμὲ δέ, ὦ τριταγωνιστά, [f] τὸν περὶ [g] τῶν πρωτείων σύμβουλον τῇ πόλει παριόντα τὸ τίνος φρόνημα [h] λαβόντ' ἀναβαίνειν ἐπὶ τὸ βῆμ' ἔδει; τὸ [i] τοῦ τούτων ἀνάξια ἐροῦντος; δικαίως μέντ' ἂν
266 ἀπέθανον. [k] ἐπεὶ οὐδ' ὑμᾶς, [l] ἄνδρες Ἀθηναῖοι, ἀπὸ τῆς 298
αὐτῆς διανοίας δεῖ τάς [m] τε ἰδίας [n] δίκας καὶ τὰς δημοσίας κρίνειν, ἀλλὰ τὰ μὲν τοῦ καθ' ἡμέραν βίου συμβόλαια ἐπὶ τῶν ἰδίων [o] νόμων καὶ ἔργων σκοποῦντας, τὰς δὲ κοινὰς προαιρέσεις εἰς τὰ τῶν προγόνων ἀξιώματα ἀποβλέποντας. καὶ παραλαμβάνειν γε ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ τὸ φρόνημα τὸ τῆς πόλεως νομίζειν ἕκαστον ὑμῶν δεῖ, ὅταν τὰ δημόσια εἰσίητε κρινοῦντες, εἴπερ ἄξια ἐκείνων πράττειν οἴεσθε χρῆναι.
267 Ἀλλὰ γὰρ [p] ἐμπεσὼν εἰς τὰ πεπραγμένα τοῖς προγόνοις [q] ὑμῶν ἔστιν ἃ τῶν ψηφισμάτων παρέβην καὶ τῶν πραχθέντων. ἐπανελθεῖν οὖν, [r] ὁπόθεν [s] εἰς ταῦτ' ἐξέβην, βούλομαι.

[b] ἀνδρῶν ἀγαθῶν] ἀγαθῶν ἀνδρῶν p. s.

[c] τῇ τύχῃ δ'] καὶ τῇ τύχῃ δὲ p.

[d] ἔνειμεν S. k. r. s. ceteri ἀπένειμεν.

[e] ἔλεγες] λέγεις p.

[f] τὸν om. S.

[g] τῶν om. k. r.

[h] λαβόντα] ἀναλαβόντα k. s.

[i] τοῦ ante τούτων om. F. Y. Q. p. t.

[k] ἐπεὶ S. vulg. ἔπειτ'.

[l] ἄνδρες] ὦ ἄνδρες O. u.

[m] τε om. k.

[n] δίκας om. r. u. προαιρέσεις rec. r.

[o] νόμων καὶ ἔργων] ἔργων καὶ νόμων O. u.

[p] ἐμπεσὼν] ἐκπεσὼν u.

[q] ὑμῶν om. k.

[r] ὁπόθεν S. vulg. ὅθεν.

[s] εἰς ταῦτ'] ἐνταῦθ' S.

Ὡς γὰρ ἀφικόμεθ' εἰς τὰς Θήβας, [t] κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ' [u] ἐκείνου θρασεῖς. ὅτι δ' οὐ νῦν ταῦτα λέγω τοῦ συμφέροντος ἕνεκα ἐμαυτῷ, λέγε μοι τὴν ἐπιστολὴν
268 ἣν τότ' ἐπέμψαμεν εὐθὺς οἱ πρέσβεις. καίτοι τοσαύτῃ γ' ὑπερβολῇ συκοφαντίας [x] οὗτος κέχρηται, ὥστ' εἰ μέν [y] τι τῶν δεόντων ἐπράχθη, τὸν καιρόν, οὐκ ἐμέ φησιν αἴτιον [z] γεγενῆσθαι, τῶν δ' ὡς ἑτέρως συμβάντων ἁπάντων ἐμὲ καὶ τὴν ἐμὴν τύχην αἰτίαν εἶναι. καὶ ὡς ἔοικεν, [a] ὁ σύμβουλος καὶ [b] ῥήτωρ ἐγὼ τῶν μὲν ἐκ λόγου καὶ τοῦ [c] βουλεύσασθαι πραχθέντων [d] οὐδενὸς αὐτῷ συναίτιος εἶναι δοκῶ, τῶν δ' ἐν τοῖς ὅπλοις καὶ κατὰ τὴν στρατηγίαν ἀτυχηθέντων μόνος αἴτιος εἶναι. πῶς ἂν ὠμότερος συκοφάντης [e] γένοιτ' ἢ [f] καταρατότερος; [g] λέγε τὴν ἐπιστολήν.

## ΕΠΙΣΤΟΛΗ. 299

269 Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους προτέρους διὰ [h] τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν. καὶ παρελθόντες ἐδημηγόρουν πολλὰ μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' ὑμῶν κατηγοροῦντες, [i] πάνθ' ὅσα πώποτ' ἐναντία [k] ἐπράξατε Θηβαίοις ἀναμιμνήσκοντες. τὸ δ' οὖν κεφάλαιον, ἠξίουν ὧν μὲν εὖ

[t] καταλαμβάνομεν F. Y. Q. O. p. r. u.
[u] ἐκείνου] ἐκείνων p. r.
[x] οὗτος] οὑτοσὶ u.
[y] τι] τοι p.
[z] γεγενῆσθαι] γεγονέναι p.
[a] ὁ om. O. u. v.
[b] ῥήτωρ] ὁ ῥήτωρ p.
[c] βουλεύσασθαι] βουλεύεσθαι Y. p.
[d] οὐδενὸς] οὐδὲν S.
[e] γένοιτ' ἢ S. k. r. p. s. γένοιτ' ἂν ἢ ceteri.
[f] Post καταρατότερος cum S. k. s. omisi τούτου.
[g] λέγε τὴν ἐπιστολήν] τὴν ἐπιστολὴν λέγε Y.
[h] τὸ om. Y.
[i] πάνθ' S. k. s. καὶ ἅπανθ' p. ἅπανθ' ceteri.
[k] ἐπράξατε] πράξαντες Y.

[l] πεπόνθεσαν ὑπὸ Φιλίππου χάριν [m] αὐτοὺς ἀποδοῦναι, ὧν
270 δ' ὑφ' [n] ὑμῶν [o] ἠδίκηντο [p] δίκην λαβεῖν, ὁποτέρως [q] βού-
λονται, ἢ [r] διέντας αὐτοὺς ἐφ' [s] ὑμᾶς ἢ [t] συνεμβαλόντας
εἰς τὴν Ἀττικήν, καὶ ἐδείκνυσαν, ὡς ᾤοντο, ἐκ μὲν ὧν
[u] αὐτοὶ συνεβούλευον τὰ ἐκ τῆς Ἀττικῆς βοσκήματα καὶ
ἀνδράποδα καὶ τἄλλ' ἀγαθὰ εἰς τὴν Βοιωτίαν ἥξοντα,
ἐκ δὲ ὧν ἡμᾶς ἐρεῖν ἔφασαν τὰ ἐν τῇ Βοιωτίᾳ [x] διαρπα-
σθησόμενα ὑπὸ τοῦ πολέμου. καὶ ἄλλα πολλὰ πρὸς τού-
271 τοις, εἰς [y] ταὐτὰ δὲ πάντα συντείνοντ' ἔλεγον. ἃ δ' ἡμεῖς
πρὸς ταῦτα [z] ἀντείπομεν, τὰ μὲν καθ' ἕκαστα ἐγὼ μὲν
ἀντὶ παντὸς ἂν τιμησαίμην εἰπεῖν τοῦ βίου, ὑμᾶς δὲ δέ-
δοικα, μὴ παρεληλυθότων τῶν καιρῶν, ὥσπερ ἂν [a] εἰ κα-
τακλυσμὸν γεγενῆσθαι τῶν πραγμάτων ἡγούμενοι, μά-
ταιον ὄχλον τοὺς περὶ τούτων [b] λόγους νομίσητε· [c] ἃ δ'
οὖν [d] ἐπείσαμεν ἡμεῖς καὶ [e] ἃ ἡμῖν ἀπεκρίναντο, ἀκούσατε.
Λέγε [f] ταυτὶ λαβών.

## [g] ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΩΝ.

272 Μετὰ ταῦτα τοίνυν ἐκάλουν [h] ὑμᾶς καὶ μετεπέμποντο. [i] ἐξῇτε, ἐβοηθεῖτε, ἵνα [k] τἀν μέσῳ [l] παραλείπω, οὕτως

[l] πεπόνθεσαν] πεπόνθασιν k.p.r.s.
[m] αὐτοὺς] αὐτοῖς F.k. r. s. t. u. v.
[n] ὑμῶν F. S. k. p. r. u. vulg. ἡμῶν.
[o] ἠδίκηντο pr. S. vulg. ἠδίκηνται.
[p] δίκην om. S.
[q] βούλονται] βούλωνται r. βούλεται k.
[r] διέντας F. S. Y. Q. vulg. διϊέντας.
[s] ὑμᾶς] ἡμᾶς Q. k. s.
[t] συνεμβαλόντας] συνεμβάλλοντας O. p. u. et pr. F.
[u] αὐτοὶ] αὐτοῖς F.
[x] διαρπασθησόμενα] ἁρπασθησόμενα k.
[y] ταὐτὰ] ταῦτα F. Q. O. p. u. v. S. accentu caret.
[z] ἀντείπομεν om. S. ἀντείπαμεν F.Y.O.u. εἴπομεν k.r.s. et rec. S.
[a] εἰ] εἰ καὶ S.
[b] λόγους] ὄχλους O. u.
[c] ἃ] ὅτι S.
[d] ἐπείσαμεν] ἐπείπομεν γρ. s.
[e] ἃ om. S.
[f] ταυτὶ S. Q. p. r. ταῦτα k. s. vulg. τουτί.
[g] ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΩΝ] θηβαίων ἀποκρίσεις O. u. ἀποκρίσεις θηβαίων r.
[h] ὑμᾶς] ἡμᾶς k. r.
[i] ἐξῇτε F. S. Y. Q. ἐξῆτε O. t. u. v. vulg. ἐξῄειτε.
[k] τἀν] τὰ Y. τὰμ F.
[l] παραλείπω] παραλίπω F. Y. Q. k. p.

οἰκείως ὑμᾶς ἐδέχοντο, ὥστ' ἔξω τῶν ὁπλιτῶν καὶ τῶν
ἱππέων ὄντων εἰς τὰς οἰκίας καὶ τὸ ἄστυ δέχεσθαι τὴν 300
στρατιὰν ἐπὶ παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα.
273 καίτοι τρία ἐν ἐκείνῃ τῇ ἡμέρᾳ [m] πᾶσιν ἀνθρώποις ἔδειξαν
ἐγκώμια Θηβαῖοι [n] καθ' ὑμῶν τὰ κάλλιστα, ἓν μὲν ἀν-
δρίας, ἕτερον δὲ δικαιοσύνης, τρίτον δὲ σωφροσύνης. καὶ
γὰρ τὸν ἀγῶνα μεθ' ὑμῶν [o] μᾶλλον ἢ πρὸς ὑμᾶς ἑλόμε-
νοι ποιήσασθαι καὶ ἀμείνους εἶναι καὶ δικαιότερ' ἀξιοῦν
ὑμᾶς ἔκριναν [p] Φιλίππου· καὶ τὰ παρ' αὐτοῖς καὶ παρὰ
πᾶσι [q] δ' ἐν πλείστῃ φυλακῇ, παῖδας καὶ γυναῖκας,
ἐφ' ὑμῖν ποιήσαντες σωφροσύνης πίστιν περὶ ὑμῶν ἔχον-
274 τες ἔδειξαν. ἐν οἷς [r] πᾶσιν, [s] ἄνδρες Ἀθηναῖοι, κατά γ'
ὑμᾶς ὀρθῶς ἐφάνησαν ἐγνωκότες. οὔτε γὰρ εἰς τὴν πόλιν
εἰσελθόντος [t] τοῦ στρατοπέδου οὐδεὶς οὐδὲν οὐδὲ ἀδίκως
ὑμῖν [u] ἐνεκάλεσεν· οὕτω σώφρονας [x] παρέσχεσθε ὑμᾶς αὐ-
τούς· δίς τε συμπαραταξάμενοι τὰς πρώτας [y] μάχας,
τήν [z] τ' ἐπὶ τοῦ ποταμοῦ καὶ τὴν χειμερινήν, οὐκ ἀμέμ-
πτους μόνον ὑμᾶς αὐτοὺς ἀλλὰ καὶ θαυμαστοὺς ἐδείξατε
τῷ κόσμῳ, ταῖς παρασκευαῖς, τῇ προθυμίᾳ. ἐφ' οἷς πα-
ρὰ μὲν τῶν ἄλλων ὑμῖν ἐγίγνοντο ἔπαινοι, παρὰ δ' [a] ὑμῶν
275 θυσίαι καὶ πομπαὶ τοῖς θεοῖς. καὶ ἔγωγε ἡδέως ἂν ἐροί-
μην Αἰσχίνην, ὅτε ταῦτ' [b] ἐπράττετο καὶ ζήλου καὶ χα-
ρᾶς καὶ ἐπαίνων [c] ἡ πόλις ἦν μεστή, πότερον συνέθυε καὶ
συνευφραίνετο τοῖς πολλοῖς, ἢ λυπούμενος καὶ στένων καὶ

[m] πᾶσιν ἀνθρ. post ἐγκώμια ponit k.
[n] καθ'] περὶ k. r. s.
[o] μᾶλλον ante μεθ' ponit S.
[p] Φιλίππου] ἢ φίλιππον O. t. u. et γρ. s.
[q] δὲ post αὐτοῖς ponunt k. r. s.
[r] πᾶσιν S. k. s. ceteri ἅπασιν.
[s] ἄνδρες Ἀθηναῖοι] ἂν θηβαῖοι p.
[t] τοῦ om. S.
[u] ἐνεκάλεσεν] ἐκάλεσεν O.
[x] παρέσχεσθε] παρέσχετε S. k. παρέχεσθαι t.
[y] μάχας om. S.
[z] τ' om. F. Y. O. p. r. t. u.
[a] ὑμῶν] ἡμῶν Y. r.
[b] ἐπράττετο F. S. Y. O. p. t. u. et correctus s. ἐπράττετε ceteri.
[c] ἡ πόλις ἦν S. k. s. vulg. ἦν ἡ πόλις.

276 δυσμεναίνων [d] ἐπὶ τοῖς κοινοῖς ἀγαθοῖς οἴκοι [e] καθῆτο; εἰ μὲν γὰρ παρῆν καὶ μετὰ τῶν ἄλλων ἐξητάζετο, πῶς οὐ δεινὰ ποιεῖ, μᾶλλον δ' οὐδ' ὅσια, εἰ ὧν [f] ὡς [g] ἀρίστων αὐτὸς τοὺς θεοὺς ἐποιήσατο μάρτυρας, ταῦθ' ὡς οὐκ [h] ἄριστα νῦν ὑμᾶς ἀξιοῖ ψηφίσασθαι τοὺς ὀμωμοκότας τοὺς 301
θεούς; εἰ δὲ μὴ παρῆν, πῶς οὐκ ἀπολωλέναι πολλάκις ἐστὶ δίκαιος, εἰ ἐφ' οἷς ἔχαιρον οἱ ἄλλοι, ταῦτα ἐλυπεῖτο ὁρῶν; Λέγε δὴ καὶ ταῦτα τὰ ψηφίσματά μοι.

[i] ΨΗΦΙΣΜΑΤΑ ΘΥΣΙΩΝ.

277 Οὐκοῦν ἡμεῖς μὲν ἐν θυσίαις ἦμεν τότε, Θηβαῖοι δ' ἐν τῷ δι' ἡμᾶς σεσῶσθαι νομίζειν, καὶ περιειστήκει [k] τοῖς βοηθείας δεήσεσθαι [l] δοκοῦσιν ἀφ' ὧν ἔπραττον οὗτοι, [m] αὐτοὺς βοηθεῖν ἑτέροις ἐξ ὧν ἐπείσθητ' ἐμοί. ἀλλὰ μὴν οἵας τότ' ἠφίει φωνὰς ὁ Φίλιππος καὶ ἐν οἵαις ἦν ταραχαῖς ἐπὶ τούτοις, ἐκ τῶν ἐπιστολῶν τῶν ἐκείνου μαθήσεσθε ὧν εἰς Πελοπόννησον [n] ἔπεμπεν. καί μοι λέγε ταύτας λαβών, ἵν' [o] εἰδῆτε, ἡ ἐμὴ συνέχεια καὶ [p] πλάνοι καὶ ταλαιπωρίαι καὶ τὰ πολλὰ ψηφίσματα, ἃ νῦν οὗτος διέσυρε, τί [q] ἀπειργάσατο.

278 Καίτοι πολλοὶ παρ' [r] ὑμῖν, ἄνδρες Ἀθηναῖοι, γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' ὅμως οὐδεὶς [s] πώποτε τούτων διὰ παντὸς [t] ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν τῇ πόλει, ἀλλ' ὁ μὲν γράφων οὐκ ἂν

[d] ἐπὶ om. S. s.
[e] καθῆτο] καθῆστο k. p. r. s.
[f] ὡς om. pr. O.
[g] ἀρίστων] ἀρίστων ὄντων k. r. s.
[h] ἄριστα] ἄξια k. r. s.
[i] ΨΗΦΙΣΜΑΤΑ] ψηφισμα S.
[k] τοῖς] τῆς r.
[l] δοκοῦσιν] νομίζουσιν S.
[m] αὐτοὺς] αὐτοῖς F. Y. Q. O. p. t. u. v.
[n] ἔπεμπεν S. ceteri ἔπεμψεν.
[o] εἰδῆτε ἡ] εἰδῆτε ὅτι ἡ F. Y. Q. O. p. r. t. u. v.
[p] πλάνοι] πλάνη O. r. t. u. v.
[q] ἀπειργάσατο] ἀπηργάσατο S.
[r] ὑμῖν] ημιν (with ὑ written above) F. ἡμῖν Y.
[s] πώποτε τούτων] τούτων πώποτε F. Y. Q. O. p. r. t. u. v.
[t] ἔδωκεν] δέδωκεν u.

ἐπρέσβευσεν, ὁ δὲ πρεσβεύων οὐκ ἂν ἔγραψεν. [u] ὑπελεί-
πετο γὰρ αὑτῶν ἕκαστος ἑαυτῷ ἅμα μὲν ῥᾳστώνην, ἅμα
279 δ', εἴ τι [x] γίγνοιτ', ἀναφοράν. τί οὖν; εἴποι τις ἄν, σὺ
τοσοῦτον ὑπερῆρας [y] τοὺς ἄλλους ῥώμῃ καὶ τόλμῃ ὥστε
πάντα ποιεῖν αὐτός; οὐ [z] ταῦτα λέγω, ἀλλ' οὕτως ἐπε-
πείσμην μέγαν εἶναι [a] τὸν κατειληφότα κίνδυνον [b] τὴν
πόλιν, ὥστ' οὐκ ἐδόκει μοι [c] χώραν οὐδὲ πρόνοιαν [d] οὐδε-
μίαν τῆς ἰδίας ἀσφαλείας διδόναι, ἀλλ' ἀγαπητὸν εἶναι, 302
280 εἰ μηδὲν [e] παραλείπων τις ἃ δεῖ πράξειεν. [f] ἐπεπείσμην
δ' ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν [g] ἀναισθητῶν, ὅμως δ' ἐπε-
πείσμην, μήτε γράφοντ' [h] ἂν ἐμοῦ [i] γράψαι [k] βέλτιον μη-
δένα, μήτε [l] πράττοντα πρᾶξαι, μήτε [m] πρεσβεύοντα πρεσ-
βεῦσαι προθυμότερον [n] μηδὲ δικαιότερον. διὰ ταῦτα ἐν
[o] ἅπασιν ἐμαυτὸν ἔταττον. [p] Λέγε τὰς ἐπιστολὰς [q] τὰς
τοῦ Φιλίππου.

## ΕΠΙΣΤΟΛΑΙ.

281 Εἰς ταῦτα κατέστησε Φίλιππον ἡ [r] ἐμὴ πολιτεία, Αἰ-
σχίνη· ταύτην τὴν φωνὴν ἐκεῖνος ἀφῆκε [s] δι' ἐμέ, [t] πολ-
λοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων τῇ πόλει [u] ἐπαιρόμενος

[u] ὑπελείπετο] ὑπέλειπε S.
[x] γίγνοιτ'] γένοιτ' S. s.
[y] τοὺς ἄλλους om. S. post τόλμῃ ponunt F. Y. Q. O. p. r. t. u. v.
[z] ταῦτα λέγω S. vulg. λέγω ταῦτα.
[a] τὸν κατειληφότα κίνδυνον] κίνδυνον τὸν κατειληφότα O. u.
[b] τὴν πόλιν] τῇ πόλει rec. t.
[c] χώραν] ὥραν k. r. s. ὁρᾶν γρ. S. Q.
[d] οὐδεμίαν] οὐδενὶ ἂν γρ. Q.
[e] παραλείπων] παραλιπὼν Y.k.p. r. s.
[f] ἐπεπείσμην δ'—ὅμως δ' om. O. u.
[g] ἀναισθητῶν u. ceteri ἀναίσθητον.
[h] ἂν] ἄνευ Q.
[i] γράψαι] μὴ γράψαι Y.O.t.u.v.
[k] βέλτιον post ἐμοῦ ponit p.
[l] πράττοντα] πράττοντά τι F.O. t. v.
[m] πρεσβεύοντα om. O.
[n] μηδὲ S. p. εἴτε (μη) k. μήτε ceteri.
[o] ἅπασιν] πᾶσιν S. s.
[p] Λέγε] λέγε δὴ Q. O.
[q] τὰς τοῦ recepi ex S. k. p. r. s.
[r] ἐμὴ] ἐμοὶ O.
[s] δι' ἐμὲ om. S.
[t] πολλοὺς—λόγους] πολλοὺς τὰ πρὸ τούτων καὶ θρασεῖς λόγους τῇ πόλει ἐπαιρόμενος k.
[u] ἐπαιρόμενος λόγους] λόγους ἐπαιρόμενος s.

λόγους. ἀνθ' ὧν δικαίως ἐστεφανούμην ὑπὸ [x] τουτωνί, καὶ σὺ παρὼν οὐκ ἀντέλεγες, ὁ δὲ γραψάμενος Διώνδας [y] τὸ μέρος τῶν ψήφων οὐκ ἔλαβεν. Καί μοι [z] λέγε ταῦτα τὰ ψηφίσματα [a] τὰ τότε μὲν ἀποπεφευγότα, ὑπὸ τούτου δ' [b] οὐδὲ γραφέντα.

## ΨΗΦΙΣΜΑΤΑ.

282 Ταυτὶ τὰ ψηφίσματ' ὦ ἄνδρες Ἀθηναῖοι τὰς αὐτὰς συλλαβὰς καὶ ταὐτὰ ῥήματ' ἔχει, ἅπερ πρότερον μὲν Ἀριστόνικος νῦν δὲ Κτησιφῶν γέγραφεν [c] οὑτοσί. καὶ ταῦτ' Αἰσχίνης οὔτ' ἐδίωξεν αὐτὸς οὔτε τῷ γραψαμένῳ συγκατηγόρησεν. καίτοι τότε τὸν [d] Δημομέλη τὸν ταῦτα γράφοντα καὶ τὸν Ὑπερίδην, εἴπερ ἀληθῆ [e] μου νῦν κατη-
283 γορεῖ, μᾶλλον ἂν εἰκότως ἢ τόνδ' ἐδίωκεν. [f] διὰ τί; ὅτι [g] τῷ μὲν ἔστ' ἀνενεγκεῖν [h] ἐπ' ἐκείνους καὶ τὰς τῶν δικαστηρίων γνώσεις καὶ τὸ τοῦτον [i] αὐτὸν ἐκείνων μὴ κατηγορηκέναι ταὐτὰ γραψάντων ἅπερ οὗτος [k] νυνί, καὶ τὸ τοὺς 303 νόμους μηκέτ' ἐᾶν περὶ τῶν οὕτω πραχθέντων κατηγορεῖν, καὶ πολλὰ ἕτερα· τότε δ' αὐτὸ τὸ πρᾶγμ' [l] ἂν ἐκρίνετο
284 [m] ἐφ' αὑτοῦ, πρίν [n] τι τούτων προλαβεῖν. ἀλλ' οὐκ ἦν οἶμαι τότε, [o] ὃ νυνὶ [p] ποιεῖ, ἐκ παλαιῶν χρόνων καὶ ψηφισμάτων πολλῶν ἐκλέξαντα, ἃ μήτε προῄδει μηδεὶς μήτ' ἂν ᾠήθη τήμερον ῥηθῆναι, διαβάλλειν, καὶ μετενεγκόντα τοὺς χρόνους καὶ προφάσεις ἀντὶ τῶν ἀληθῶν

[x] τουτωνί] τούτων k.
[y] τὸ μέρος S. ceteri τὸ πέμπτον μέρος.
[z] λέγε] λαβὲ S.
[a] τὰ τότε μὲν om. pr. S.
[b] οὐδὲ] οὐδὲν O. u. v. οὐ r.
[c] οὑτοσί] οὑτωσί O.
[d] Δημομέλη F. S. Y. Q. O. t. u. δημοτέλην r. δημομέλην vulg.
[e] μου] μοι r.
[f] διὰ τί; ὅτι τῷ μὲν] τούτῳ μὲν γὰρ k.
[g] τῷ] τῷδε S.
[h] ἐπ'] ἰπ' O.
[i] αὐτὸν] αὐτῶν k.
[k] νυνὶ] νῦν S. k. s.
[l] ἂν ἐκρίνετο] ἀνεκρίνετο F.Q.O. k.r.s.t.u.v.
[m] ἐφ'] ἀφ' t. περὶ k.
[n] τι τούτων προλαβεῖν] τι τούτου προσλαβεῖν S. τούτων τι προσλαβεῖν k. s. τι τούτων λαβεῖν p.
[o] ὃ S. k. r. s.
[p] ποιεῖ] ποιεῖν S.

ψευδεῖς μεταθέντα τοῖς πεπραγμένοις δοκεῖν τι λέγειν.
285 οὐκ ἦν τότε ταῦτα, ἀλλ' [q] ἐπὶ τῆς ἀληθείας, [r] ἐγγὺς τῶν ἔργων, ἔτι μεμνημένων ὑμῶν καὶ μόνον [s] οὐκ ἐν ταῖς χερσὶν [t] ἕκαστα ἐχόντων, [u] πάντες ἐγίγνοντ' ἂν οἱ λόγοι. διόπερ τοὺς παρ' αὐτὰ τὰ πράγματ' ἐλέγχους φυγὼν νῦν [x] ὕστερον ἥκει, ῥητόρων ἀγῶνα νομίζων, ὥς [y] γ' [z] ἐμοὶ δοκεῖ, καὶ οὐχὶ τῶν πεπολιτευμένων ἐξέτασιν ποιήσειν [a] ὑμᾶς, καὶ [b] λόγου κρίσιν, [c] οὐ τοῦ τῇ πόλει συμφέροντος ἔσεσθαι.

286 Εἶτα σοφίζεται, καὶ φησὶ [d] προσήκειν, ἧς μὲν οἴκοθεν ἥκετ' ἔχοντες δόξης περὶ ἡμῶν ἀμελῆσαι. ὥσπερ δ', ὅταν οἰόμενοι περιεῖναι χρήματά τῳ [e] λογίζησθε, [f] ἂν [g] καθαραὶ ὦσιν αἱ ψῆφοι καὶ μηδὲν περιῇ, συγχωρεῖτε, οὕτω καὶ
287 νῦν τοῖς ἐκ τοῦ λόγου φαινομένοις [h] προσθέσθαι. θεάσασθε τοίνυν ὡς σαθρόν, ὡς ἔοικεν, ἔστι φύσει πᾶν ὅ τι [i] ἂν μὴ δικαίως ᾖ πεπραγμένον. ἐκ γὰρ αὐτοῦ τοῦ σοφοῦ τούτου παραδείγματος ὡμολόγηκε [k] νυνὶ [l] ὑμᾶς ὑπάρχειν ἐγνωσμένους ἐμὲ μὲν λέγειν ὑπὲρ τῆς πατρίδος, αὐτὸν δ' ὑπὲρ Φιλίππου· οὐ γὰρ ἂν μεταπείθειν ὑμᾶς ἐζήτει μὴ τοιαύ- 304
της οὔσης τῆς ὑπαρχούσης ὑπολήψεως περὶ ἑκατέρου.
288 καὶ μὴν ὅτι [m] γε οὐ δίκαια λέγει μεταθέσθαι ταύτην τὴν

[q] ἐπὶ τῆς S. k. r. s. et γρ. Q. ἐπ' αὐτῆς F. Q. O. t. u. v. ἐπ' αὐτῆς τῆς vulg.

[r] ἐγγὺς] ἐγγὺς οὔσης F. Y. Q. O. p. r. t. u. v. et γρ. s.

[s] οὐκ om. t.

[t] ἕκαστα ἐχόντων] ἐχόντων ἕκαστα u.

[u] πάντες om. s.

[x] ὕστερον om. S. k. in γρ. habet s.

[y] γ' om. k. s.

[z] ἐμοὶ] μοι O. k. p. t. u.

[a] ὑμᾶς καὶ S. k. s. vulg. ὑμᾶς ὑπολαμβάνων καί.

[b] λόγου F. S. Y. k. p. r. s. λόγων (ου superscript) καὶ O. λόγον καὶ u. v. λόγων καὶ t. vulg. λόγων.

[c] οὐ] οὐχὶ S.

[d] προσήκειν] προσῆκεν p.

[e] λογίζησθε] λογίζεσθε Y. k.

[f] ἂν] κἂν F. Q. p. r. u. v.

[g] καθαραὶ ὦσιν] καθαιρωσιν S.

[h] προσθέσθαι] πρόσθεσθε s.

[i] ἂν μὴ] μὴ ἂν s.

[k] νυνί] νῦν γ' S. νῦν O. u. om. k. r. s.

[l] ὑμᾶς] ἡμᾶς S.

[m] γε] ὅγε p.

δόξαν ἀξιῶν [n]ὑμᾶς, ἐγὼ διδάξω ῥᾳδίως, οὐ τιθεὶς ψήφους (οὐ γάρ ἐστιν ὁ τῶν πραγμάτων οὗτος λογισμός) ἀλλ' ἀναμιμνήσκων ἕκαστα ἐν βραχέσι, λογισταῖς ἅμα καὶ μάρτυσι [o]τοῖς ἀκούουσιν ὑμῖν χρώμενος. ἡ γὰρ ἐμὴ πολιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ Φιλίππου [p]συνεμβαλεῖν εἰς τὴν χώραν, ὃ πάντες ᾤοντο [[q]ἔσεσθαι], μεθ' [r]ἡμῶν [s]παραταξαμένους ἐκεῖνον κωλύειν
289 ἐποίησεν, ἀντὶ δὲ τοῦ ἐν τῇ Ἀττικῇ [t]τὸν πόλεμον εἶναι ἑπτακόσια στάδια ἀπὸ τῆς πόλεως ἐπὶ τοῖς Βοιωτῶν ὁρίοις γενέσθαι, ἀντὶ δὲ τοῦ τοὺς λῃστὰς [u]ἡμᾶς φέρειν καὶ ἄγειν [x]ἐκ τῆς Εὐβοίας ἐν εἰρήνῃ τὴν Ἀττικὴν ἐκ θαλάττης εἶναι [y]πάντα τὸν πόλεμον, ἀντὶ δὲ τοῦ τὸν Ἑλλήσποντον [z]ἔχειν Φίλιππον, λαβόντα Βυζάντιον, συμπολεμεῖν τοὺς
290 Βυζαντίους μεθ' [a]ἡμῶν πρὸς [b]ἐκεῖνον. ἆρά σοι ψήφοις ὅμοιος ὁ τῶν ἔργων λογισμὸς φαίνεται; ἢ δεῖν ἀντανελεῖν ταῦτα, ἀλλ' οὐχ ὅπως τὸν ἅπαντα χρόνον μνημονευθήσεται σκέψασθαι; καὶ οὐκέτι προστίθημι ὅτι τῆς μὲν ὠμότητος, ἣν ἐν οἷς καθάπαξ τινῶν [c]κύριος κατέστη Φίλιππος ἔστιν ἰδεῖν, ἑτέροις πειραθῆναι συνέβη, τῆς δὲ φιλανθρωπίας, ἣν τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖνος περιβαλλόμενος [d]πρὸς ὑμᾶς [e]ἐπλάττετο, ὑμεῖς καλῶς ποιοῦντες τοὺς καρποὺς κεκόμισθε. ἀλλ' ἐῶ ταῦτα.
291 Καὶ μὴν οὐδὲ [f]τοῦτ' εἰπεῖν ὀκνήσω, ὅτι ὁ τὸν ῥήτορα

[n] ὑμᾶς om. S. k. s.
[o] τοῖς ἀκούουσιν om. k. s.
[p] συνεμβαλεῖν] συνεισβαλεῖν k. r. s.
[q] [ἔσεσθαι] om. S. k. s.
[r] ἡμῶν] ὑμῶν r.
[s] παραταξαμένους] συμπαραταξαμένους k. r. s.
[t] τὸν om. O.
[u] ἡμᾶς] ἡμᾶς O.
[x] ἐκ] ἀπὸ k.
[y] πάντα supra versum Y.
[z] ἔχειν Φίλιππον] τὸν φίλιππον ἔχειν k. s.
[a] ἡμῶν] ὑμῶν u.
[b] ἐκεῖνον] ἐκεῖνον ἐποίησεν k. r. s.
[c] κύριος κατέστη] κατέστη κύριος k.
[d] πρὸς ὑμᾶς om. S.
[e] ἐπλάττετο] ἐπράττετο p.
[f] τοῦτ'] ταῦτ' Q.

βουλόμενος δικαίως ἐξετάζειν καὶ μὴ συκοφαντεῖν, οὐκ
ἂν οἷα σὺ νῦν ἔλεγες, τοιαῦτα κατηγόρει, παραδείγματα 305
πλάττων καὶ ῥήματα καὶ σχήματα μιμούμενος (πάνυ γὰρ παρὰ τοῦτο, οὐχ ὁρᾷς; γέγονε τὰ τῶν [g] Ἑλλήνων, εἰ τουτὶ τὸ ῥῆμα ἀλλὰ μὴ τουτὶ διελέχθην ἐγώ, ἢ δευρὶ [h] τὴν
292 χεῖρα ἀλλὰ μὴ δευρὶ παρήνεγκα), ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων ἂν ἐσκόπει, τίνας εἶχεν ἀφορμὰς ἡ πόλις καὶ τίνας δυνάμεις, [i] ὅτ' εἰς τὰ πράγματ' [k] εἰσῄειν, καὶ τίνας συνήγαγον αὐτῇ μετὰ ταῦτ' ἐπιστὰς ἐγώ, καὶ πῶς εἶχε τὰ τῶν ἐναντίων. εἶτ' εἰ μὲν ἐλάττους ἐποίησα τὰς δυνάμεις, παρ' ἐμοὶ [l] τἀδίκημ' ἂν [m] ἐδείκνυεν ὄν, εἰ δὲ πολλῷ μείζους, οὐκ ἂν [n] ἐσυκοφάντει. ἐπειδὴ δὲ σὺ τοῦτο πέφευγας, ἐγὼ ποιήσω· καὶ σκοπεῖτε, εἰ δικαίως χρήσομαι τῷ λόγῳ.
293 Δύναμιν μὲν τοίνυν [o] εἶχεν ἡ πόλις τοὺς νησιώτας, οὐχ ἅπαντας, ἀλλὰ τοὺς ἀσθενεστάτους· οὔτε γὰρ Χίος οὔτε Ῥόδος οὔτε Κέρκυρα μεθ' [p] ἡμῶν ἦν· χρημάτων δὲ σύνταξιν εἰς πέντε καὶ τετταράκοντα τάλαντα, καὶ ταῦτ' ἦν προεξειλεγμένα· ὁπλίτην δ' [q] ἢ ἱππέα πλὴν τῶν οἰκείων οὐδένα. ὃ δὲ πάντων [r] καὶ φοβερώτατον καὶ μάλισθ' ὑπὲρ τῶν ἐχθρῶν, οὗτοι [s] παρεσκευάκεισαν τοὺς περιχώρους [t] πάντας ἔχθρας ἢ φιλίας ἐγγυτέρω, Μεγαρεῖς,
9 Θηβαίους, Εὐβοέας. [u] τὰ μὲν τῆς πόλεως οὕτως ὑπῆρχεν ἔχοντα, καὶ οὐδεὶς ἂν ἔχοι παρὰ ταῦτ' εἰπεῖν ἄλλο οὐδέν·

[g] Ἑλλήνων εἰ S. k. s. ceteri Ἑλλήνων πράγματα εἰ.

[h] τὴν—δευρὶ in margine F.

[i] ὅτ'] ὅτι k.

[k] εἰσῄειν] εἰσῄει F. S. Y. k. t. et correctus r.

[l] τἀδίκημ'] τἀδικήματα s.

[m] ἐδείκνυεν] ἐδείκνυεν (s) F. ἐδείκνυες Y. O.

[n] ἐσυκοφάντει] ἐσυκοφάντει (ς) F. ἐσυκοφάντεις Y. Q. O. u. v.

[o] εἶχεν ἡ πόλις] ἡ πόλις εἶχεν Y. p. r.

[p] ἡμῶν] ὑμῶν O.

[q] ἢ om. F. S. Q. O. t. u. v.

[r] καὶ post πάντων om. k. r.

[s] παρεσκευάκεισαν] παρεσκεύασαν k. s.

[t] πάντας] ἅπαντας k. s.

[u] τὰ μὲν] καὶ τὰ μὲν k. r. s.

τὰ δὲ τοῦ Φιλίππου, πρὸς ὃν [x]ἦν ἡμῖν ὁ ἀγών, [y]σκέψασθε
πῶς. πρῶτον μὲν [z]ἦρχε τῶν ἀκολουθούντων αὐτὸς αὐτο-
κράτωρ [a]ὤν, [b]ὃ τῶν εἰς τὸν πόλεμον μέγιστόν ἐστιν ἁπάν-
των· εἶθ' οὗτοι τὰ ὅπλα εἶχον ἐν ταῖς χερσὶν ἀεί· ἔπειτα
χρημάτων εὐπόρει, καὶ ἔπραττεν, ἃ δόξειεν αὐτῷ, οὐ προ- 306
λέγων ἐν τοῖς ψηφίσμασιν, οὐδ' ἐν τῷ φανερῷ [c]βουλευό-
μενος, [d]οὐδ' ὑπὸ τῶν [e]συκοφαντούντων κρινόμενος, οὐδὲ
γραφὰς φεύγων παρανόμων, οὐδ' ὑπεύθυνος ὢν οὐδενί,
ἀλλ' ἁπλῶς αὐτὸς δεσπότης, ἡγεμών, κύριος [f]πάντων.
295 ἐγὼ δ' ὁ πρὸς τοῦτον ἀντιτεταγμένος (καὶ γὰρ τοῦτ' ἐξε-
τάσαι δίκαιον) τίνος κύριος ἦν; οὐδενός· αὐτὸ γὰρ τὸ δη-
μηγορεῖν [g]πρῶτον, οὗ μόνου μετεῖχον ἐγώ, ἐξ ἴσου [h]προὐ-
τίθεθ' ὑμεῖς τοῖς παρ' [i]ἐκείνου μισθαρνοῦσι καὶ ἐμοί, καὶ
ὅσα οὗτοι περιγένοιντο ἐμοῦ (πολλὰ δ' ἐγίγνετο [k]ταῦτα,
δι' ἣν ἕκαστον τύχοι πρόφασιν), ταῦθ' ὑπὲρ τῶν ἐχθρῶν
296 ἀπῆτε βεβουλευμένοι. ἀλλ' ὅμως ἐκ τοιούτων ἐλαττω-
μάτων ἐγὼ [l]συμμάχους μὲν ὑμῖν ἐποίησα Εὐβοέας,
Ἀχαιούς, Κορινθίους, Θηβαίους, Μεγαρέας, Λευκαδίους,
Κερκυραίους, ἀφ' ὧν μύριοι μὲν καὶ πεντακισχίλιοι ξένοι,
δισχίλιοι [m]δ' ἱππεῖς ἄνευ τῶν πολιτικῶν δυνάμεων συν-
ήχθησαν· χρημάτων δέ, ὅσων ἠδυνήθην ἐγώ, πλείστην
297 συντέλειαν ἐποίησα. εἰ δὲ λέγεις ἢ [n]τὰ πρὸς Θηβαίους
δίκαια, Αἰσχίνη, ἢ τὰ πρὸς Βυζαντίους ἢ τὰ πρὸς Εὐ-

[x] ἦν] νῦν p. om. t.
[y] σκέψασθε] σκέψεσθε O.
[z] ἦρχε] ὑπῆρχε s.
[a] ὢν om. F. S. Y. Q. p. t. u. et pr. v.
[b] ὃ post πόλεμον ponunt Y. p. t. v.
[c] βουλευόμενος] βουλόμενος O.
[d] οὐδ'—κρινόμενος om. pr. S.
[e] συκοφαντούντων] συκοφαντῶν r.
[f] πάντων] ἁπάντων k. s.
[g] πρῶτον οὗ μόνου] μόνον οὗ πρῶτον k. πρῶτον οὗ μόνον F. O. u. v.
[h] προὐτίθεθ'] προὐτίθεσθ' S. Q. vulg. προυτίθετε.
[i] ἐκείνου] ἐκείνῳ k.
[k] ταῦτα S. Q. ceteri τοιαῦτα.
[l] συμμάχους μὲν ὑμῖν] μὲν ὑμῖν συμμάχους u. μὲν ἡμῖν συμμάχους O.
[m] δ' om. t. v.
[n] τὰ ante πρὸς Θηβ. om. O.

βοέας, ἢ περὶ τῶν [o]ἴσων νυνὶ διαλέγῃ, πρῶτον μὲν ἀγνο-
εῖς ὅτι καὶ πρότερον τῶν ὑπὲρ τῶν Ἑλλήνων ἐκείνων ἀγω-
νισαμένων [p]τριήρων, τριακοσίων οὐσῶν τῶν πασῶν, [q]τὰς
298 διακοσίας ἡ πόλις παρέσχετο, καὶ οὐκ ἐλαττοῦσθαι νο-
μίζουσα οὐδὲ κρίνουσα τοὺς ταῦτα συμβουλεύσαντας οὐδὲ
ἀγανακτοῦσα ἐπὶ τούτοις ἑωρᾶτο (αἰσχρὸν γάρ), ἀλλὰ
τοῖς θεοῖς ἔχουσα χάριν, εἰ κοινοῦ κινδύνου τοῖς Ἕλλησι
περιστάντος [r]αὐτὴ διπλάσια τῶν ἄλλων εἰς τὴν ἁπάντων
σωτηρίαν παρέσχετο. εἶτα [s]κενάς [t]γε [u]χαρίζῃ χάριτας
299 τουτοισὶ συκοφαντῶν ἐμέ. τί γὰρ νῦν [x]λέγεις οἷα ἐχρῆν 307
πράττειν, ἀλλ' οὐ τότ' ὢν ἐν τῇ πόλει καὶ παρὼν ταῦτ'
ἔγραφες, εἴπερ ἐνεδέχετο παρὰ τοὺς παρόντας καιρούς,
ἐν οἷς οὐχ ὅσα [y]ἐβουλόμεθα ἀλλ' ὅσα [z]δοίη τὰ πράγματ'
ἔδει δέχεσθαι· ὁ γὰρ ἀντωνούμενος καὶ ταχὺ τοὺς παρ'
[a]ἡμῶν ἀπελαυνομένους [b]προσδεξόμενος καὶ χρήματα προσ-
θήσων ὑπῆρχεν ἕτοιμος.

300 Ἀλλ' εἰ νῦν ἐπὶ τοῖς πεπραγμένοις [c]κατηγορίας ἔχω,
τί ἂν οἴεσθε, εἰ [d]τότ' ἐμοῦ περὶ [e]τούτων ἀκριβολογουμένου,
ἀπῆλθον αἱ πόλεις καὶ προσέθεντο Φιλίππῳ, καὶ ἅμα
Εὐβοίας καὶ Θηβῶν καὶ Βυζαντίου κύριος κατέστη; τί
ποιεῖν ἂν ἢ τί [f]λέγειν τοὺς ἀσεβεῖς ἀνθρώπους τουτουσί;

[o] ἴσων] ὅσων u.
[p] τριήρων] τριηρῶν F. S. Y. Q. t.
[q] τὰς om. Y. p. r.
[r] αὐτὴ] αὕτη r.
[s] κενάς] καινὰς Q.
[t] γε soli habent k. s.
[u] χαρίζῃ χάριτας] χάριτας χαρίζῃ p.r. et Anecd. p. 179, 7.
[x] λέγεις] λέγειν u. διφορεῖται ἡ ἀνάγνωσις· ἄλλως γὰρ ἀναγινώσκεται στιγμῆς ἐν τῷ λέγεις μεσιτευούσης, καὶ ἄλλως ἐν μόνῳ τῷ πράττειν τιθεμένης margo S.
[y] ἐβουλόμεθα] ἂν βουλώμεθα F. Y. O. t. u. v. ἠβουλόμεθα S. p.
[z] δοίη] δώη O. u.
[a] ἡμῶν] ὑμῶν t. ἡμῖν correctus p.
[b] προσδεξόμενος] προσδεχόμενος O.
[c] κατηγορίας] κατηγορίαν t.
[d] τότ'] ποτ' F. Y. O. t. u. v.
[e] τούτων] τούτου S. τούτου (ων) F.
[f] λέγειν τοὺς F.S.Q.O.v. οἴεσθε λέγειν τοὺς k. p. λέγειν οἴεσθε τοὺς ceteri præter Y. r. hi enim illud οἴεσθε post τουτουσί ponunt.

301 οὐχ ὡς ἐξεδόθησαν; [g] οὐχ ὡς ἀπηλάθησαν βουλόμενοι
μεθ' ἡμῶν εἶναι; εἶτα τοῦ μὲν Ἑλλησπόντου διὰ Βυζαν-
τίων ἐγκρατὴς [h] καθέστηκε, καὶ τῆς [i] σιτοπομπίας τῆς
τῶν Ἑλλήνων κύριος [[k] γέγονε], πόλεμος δ' ὅμορος καὶ
βαρὺς εἰς τὴν [l] Ἀττικὴν [m] διὰ Θηβαίων κεκόμισται, ἄ-
πλους δ' ἡ θάλαττα ὑπὸ τῶν [n] ἐκ τῆς Εὐβοίας ὁρμωμένων
λῃστῶν γέγονεν; οὐκ ἂν ταῦτ' ἔλεγον, καὶ [o] πολλά γε
302 πρὸς τούτοις ἕτερα; πονηρόν, ὦ ἄνδρες Ἀθηναῖοι, πονηρὸν ὁ
συκοφάντης ἀεὶ [p] καὶ πανταχόθεν βάσκανον καὶ φιλαί-
τιον· τοῦτο δὲ καὶ φύσει [q] κίναδος [r] τἀνθρώπιόν ἐστιν, οὐ-
δὲν [s] ἐξ ἀρχῆς ὑγιὲς πεποιηκὸς οὐδ' ἐλεύθερον, αὐτοτραγι-
303 κὸς πίθηκος, ἀρουραῖος Οἰνόμαος, [t] παράσημος ῥήτωρ. τί
γὰρ ἡ σὴ δεινότης εἰς ὄνησιν ἥκει [u] τῇ πατρίδι; νῦν ἡμῖν
λέγεις [x] περὶ τῶν παρεληλυθότων; ὥσπερ ἂν εἴ τις ἰατρὸς
ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν [y] εἰσιὼν μὴ λέγοι μηδὲ
[z] δεικνύοι δι' ὧν ἀποφεύξονται τὴν νόσον, [a] ἐπειδὴ δὲ τελευ- 308
τήσειέ τις αὐτῶν καὶ τὰ νομιζόμενα αὐτῷ [b] φέροιτο, ἀκο-
λουθῶν ἐπὶ τὸ μνῆμα [c] διεξίοι "εἰ τὸ καὶ τὸ ἐποίησεν ἄν-
θρωπος [d] οὑτοσί, οὐκ [e] ἂν ἀπέθανεν." ἐμβρόντητε, εἶτα νῦν
λέγεις;

304 Οὐ τοίνυν οὐδὲ τὴν [f] ἧτταν, εἰ ταύτῃ γαυριᾷς ἐφ' ᾗ στέ-

[g] οὐχ ὡς ante ἀπηλάθησαν om. S.
[h] καθέστηκε] κατέστη Y.k.p.r.s. κατέστη φίλιππος γρ. Q.
[i] σιτοπομπίας F.S.Y.Q.k.p.r.s.v. vulg, σιτοπομπείας.
[k] γέγονε om. S. k. s.
[l] Ἀττικὴν] ἑλληνικὴν k.
[m] διὰ Θηβαίων κεκόμισται] κεκόμισται διὰ θηβαίων k.
[n] ἐκ om. S.
[o] πολλά γε post τούτοις ponit r.
[p] καὶ post ἀεί om. Q.
[q] κίναδος] κίναιδος r. s.
[r] τἀνθρώπιόν] τἀνθρώπειόν r. ἀνθρώπιόν p.
[s] ἐξ ἀρχῆς ὑγιὲς πεποιηκὸς] ἐξ ἀρχῆς πεποιηκὸς ὑγιὲς r. ὑγιὲς ἐξ ἀρχῆς πεποιηκὸς k. s.
[t] παράσημος] παράσιμος O. u.
[u] τῇ om. pr. S.
[x] περὶ] ὑπὲρ Q. O. k. u.
[y] εἰσιὼν om. Q.
[z] δεικνύοι] δεικνύῃ S.
[a] ἐπειδὴ] ἐπειδὰν k. r. s. t.
[b] φέροιτο] φαίνοιτο S. Q.
[c] διεξίοι] διεξήει k.
[d] οὑτοσί] οὗτος Y. r.
[e] ἂν om. Y.
[f] ἧτταν] ἧτταν αὐτήν k. r. s.

νειν σε ὦ κατάρατε προσῆκεν, ἐν οὐδενὶ τῶν παρ' [g]ἐμοῦ
γεγονυῖαν εὑρήσετε τῇ πόλει. οὑτωσὶ δὲ λογίζεσθε. οὐ-
δαμοῦ πώποθ', [h]ὅποι πρεσβευτὴς [i]ἐπέμφθην [k]ὑφ' ὑμῶν
ἐγώ, ἡττηθεὶς ἀπῆλθον τῶν [l]παρὰ Φιλίππου πρέσβεων,
οὐκ ἐκ Θετταλίας, [m]οὐκ ἐξ Ἀμβρακίας, οὐκ ἐξ Ἰλλυ-
ριῶν, οὐ παρὰ τῶν Θρᾳκῶν βασιλέων, οὐκ ἐκ Βυζαντίου,
οὐκ ἄλλοθεν οὐδαμόθεν, οὐ τὰ τελευταῖα [n]πρῴην ἐκ Θη-
βῶν, ἀλλ' ἐν οἷς κρατηθεῖεν οἱ πρέσβεις αὐτοῦ τῷ λόγῳ,
305 ταῦτα τοῖς ὅπλοις ἐπιὼν κατεστρέφετο. ταῦτ' οὖν ἀπαι-
τεῖς παρ' ἐμοῦ, καὶ οὐκ [o]αἰσχύνει τὸν αὐτὸν εἴς τε μα-
λακίαν σκώπτων καὶ τῆς [p]Φιλίππου δυνάμεως ἀξιῶν ἕνα
ὄντα κρείττω [q]γενέσθαι; καὶ ταῦτα τοῖς λόγοις; τίνος
[r]γὰρ ἄλλου κύριος ἦν ἐγώ; οὐ γὰρ τῆς γε ἑκάστου ψυ-
χῆς, οὐδὲ τῆς τύχης τῶν παραταξαμένων, οὐδὲ τῆς στρα-
306 τηγίας, ἧς ἔμ' ἀπαιτεῖς εὐθύνας· οὕτω σκαιὸς εἶ. ἀλλὰ
μὴν ὧν [s]γ' ἂν ὁ ῥήτωρ ὑπεύθυνος [t]εἴη, πᾶσαν ἐξέτασιν
[u]λάμβανε· οὐ παραιτοῦμαι. τίνα οὖν ἐστὶ ταῦτα; ἰδεῖν
τὰ πράγματα ἀρχόμενα καὶ προαισθέσθαι καὶ προειπεῖν
τοῖς ἄλλοις. ταῦτα πέπρακταί μοι. καὶ ἔτι τὰς ἑκα-
σταχοῦ βραδυτῆτας, [x]ὄκνους, ἀγνοίας, φιλονεικίας, ἃ
[y]πολιτικὰ [z]ταῖς πόλεσι πρόσεστιν ἁπάσαις καὶ ἀναγ- 309
καῖα ἁμαρτήματα, ταῦθ' ὡς [a]εἰς [b]ἐλάχιστον συστεῖλαι,

[g] ἐμοῦ] ἐμοὶ F. S. O. p. r. u. v.
[h] ὅποι] ὅπου F. Q. O. t. u. v. cum Anecd. p. 147, 4.
[i] ἐπέμφθην] ἐξεπέμφθην r. s. ἐξεπέμφην k.
[k] ὑφ'] παρ' k.
[l] παρὰ om. Anecd.
[m] οὐκ ἐξ Ἀμβρ. k. p. s. vulg. οὐδ' ἐξ Ἀμβρ.
[n] πρῴην] νῦν k. r. s. om. S.
[o] αἰσχύνει S. vulg. αἰσχύνῃ.
[p] Φιλίππου] τοῦ Φιλίππου Y.
[q] γενέσθαι] γεγενῆσθαι k. s.
[r] γὰρ] γὰρ δὴ k. s.
[s] γ' om. Y. p. r.
[t] εἴη] ᾖ k.
[u] λάμβανε] λαμβάνετε S.
[x] ὄκνους ἀγνοίας] ἀγνοίας ὄκνους r.
[y] πολιτικὰ] πηλίκα k. s. συνήλικα Reiskius.
[z] ταῖς] καὶ O.
[a] εἰς om. p. s. t.
[b] ἐλάχιστον] ἐλάχιστα S.

καὶ τοὐναντίον εἰς ὁμόνοιαν καὶ [c] φιλίαν καὶ τοῦ τὰ δέοντα
ποιεῖν ὁρμὴν [d] προτρέψαι. καὶ ταῦτά [e] μοι πάντα πεποί-
ηται, καὶ οὐδεὶς [f] μήποθ' [g] εὕρῃ [h] τὸ κατ' ἐμὲ οὐδὲν ἐλλει-
307 φθέν. εἰ τοίνυν τις [i] ἔροιτο ὁντινοῦν, τίσι τὰ πλεῖστα Φί-
λιππος ὧν κατέπραξε διῳκήσατο, πάντες ἂν εἴποιεν τῷ
στρατοπέδῳ καὶ τῷ διδόναι καὶ [k] διαφθείρειν τοὺς ἐπὶ τῶν
πραγμάτων. οὐκοῦν τῶν μὲν [l] δυνάμεων οὔτε κύριος οὔθ'
ἡγεμὼν ἦν ἐγώ, ὥστε οὐδ' ὁ λόγος τῶν κατὰ ταῦτα
πραχθέντων [m] πρὸς ἐμέ. καὶ μὴν τῷ [n] γε [o] μὴ διαφθαρῆ-
ναι χρήμασιν κεκράτηκα Φιλίππου· ὥσπερ γὰρ ὁ ὠνού-
μενος νενίκηκε τὸν λαβόντα, ἐὰν πρίηται, οὕτως ὁ μὴ λα-
βὼν [p] μηδὲ διαφθαρεὶς νενίκηκε τὸν ὠνούμενον. ὥστε ἀήτ-
τητος ἡ πόλις τὸ κατ' ἐμέ.

308 Ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαίως τοιαῦτα
γράφειν [q] τουτονὶ περὶ ἐμοῦ, πρὸς πολλοῖς ἑτέροις ταῦτα
καὶ παραπλήσια τούτοις ἐστίν, ἃ [r] δ' οἱ πάντες [s] ὑμεῖς,
[t] ταῦτ' ἤδη λέξω. μετὰ γὰρ τὴν μάχην εὐθὺς ὁ δῆμος,
εἰδὼς καὶ ἑωρακὼς πάντα ὅσα ἔπραττον ἐγώ, ἐν αὐτοῖς
309 τοῖς [u] δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκώς, ἡνίκ' οὐδ' ἀγνω-
μονῆσαί τι θαυμαστὸν ἦν τοὺς πολλοὺς πρὸς ἐμέ, πρῶτον
μὲν περὶ σωτηρίας τῆς [x] πόλεως τὰς ἐμὰς γνώμας ἐχει-

[c] φιλίαν] φιλίαν ἀγαγεῖν k. s.
[d] προτρέψαι] τρέψαι Q.
[e] μοι πάντα] πάντα μοι Y. p. r.
[f] Post μήποθ' cum S.k.s. omisi ἀνθρώπων.
[g] εὕρῃ] εὕροι F. k. t. v.
[h] τὸ om. S.
[i] ἔροιτο ὁντινοῦν] ὁντινοῦν ἔροιτο F. Y. Q. O. p. r. t. u. v.
[k] διαφθείρειν] τῷ διαφθείρειν p.
[l] δυνάμεων] δυναμένων s.
[m] πρὸς] εἰς F. Q.
[n] γε om. S.
[o] μὴ διαφθαρῆναι χρήμασι] διαφθαρῆναι χρήμασι Q. διαφθαρῆναι χρήμασιν ἢ μὴ S. Y. k. p. r. s. et γρ. Q.
[p] μηδὲ] καὶ S.
[q] τουτονὶ F. O. k. p. s. ceteri τοῦτον.
[r] δ' οἱ F. S. Y. O. p. r. t. u. v. vulg. δέ.
[s] ὑμεῖς] ἐμὲ p.
[t] ταῦτ'] ἴστε ταῦτ' omnes præter S.
[u] δεινοῖς καὶ φοβεροῖς] φοβεροῖς καὶ δεινοῖς Y. p. r.
[x] πόλεως] πόλεως βουλευόμενος u.

ροτόνει, καὶ πάνθ' ὅσα τῆς φυλακῆς ἕνεκα ἐπράττετο, ἡ
διάταξις τῶν φυλάκων, αἱ τάφροι, τὰ εἰς τὰ τείχη χρή-
ματα, διὰ τῶν ἐμῶν ψηφισμάτων ἐγίγνετο· ἔπειθ' αἱ- 310
ρούμενος σιτώνην ἐκ πάντων ἐμὲ ἐχειροτόνησεν ὁ δῆμος.
310 καὶ μετὰ ταῦτα συστάντων οἷς ἦν ἐπιμελὲς [y] κακῶς ἐμὲ
ποιεῖν, καὶ γραφάς, εὐθύνας, εἰσαγγελίας, [z] πάντα ταῦτ'
ἐπαγόντων μοι, οὐ δι' ἑαυτῶν τό γε πρῶτον, ἀλλὰ δι' ὧν
μάλισθ' ὑπελάμβανον [a] ἀγνοήσεσθαι (ἴστε γὰρ δήπου
καὶ μέμνησθε ὅτι τοὺς πρώτους χρόνους [b] κατὰ τὴν ἡμέραν
ἑκάστην ἐκρινόμην ἐγώ, καὶ [c] οὔτ' ἀπόνοια Σωσικλέους
[d] οὔτε συκοφαντία Φιλοκράτους οὔτε Διώνδου καὶ [e] Με-
λάντου μανία οὔτ' ἄλλ' οὐδὲν ἀπείρατον ἦν [f] τούτοις κατ'
ἐμοῦ), ἐν τοίνυν τούτοις πᾶσι μάλιστα μὲν διὰ τοὺς θεούς,
δεύτερον δὲ δι' ὑμᾶς καὶ τοὺς [g] ἄλλους Ἀθηναίους ἐσω-
311 ζόμην. δικαίως· τοῦτο γὰρ καὶ ἀληθές ἐστι καὶ ὑπὲρ
τῶν ὀμωμοκότων καὶ [h] γνόντων τὰ εὔορκα δικαστῶν. οὐκ-
οῦν ἐν μὲν οἷς εἰσηγγελλόμην, ὅτ' ἀπεψηφίζεσθέ μου καὶ
[i] τὸ μέρος τῶν ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε, τότ'
ἐψηφίζεσθε [k] τὰ ἄριστά με πράττειν· ἐν οἷς δὲ τὰς γρα-
φὰς [l] ἀπέφευγον, ἔννομα [m] καὶ γράφειν καὶ λέγειν ἀπε-
δεικνύμην· ἐν οἷς δὲ τὰς εὐθύνας ἐπεσημαίνεσθε, δικαίως

[y] κακῶς ἐμὲ] ἐμὲ κακῶς Anecd. p. 162, 24.

[z] πάντα om. k. post ταῦτα ponit s.

[a] ἀγνοήσεσθαι S. vulg. ἀγνοηθήσεσθαι.

[b] κατὰ τὴν ἡμέραν ἑκάστην S. k. σχεδὸν κατὰ τὴν ἡμέραν ἑκάστην s. σχεδὸν καθ' ἑκάστην ἡμέραν r. καθ' ἑκάστην ἡμέραν ceteri.

[c] οὔτ'] οὐδ' Y. r.

[d] οὔτε συκοφ.] οὐδὲ συκοφ. Y.

[e] Μελάντου S. k. s. μελάνδου γρ. F. Q. ceteri μελάνου.

[f] τούτοις] τοῖς Q.

[g] ἄλλους Ἀθηναίους S. k. s. vulg. ἄλλους ἅπαντας Ἀθηναίους.

[h] γνόντων τὰ εὔορκα] ὑπὲρ τῶν τὰ εὔορκα γνόντων F. Y. Q. O. p. r. t. u. v.

[i] τὸ μέρος S. ceteri τὸ πέμπτον μέρος.

[k] τὰ ἄριστά με] με τὰ ἄριστα Y. p. r.

[l] ἀπέφευγον F. S. k. s. vulg. ἀπέφυγον.

[m] καὶ γράφειν καὶ λέγειν F. S. Q. O. s. u. v. ceteri καὶ λέγειν καὶ γράφειν.

καὶ ἀδωροδοκήτως πάντα [n] πεπρᾶχθαί μοι προσωμολο-
312 γεῖτε. τούτων οὖν οὕτως ἐχόντων τί [o] προσῆκεν ἢ τί δίκαιον ἦν τοῖς ὑπ' ἐμοῦ πεπραγμένοις θέσθαι [p] τὸν Κτησιφῶντα ὄνομα, οὐχ ὃ τὸν δῆμον ἑώρα τιθέμενον, οὐχ ὃ τοὺς ὀμωμοκότας δικαστάς, οὐχ ὃ τὴν ἀλήθειαν παρὰ πᾶσι βεβαιοῦσαν;

313 Ναί, φησίν, ἀλλὰ τὸ τοῦ Κεφάλου καλόν, τὸ μηδεμίαν γραφὴν [q] φυγεῖν. καὶ νὴ Δί' εὔδαιμόν γε. ἀλλὰ τί μᾶλλον ὁ πολλάκις μὲν [r] φυγών, μηδεπώποτε δ' ἐξ- 311
ελεγχθεὶς ἀδικῶν ἐν ἐγκλήματι [s] γίγνοιτ' ἂν διὰ τοῦτο δικαίως; καίτοι πρός γε τοῦτον, ἄνδρες Ἀθηναῖοι, καὶ τὸ τοῦ Κεφάλου καλὸν εἰπεῖν [t] ἔστι μοι. οὐδεμίαν γάρ πώποτ' ἐγράψατό με οὐδ' ἐδίωξε γραφήν, ὥστε ὑπὸ σοῦ γε ὡμολόγημαι μηδὲν εἶναι τοῦ Κεφάλου χείρων πολίτης.

314 [u] Πολλαχόθεν μὲν τοίνυν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην αὐτοῦ καὶ τὴν βασκανίαν, οὐχ ἥκιστα δ' ἀφ' ὧν περὶ τῆς τύχης [x] διελέχθη. ἐγὼ δ' ὅλως μέν, ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην [y] προφέρει, [z] ἀνόητον [a] ἡγοῦμαι· ἣν γὰρ [b] ὁ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος
315 οὐκ οἶδεν, εἰ [c] μενεῖ τοιαύτη μέχρι τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν ἢ πῶς ὀνειδίζειν ἑτέρῳ; ἐπειδὴ δ' οὗτος πρὸς πολλοῖς ἄλλοις καὶ περὶ τούτων [d] ὑπερηφάνως [e] κέχρηται [f] τῷ λόγῳ, σκέψασθ' ὦ ἄνδρες Ἀθηναῖοι καὶ

[n] πεπρᾶχθαί μοι] μοι πεπρᾶχθαι k.
[o] προσῆκεν] προσῆκον F. S. O. p. t. u.
[p] τὸν Κτησιφῶντα ὄνομα] ὄνομα τὸν κτησιφῶντα Y. p. r.
[q] φυγεῖν] φεύγειν S. Q. k. s.
[r] φυγὼν] φεύγων s.
[s] γίγνοιτ'] γένοιτ' k.
[t] ἔστι μοι] ἔστιν ἐμοί Y. r.
[u] Πολλαχόθεν] πανταχόθεν S.
[x] διελέχθη ante περὶ ponit Y. διειλέχθη Q. t.
[y] προφέρει] προσφέρει u.
[z] ἀνόητον] παντελῶς ἀνόητον Y. Q. O. k. p. r. s. t. u. v.
[a] ἡγοῦμαι] ἡγοῦμαι καὶ ἀπαίδευτον k. s. v.
[b] ὁ βέλτιστα S. Q. ceteri ὁ τὰ βέλτιστα.
[c] μενεῖ τοιαύτη] τοιαύτη μενεῖ k. s.
[d] ὑπερηφάνως S. k. s. et γρ. Q. vulg. ὑπερηφάνῳ.
[e] κέχρηται] χρῆται S. et γρ. Q.
[f] τῷ om. Y. p. r.

θεωρήσατε [g] ὅσῳ [h] καὶ ἀληθέστερον καὶ ἀνθρωπινώτερον ἐγὼ
316 περὶ τῆς τύχης [i] τούτου [k] διαλεχθήσομαι. ἐγὼ τὴν [l] μὲν
τῆς πόλεως τύχην ἀγαθὴν [m] ἡγοῦμαι, καὶ [n] ταῦθ' ὁρῶ καὶ
τὸν Δία τὸν Δωδωναῖον [o] ἡμῖν [p] καὶ τὸν Ἀπόλλω τὸν
Πύθιον μαντευόμενον, τὴν μέντοι τῶν [q] πάντων ἀνθρώπων,
ἣ νῦν ἐπέχει, χαλεπὴν καὶ δεινήν· τίς γὰρ Ἑλλήνων ἢ
τίς βαρβάρων οὐ πολλῶν [r] κακῶν ἐν τῷ [s] παρόντι πεπεί-
317 ραται; τὸ μὲν τοίνυν προελέσθαι τὰ κάλλιστα καὶ τὸ
τῶν οἰηθέντων Ἑλλήνων, εἰ [t] προεῖντο [u] ἡμᾶς, [x] ἐν εὐδαι-
μονίᾳ διάξειν, [y] τούτων αὐτῶν ἄμεινον πράττειν τῆς ἀγα-
θῆς τύχης τῆς πόλεως εἶναι τίθημι· τὸ δὲ προσκροῦσαι
καὶ [z] μὴ πάνθ' [a] ὡς ἠβουλόμεθ' [b] ἡμῖν συμβῆναι τῆς τῶν 312
ἄλλων ἀνθρώπων τύχης τὸ ἐπιβάλλον ἐφ' ἡμᾶς [c] μέρος
μετειληφέναι νομίζω τὴν πόλιν. τὴν δ' ἰδίαν τύχην τὴν
ἐμὴν καὶ τὴν ἑνὸς [d] ἡμῶν ἑκάστου ἐν τοῖς ἰδίοις ἐξετάζειν
318 [e] δίκαιον [f] εἶναι νομίζω. ἐγὼ μὲν [g] οὖν [h] οὑτωσὶ περὶ τῆς
[i] τύχης ἀξιῶ, ὀρθῶς καὶ δικαίως, [k] ὡς ἐμαυτῷ δοκῶ,

[g] ὅσῳ] ὅσον k.
[h] καὶ ἀληθέστερον] δικαιότερον k.s.
[i] τούτου] αὐτοῦ p. r.
[k] διαλεχθήσομαι] διαλέξομαι Y. p. et γρ. Q.
[l] μὲν om F.S.s. in γρ. habet Q.
[m] ἡγοῦμαι om. Q.
[n] ταῦθ'] τοῦθ' Y. O. r. s. u. v.
[o] ἡμῖν Q. k. ὑμῖν (ἡ superscr.) F. vulg. ὑμῖν. Id. ὑμῖν ante μαντευόμενον ponit s.
[p] καὶ τὸν Ἀπόλλω τὸν Πύθιον om. S. Q. in margine ponit k.
[q] πάντων] ἁπάντων Y. p. om. r.
[r] κακῶν] κακῶν καὶ μεγάλων k. r. s.
[s] παρόντι πεπείραται F. S. Q. s. vulg. παρόντι καιρῷ πεπείραται.
[t] προεῖντο O. r. s. u. et correctus v. πρόειντο p. t. vulg. πρόοιντο.
[u] ἡμᾶς] ὑμᾶς F.
[x] ἐν] ἂν ἐν Q.
[y] τούτων αὐτῶν] αὐτῶν S. Q. αὐτων (ούς superscr.) F. αὐτοὺς γρ. S. αὐτῶν ἐκείνων Y. O. p. r. t. u. v. et γρ. Q.
[z] μὴ] τὸ μὴ k.
[a] ὡς] ὅσα Y. k. p. r. s. et γρ. F. Q.
[b] ἡμῖν] ὑμῖν F.
[c] μέρος om. k. s.
[d] ἡμῶν] ὑμῶν Y. Q. k. p. r. s.
[e] δίκαιον — τύχης ἐξετάζειν om. pr. u.
[f] εἶναι νομίζω] νομίζω εἶναι s.
[g] οὖν om. S. k. s.
[h] οὑτωσὶ] οὕτω p. r.
[i] τύχης ἀξιῶ S. s. τύχης k. τύχης ἐξετάζειν ἀξιοῦν correctus r. τύχης ἐξετάζειν ἀξιῶ ceteri.
[k] ὡς om. r. t.

νομίζω δὲ καὶ ὑμῖν [[l]συνδοκεῖν]· ὁ δὲ [m]τὴν ἰδίαν τύχην τὴν ἐμὴν τῆς κοινῆς τῆς [n]πόλεως κυριωτέραν εἶναί φησι, τὴν μικρὰν καὶ φαύλην τῆς ἀγαθῆς καὶ μεγάλης. καὶ πῶς ἔνι τοῦτο γενέσθαι;

319 Καὶ μὴν εἴγε τὴν ἐμὴν τύχην [o]πάντως ἐξετάζειν, Αἰσχίνη, [p]προαιρεῖ, πρὸς τὴν [q]σαυτοῦ σκόπει, κἂν εὕρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδορούμενος αὐτῇ. σκόπει τοίνυν εὐθὺς ἐξ ἀρχῆς. καί μου πρὸς Διὸς [r]καὶ θεῶν μηδεμίαν ψυχρότητα καταγνῷ μηδείς. ἐγὼ γὰρ οὔτ' εἴ τις πενίαν προπηλακίζει, νοῦν ἔχειν ἡγοῦμαι, οὔτ' εἴ τις ἐν ἀφθόνοις τραφεὶς ἐπὶ [s]τούτῳ σεμνύνεται· ἀλλ' ὑπὸ τῆς τουτουῒ τοῦ χαλεποῦ βλασφημίας καὶ συκοφαντίας εἰς τοιούτους λόγους ἐμπίπτειν ἀναγκάζομαι, οἷς ἐκ τῶν ἐνόντων ὡς ἂν δύνωμαι μετριώτατα χρήσομαι.

320 Ἐμοὶ μὲν τοίνυν ὑπῆρξεν, Αἰσχίνη, παιδὶ [t]μὲν ὄντι φοιτᾷν [u]εἰς τὰ προσήκοντα διδασκαλεῖα, καὶ ἔχειν ὅσα χρὴ τὸν μηδὲν αἰσχρὸν [x]ποιήσοντα δι' ἔνδειαν, [y]ἐξελθόντι δὲ ἐκ [z]παίδων [a]ἀκόλουθα τούτοις πράττειν, χορηγεῖν, τριηραρχεῖν, εἰσφέρειν, μηδεμιᾶς φιλοτιμίας μήτε ἰδίας μήτε δημοσίας ἀπολείπεσθαι, ἀλλὰ καὶ τῇ πόλει καὶ
321 τοῖς φίλοις χρήσιμον εἶναι, ἐπειδὴ δὲ πρὸς τὰ κοινὰ
[b]προσελθεῖν ἔδοξέ μοι, τοιαῦτα πολιτεύματα ἑλέσθαι 313
ὥστε καὶ ὑπὸ τῆς πατρίδος καὶ ὑπ' [c]ἄλλων Ἑλλήνων πολλῶν πολλάκις ἐστεφανῶσθαι, [d]καὶ μηδὲ τοὺς ἐχθροὺς

[l] [συνδοκεῖν] om. S. k. s.
[m] τὴν ἰδίαν—κοινῆς τῆς om. k.
[n] πόλεως] λεὼς k.
[o] πάντως ἐξετάζειν] ἐξετάζειν πάντως k.
[p] προαιρεῖ S. vulg. προαιρῇ.
[q] σαυτοῦ] ἑαυτοῦ r.
[r] καὶ θεῶν om. S.
[s] τούτῳ] τούτοις k.
[t] μὲν ὄντι φοιτᾷν εἰς om. pr. S.
[u] εἰς] ἐς k.
[x] ποιήσοντα] ποιήσαντα p.
[y] ἐξελθόντι δὲ] καὶ ἐξελθόντι δὲ k.
[z] παίδων] παιδίων k. r. s.
[a] ἀκόλουθα] τἀκόλουθα Y.
[b] προσελθεῖν] προσῆλθον Q. O. t. u. et γρ. s.
[c] ἄλλων Ἑλλήνων πολλῶν S. ceteri τῶν ἄλλων Ἑλλήνων.
[d] καὶ μηδὲ] εἰ μὴ k.

ὑμᾶς, ὡς [e] οὐ καλά γ᾽ ἦν ἃ προειλόμην, [f] ἐπιχειρεῖν
λέγειν. ἐγὼ μὲν [g] δὴ τοιαύτῃ συμβεβίωκα τύχῃ, καὶ
πόλλ᾽ ἂν ἔχων ἕτερ᾽ εἰπεῖν περὶ αὐτῆς παραλείπω, φυ-
322 λαττόμενος τὸ λυπῆσαί [h] τινας [i] ἐν οἷς σεμνύνομαι. σὺ δ᾽
ὁ [k] σεμνὸς ἀνὴρ καὶ διαπτύων τοὺς ἄλλους σκόπει πρὸς
[l] ταύτην [m] ποίᾳ [n] τινὶ κέχρησαι τύχῃ, δι᾽ ἣν παῖς μὲν ὢν
μετὰ [o] πολλῆς ἐνδείας ἐτράφης, ἅμα τῷ πατρὶ πρὸς τῷ
διδασκαλείῳ προσεδρεύων, τὸ μέλαν τρίβων καὶ τὰ βάθρα
σπογγίζων καὶ [p] τὸ παιδαγωγεῖον κορῶν, οἰκέτου τάξιν,
323 οὐκ ἐλευθέρου παιδὸς ἔχων, ἀνὴρ δὲ γενόμενος τῇ μητρὶ
τελούσῃ τὰς βίβλους ἀνεγίγνωσκες καὶ τἄλλα συν-
εσκευωροῦ, [q] τὴν μὲν νύκτα [r] νεβρίζων καὶ κρατηρίζων καὶ
καθαίρων τοὺς τελουμένους καὶ [s] ἀπομάττων τῷ πηλῷ
καὶ τοῖς πιτύροις καὶ [t] ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ [u] καὶ
κελεύων λέγειν "ἔφυγον κακόν, εὗρον ἄμεινον," ἐπὶ τῷ
μηδένα πώποτε [x] τηλικοῦτ᾽ ὀλολύξαι σεμνυνόμενος (καὶ
ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ᾽ αὐτὸν φθέγγεσθαι μὲν οὕτω
324 μέγα, [y] ὀλολύζειν δ᾽ οὐχ ὑπέρλαμπρον), ἐν δὲ ταῖς ἡμέ-
ραις τοὺς καλοὺς θιάσους ἄγων διὰ τῶν ὁδῶν, τοὺς ἐστε-
φανωμένους τῷ [z] μαράθῳ καὶ τῇ λεύκῃ, τοὺς ὄφεις τοὺς
[a] παρείας θλίβων καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ

[e] οὐ καλά γ᾽ ἦν ἃ] οὐκαλλαγῆναι pr. S.
[f] ἐπιχειρεῖν] ἐπιχειρεῖ k.
[g] δὴ om. O.
[h] τινὰς] τινὰ F. S. Q. O. s. t.
[i] ἐν] ἐφ᾽ p.
[k] σεμνὸς] σεμνυνόμενος S.
[l] ταύτην] ταύτῃ Y. et γρ. F. Q. αὐτὴν O. ταυτὶ γρ. O.
[m] ποίᾳ] ὁποίᾳ Q. k. r. s.
[n] τινὶ] δή τινι O. u.
[o] πολλῆς] πολλῆς τὴν S.
[p] τὸ παιδαγωγεῖον] τῷ παιδαγωγεῖ O.
[q] τὴν μὲν] καὶ τὴν μὲν Q.
[r] νεβρίζων] νευρίζων t. u. v.
[s] ἀπομάττων] ἀπομμάτων k.
[t] ἀνιστὰς] ἀναστὰς Y. O. r. t. u. v.
[u] καὶ om. S. k. s.
[x] τηλικοῦτ᾽ S. ceteri τηλικοῦτον.
[y] ὀλολύζειν] ὀλολύξειν F. p.
[z] μαράθῳ S. Y. Q. O. u. v. vulg. μαράθρῳ.
[a] παρείας] παρίας k.

βοῶν [b] εὐοῖ [c] σαβοῖ, καὶ ἐπορχούμενος [d] ὕης ἄττης ἄττης
ὕης, ἔξαρχος καὶ προηγεμὼν καὶ [e] κιστοφόρος καὶ λικνο-
φόρος [f] καὶ τοιαῦτα ὑπὸ τῶν γραδίων προσαγορευόμενος,
μισθὸν λαμβάνων [g] τούτων ἔνθρυπτα καὶ στρεπτοὺς καὶ 314
νεήλατα, ἐφ' οἷς τίς [h] οὐκ ἂν [i] ὡς ἀληθῶς [k] αὑτὸν εὐδαι-
325 μονίσειε καὶ τὴν αὑτοῦ τύχην; ἐπειδὴ δ' εἰς τοὺς δημότας
ἐνεγράφης ὁπωσδήποτε, ἐῶ γὰρ τοῦτό [l] γε, [m] ἐπειδὴ [n] δ'
οὖν ἐνεγράφης, εὐθέως τὸ κάλλιστον [o] ἐξελέξω τῶν ἔργων,
[p] γραμματεύειν καὶ ὑπηρετεῖν τοῖς [q] ἀρχιδίοις. ὡς δ'
ἀπηλλάγης ποτὲ καὶ τούτου, πάνθ' [r] ἃ τῶν ἄλλων [s] κατ-
ηγορεῖς αὐτὸς ποιήσας, οὐ κατήσχυνας [t] μὰ Δί' οὐδὲν
326 τῶν [u] προϋπηργμένων τῷ μετὰ ταῦτα βίῳ, ἀλλὰ μισθώ-
σας [x] σαυτὸν τοῖς βαρυστόνοις [y] ἐπικαλουμένοις ἐκείνοις
ὑποκριταῖς, [z] Σιμύλῳ καὶ Σωκράτει, ἐτριταγωνίστεις,
σῦκα καὶ βότρυς καὶ ἐλάας συλλέγων ὥσπερ [a] ὀπωρώνης
ἐκ τῶν ἀλλοτρίων χωρίων, πλείω λαμβάνων [b] ἀπὸ τούτων
[[c] τραύματα] ἢ τῶν ἀγώνων, οὓς ὑμεῖς περὶ [d] τῆς ψυχῆς

[b] εὐοῖ] εὖ οἳ F. εὖ οἶ u. v. et γρ. s. εὖ οἶ r.

[c] σαβοῖ] σάβοι S. u. v. et γρ. s.

[d] ὕης ἄττης ἄττης ὕης] ὕης ἄττης ἄττης ὕης v. ὕϊς ἄττϊς ἄττης ὕϊς u.

[e] κιστοφόρος] κιττοφόρος F. S. Y. Q. O. k. p. r. t. u. v. Conf. Toup. in Suid. 2. p. 203. et in Theocrit. 26, 7.

[f] καὶ τοιαῦτα S. vulg. καὶ τὰ τοιαῦτα.

[g] τούτων om. k.

[h] οὐκ ἂν om. Y. p.

[i] ὡς ἀληθῶς αὑτὸν] αὑτὸν ὡς ἀληθῶς k.

[k] αὑτὸν—αὑτοῦ S.

[l] γε om. S. Q. O. v.

[m] ἐπειδὴ—ἐνεγράφης om. k. s.

[n] δ' οὖν] γ' F. S. Y. Q. t. δ' O. u. et correctus v.

[o] ἐξελέξω τῶν ἔργων] τῶν ἔργων ἐξελέξω p.

[p] γραμματεύειν S. Q. s. ceteri ὑπογραμματεύειν.

[q] ἀρχιδίοις] ἀρχείοις k. p. r. s. et in litura Y. cum γρ. S. Q.

[r] ἃ om. pr. k. r.

[s] κατηγορεῖς] κατηγόρεις k. r.

[t] μὰ] οὐ μὰ k.

[u] προϋπηργμένων] ὑπηργμένων Y. προϋπηγμένων O.

[x] σαυτὸν] αὑτὸν S.

[y] ἐπικαλουμένοις ἐκείνοις] ἐκείνοις ἐπικαλουμένοις k. r. s.

[z] Σιμύλῳ] σιμύδωι Y. σιμυκ S. σιμύκκαι Q. t. u. v. σιμύλλαι ἢ σιμύδωι γρ. F.

[a] ὀπωρώνης] ὀπωρώνης ἐκεῖνος k.

[b] ἀπὸ] ὑπὸ p.

[c] [τραύματα] om. pr. S.

[d] τῆς om. p.

ἠγωνίζεσθε· ἦν γὰρ ἄσπονδος [e] καὶ ἀκήρυκτος [f] ὑμῖν πρὸς
τοὺς θεατὰς πόλεμος, ὑφ' ὧν [g] πολλὰ τραύματ' εἰληφὼς
εἰκότως τοὺς ἀπείρους τῶν τοιούτων [h] κινδύνων ὡς δειλοὺς
327 σκώπτεις. ἀλλὰ γὰρ παρεὶς [i] ὧν τὴν πενίαν αἰτιάσαιτ'
ἄν τις, πρὸς αὐτὰ τὰ τοῦ τρόπου σου βαδιοῦμαι κατη-
γορήματα. τοιαύτην γὰρ εἵλου πολιτείαν, ἐπειδή ποτε
καὶ τοῦτ' ἐπῆλθέ σοι ποιῆσαι, δι' ἣν εὐτυχούσης μὲν τῆς
πατρίδος [k] λαγὼ βίον ἔζης [l] δεδιὼς καὶ τρέμων καὶ ἀεὶ
πληγήσεσθαι προσδοκῶν ἐφ' οἷς [m] σαυτῷ συνῄδεις [n] ἀδι-
κοῦντι, ἐν οἷς δ' ἠτύχησαν οἱ ἄλλοι, θρασὺς ὢν [o] ὑφ'
328 ἁπάντων ὦψαι. καίτοι ὅστις χιλίων πολιτῶν ἀποθανόντων
[p] ἐθάῤῥησε, τί οὗτος παθεῖν ὑπὸ τῶν ζώντων δίκαιός ἐστιν;
πολλὰ τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ [q] παραλείψω· 315
οὐ γὰρ ὅσ' [r] ἂν δείξαιμι προσόντ' αἰσχρὰ τούτῳ καὶ
ὀνείδη, πάντ' οἶμαι δεῖν εὐχερῶς λέγειν, ἀλλ' ὅσα μηδὲν
αἰσχρόν ἐστιν εἰπεῖν ἐμοί.

329 Ἐξέτασον τοίνυν παρ' ἄλληλα τὰ σοὶ κἀμοὶ βεβιω-
μένα, πρᾴως [s] καὶ μὴ πικρῶς, Αἰσχίνη· εἶτ' ἐρώτησον
τουτουσὶ τὴν [t] ποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν.
[u] ἐδίδασκες γράμματα, ἐγὼ δ' ἐφοίτων. ἐτέλεις, ἐγὼ δ'
ἐτελούμην. [x] ἐχόρευες, ἐγὼ δ' ἐχορήγουν. ἐγραμμάτευες,
ἐγὼ δ' [y] ἠκκλησίαζον. ἐτριταγωνίστεις, ἐγὼ δ' ἐθεώρουν.

[e] καὶ ἀκήρυκτος ὑμῖν] ὑμῖν καὶ ἀκήρυκτος Y. p. r.
[f] ὑμῖν πρὸς S. ceteri ὑμῖν ὁ πρός.
[g] πολλὰ] τὰ πολλὰ O. t. u. v.
[h] κινδύνων om. k. s.
[i] ὧν] ἐξ ὧν Y. r. rec. O. γρ. F. Q.
[k] λαγὼ] λαγῶν k. r.
[l] δεδιὼς] δεδιὼς γὰρ rec. O.
[m] σαυτῷ] ἑαυτῷ r.
[n] ἀδικοῦντι] ἀδικοῦντα k. ἀδικῶν γρ. s.
[o] ὑφ' ἁπάντων] ὑπὸ πάντων k. p. r. s.
[p] ἐθάῤῥησε] ἐθάρσησε k. s. t.
[q] παραλείψω] παραλείπω k. r. s.
[r] ἂν δείξαιμι] ἀναδείξαιμι. . . . .
[s] καὶ ante μὴ om. S.
[t] ποτέρου S. s. ceteri ὁποτέρου.
[u] ἐδίδασκες] ἐδίδασκε v.
[x] ἐχόρευες—ἐχορήγουν om. S.
[y] ἠκκλησίαζον F. S. vulg. ἐκκλησίαζον. quapropter margo k. ὅρα τὸ ἐκκλησίαζον. οἶμαι ἐξεκλησίαζον ἔδει γράφεσθαι.

[z] ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον. ὑπὲρ τῶν ἐχθρῶν πεπολί-
330 τευσαι πάντα, ἐγὼ δ' ὑπὲρ τῆς πατρίδος. ἐῶ τἆλλα, ἀλλὰ νυνὶ τήμερον ἐγὼ μὲν ὑπὲρ τοῦ στεφανωθῆναι δοκιμάζομαι, τὸ δὲ μηδ' ὁτιοῦν ἀδικεῖν ἀνωμολόγημαι, σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει, κινδυνεύεις δὲ εἴτε δεῖ σ' [a] ἔτι τοῦτο ποιεῖν, εἴτ' ἤδη πεπαῦσθαι μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων. ἀγαθῇ [b] γε, [c] οὐχ ὁρᾷς; τύχῃ [d] συμβεβιωκὼς τῆς ἐμῆς [e] ὡς φαύλης κατηγορεῖς.

331 Φέρε δὴ καὶ [f] τὰς τῶν [g] λειτουργιῶν μαρτυρίας, ὧν λελειτούργηκα, ὑμῖν ἀναγνῶ. [h] παρ' ἃς παρανάγνωθι [i] καὶ σύ μοι τὰς ῥήσεις ἃς [k] ἐλυμαίνου,

ἥκω [l] λιπὼν κευθμῶνα καὶ σκότου πύλας

καὶ

[m] κακαγγελεῖν μὲν ἴσθι μὴ θέλοντά με,

καὶ κακὸν κακῶς σε μάλιστα μὲν οἱ θεοί, [n] ἔπειτα [o] οὗτοι πάντες ἀπολέσειαν, πονηρὸν ὄντα [p] καὶ πολίτην καὶ τριταγωνιστήν.

Λέγε τὰς μαρτυρίας.

## ΜΑΡΤΥΡΙΑΙ.

332 Ἐν μὲν τοίνυν τοῖς πρὸς τὴν πόλιν τοιοῦτος· ἐν δὲ τοῖς ἰδίοις εἰ μὴ πάντες ἴστε ὅτι κοινὸς καὶ φιλάνθρωπος καὶ τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ καὶ οὐδὲν ἂν 316

[z] ἐξέπιπτες] ἔπιπτες p.
[a] ἔτι ante δεῖ ponunt Y. p.
[b] γε] δὲ F. Y. Q. O. r. t. u. v.
[c] οὐχ ὁρᾷς] οὐκ αὐτὸς correctus r.
[d] συμβεβιωκὼς] συμβεβηκὼς S.
[e] ὡς φαύλης om. S.
[f] τὰς om. t. et pr. v.
[g] λειτουργιῶν] λειτουργῶν S.
[h] παρ' ἃς S. Q. vulg. πάσας.
[i] καὶ σύ μοι S. Q. δὴ καὶ σύ μοι k. s. καὶ σὺ F. δὴ καὶ σὺ O. t. u. v. δ' ἡμῖν καὶ σὺ ceteri.
[k] ἐλυμαίνου] ἐλυμήνω k. s.
[l] λιπὼν] νεκρῶν S.
[m] κακαγγελεῖν] καταγγελεῖν t. et pr. v. κάκ' ἀγγελεῖν O. κάκ' ἀγγέλειν u. κακ' ἀγγέλλειν S. r. κακαγγέλλειν Q. k. s.
[n] ἔπειτα S. k. s. vulg. ἔπειτα δέ.
[o] οὗτοι post ἀπολέσειαν ponunt k. s.
[p] καὶ ante πολίτην addiderunt F. S. Q. cum iisdem et k. s. post πολίτην omisi καὶ προδότην.

εἴποιμι οὐδὲ [q] παρασχοίμην περὶ τούτων οὐδεμίαν μαρτυρίαν, οὔτ' εἴ [r] τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτ' εἴ τισι θυγατέρας συνεξέδωκα, οὔτε τῶν τοιούτων οὐδέν.
333 καὶ γὰρ οὕτω πως ὑπείληφα. ἐγὼ νομίζω τὸν [s] μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι [t] τὸν πάντα χρόνον, τὸν [u] δὲ ποιήσαντα [x] εὐθὺς [y] ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ [z] μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου. τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν. οὐ δὴ ποιήσω τοιοῦτον οὐδέν, οὐδὲ προαχθήσομαι, ἀλλ' ὅπως ποθ' [a] ὑπείλημμαι περὶ τούτων, ἀρκεῖ μοι.

334 Βούλομαι δὲ τῶν ἰδίων ἀπαλλαγεὶς ἔτι μικρὰ πρὸς ὑμᾶς [b] εἰπεῖν περὶ τῶν κοινῶν. εἰ μὲν γὰρ ἔχεις, Αἰσχίνη, τῶν ὑπὸ [c] τουτονὶ τὸν ἥλιον εἰπεῖν ἀνθρώπων ὅστις ἀθῷος τῆς Φιλίππου πρότερον καὶ νῦν τῆς Ἀλεξάνδρου δυναστείας γέγονεν, ἢ τῶν Ἑλλήνων ἢ τῶν βαρβάρων, ἔστω, συγχωρῶ [d] σοι τὴν ἐμὴν εἴτε τύχην εἴτε δυστυχίαν ὀνομά-
335 ζειν βούλει πάντων [e] αἰτίαν γεγενῆσθαι. εἰ δὲ καὶ τῶν μηδεπώποτ' ἰδόντων ἐμὲ μηδὲ φωνὴν ἀκηκοότων ἐμοῦ πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ [f] μόνον κατ' ἄνδρα ἀλλὰ καὶ [g] πόλεις ὅλαι καὶ [h] ἔθνη, πόσῳ δικαιότερον καὶ ἀληθέστερον τὴν ἁπάντων, [i] ὡς ἔοικεν, ἀνθρώπων τύχην [k] κοινὴν καὶ φοράν τινα πραγμάτων χαλεπὴν καὶ

[q] παρασχοίμην περὶ F. S. Q. ceteri παρασχοίμην ἂν περί.
[r] τινας om. pr. O.
[s] μὲν supra versum s.
[t] τὸν πάντα] πάντα τὸν S.Q.k.s.
[u] δὲ F.S.Q.O.t.v. vulg. δ' εὖ.
[x] εὐθὺς] εὐθὺς αὐτὸν Y. p. εὐθὺς αὐτῶν γρ. Q.
[y] ἐπιλελῆσθαι] ἐπιλελῆσθαι αὐτῶν r. αὐτῶν ἐπιλελῆσθαι γρ. F.
[z] μικροψύχου] μικροψυχρου S.
[a] ὑπείλημμαι περὶ τούτων] περὶ τούτων ὑπείλημμαι k.
[b] εἰπεῖν] ποιεῖν O.
[c] τουτονὶ] τοῦτον S.
[d] σοι in γρ. s.
[e] αἰτίαν om. pr. S.
[f] μόνον om. r.
[g] πόλεις] κατὰ πόλεις (omissis ὅλαι καὶ ἔθνη) k.
[h] ἔθνη] ἔθη Q.
[i] ὡς ἔοικεν ἀνθρώπων] ἀνθρώπων ὡς ἔοικε k.
[k] κοινὴν] καινὴν F.

336 οὐχ οἵαν ἔδει τούτων αἰτίαν ἡγεῖσθαι. σὺ [l] τοίνυν ταῦτ'
ἀφεὶς ἐμὲ τὸν παρὰ τουτοισὶ [m] πεπολιτευμένον αἰτιᾷ, καὶ
ταῦτ' εἰδὼς ὅτι, [n] καὶ εἰ μὴ τὸ ὅλον, μέρος γ' ἐπιβάλλει 317
τῆς βλασφημίας ἅπασι, καὶ μάλιστα σοί. εἰ μὲν γὰρ
ἐγὼ κατ' ἐμαυτὸν αὐτοκράτωρ [o] ὢν περὶ τῶν πραγμάτων
ἐβουλευόμην, ἦν ἂν τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν ἐμὲ αἰτι-
337 ᾶσθαι· εἰ δὲ παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις
ἀεί, [p] ἐν κοινῷ δὲ τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν,
πᾶσι δὲ [q] ταῦτ' ἐδόκει [r] τότ' ἄριστ' εἶναι, καὶ μάλιστα
σοί (οὐ γὰρ ἐπ' εὐνοίᾳ γ' [s] ἐμοὶ παρεχώρεις ἐλπίδων καὶ
ζήλου καὶ τιμῶν, ἃ πάντα προσῆν τοῖς τότε πραττομένοις
ὑπ' ἐμοῦ, ἀλλὰ τῆς ἀληθείας ἡττώμενος δηλονότι καὶ
[t] τῷ μηδὲν ἔχειν εἰπεῖν βέλτιον), πῶς οὐκ ἀδικεῖς καὶ
δεινὰ ποιεῖς τούτοις νῦν ἐγκαλῶν, ὧν τότ' οὐκ εἶχες
338 [u] λέγειν βελτίω; παρὰ μὲν [x] τοίνυν τοῖς ἄλλοις ἔγωγ'
ὁρῶ πᾶσιν ἀνθρώποις διωρισμένα καὶ τεταγμένα πως τὰ
τοιαῦτα. ἀδικεῖ τις ἑκών; [y] ὀργὴ καὶ τιμωρία [z] κατὰ
τούτου. [a] ἐξήμαρτέ τις ἄκων; [b] συγγνώμη ἀντὶ τῆς τιμω-
ρίας [c] τούτῳ. οὔτ' ἀδικῶν τις οὔτ' [d] ἐξαμαρτάνων, εἰς τὰ
πᾶσι δοκοῦντα συμφέρειν ἑαυτὸν δοὺς οὐ κατώρθωσε [e] μεθ'
ἁπάντων; οὐκ ὀνειδίζειν οὐδὲ λοιδορεῖσθαι [f] τῷ τοιούτῳ
339 δίκαιον, ἀλλὰ συνάχθεσθαι. [g] φανήσεται [h] τοίνυν ταῦτα

[l] τοίνυν] οὖν k. s.
[m] πεπολιτευμένον] πολιτευόμενον O. t. u.
[n] καὶ εἰ μὴ] εἰ καὶ μὴ p. εἰ μὴ καὶ k. s.
[o] ὢν om. S. k. s.
[p] ἐν κοινῷ δὲ] δ' ἐν κοινῷ S.
[q] ταῦτ'] ταὐτὰ Y.
[r] τότε om. k.
[s] ἐμοὶ] μοι k. s.
[t] τῷ] τὸ Q.
[u] λέγειν] εἰπεῖν k. s.
[x] τοίνυν post ἄλλοις ponit p.
[y] ὀργὴ καὶ τιμωρία] ὀργὴν καὶ τιμωρίαν S. k. r. s.
[z] κατὰ τούτου S. Y. Q. k. r. s. vulg. κατ' αὐτοῦ.
[a] ἐξήμαρτέ τις] ἐξήμαρτές τι t.
[b] συγγνώμη] συγγνώμην S. r. s.
[c] τούτῳ] αὐτῷ p. r.
[d] ἐξαμαρτάνων] ἐξαμαρτὼν k. s.
[e] μεθ' ἁπάντων] μετὰ πάντων Y. k. r. s. et γρ. F.
[f] τῷ om. pr. S.
[g] φανήσεται] φανησται S.
[h] τοίνυν om. S.

[i] πάντα οὕτως οὐ μόνον [k] ἐν τοῖς [l] νομίμοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νόμοις καὶ τοῖς ἀνθρωπίνοις [m] ἤθεσι διώρικεν. Αἰσχίνης τοίνυν τοσοῦτον [n] ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι καὶ συκοφαντίᾳ, ὥστε καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, [o] καὶ [p] ταῦτ' ἐμοῦ [q] κατηγορεῖ.

340 Καὶ πρὸς τοῖς ἄλλοις, ὥσπερ [r] αὐτὸς ἁπλῶς καὶ μετ' εὐνοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ τηρεῖν [s] ἐκέλευεν, ὅπως μὴ [t] παρακρούσομαι μηδ' ἐξαπα- 318 τήσω, δεινὸν καὶ γόητα καὶ σοφιστὴν καὶ τὰ τοιαῦτ' ὀνομάζων, ὡς ἐὰν πρότερός τις [u] εἴπῃ τὰ προσόνθ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα, καὶ [x] οὐκέτι τοὺς ἀκούοντας σκεψομένους τίς ποτ' αὐτός ἐστιν ὁ ταῦτα λέγων. ἐγὼ δ' οἶδ' ὅτι γιγνώσκετε τοῦτον ἅπαντες, καὶ πολὺ τούτῳ μᾶλλον ἢ ἐμοὶ νομίζετε ταῦτα προσεῖναι.

341 κἀκεῖνο [y] δ' εὖ οἶδ', ὅτι τὴν ἐμὴν δεινότητα—ἔστω γάρ. καίτοι ἔγωγ' ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὸ πλεῖστον [z] μέρος κυρίους ὄντας· ὡς γὰρ ἂν ὑμεῖς [a] ἀποδέξησθε καὶ πρὸς ἕκαστον [b] ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν. εἰ δ' οὖν ἐστὶ καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη, ταύτην μὲν εὑρήσετε πάντες [c] ἐν τοῖς [d] κοινοῖς ἐξεταζομένην [e] ὑπὲρ ὑμῶν ἀεὶ καὶ οὐδαμοῦ καθ' ὑμῶν οὐδ' [f] ἰδίᾳ, τὴν δὲ τούτου τοὐναντίον οὐ μόνον

[i] πάντα om. O. ante ταῦτα ponit s.
[k] ἐν om. S. k. r.
[l] νομίμοις] νόμοις k. r. s.
[m] ἤθεσι om. S.
[n] ὑπερβέβληκεν] ὑπερβέβηκεν O.
[o] καὶ ante ταῦτ' om. Y. p.
[p] ταῦτ'] κατ' u.
[q] κατηγορεῖ] κατηγόρει k.
[r] αὐτὸς om. k. in γρ. habet s. post αὐτὸς ponit r.
[s] ἐκέλευεν] ἐκέλευσεν p. r.
[t] παρακρούσομαι S. vulg. παρακρούσωμαι.
[u] εἴπῃ] εἴποι Y.
[x] οὐκέτι] οὐκ ἔστι s.
[y] δ' om. S. k. s.
[z] μέρος et ὄντας om. S.
[a] ἀποδέξησθε] ὑποδέξησθε k.
[b] ἔχητ'] ἔχοιτ' O. u.
[c] ἐν] ἐπὶ Y.
[d] κοινοῖς] καιροῖς p.
[e] ὑπὲρ ὑμῶν ἀεὶ] ἀεὶ ὑπὲρ ὑμῶν O. r.
[f] ἰδίᾳ] ἰδίαν k. s.

τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι
342 τοῦτον ἢ προσέκρουσέ [g] που, κατὰ τούτων. οὐ γὰρ αὐτῇ
δικαίως, οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει, χρῆται. οὔτε γὰρ
τὴν ὀργὴν οὔτε τὴν ἔχθραν οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων
τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν [h] εἰσ-
εληλυθότας δικαστὰς ἀξιοῦν αὐτῷ βεβαιοῦν, οὐδ' ὑπὲρ
τούτων εἰς ὑμᾶς εἰσιέναι, ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν
ταῦτ' ἐν τῇ φύσει, εἰ δ' ἄρ' ἀνάγκη, πράως καὶ μετρίως
343 [i] διακείμεν' ἔχειν. ἐν τίσιν οὖν σφοδρὸν εἶναι τὸν πολιτευ-
όμενον καὶ τὸν ῥήτορα δεῖ; ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται
τῇ πόλει, καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους [k] ἐστὶ τῷ δήμῳ,
ἐν τούτοις· ταῦτα [l] γὰρ γενναίου καὶ ἀγαθοῦ πολίτου.
344 μηδενὸς δὲ ἀδικήματος πώποτε δημοσίου, προσθήσω δὲ 319
μηδ' ἰδίου, [m] δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ μήθ'
ὑπὲρ τῆς πόλεως μήθ' ὑπὲρ αὑτοῦ, στεφάνου καὶ ἐπαίνου
κατηγορίαν [n] νῦν ἥκειν συνεσκευασμένον, καὶ [o] τοσουτουσὶ
λόγους ἀνηλωκέναι ἰδίας ἔχθρας καὶ φθόνου καὶ μικρο-
ψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρηστοῦ. τὸ δὲ δὴ καὶ
τοὺς πρὸς [p] ἐμὲ αὐτὸν ἀγῶνας ἐάσαντα [q] νῦν ἐπὶ τόνδ'
345 ἥκειν [r] πᾶσαν ἔχει κακίαν. καί [s] μοι [t] δοκεῖς ἐκ τούτων,
Αἰσχίνη, [u] λόγων ἐπίδειξίν τινα καὶ φωνασκίας βουλό-
μενος ποιήσασθαι τοῦτον [x] προελέσθαι τὸν ἀγῶνα, οὐκ
ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν. ἔστι δ' οὐχ ὁ λόγος

[g] που] τι s. που τούτῳ rec. k.
[h] εἰσεληλ. δικαστὰς] δικαστὰς εἰσεληλ. k. s.
[i] διακείμεν'] διακείμενον F. Y. Q. O. t. u. v.
[k] ἔστι] ἐστι τι F. Y. Q. t. u. v.
[l] γὰρ] γάρ ἐστι k. r. s.
[m] δίκην] δίκης Y.
[n] νῦν om. S. ante κατηγορίαν ponunt k. s.
[o] τοσουτουσὶ] τοσούτους k. r.
[p] ἐμὲ αὐτὸν S. O. r. u. vulg. ἐμαυτὸν.
[q] νῦν] νῦν δ' F.
[r] πᾶσαν] καὶ πᾶσαν k. s. t. Totum hoc πᾶσαν ἔχει κακίαν om. S.
[s] μοι] ἔμοιγε Y. p. r.
[t] δοκεῖς] δοκεῖ p.
[u] λόγων—τινα καὶ φωνασκίας F. S. Q. vulg. τῶν λόγων—τινὰ φωνασκίας.
[x] προελέσθαι] προσελέσθαι Y. r. t.

τοῦ ῥήτορος, Αἰσχίνη, [y] τίμιον, οὐδ᾽ ὁ τόνος τῆς φωνῆς,
ἀλλὰ τὸ ταὐτὰ προαιρεῖσθαι [z] τοῖς πολλοῖς καὶ τὸ τοὺς
346 αὐτοὺς [a] μισεῖν καὶ φιλεῖν οὕσπερ ἂν ἡ πατρίς. ὁ γὰρ
οὕτως ἔχων τὴν ψυχὴν, οὗτος ἐπ᾽ εὐνοίᾳ πάντ᾽ ἐρεῖ· ὁ δ᾽
ἀφ᾽ ὧν ἡ πόλις προορᾶταί τινα κίνδυνον ἑαυτῇ, τούτους
θεραπεύων οὐκ ἐπὶ [b] τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς, [c] οὔκ-
ουν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προσδοκίαν.
ἀλλ᾽, ὁρᾷς; ἐγώ· ταὐτὰ γὰρ συμφέρονθ᾽ εἱλόμην του-
347 τοισὶ, καὶ οὐδὲν ἐξαίρετον οὐδ᾽ ἴδιον πεποίημαι. ἆρ᾽ οὖν
οὐδὲ σύ; καὶ πῶς; ὃς εὐθέως μετὰ τὴν μάχην πρεσβευ-
τὴς ἐπορεύου πρὸς Φίλιππον, ὃς ἦν τῶν [d] ἐν ἐκείνοις τοῖς
χρόνοις συμφορῶν αἴτιος τῇ πατρίδι, καὶ ταῦτ᾽ ἀρνούμενος
πάντα τὸν [e] ἔμπροσθε χρόνον ταύτην τὴν χρείαν, ὡς πάν-
348 τες ἴσασιν. καί τοι [f] τίς ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ
μὴ λέγων ἃ φρονεῖ; τῷ δ᾽ ὁ κῆρυξ [g] καταρᾶται δικαίως;
οὐ τῷ τοιούτῳ; τί δὲ μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα
κατ᾽ ἀνδρὸς ῥήτορος [h] ἢ εἰ μὴ [i] ταὐτὰ φρονεῖ καὶ λέγει; 320
349 σὺ τοίνυν [k] οὗτος εὑρέθης. εἶτα σὺ φθέγγῃ καὶ βλέπειν
εἰς τὰ [l] τουτωνὶ πρόσωπα τολμᾷς; πότερ᾽ οὐχ [m] ἡγεῖ
γιγνώσκειν [n] αὐτοὺς ὅστις εἶ; ἢ τοσοῦτον ὕπνον καὶ λήθην
ἅπαντας ἔχειν, ὥστ᾽ οὐ μεμνῆσθαι τοὺς λόγους οὓς ἐδη-
μηγόρεις ἐν τῷ [o] δήμῳ, καταρώμενος καὶ διομνύμενος μη-
δὲν εἶναι σοὶ καὶ Φιλίππῳ πρᾶγμα, ἀλλ᾽ ἐμὲ τὴν αἰτίαν

[y] τίμιον S. vulg. τίμιος.
[z] τοῖς πολλοῖς ante προαιρεῖσθαι ponit r.
[a] μισεῖν] καὶ μισεῖν t.
[b] τῆς αὐτῆς] τοῖς αὐτοῖς p. et correctus r.
[c] οὔκουν] οὐκοῦν k. r. s.
[d] ἐν om. S.
[e] ἔμπροσθε S. Y. ἄνω k. vulg. ἔμπροσθεν.
[f] τίς] τίς ἦν k.
[g] καταρᾶται] καταρᾶται καθ᾽ ἑκάστην ἐκκλησίαν γρ. F. S. Q.
[h] ἢ om. F. k. p. s.
[i] ταὐτὰ] ταυτὰ ἃ k. s. ταυτὰ καὶ F. p.
[k] οὗτος] τοιοῦτος Y. Q. p. r.
[l] τουτωνὶ] τούτων S. Y. r.
[m] ἡγεῖ S. vulg. ἡγῇ.
[n] αὐτοὺς] τούτους k.
[o] δήμῳ] πολέμῳ S. k.

σοι ταύτην ἐπάγειν τῆς ἰδίας ἕνεκ' ἔχθρας, οὐκ οὖσαν
350 ἀληθῆ. [p] ὡς δ' ἀπηγγέλθη τάχισθ' ἡ μάχη, οὐδὲν τούτων
φροντίσας [q] εὐθὺς ὡμολόγεις καὶ προσεποιοῦ φιλίαν, καὶ
ξενίαν εἶναί σοι πρὸς αὐτόν, τῇ μισθαρνίᾳ ταῦτα [r] μετα-
τιθέμενος τὰ ὀνόματα· ἐκ ποίας γὰρ ἴσης ἢ δικαίας
προφάσεως [s] Αἰσχίνῃ τῷ Γλαυκοθέας τῆς τυμπανιστρίας
351 ξένος ἢ φίλος ἢ γνώριμος [t] ἦν Φίλιππος; ἐγὼ μὲν οὐχ
ὁρῶ, ἀλλ' ἐμισθώθης ἐπὶ τῷ [u] τὰ τουτωνὶ συμφέροντα
διαφθείρειν. ἀλλ' ὅμως οὕτω φανερῶς [x] αὐτὸς εἰλημμένος
προδότης καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ τοῖς συμβᾶσι
γεγονὼς ἐμοὶ [y] λοιδορεῖ καὶ ὀνειδίζεις ταῦτα, ὧν πάντας
[z] μᾶλλον αἰτίους [a] εὑρήσεις.

352 Πολλὰ [b] καὶ καλὰ καὶ μεγάλα ἡ πόλις, Αἰσχίνη,
καὶ προείλετο καὶ κατώρθωσε δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνη-
σεν. σημεῖον δέ· χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ' ἐπὶ
τοῖς τετελευτηκόσι παρ' αὐτὰ τὰ συμβάντα οὐ [c] σὲ ἐχει-
ροτόνησε προβληθέντα, [d] καίπερ εὔφωνον ὄντα, οὐδὲ Δη-
μάδην, ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' [e] Ἡγήμονα,
οὐδ' ἄλλον ὑμῶν οὐδένα, ἀλλ' ἐμέ. καὶ παρελθόντος σοῦ
καὶ Πυθοκλέους ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί, 321
[f] καὶ κατηγορούντων ἐμοῦ [g] ταῦτα ἃ καὶ σὺ νυνὶ, καὶ λοι-
353 δορουμένων, ἔτ' ἄμεινον ἐχειροτόνησεν [h] ἐμέ. τὸ δ' αἴτιον
[i] οὐκ ἀγνοεῖς μέν, [k] ὅμως δὲ φράσω σοι κἀγώ. ἀμφότερ'

[p] ὡς δ'] οὐδ' ὡς p.
[q] εὐθὺς] εὐθέως pr. S.
[r] μετατιθέμενος] τιθέμενος t.
[s] Αἰσχίνηι S. Y. Q.
[t] ἦν] ὢν t.
[u] τὰ τουτωνὶ] τουτωνὶ τὰ p.
[x] αὐτὸς] αὐτοῖς p. s. t.
[y] λοιδορεῖ S. λοιδορεῖς Y. p. vulg. λοιδορῇ.
[z] μᾶλλον αἰτίους] αἰτίους μᾶλλον Y. k. p. r. s.
[a] Post εὑρήσεις cum S. omisi ἢ ἐμέ.
[b] καὶ ante καλὰ om. O. t. u. v.
[c] σὲ] σ' S.
[d] καίπερ] οὐ σὲ καίπερ v.
[e] Ἡγήμονα] ἡγημόνα k. ἡγεμόνα s.
[f] καὶ post θεοὶ om. p.
[g] ταυτὰ] ταῦτα F. Y. Q. k. p. s. t. u. v.
[h] ἐμέ] με S.
[i] οὐκ om. pr. v.
[k] ὅμως δὲ φράσω σοι] φράσω δέ σοι ὅμως r.

ᾔδεσαν [l] οὗτοι, τήν τ' ἐμὴν εὔνοιαν καὶ προθυμίαν, μεθ' ἧς
τὰ πράγματ' ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν· ἃ
γὰρ [m] εὐθενούντων τῶν πραγμάτων ἠρνεῖσθε διομνύμενοι,
ταῦτ' ἐν οἷς ἔπταισεν ἡ πόλις ὡμολογήσατε. τοὺς οὖν
ἐπὶ τοῖς κοινοῖς [n] ἀτυχήμασιν ὧν ἐφρόνουν λαβόντας
ἄδειαν ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τόθ' ἡγήσαντο
354 [o] αὑτοῖς γεγενῆσθαι. εἶτα καὶ προσήκειν [p] ὑπελάμβανον
τὸν ἐροῦντ' [q] ἐπὶ τοῖς τετελευτηκόσι καὶ τὴν [r] ἐκείνων ἀρε-
τὴν κοσμήσοντα [s] μήθ' ὁμωρόφιον μήθ' ὁμόσπονδον γεγενη-
μένον εἶναι τοῖς πρὸς ἐκείνους παραταξαμένοις, μηδ' ἐκεῖ
μὲν κωμάζειν καὶ [t] παιωνίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων
συμφοραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο [u] δ'
[x] ἐλθόντα τιμᾶσθαι, [y] μηδὲ τῇ φωνῇ δακρύειν [z] ὑποκρινό-
355 μενον τὴν ἐκείνων τύχην, ἀλλὰ τῇ ψυχῇ συναλγεῖν. τοῦτο
δ' [a] ἑώρων παρ' ἑαυτοῖς καὶ παρ' ἐμοί, παρὰ δ' ὑμῖν οὔ.
διὰ ταῦτ' ἐμὲ ἐχειροτόνησαν καὶ οὐχ ὑμᾶς. καὶ οὐχ ὁ
μὲν δῆμος οὕτως, οἱ δὲ τῶν τετελευτηκότων πατέρες καὶ
ἀδελφοὶ [b] ὑπὸ τοῦ δήμου [c] τόθ' αἱρεθέντες ἐπὶ τὰς ταφὰς
ἄλλως πως, ἀλλὰ δέον ποιεῖν αὐτοὺς [d] τὸ περίδειπνον ὡς
παρ' [e] οἰκειοτάτῳ [f] τῶν τετελευτηκότων, ὥσπερ τἆλλ'

[l] οὗτοι] αὐτοὶ F. S. Q. O. t. u. v. om. Y. p.

[m] εὐθενούντων] εὐθηνούντων k. p. r. u. v. et γρ. Y.

[n] ἀτυχήμασιν] ἀδικήμασιν r.

[o] αὑτοῖς] αὐτοὺς r.

[p] ὑπελάμβανον] ὑπολαμβάνοντες F. S. Q. ὑπέλαβον Y. p.

[q] ἐπὶ] τότ' ἐπὶ F. Y. Q. O. p. r. t. u. v.

[r] ἐκείνων ἀρετὴν κοσμήσοντα] ἀρετὴν ἐκείνων κοσμήσαντα r.

[s] μήθ' ὁμωρόφιον] μηδ' ὁμωρόφιον k. s.

[t] παιωνίζειν F. S. Y. k. r. s. vulg. παιανίζειν.

[u] δ' om. s. et pr. S.

[x] ἐλθόντα] ἐλθόντας F. Y. Q. O. p. t. u. v.

[y] μηδὲ] καὶ μηδὲ Y. O. p. r. t. u. v.

[z] ὑποκρινόμενον] ὑποκρινομένους F. S. Y. Q. O. p. t. u. v.

[a] ἑώρων] ἑώρων καὶ O.

[b] ὑπὸ] οἱ ὑπὸ S.

[c] τόθ' om. s.

[d] τὸ περιδειπνον] τὸ ἢ ἐπὶ τοῖς ἀποθανοῦσιν ἑστίας γινόμενον περίδειπνον s.

[e] οἰκειοτάτῳ τῶν] οἰκειοτάτων Y. et pr. r. οἰκειοτάτῳ O.

[f] τῶν τετελευτηκότων] τοῖς τετελευτηκόσι correcto r.

356 [g] εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν παρ' ἐμοί. εἰκότως·
γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν ἐμοῦ,
κοινῇ δὲ πᾶσιν οὐδεὶς ἐγγυτέρω· ᾧ [h] γὰρ ἐκείνους σωθῆναι καὶ
κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καὶ παθόντων ἃ μή- 322
ποτ' ὤφελον τῆς ὑπὲρ ἁπάντων λύπης πλεῖστον μετεῖχεν.

357 Λέγε δ' [i] αὐτῷ [k] τουτὶ τὸ ἐπίγραμμα, ὃ δημοσίᾳ προείλετο ἡ πόλις αὐτοῖς ἐπιγράψαι, ἵν' εἰδῇς, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ [l] σαυτὸν ἀγνώμονα [m] καὶ συκοφάντην ὄντα [n] καὶ μιαρόν. Λέγε.

### [o] ΕΠΙΓΡΑΜΜΑ.

358 Οἵδε πάτρας ἕνεκα σφετέρας εἰς δῆριν ἔθεντο
ὅπλα, καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν.
μαρνάμενοι δ' ἀρετῆς καὶ [p] δείματος οὐκ ἐσάωσαν
ψυχάς, ἀλλ' Ἀΐδην κοινὸν ἔθεντο βράβην,
[q] οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγὸν αὐχένι θέντες
δουλοσύνης στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν.
γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων
σώματ', ἐπεὶ θνητοῖς ἐκ Διὸς ἥδε κρίσις.
μηδὲν ἁμαρτεῖν ἐστὶ θεῶν καὶ πάντα κατορθοῦν
ἐν βιοτῇ, μοῖραν δ' οὔ τι [r] φυγεῖν [s] ἔπορεν.

359 Ἀκούεις, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ, [t] ὡς τὸ μηδὲν ἁμαρτεῖν ἐστὶ [v] θεῶν καὶ πάντα κατορθοῦν; [u] οὐ τῷ συμβούλῳ τὴν τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκε δύναμιν, ἀλλὰ τοῖς θεοῖς. τί οὖν, [x] ὦ κατάρατ', ἐμοὶ περὶ τούτων [y] λοιδορεῖ, καὶ λέγεις ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν [z] εἰς κεφαλήν;

[g] εἴωθε] εἰώθει Y. p. r.
[h] γὰρ ἐκείνους] γὰρ τὸ ἐκείνους Y. O. k. p. r. s. t. u. v.
[i] αὐτῷ] αὐτὸ r.
[k] τουτὶ] τοῦτο O. u. v.
[l] σαυτὸν] αὐτὸν Y.
[m] καὶ συκοφάντην ὄντα] ὄντα καὶ συκοφάντην p. r. ὄντα καὶ συκοφάντην ὄντα Y.
[n] καὶ ante μιαρόν om. O.
[o] Epigramma om. S. k. s.
[p] δείματος] λήματος Valckenarius.
[q] οὕνεκεν] ἕνεκεν p.
[r] φυγεῖν] φεύγειν F. Q. Y. t. v.
[s] ἔπορεν] ἔπορον O. et correctus r.
[t] ὡς om. S. ὡς τὸ om. k. s.
[v] θεῶν] θεοῦ Y. k. r. s.
[u] οὐ τῷ—κατορθοῦν om. pr. S.
[x] ὦ om. Q.
[y] λοιδορεῖ S. vulg. λοιδορῇ.
[z] εἰς] ἐπὶ k. (εἰς superscr.)

360 Πολλὰ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι καὶ ἄλλα κατηγο-
ρηκότος αὐτοῦ καὶ [a] κατεψευσμένου, [b] ἓν μάλιστ' ἐθαύ-
μασα [c] πάντων, [d] ὅτι τῶν συμβεβηκότων [e] τότε τῇ πόλει
[f] μνησθεὶς οὐχ ὡς ἂν εὔνους [g] καὶ δίκαιος πολίτης ἔσχε
τὴν γνώμην, οὐδ' ἐδάκρυσεν, [h] οὐδ' ἔπαθε [i] τοιοῦτον [k] οὐ-
δὲν τῇ ψυχῇ, ἀλλ' ἐπάρας τὴν φωνὴν [l] καὶ γεγηθὼς καὶ 323
[m] λαρυγγίζων ᾤετο μὲν ἐμοῦ κατηγορεῖν δηλονότι, δεῖγμα
δ' ἐξέφερε καθ' ἑαυτοῦ ὅτι [n] ἐπὶ τοῖς γεγενημένοις ἀνια-
361 ροῖς οὐδὲν ὁμοίως ἔσχε τοῖς ἄλλοις. καίτοι τὸν τῶν νόμων
καὶ τῆς πολιτείας φάσκοντα φροντίζειν, ὥσπερ οὗτος
νυνί, καὶ εἰ μηδὲν ἄλλο, τοῦτό [o] γ' ἔχειν δεῖ, [p] ταὐτὰ λυ-
πεῖσθαι καὶ ταὐτὰ χαίρειν τοῖς πολλοῖς, καὶ μὴ τῇ
προαιρέσει τῶν κοινῶν ἐν τῷ τῶν ἐναντίων μέρει τετάχθαι.
[q] ὃ σὺ [r] νυνὶ [s] πεποιηκὼς εἶ φανερός, ἐμὲ πάντων αἴτιον
καὶ δι' ἐμὲ εἰς πράγματα φάσκων ἐμπεσεῖν τὴν πόλιν,
οὐκ ἀπὸ τῆς ἐμῆς πολιτείας οὐδὲ προαιρέσεως ἀρξαμένων
362 ὑμῶν τοῖς Ἕλλησι βοηθεῖν, ἐπεὶ ἔμοιγ' εἰ τοῦτο δοθείη
παρ' [t] ὑμῶν, δι' ἐμὲ ὑμᾶς ἠναντιῶσθαι τῇ κατὰ τῶν Ἑλ-
λήνων ἀρχῇ πραττομένῃ, μείζων ἂν δοθείη δωρεὰ συμπα-
σῶν ὧν τοῖς ἄλλοις δεδώκατε. ἀλλ' οὔτ' ἂν ἐγὼ ταῦτα
[u] φήσαιμι (ἀδικοίην γὰρ ἂν ὑμᾶς), οὔτ' ἂν ὑμεῖς [x] εὖ

[a] κατεψευσμένου] κατεψευσαμένου O. s.
[b] ἓν om. S. k. s.
[c] πάντων S. k. s. ceteri ἁπάντων.
[d] ὅτι] ὅτε S. k.
[e] τότε om. p. ante τῇ ponit k.
[f] μνησθεὶς] ἀναμνησθεὶς Y. O. p. t. u. v.
[g] καὶ δίκαιος] οὐδὲ δίκαιος F. Y. Q. O. p. r. t. u. v.
[h] οὐδ' ἔπαθεν] οὔτ' ἔπαθεν s.
[i] τοιοῦτον ante τῇ ponunt O. p. t. u. v.
[k] οὐδὲν] οὐδ' ἓν k.
[l] καὶ post φωνὴν om. O. u.
[m] λαρυγγίζων] λαρυγκίζων s.
[n] ἐπὶ solus habet s.
[o] γ' om. k. s.
[p] ταὐτὰ] τὸ ταὐτὰ F. Y. Q. O. p. r. t. u. v.
[q] ὃ σὺ] ὃς pr. Y.
[r] νυνὶ] νῦν O.
[s] πεποιηκὼς εἶ φανερὸς] πεποίηκας φανερῶς O.
[t] ὑμῶν δι' S. Y. k. p. r. s. ceteri ὑμῶν τοσαῦτα δι'.
[u] φήσαιμι] φράσαιμι t.
[x] εὖ οἶδ' ὅτι om. p.

οἶδ' ὅτι [y] συγχωρήσαιτε· οὗτός [z] τ' εἰ δίκαια ἐποίει, οὐκ ἂν ἕνεκα τῆς [a] πρὸς ἐμὲ ἔχθρας τὰ μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλαπτε καὶ διέβαλλεν.

363 Ἀλλὰ τί ταῦτ' ἐπιτιμῶ, πολλῷ σχετλιώτερα ἄλλα
κατηγορηκότος αὐτοῦ καὶ [b] κατεψευσμένου; ὃς γὰρ ἐμοῦ
φιλιππισμόν, ὦ γῆ καὶ θεοί, κατηγορεῖ, τί οὗτος οὐκ ἂν
εἴποι; [c] καίτοι νὴ τὸν Ἡρακλέα καὶ [d] πάντας θεούς, εἴγ'
ἐπ' ἀληθείας δέοι σκοπεῖσθαι, τὸ [e] καταψεύδεσθαι, καὶ
δι' ἔχθραν τι λέγειν ἀνελόντας ἐκ μέσου, τίνες ὡς ἀλη-
θῶς εἰσὶν οἷς ἂν εἰκότως καὶ δικαίως τὴν τῶν γεγενη-
μένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες, τοὺς
[f] ὁμοίους τούτῳ παρ' ἑκάστῃ τῶν πόλεων [g] εὕροι τις ἄν, 324
364 [h] οὐχὶ [i] τοὺς ἐμοί· οἳ, ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγ-
ματα καὶ κομιδῇ μικρά, πολλάκις προλεγόντων [k] ἡμῶν
καὶ παρακαλούντων καὶ διδασκόντων τὰ βέλτιστα, τῆς
ἰδίας ἕνεκ' αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο,
τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ
365 διαφθείροντες, ἕως δούλους ἐποίησαν, Θετταλοὺς Δάοχος,
Κινέας, [l] Θρασύλαος, Ἀρκάδας [m] Κερκιδᾶς, Ἱερώνυμος,
[n] Εὐκαμπίδας, Ἀργείους [o] Μύρτις, [p] Τελέδαμος, Μνα-
σέας, Ἠλείους Εὐξίθεος, Κλεότιμος, Ἀρίσταιχμος, Μεσ-
σηνίους οἱ Φιλιάδου [q] τοῦ θεοῖς ἐχθροῦ παῖδες Νέων καὶ

[y] συγχωρήσαιτε] συγχωρήσετε k.s.
[z] τ' εἰ] δὲ εἰ τὰ r. v.
[a] πρὸς ἐμὲ] πρός με k. s.
[b] κατεψευσμένου] κατεψευσαμένου s. καταψευσαμένου p.
[c] καίτοι] καὶ Q.
[d] πάντας θεούς S. Y. k. s. ceteri πάντας τοὺς θεούς.
[e] καταψεύδεσθαι] κατεψεῦσθαι k. s.
[f] ὁμοίους] ὁμοίως t.
[g] εὕροι τις] εὕροιτ' S. Y. k. s. et γρ. F.
[h] οὐχὶ] οὐ S. Y. k. s.
[i] τοὺς] τοῖς Q.
[k] ἡμῶν om. t.
[l] Θρασύλαος Y. k. p. r. s. et γρ. F. θρασύδαος S. vulg. Θρασύδαιος.
[m] Κερκιδᾶς] κερκιδὰς u. κερκίδας Q. k. r. s. accentu caret S.
[n] Εὐκαμπίδας S. Y. k. r. s. t. ceteri εὐκαλπίδας.
[o] Μύρτις] μάρτυς u.
[p] Τελέδαμος] τελάδαμος O.t.u.v.
[q] τοῦ om. t.

Θρασύλοχος, Σικυωνίους Ἀρίστρατος, Ἐπιχάρης, Κορινθίους Δείναρχος, [r] Δημάρατος, Μεγαρέας Πτοιόδωρος, Ἕλιξος, [s] Περίλαος, Θηβαίους [t] Τιμόλας, Θεογείτων, [u] Ἀνεμοίτας, Εὐβοέας Ἵππαρχος, Κλείταρχος, Σωσίστρατος. [x] ἐπιλείψει με λέγοντα ἡ ἡμέρα τὰ τῶν προδο-
366 τῶν ὀνόματα. οὗτοι πάντες εἰσίν, ἄνδρες Ἀθηναῖοι, τῶν αὐτῶν βουλευμάτων ἐν [y] ταῖς αὐτῶν πατρίσιν ὧνπερ οὗτοι παρ' ὑμῖν, ἄνθρωποι μιαροὶ καὶ κόλακες καὶ ἀλάστορες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες πρότερον μὲν Φιλίππῳ νῦν δὲ Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδένα ἔχειν δεσπότην αὐτῶν, ἃ τοῖς [z] προτέροις Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, [a] ἀνατετραφότες.

367 Ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστάσεως καὶ κακίας, μᾶλλον δ' ὦ ἄνδρες Ἀθηναῖοι προ- 325
δοσίας, εἰ δεῖ μὴ ληρεῖν, τῆς τῶν Ἑλλήνων ἐλευθερίας, [b] ἥ τε πόλις παρὰ πᾶσιν ἀνθρώποις ἀναίτιος γέγονεν ἐκ τῶν ἐμῶν πολιτευμάτων καὶ ἐγὼ παρ' ὑμῖν. εἶτά μ' ἐρωτᾷς ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι; ἐγὼ [c] δή σοι
368 λέγω, ὅτι τῶν πολιτευομένων παρὰ τοῖς Ἕλλησι διαφθαρέντων ἁπάντων, ἀρξαμένων ἀπὸ σοῦ, πρότερον μὲν ὑπὸ Φιλίππου νῦν δ' ὑπ' Ἀλεξάνδρου, ἐμὲ οὔτε καιρὸς οὔτε φιλανθρωπία λόγων οὔτ' [d] ἐπαγγελιῶν μέγεθος οὔτ' ἐλ-

[r] Δημάρατος] δημάρετος S. k.
[s] Περίλαος] περίαλος S. πέριλλος Y. et γρ. F. περίλλαος s.
[t] Τιμόλας S. ceteri τιμόλαος.
[u] Ἀνεμοίτας] ἀνεμύτας r. et Anecd. p. 397, 33. coll. p. 1215. Ἀνεμύτας etiam Harpocrationis codex antiquissimus, Palatinus.
[x] ἐπιλείψει] ἐπιλείψαι k.
[y] ταῖς αὐτῶν] ταῖς ἑαυτῶν k.
[z] προτέροις] πρότερον k.
[a] ἀνατετραφότες S. p. vulg. ἀνατετροφότες.
[b] ἥ τε πόλις post ἀνθρώποις ponunt p. r.
[c] δή] δέ S.
[d] ἐπαγγελιῶν] ἀγγελιῶν k.

πὶς οὔτε [e] φόβος οὔτ' ἄλλο οὐδὲν ἐπῆρεν οὐδὲ προηγάγετο
ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι οὐδὲν προ-
369 δοῦναι, οὐδ', ὅσα συμβεβούλευκα πώποτε [f] τουτοισί,
ὁμοίως ὑμῖν ὥσπερ [g] ἂν εἰ ἐν τρυτάνῃ ῥέπων ἐπὶ τὸ λῆμμα
συμβεβούλευκα, ἀλλ' ἀπ' ὀρθῆς καὶ δικαίας καὶ [h] ἀδι-
αφθόρου τῆς ψυχῆς [i] τὰ πάντα μοι πέπρακται, καὶ με-
γίστων δὴ πραγμάτων [k] τῶν κατ' ἐμαυτὸν ἀνθρώπων
[l] προστὰς πάντα [m] ταῦτα ὑγιῶς καὶ [n] δικαίως πεπολί-
370 τευμαι. διὰ ταῦτ' ἀξιῶ τιμᾶσθαι. τὸν δὲ τειχισμὸν τοῦ-
τον, ὃν σύ μου διέσυρες, καὶ τὴν ταφρείαν ἄξια μὲν [o] χά-
ριτος καὶ ἐπαίνου κρίνω, πῶς γὰρ οὔ; πόῤῥω μέντοι [p] που
τῶν ἐμαυτῷ πεπολιτευμένων τίθεμαι. [q] οὐ [r] λίθοις ἐτεί-
χισα τὴν πόλιν οὐδὲ πλίνθοις ἐγώ, οὐδ' ἐπὶ τούτοις μέ-
γιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ' ἐὰν [s] τὸν ἐμὸν τειχισμὸν
[t] βούλῃ δικαίως σκοπεῖν, εὑρήσεις ὅπλα [u] καὶ πόλεις καὶ
τόπους καὶ λιμένας καὶ ναῦς καὶ [πολλοὺς] ἵππους
371 καὶ τοὺς ὑπὲρ τούτων [x] ἀμυνουμένους. ταῦτα [y] προὐβα-
λόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς, [z] ὅσον ἦν ἀνθρωπίνῳ λο-
γισμῷ δυνατόν, καὶ τούτοις ἐτείχισα τὴν χώραν, οὐχὶ
[a] τὸν [b] κύκλον τοῦ Πειραιῶς οὐδὲ τοῦ [c] ἄστεος. οὐδέ γ' 326

[e] φόβος] φόβος οὔτε χάρις k. s.

[f] τουτοισὶ] τούτοις k.

[g] ἂν εἰ om. k. p. r. s. εἰ ἐν om. F. S. Y.

[h] ἀδιαφθόρου] ἀδιαφόρου t. v.

[i] τὰ πάντα μοι πέπρακται om. S. k. s. τὰ om. F. Y. Q. O. p. t. u. v. μοι om. Q.

[k] τῶν om. S.

[l] προστὰς] πρὸς S.

[m] ταῦτα om. k. s. t.

[n] δικαίως] δικαίως καὶ ἁπλῶς k. s.

[o] χάριτος καὶ ἐπαίνου] ἐπαίνου καὶ χάριτος k.

[p] που om. k.

[q] οὐ F. S. Q. k. s. vulg. οὐ γὰρ.

[r] λίθοις—πλίνθοις] πλίνθοις—λίθοις k.

[s] τὸν ἐμὸν] τὸν μὲν ἐμὸν r.

[t] βούλῃ] βούλῃ Y. βούλει v.

[u] καὶ πόλεις om. k. s.

[x] ἀμυνουμένους] ἀμυνομένους S. Q. k. p. r. s. ἀγωνιζομένους O. u.

[y] προυβαλόμην] προυβαλλόμην Y. O. r.

[z] ὅσον] ὅσα Y.

[a] τὸν om. O. u.

[b] κύκλον τοῦ S. k. s. ceteri κύκλον μόνον τοῦ.

[c] ἄστεος] ἄστεως S.

ἡττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου, πολλοῦ γε καὶ δεῖ, οὐδὲ ταῖς παρασκευαῖς, ἀλλ' οἱ τῶν συμμάχων στρατηγοὶ καὶ αἱ δυνάμεις τῇ τύχῃ. τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς καὶ φανεραί. σκοπεῖτε δέ.

372 Τί [d] χρῆν τὸν εὔνουν πολίτην ποιεῖν, τί τὸν μετὰ πάσης προνοίας καὶ [e] προθυμίας καὶ δικαιοσύνης [f] ὑπὲρ τῆς πατρίδος πολιτευόμενον; οὐκ ἐκ μὲν θαλάττης τὴν Εὔβοιαν [g] προβαλέσθαι πρὸ τῆς Ἀττικῆς, ἐκ δὲ τῆς μεσογείας τὴν Βοιωτίαν, ἐκ δὲ τῶν [h] πρὸς Πελοπόννησον τόπων τοὺς ὁμόρους ταύτῃ; οὐ τὴν [i] σιτοπομπίαν, ὅπως παρὰ πᾶσαν φιλίαν ἄχρι τοῦ Πειραιῶς κομισθήσεται, [k] προϊδέσθαι;
373 καὶ τὰ μὲν σῶσαι τῶν ὑπαρχόντων ἐκπέμποντα βοηθείας καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα, τὴν [l] Προκόννησον, τὴν [m] Χερρόνησον, τὴν Τένεδον, τὰ δ' ὅπως οἰκεῖα καὶ σύμμαχ' [n] ὑπάρξει πρᾶξαι, τὸ Βυζάντιον, τὴν Ἄβυδον, τὴν Εὔβοιαν; καὶ τῶν μὲν τοῖς ἐχθροῖς ὑπαρχουσῶν δυνάμεων τὰς μεγίστας ἀφελεῖν, [o] ὧν δ' [p] ἐνέλειπε τῇ πόλει,
374 ταῦτα προσθεῖναι; ταῦτα [q] τοίνυν ἅπαντα πέπρακται τοῖς ἐμοῖς ψηφίσμασι καὶ τοῖς ἐμοῖς πολιτεύμασιν, ἃ καὶ βεβουλευμένα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν ἄνευ φθόνου [r] τις βούληται σκοπεῖν, ὀρθῶς εὑρήσει καὶ πεπραγμένα πάσῃ δικαιοσύνῃ, καὶ τὸν ἑκάστου καιρὸν οὐ παρεθέντα οὐδ' ἀγνοηθέντα οὐδὲ [s] προεθέντα ὑπ' ἐμοῦ, καὶ ὅσα εἰς

[d] χρῆν] χρὴ k. s.
[e] προθυμίας] φιλοτιμίας p. r. et γρ. Q. ὑπὲρ
[f] ὑπὲρ] περὶ k.
[g] προβαλέσθαι] προβάλλεσθαι r.
[h] πρὸς ante Πελοπόννησον om pr. S.
[i] σιτοπομπίαν F. S. Y. Q. O. k. r. s. u. vulg. σιτοπομπείαν.
[k] προϊδέσθαι] περιιδέσθαι Y.
[l] Προκόννησον] προκόνησον t. προικόνησον r. πρικόννησον O u.
[m] Χερρόνησον] χερόννησον s.
[n] ὑπάρξει S. Q. p. s. ὑπάρξοι k. vulg. ὑπάρξῃ.
[o] ὧν δ'] ὧν οὐδ' t.
[p] ἐνέλειπε S. Y. p. vulg. ἐνέλιπε.
[q] τοίνυν ἅπαντα S. k. s. vulg. τοίνυν ὑμῖν ἅπαντα.
[r] τις βούληται] βούληταί τις k. s.
[s] προεθέντα S. Y. k. s. παρεθέντα F. p. vulg. προδοθέντα.

[t] ἑνὸς ἀνδρὸς δύναμιν καὶ λογισμὸν ἧκεν, οὐδὲν ἐλλειφθέν.
375 εἰ δὲ ἢ δαίμονός [u] τινος ἢ τύχης ἰσχὺς ἢ [x] στρατηγῶν
φαυλότης ἢ τῶν προδιδόντων τὰς πόλεις [y] ὑμῶν [z] κακία
ἢ [a] πάντα ταῦτα [b] ἅμα [c] ἐλυμαίνετο τοῖς ὅλοις, ἕως 327
[d] ἀνέτρεψε, τί Δημοσθένης ἀδικεῖ; εἰ [e] δ' οἷος [f] ἦν ἐγὼ
παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν, εἷς ἐν ἑκάστῃ τῶν
376 Ἑλληνίδων [g] πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δ' εἰ ἕνα
[h] ἄνδρα μόνον Θετταλία καὶ ἕνα ἄνδρα Ἀρκαδία ταὐτὰ
φρονοῦντα [i] ἔσχεν ἐμοί, [k] οὐδεὶς οὔτε τῶν ἔξω Πυλῶν [l] Ἑλ-
λήνων οὔτε τῶν εἴσω τοῖς παροῦσι κακοῖς [m] ἐκέχρητ' ἄν,
ἀλλὰ πάντες ἂν ὄντες ἐλεύθεροι καὶ αὐτόνομοι μετὰ πά-
σης ἀδείας ἀσφαλῶς ἐν εὐδαιμονίᾳ τὰς ἑαυτῶν ᾤκουν
πατρίδας, [n] τῶν τοσούτων [o] καὶ τοιούτων ἀγαθῶν ὑμῖν καὶ
377 τοῖς ἄλλοις Ἀθηναίοις ἔχοντες χάριν δι' ἐμέ. ἵνα δ' εἰ-
δῆτε ὅτι πολλῷ τοῖς λόγοις ἐλάττοσι χρῶμαι τῶν ἔργων,
εὐλαβούμενος τὸν φθόνον, [p] λέγε μοι ταυτὶ καὶ ἀνάγνωθι
λαβὼν [[q] τὸν ἀριθμὸν τῶν βοηθειῶν κατὰ τὰ ἐμὰ ψη-
φίσματα.]

[r] ἈΡΙΘΜΟΣ [s] ΒΟΗΘΕΙΩΝ.

378 Ταῦτα [t] καὶ τοιαῦτα πράττειν, Αἰσχίνη, τὸν καλὸν

[t] ἑνὸς ἀνδρὸς S. Y. ceteri ἀνδρὸς ἑνός.
[u] τινος post τύχης ponit r.
[x] στρατηγῶν] τῶν στρατηγῶν Q.
[y] ὑμῶν] ἡμῶν k.
[z] κακία ἢ] κακία ἢ καὶ γρ. S.Q. κακία k. s.
[a] πάντα post ταῦτα ponunt k.s.
[b] ἅμα om. k. in γρ. habet S.
[c] ἐλυμαίνετο S. Y. et correctus O. ceteri ἐλυμήνατο.
[d] ἀνέτρεψεν] ἀνέτρεψαν S. Y. Q. ἀνέστρεψε s.
[e] δ' οἷος] ος S. Y.
[f] ἦν om. S. Y. k. s.
[g] πόλεων om. t.
[h] ἄνδρα μόνον F. S. Y. O. k. p. r. s. t. v. vulg. μόνον ἄνδρα.
[i] ἔσχεν S. k. s. ceteri ἔσχον.
[k] οὐδεὶς οὔτε] οὐδεὶς ἂν οὔτε O.
[l] Ἑλλήνων] ἑλληνίδων O. u. v.
[m] ἐκέχρητ'] ἐκέχρηντ' S.
[n] τῶν] τούτων S.
[o] καὶ τοιούτων om. p.
[p] λέγε] λαβέ k. s.
[q] τὸν ἀριθμὸν—ψηφίσματα om. S.
[r] ΑΡΙΘΜΟΣ] ἀριθμοὶ u.
[s] ΒΟΗΘΕΙΩΝ] βοηθειῶν κατὰ τὰ ἐμὰ ψηφίσματα S. Y. Q. r. t.
[t] καὶ τοιαῦτα F. S. Q. O. ceteri καὶ τὰ τοιαῦτα.

κἀγαθὸν πολίτην δεῖ, ὧν κατορθουμένων [u] μέν, [x] ὦ γῆ καὶ
θεοί, [y] μεγίστοις ἀναμφισβητήτως [z] ὑπῆρχεν εἶναι, καὶ
τὸ δικαίως προσῆν, ὡς ἑτέρως δὲ συμβάντων τὸ γοῦν εὐ-
δοκιμεῖν περίεστι καὶ τὸ μηδένα μέμφεσθαι τὴν πόλιν
μηδὲ τὴν προαίρεσιν αὐτῆς, ἀλλὰ τὴν τύχην κακίζειν τὴν
379 οὕτω τὰ πράγματα [a] κρίνασαν, οὐ μὰ Δί' [b] οὐκ ἀπο-
στάντα τῶν συμφερόντων τῇ πόλει, μισθώσαντα δ' αὑτὸν
τοῖς ἐναντίοις, τοὺς ὑπὲρ τῶν ἐχθρῶν καιροὺς ἀντὶ [c] τῶν
τῆς πατρίδος θεραπεύειν, οὐδὲ τὸν μὲν πράγματα ἄξια
τῆς πόλεως ὑποστάντα λέγειν καὶ γράφειν καὶ μένειν
ἐπὶ [d] τούτων [e] προελόμενον βασκαίνειν, ἐὰν δέ τις ἰδίᾳ
[f] τι λυπήσῃ, τοῦτο μεμνῆσθαι καὶ τηρεῖν, [g] οὐδέ γ' ἡσυ-
χίαν ἄγειν ἄδικον καὶ ὕπουλον, [h] ὃ σὺ ποιεῖς πολλάκις. 328
380 ἔστι γάρ, ἔστιν ἡσυχία δικαία καὶ συμφέρουσα τῇ πό-
λει, ἣν οἱ πολλοὶ τῶν πολιτῶν ὑμεῖς [i] ἁπλῶς ἄγετε.
ἀλλ' οὐ ταύτην [k] οὗτος ἄγει τὴν ἡσυχίαν, πολλοῦ γε καὶ
δεῖ, ἀλλ' ἀποστὰς ὅταν αὐτῷ [l] δόξῃ τῆς πολιτείας (πολ-
λάκις δὲ δοκεῖ) [m] φυλάττει [n] ὁπηνίκ' [o] ἔστε μεστοὶ τοῦ
συνεχῶς λέγοντος [p] ἢ παρὰ τῆς τύχης τι συμβέβηκεν
ἐναντίωμα ἢ ἄλλο τι δύσκολον γέγονε (πολλὰ [q] δὲ τἀν-
381 θρώπινα)· εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ
τῆς ἡσυχίας ὥσπερ πνεῦμ' [r] ἐφάνη, καὶ πεφωνασκηκὼς

[u] μὲν om. O.
[x] ὦ γῆ καὶ θεοί om. S. Y.
[y] μεγίστοις] ἐν μεγίστοις O.t.u.v.
[z] ὑπῆρχεν] ὑπάρχειν Q. r. ὑπαρ[η]-[s]χειν F.
[a] κρίνασαν] κρίνουσαν k. p. r. s.
[b] οὐκ om. F.
[c] τῶν τῆς] τῆς O. τῶν ὑπὲρ τῆς Q. k.
[d] τούτων] τοῦτον k.
[e] προελόμενον om. F. S. Y. Q. O. p. t. u. v.
[f] τι om. t.
[g] οὐδέ γ' S. Y. k. r. s. vulg. οὐδ'.
[h] ὃ S. k. ceteri ὡς.
[i] ἁπλῶς ante ὑμεῖς ponit s. post ἄγετε r. om. k.
[k] οὗτος] αὐτὸς k.
[l] δόξῃ] δοκῇ r. δοκηι F.
[m] φυλάττει] φυλάττειν k.
[n] ὁπηνίκ'] πηνίκ' S. ὁπηνίχ' ὑμεῖς k. r. s.
[o] ἔστε] εσεσθαι S.
[p] ἢ ante παρὰ om. pr. S.
[q] δὲ om. s.
[r] ἐφάνη] ἀνεφάνη k. s.

καὶ [t] συνειλοχὼς ῥήματα καὶ λόγους [u] συνείρει τούτους σαφῶς καὶ ἀπνευστί, ὄνησιν μὲν οὐδεμίαν φέροντας οὐδ' ἀγαθοῦ κτῆσιν οὐδενός, συμφορὰν δὲ τῷ τυχόντι τῶν πο-
382 λιτῶν καὶ κοινὴν αἰσχύνην. καίτοι ταύτης τῆς μελέτης καὶ τῆς ἐπιμελείας [x] Αἰσχίνη, εἴπερ ἐκ ψυχῆς δικαίας ἐγίγνετο καὶ τὰ τῆς πατρίδος συμφέροντα προῃρημένης, τοὺς καρποὺς ἔδει [y] γενναίους καὶ καλοὺς καὶ πᾶσιν ὠφελίμους εἶναι, συμμαχίας πόλεων, πόρους χρημάτων, ἐμπορίου κατασκευήν, νόμων συμφερόντων θέσεις, τοῖς
383 ἀποδειχθεῖσιν ἐχθροῖς ἐναντιώματα. τούτων γὰρ ἁπάντων [z] ἦν ἐν τοῖς ἄνω χρόνοις ἐξέτασις, καὶ ἔδωκεν ὁ παρελθὼν χρόνος πολλὰς ἀποδείξεις ἀνδρὶ καλῷ [a] τε κἀγαθῷ, ἐν οἷς οὐδαμοῦ σὺ [b] φανήσει γεγονώς, οὐ πρῶτος, [c] οὐ δεύτερος, οὐ τρίτος, οὐ τέταρτος, οὐ πέμπτος, οὐχ ἕκτος, οὐχ ὁποστοσοῦν, [d] οὔκουν [e] ἐπί γε οἷς ἡ πατρὶς ηὐξάνετο.
384 τίς γὰρ συμμαχία σοῦ πράξαντος γέγονε τῇ πόλει; τίς δὲ βοήθεια ἢ [f] κτῆσις εὐνοίας ἢ δόξης; τίς δὲ πρεσβεία; τίς διακονία δι' ἣν ἡ πόλις ἐντιμοτέρα [g] γέγονε; τί τῶν 329
οἰκείων ἢ τῶν Ἑλληνικῶν καὶ ξενικῶν, [h] οἷς ἐπέστης, ἐπηνώρθωται διὰ σέ; ποῖαι τριήρεις; [i] ποῖα βέλη; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ τειχῶν; ποῖον ἱππικόν; τί τῶν ἁπάντων σὺ χρήσιμος [k] εἶ; τίς ἢ τοῖς εὐπόροις ἢ τοῖς

[t] συνειλοχὼς] συνειλεχὼς S. Q. t. συνειληχὼς Y. r. et γρ. F. συνειλοχὼς O.
[u] συνείρει] συνήιρει Y.
[x] Αἰσχίνη post μελέτης ponunt k. s.
[y] γενναίους καὶ καλοὺς] καλοὺς καὶ γενναίους Q. k. s.
[z] ἦν] καὶ k.
[a] τε om. O.
[b] φανήσει S. vulg. φανήσῃ.
[c] οὐ δεύτερος] οὐδὲ δεύτερος r.
[d] οὔκουν] οὐκοῦν k.
[e] ἐπί γ' οἷς] ἐπὶ οἷς γε O. et γρ. v. ἐπὶ οἷς γε καὶ u. ἐπὶ οἷς Y. et γρ. F. ἐπεί γ' οἷς k. ἐπεί γε καὶ F. Q. k. p. r. s. t. v.
[f] κτῆσις] κτίσις O.
[g] γέγονε om. S.
[h] οἷς] ἃς S. αἷς O. t. u. v. ἐφ' ἃ k. r. s. om. (cum ipso ἐπέστης) F. p.
[i] ποῖα βέλη] ποία βουλὴ Y.
[k] εἶ] γέγονας k. s.

ἀπόροις πολιτικὴ καὶ κοινὴ βοήθεια χρημάτων. [l] παρὰ
385 σοῦ; [m] οὐδεμία. ἀλλ', ὦ τᾶν, εἰ μηδὲν [n] τούτων, εὔνοιά
[o] γε καὶ προθυμία; ποῦ; πότε; ὅστις, ὦ πάντων ἀδι-
κώτατε, οὐδ' ὅτε ἅπαντες, ὅσοι πώποτ' ἐφθέγξαντο ἐπὶ
τοῦ βήματος, [p] εἰς σωτηρίαν ἐπεδίδοσαν, καὶ τὸ τελευ-
ταῖον Ἀριστόνικος τὸ συνειλεγμένον εἰς τὴν ἐπιτιμίαν
[q] ἀργύριον, οὐδὲ τότε [r] οὔτε παρῆλθες [s] οὔτ' ἐπέδωκας οὐ-
δέν, οὐκ ἀπορῶν, πῶς γάρ; ὅς γε κεκληρονόμηκας μὲν
[t] τῶν [u] Φίλωνος τοῦ κηδεστοῦ χρημάτων πλειόνων ἢ [x] πεν-
τεταλάντων, διτάλαντον δ' εἶχες ἔρανον δωρεὰν παρὰ
[y] τῶν ἡγεμόνων τῶν συμμοριῶν ἐφ' οἷς ἐλυμήνω τὸν τριη-
386 ραρχικὸν νόμον. ἀλλ' ἵνα μὴ λόγον ἐκ λόγου λέγων τοῦ
παρόντος ἐμαυτὸν ἐκκρούσω, παραλείψω ταῦτα. ἀλλ'
ὅτι γ' οὐχὶ δι' ἔνδειαν οὐκ [z] ἐπέδωκας, ἐκ τούτων δῆλον,
ἀλλὰ φυλάττων τὸ μηδὲν ἐναντίον γενέσθαι παρὰ σοῦ
τούτοις οἷς ἅπαντα πολιτεύῃ. ἐν τίσιν οὖν σὺ νεανίας καὶ
πηνίκα λαμπρός; ἡνίκ' ἂν [a] εἰπεῖν κατὰ τούτων [b] τι [c] δέῃ,
ἐν τούτοις λαμπροφωνότατος, μνημονικώτατος, ὑποκριτὴς
ἄριστος, τραγικὸς Θεοκρίνης.
387 Εἶτα τῶν πρότερον γεγενημένων [d] ἀνδρῶν ἀγαθῶν μέμ-
νησαι. καὶ καλῶς ποιεῖς. οὐ μέντοι δίκαιόν ἐστιν, [e] ὦ
ἄνδρες Ἀθηναῖοι, τὴν πρὸς τοὺς τετελευτηκότας εὔνοιαν

[l] παρὰ σοῦ] περὶ σοῦ s. om. S.
[m] οὐδεμία post χρημάτων ponunt k. s. om. r.
[n] τούτων] πάντων k. s.
[o] γε] τις O. u.
[p] εἰς σωτηρίαν ἐπεδίδοσαν] ἐπεδίδοσαν εἰς σωτηρίαν k. s.
[q] ἀργύριον om. S. post συνειλεγμένον ponunt F. Y. Q. O. p. r. t. u. v.
[r] οὔτε post τότε om. F.Q.s.t.v.
[s] οὔτ'] οὐδὲ Q.
[t] τῶν] τοῦ p. r.
[u] Φίλωνος] φίλων Anecd. p. 150, 22.
[x] πεντεταλάντων] πέντε ταλάντων plerique omnes.
[y] τῶν ἡγεμόνων] τοῦ ἡγεμόνος p.
[z] ἐπέδωκας] ἀπέδωκας O. u.
[a] εἰπεῖν om. pr. S. supra τι ponit rec. S. ante τι k. s.
[b] τι ante κατὰ ponunt u. v.
[c] δέῃ] δέοι F. Y. Q. O. r. t.
[d] ἀνδρῶν ἀγαθῶν] ἀγαθῶν ἀνδρῶν S. Y. Q. k. p. r. s.
[e] ὦ om. S. O. u. v.

ὑπάρχουσαν [f] προλαβόντα παρ' ὑμῶν πρὸς ἐκείνους ἐξε- 330
τάζειν καὶ παραβάλλειν ἐμὲ τὸν [g] νῦν ζῶντα μεθ' ὑμῶν.
388 τίς γὰρ οὐκ οἶδε τῶν [h] πάντων ὅτι τοῖς μὲν ζῶσι πᾶσιν
ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος, τοὺς [i] δὲ τεθνεῶ-
τας οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἔτι μισεῖ; οὕτως [k] οὖν ἐχόντων
τούτων τῇ φύσει, πρὸς τοὺς [l] πρὸ ἐμαυτοῦ νῦν ἐγὼ [m] κρί-
νωμαι καὶ θεωρῶμαι; μηδαμῶς· οὔτε γὰρ δίκαιον οὔτ'
[n] ἴσον, Αἰσχίνη, ἀλλὰ πρὸς σὲ καὶ ἄλλον [o] εἴ τινα βού-
389 λει τῶν [p] ταὐτά σοι προῃρημένων καὶ ζώντων. κἀκεῖνο
σκόπει. πότερον κάλλιον καὶ ἄμεινον τῇ πόλει διὰ τὰς
τῶν [q] πρότερον εὐεργεσίας, οὔσας ὑπερμεγέθεις, [r] οὐ μὲν
οὖν εἴποι τις ἂν ἡλίκας, τὰς ἐπὶ τὸν παρόντα βίον γιγ-
νομένας εἰς [s] ἀχαριστίαν καὶ προπηλακισμὸν ἄγειν, ἢ
πᾶσιν, ὅσοι τι μετ' εὐνοίας πράττουσι, [t] τῆς παρὰ τού-
390 των τιμῆς καὶ φιλανθρωπίας μετεῖναι; καὶ μὴν εἰ [u] καὶ
τοῦτ' ἄρα δεῖ με εἰπεῖν, ἡ μὲν ἐμὴ πολιτεία καὶ προαίρε-
σις, ἄν τις ὀρθῶς σκοπῇ, ταῖς τῶν τότ' ἐπαινουμένων
[x] ἀνδρῶν ὁμοία καὶ ταὐτὰ βουλομένη φανήσεται, ἡ δὲ
[y] σὴ ταῖς τῶν τοὺς [z] τοιούτους τότε συκοφαντούντων· δῆ-
λον γὰρ ὅτι καὶ κατ' ἐκείνους ἦσάν τινες [[a] τοὺς χρό-
νους], [b] οἳ διέσυρον [c] μὲν τοὺς ὄντας τότε, τοὺς δὲ πρότε-

[f] προλαβόντα] προσλαβόντα F. Q. k. p. r. s. t. v.
[g] νῦν ζῶντα S. Y. O. u. et correctus v. ceteri συζῶντα.
[h] πάντων] ἁπάντων s.
[i] δὲ τεθνεῶτας] τεθνεῶτας δὲ F. S. Y. O. p. r. s. t. u.
[k] οὖν om. O.
[l] πρὸ om. k. s.
[m] κρίνωμαι καὶ θεωρῶμαι] κρίνομαι καὶ θεωρῶμαι Y. Q. κρίνομαι καὶ θεωροῦμαι O. k. r. t. u. v.
[n] ἴσον] ἴσον ἐστίν Q. O. r.
[o] εἴ τινα] ὅν τινα p. r. s.
[p] ταυτὰ σοὶ] ταῦτα s.
[q] πρότερον] προτέρων s. t.
[r] οὐ μὲν] οὐδὲ μεν S. Y.
[s] ἀχαριστίαν] ἀχρηστίαν Y.
[t] τῆς om. γρ. S. παρὰ om. S. Y.
[u] καὶ post εἰ om. k. s.
[x] ἀνδρῶν om. Y.
[y] σὴ ταῖς] σὴ τίς γρ. S. Q.
[z] τοιούτους τότε] ἄλλους k. s.
[a] τοὺς χρόνους om. S. Y. post ἐκείνους ponunt Q. k. p. r. s.
[b] οἳ διέσυρον] οἱ διασύροντες F. S. Y. Q. O. p. t. u. v.
[c] μὲν om. F. S. O. p. u. v.

ρον γεγενημένους [d] ἐπῄνουν, βάσκανον πρᾶγμα [e] καὶ
391 ταὐτὸ ποιοῦντες σοί. εἶτα λέγεις ὡς οὐδὲν ὅμοιός εἰμι
ἐκείνοις ἐγώ; σὺ δ᾽ ὅμοιος, Αἰσχίνη; ὁ δ᾽ ἀδελφὸς ὁ
σός; ἄλλος δέ τις τῶν [f] νῦν ῥητόρων; ἐγὼ μὲν γὰρ οὐ-
δένα φημί. ἀλλὰ πρὸς τοὺς ζῶντας, ὦ χρηστέ, ἵνα μη-
δὲν [g] ἄλλ᾽ εἴπω, τὸν ζῶντα ἐξέταζε καὶ τοὺς [h] καθ᾽ αὑ-
τόν, ὥσπερ τἄλλα πάντα, [i] τοὺς ποιητάς, τοὺς [k] χορούς, 331
392 τοὺς ἀγωνιστάς. ὁ [l] Φιλάμμων οὐχ ὅτι Γλαύκου τοῦ Κα-
ρυστίου καί τινων [m] ἑτέρων πρότερον γεγενημένων ἀθλητῶν
ἀσθενέστερος ἦν, ἀστεφάνωτος ἐκ τῆς Ὀλυμπίας [n] ἀπῄει,
ἀλλ᾽ ὅτι τῶν [o] εἰσελθόντων πρὸς αὐτὸν ἄριστα ἐμάχετο,
ἐστεφανοῦτο καὶ νικῶν ἀνηγορεύετο. καὶ σὺ πρὸς τοὺς
νῦν ὅρα με ῥήτορας, πρὸς [p] σαυτόν, πρὸς ὅντινα βούλει τῶν
393 ἁπάντων· [q] οὐδενὶ [r] ἐξίσταμαι. ὧν, ὅτε μὲν τῇ πόλει [s] τὰ
βέλτιστα ἑλέσθαι παρῆν, ἐφαμίλλου τῆς εἰς τὴν πα-
τρίδα εὐνοίας ἐν κοινῷ πᾶσι κειμένης, ἐγὼ [t] κράτιστα
λέγων ἐφαινόμην, καὶ τοῖς ἐμοῖς [u] ψηφίσμασι καὶ νό-
μοις καὶ πρεσβείαις ἅπαντα διῳκεῖτο, ὑμῶν δὲ οὐδεὶς
394 [x] ἦν οὐδαμοῦ, πλὴν εἰ [y] τούτοις ἐπηρεάσαι τι δέοι· ἐπειδὴ
δὲ ἃ μήποτ᾽ ὤφελε συνέβη, καὶ οὐκέτι συμβούλων ἀλλὰ
τῶν τοῖς ἐπιταττομένοις ὑπηρετούντων καὶ τῶν κατὰ τῆς
πατρίδος μισθαρνεῖν ἑτοίμων καὶ τῶν κολακεύειν [z] ἑτέρους
βουλομένων ἐξέτασις [a] ἦν, τηνικαῦτα σὺ καὶ τούτων ἕκα-

[d] ἐπῄνουν] ἐπαινοῦντες p.
[e] καὶ ταυτὸ] καταυτὸ Q. et γρ. F.
[f] νῦν om. p.
[g] ἄλλο] ἄλλος O.
[h] κατ᾽ αὐτὸν Q. p. κατὰ σαυτὸν k. r. s.
[i] τοὺς ποιητὰς post χοροὺς ponit t.
[k] χοροὺς] χρόνους r.
[l] Φιλάμμων] φιλάμων O. u.
[m] ἑτέρων om. k. s.
[n] ἀπῄει] ἀπείη r.
[o] εἰσελθόντων post αὐτὸν ponit k.
[p] σαυτόν] αὐτόν k. s.
[q] οὐδενὶ] οὐδένα S. Y.
[r] Conf. Leptin. 10. Androt. 94.
[s] τὰ βέλτιστα om. k.
[t] κράτιστα] τὰ βέλτιστα k. r. s.
[u] ψηφίσμασι] καὶ ψηφίσμασι S. Y. O. t. u. v.
[x] ἦν om. F. Q. p. r.
[y] τούτοις] τούτους Q.
[z] ἑτέρους] ἕτερον Y.
[a] ἦν om. S.

στος ἐν τάξει καὶ μέγας καὶ λαμπρὸς ἱπποτρόφος, ἐγὼ
δ' ἀσθενής, ὁμολογῶ, ἀλλ' εὔνους μᾶλλον ὑμῶν [b] τουτοισί.
395 δύο δ', [c] ὦ ἄνδρες Ἀθηναῖοι, [d] ταῦτα τὸν φύσει μέτριον
πολίτην [e] ἔχειν δεῖ (οὕτω γάρ μοι περὶ ἐμαυτοῦ λέγοντι
ἀνεπιφθονώτατον εἰπεῖν), ἐν μὲν ταῖς ἐξουσίαις τὴν τοῦ
γενναίου [f] καὶ [g] τοῦ πρωτείου τῇ πόλει προαίρεσιν διαφυ-
λάττειν, ἐν παντὶ δὲ καιρῷ καὶ πράξει τὴν εὔνοιαν· τού-
του γὰρ ἡ φύσις κυρία, τοῦ [h] δὲ δύνασθαι καὶ ἰσχύειν
ἕτερα. ταύτην τοίνυν παρ' ἐμοὶ μεμενηκυῖαν εὑρήσετε ἁπ-
396 λῶς. ὁρᾶτε δέ. οὐκ ἐξαιτούμενος, οὐκ [i] Ἀμφικτυονικὰς
δίκας [k] ἐπαγόντων, [l] οὐκ ἀπειλούντων, οὐκ ἐπαγγελλο- 332
μένων, [m] οὐχὶ τοὺς καταράτους τούτους ὥσπερ θηρία μοι
προσβαλλόντων, οὐδαμῶς [n] ἐγὼ προδέδωκα τὴν εἰς ὑμᾶς
εὔνοιαν. τὸ γὰρ ἐξ ἀρχῆς εὐθὺς ὀρθὴν καὶ δικαίαν [o] τὴν
ὁδὸν τῆς πολιτείας εἱλόμην, τὰς τιμάς, τὰς δυναστείας,
τὰς εὐδοξίας [p] τὰς τῆς πατρίδος θεραπεύειν, ταύτας
397 αὔξειν, μετὰ τούτων εἶναι. οὐκ ἐπὶ μὲν τοῖς ἑτέρων εὐτυ-
χήμασι φαιδρὸς ἐγὼ καὶ γεγηθὼς κατὰ τὴν ἀγορὰν πε-
ριέρχομαι, τὴν δεξιὰν προτείνων καὶ εὐαγγελιζόμενος τού-
τοις οὓς ἂν ἐκεῖσε ἀπαγγέλλειν [q] οἴωμαι, τῶν δὲ τῆς πό-
λεως ἀγαθῶν πεφρικὼς [r] ἀκούω καὶ [s] στένων καὶ κύπτων
εἰς τὴν γῆν, ὥσπερ οἱ δυσσεβεῖς οὗτοι, οἳ τὴν μὲν πόλιν
διασύρουσιν, ὥσπερ οὐχ αὑτοὺς διασύροντες, ὅταν τοῦτο

[b] τουτοισί] τούτοις Q.
[c] ὦ om. F. S. p. v.
[d] ταῦτα om. S.
[e] ἔχειν δεῖ] δοκεῖ t.
[f] Post καὶ cum S. O. k. s. u. omisi τὴν.
[g] τοῦ ante πρωτείου om. O. k. s. u.
[h] δὲ δύνασθαι] δύνασθαι δὲ F. S. Y. Q. p. r. t. v.
[i] Ἀμφικτ.] εἰς ἀμφικτ. Y.
[k] Post ἐπαγόντων cum S. O. k. s. u. omisi μοι.
[l] οὐκ ἀπειλούντων om. pr. S.
[m] οὐχὶ] οὐχ ὅτι Q. r. οὐ k. p. s.
[n] ἐγὼ προδέδωκα] προδέδωκα ἐγὼ F. Q. p. r. t. v.
[o] τὴν ante ὁδὸν om. Q. O. p. r. u.
[p] τὰς ante τῆς om. F. Q. p. r.
[q] οἴωμαι] οἴομαι t.
[r] ἀκούω] ἀκούων Q. r.
[s] στένων] σθένων O. k.

ποιῶσιν, ἔξω δὲ βλέπουσι, καὶ ἐν οἷς ἀτυχησάντων τῶν Ἑλλήνων [t] εὐτύχησεν ἕτερος, ταῦτ᾽ ἐπαινοῦσι καὶ ὅπως τὸν ἅπαντα χρόνον [u] διαμενεῖ φασὶ δεῖν τηρεῖν.

398 Μὴ δῆτ᾽, ὦ πάντες θεοί, μηδεὶς [x] ταῦθ᾽ ὑμῶν [y] ἐπινεύσειεν, ἀλλὰ μάλιστα μὲν καὶ τούτοις βελτίω τινὰ νοῦν καὶ φρένας [z] ἐνθείητε, εἰ δ᾽ ἄρ᾽ [a] ἔχουσιν ἀνιάτως, τούτους μὲν αὐτοὺς καθ᾽ ἑαυτοὺς ἐξώλεις [b] καὶ προώλεις ἐν γῇ καὶ θαλάττῃ [c] ποιήσατε, ἡμῖν δὲ τοῖς λοιποῖς τὴν ταχίστην ἀπαλλαγὴν τῶν ἐπηρτημένων φόβων δότε καὶ σωτηρίαν ἀσφαλῆ.

[t] εὐτύχησεν ἕτερος] ἕτερος εὐτύχησεν O. k. s. u.

[u] διαμενεῖ] διαμένει Q. διαμένῃ p. r. μενεῖ S. μένει k. s.

[x] ταῦθ᾽ ὑμῶν] ὑμῶν ταῦτ᾽ O. k. s. u.

[y] ἐπινεύσειεν] ἐπαινέσειεν r.

[z] ἐνθείητε] ἐνθείη k. u.

[a] ἔχουσιν ἀνιάτως S. Y. O. k. s. u. ceteri ἔχουσιν οὕτως ἀνιάτως.

[b] καὶ προώλεις om. k. s.

[c] ποιήσατε S. k. ποιήσαιτε ceteri.

# ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Αἰσχίνης ἦν ἀνὴρ Ἀθηναῖος, υἱὸς Ἀτρομήτου καὶ Γλαυκοθέας, [a] ἀμφοτέρων ἀδόξων, ὥς φησι Δημοσθένης· τὸν μὲν γὰρ γράμματα διδάσκοντα, τὴν δὲ καθαίρουσαν καὶ τελετάς τινας [b] οὐ σπουδαίας [c] τελοῦσαν φησὶ [d] διαζῆν. παραδέδοται δὲ καὶ αὐτὸς ὁ Αἰσχίνης τραγῳδιῶν τε ὑποκριτὴς γενόμενος καὶ γραμματεὺς τῆς πόλεως, ἥτις ἦν εὐτελὴς ὑπηρεσία. ὕστερον μέντοι τῶν ῥητόρων εἷς ἐγένετο, καὶ περὶ τῆς εἰρήνης πρὸς Φίλιππον ἐπρέσβευσε. πολεμοῦντες γὰρ [e] Ἀθηναῖοι Φιλίππῳ περὶ Ἀμφιπόλεως, καὶ πολλὰ μὲν αὐτοὶ [f] δεινὰ πάσχοντες, δρῶντες δὲ οὐδὲν ἄξιον λόγου, ἐπείσθησαν ὑπὲρ εἰρήνης πρεσβεύσασθαι πρὸς [g] Φίλιππον. πέμπουσι [h] δὴ πρέσβεις δέκα τὸν ἀριθμόν, ἐν οἷς Αἰσχίνης τε καὶ Δημοσθένης ἦσαν. [i] δεξαμένου δὲ Φιλίππου [k] τὰς διαλύσεις, πάλιν οἱ αὐτοὶ πρεσβεύουσι δεύτερον, ὅπως οἱ περὶ τῆς εἰρήνης ὅρκοι γένοιντο. περὶ [l] δὴ ταῦτα τὰ πράγματα κατηγορεῖ ὁ Δημοσθένης Αἰσχίνου τρία, ὅτι Φιλοκράτους αἰσχρὰν καὶ ἀσύμφορον εἰρήνην [m] γράφοντος συνεῖπεν αὐτῷ· ὅτι τοὺς χρόνους [n] κατανάλωσε, παρ' ὃ συνέβη τὰ ἐν Θρᾴκῃ διαφθαρῆναι· ὅτι ψευδῆ πρὸς Ἀθηναίους ἀπήγγειλε, παρ' ὃ συνέβη Φωκεῖς ἀπολέσθαι· εἶπε γάρ, φησίν, ὅτι Φωκέας οὐκ ἀναιρήσει Φίλιππος, καὶ ὑμεῖς [o] τούτῳ πιστεύσαντες οὐκ ἐβοηθήσατε τοῖς ἀνδράσι. φησὶ δὲ ταῦτα πάντα ἐπὶ μισθῷ καὶ δώροις 334
τὸν Αἰσχίνην κεκακουργηκέναι. [p] ἡ στάσις περὶ οὐσίας, καὶ στοχαστική. ἡ δὲ κίνησις τῆς [q] ἔχθρας λέγεται διὰ Τίμαρχον τὸν φίλον Δημοσθένους, ὃν [r] ἠτίμωσεν [s] Αἰσχίνης κατηγορήσας ὡς κακοῦ βίου, διότι πρὸς Πιττάλακον τὸν

[a] ἀμφοτέρων ἀδόξων] ἀδόξων ἀμφοτέρων Y.

[b] οὐ om. Y.

[c] τελοῦσαν] διαγγέλλουσαν F.t.v.

[d] διαζῆν] ζῆν F.

[e] Ἀθηναῖοι] οἱ ἀθηναῖοι F.

[f] δεινὰ om. v.

[g] Φίλιππον] vulg. τὸν φίλιππον.

[h] δὴ] δὲ t.

[i] δεξαμένου] δεξάμενοι F. v.

[k] τὰς] καὶ τὰς F.

[l] δὴ t. vulg. δέ.

[m] γράφοντος Y. vulg. λέγοντος καὶ γράφοντος.

[n] κατανάλωσε Y. t. καταν(ά)ήλωσε F. vulg. κατηνάλωσε.

[o] τούτῳ] τοῦτο F.

[p] ἡ στάσις — στοχαστική] τὴν στάσιν—στοχαστικὴν F. Y. v.

[q] ἔχθρας Y. vulg. μάχης.

[r] ἠτίμωσεν] ἠτίμασεν F.

[s] Αἰσχίνης om. F.

ὀρνιθίαν, φησίν, εἰσῄει εὔμορφος ὤν, ἐπὶ τῷ [t] θεᾶσθαι τὰς μάχας τῶν ὀρνίθων, διαφθειρόμενον καὶ διαφθείροντα.

## [u] ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ.

Πόλεμος συνειστήκει Φιλίππῳ καὶ Ἀθηναίοις [x] μακρός, ἐξ οὗπερ παραβὰς τὰς πρὸς αὐτοὺς συνθήκας ἔλαβε παρ' Ὀλυνθίων Ἀμφίπολιν, οὖσαν κτῆμα τῆς πόλεως· καὶ ἣν ὑπ' Ὀλυνθίοις καθ' ὃν καιρὸν ἀπέστησαν καὶ οἱ σύμμαχοι. συνειστήκει δὲ καὶ ἕτερος Φωκεῦσι πρὸς Θετταλοὺς καὶ Θηβαίους, τοῦτο μὲν περὶ τοῦ ἱεροῦ τοῦ Πυθοῖ πρὸς Θετταλούς, τοῦτο δὲ ὑπὲρ Ὀρχομενοῦ καὶ Κορωνείας πρὸς τοὺς Θηβαίους· εὔδηλον γὰρ ἐκ τῆς ἱστορίας ὅτι τῶν μὲν παρείλοντο τὰς δύο πόλεις γειτνιώσας αὐτοῖς, Θετταλοὺς δὲ παρωσάμενοι τὴν Ἀμφικτυονίαν ἅτε ἐν μέσῃ Φωκίδι τῶν ἐν Δελφοῖς ἱερῶν [y] ἱδρυμένων. ἐπειδὴ δὲ πολὺν χρόνον ἐπολέμησαν πρὸς ἑαυτοὺς Ἀθηναῖοι καὶ Φίλιππος, τῷ χρόνῳ τὴν εἰρήνην ἑκάτεροι ποιεῖν ἐβούλοντο, ἀλλ' ὁπότερος ταῦτα προβάλλοιτο, αἰσχύνην ἔχειν ἐνόμιζον. Ἀριστόδημος δὲ καὶ Νεοπτόλεμος ὑποκριταὶ τρα- 335 γῳδίας ἐτύγχανον· οὗτοι διὰ τὴν οἰκείαν τέχνην ἄδειαν εἶχον ἀπιέναι, ὅπου ἂν βούλωνται, ἀλλὰ δὴ καὶ πρὸς πολεμίους. ἀπελθόντες οὖν οὗτοι εἰς τὴν Μακεδονίαν ἐπεδείξαντο τὴν οἰκείαν τέχνην, καὶ οὕτω φιλοφρόνως αὐτοὺς ἐδέξατο Φίλιππος, ὥστε πρὸς τοῖς ἄλλοις χρήμασι καὶ ἄλλα ἐκ τῶν οἰκείων παρεῖχεν αὐτοῖς. αἰσθόμενος δὲ μελλόντων πρεσβεύεσθαι πρὸς αὐτὸν Φωκέων καὶ Θετταλῶν καὶ Θηβαίων, ἐβουλήθη τοὺς Ἀθηναίους ἐξαπατῆσαι. καὶ ταύτης τῆς προφάσεως δραξάμενος Φίλιππος, ἀπολύων Ἀριστόδημον καὶ Νεοπτόλεμον, ἔλεγεν αὐτοῖς ὅτι φίλος εἰμὶ Ἀθηναίοις. συνέβη δὲ πάλιν τι τοιοῦτον γενέσθαι. Φρύνων τις Ἀθηναῖος ἀπιὼν Ὀλυμπιᾶσιν ἀγωνισόμενος ἢ θεασόμενος, ἐκρατήθη ὑπό τινων στρατιωτῶν τοῦ Φιλίππου ἐν ἱερομηνίᾳ, καὶ ἀφῃρέθη πάντα τὰ αὐτοῦ. καὶ ἐλθὼν εἰς Ἀθήνας παρεκάλει τοὺς Ἀθηναίους, ἵνα χειροτονήσωσιν αὐτὸν πρεσβευτήν, ὅπως ἀπελθὼν πρὸς Φίλιππον λάβῃ ἅπερ ἀφῃρέθη· καὶ πεισθέντες Ἀθηναῖοι ἐχειροτόνησαν αὐτὸν καὶ Κτησιφῶντα. καὶ ἐλθόντων αὐτῶν εἰς Μακεδονίαν φιλοφρόνως αὐτοὺς ἐδέξατο ὁ Φίλιππος, ὥστε καὶ τὰ ἀφαιρεθέντα ὑπὸ τῶν στρατιωτῶν πάντα ἀποδοῦναι αὐτῷ καὶ ἐκ τῶν οἰκείων ἄλλα ἐπιδοῦναι, καὶ ἀπολογεῖσθαι ὅτι ἠγνόουν οἱ στρατιῶται ὅτι ἱερομηνία ἐστί. καὶ τούτοις πάλιν ὁμοίως ἔλεγεν ὡς φίλος εἰμὶ Ἀθηναίοις. καὶ ἐλθόντες εἰς τὴν Ἀττικὴν τὰ αὐτὰ τοῖς ἄλλοις ἀπήγγειλαν. ταῦτα ἀκούσαντες Ἀθηναῖοι ἐβούλοντο μαθεῖν, εἰ μετ' ἀληθείας εἰρήνην ἄγειν βούλεται Φίλιππος. καὶ δὴ χειροτονοῦσι δέκα πρέσβεις. εἰσὶ δ' οὗτοι Κτησιφῶν, Ἀρι- 336 στόδημος, Ἰατροκλῆς, Κίμων, Ναυσικλῆς, Δέρκυλλος, Φρύνων, Φιλοκράτης, Αἰσχίνης, Δημοσθένης. πέμπουσι δὲ τούτους εἰς Μακεδονίαν, ἵνα μάθωσιν εἰ μετ' ἀληθείας βούλεται εἰρήνην ἄγειν ὁ Φίλιππος· καὶ εἰ ἀληθές ἐστιν, ἐνέγ-

[t] θεᾶσθαι] θεάσασθαι F.

[u] Alterum argumentum meis codicibus deest.

[x] μακρός] vulg. μικρός.

[y] ἱδρυμένων] vulg. ἱδρυμένην.

και παρ' αὐτοῦ πρέσβεις τοὺς ληψομένους τοὺς ὅρκους. ἀπελθόντων οὖν τῶν δέκα πρέσβεων, ὧν ἦν καὶ Δημοσθένης, ἤγαγον ἀπὸ τοῦ Φιλίππου τρεῖς πρέσβεις, Ἀντίπατρον, Παρμενίωνα καὶ Εὐρύλοχον, ὀφείλοντας λαβεῖν τοὺς ὅρκους. συναγομένων δὲ τῶν συμμάχων τῶν Ἀθηναίων ἐπὶ τῷ παρασχεῖν τοὺς ὅρκους χρόνος παρήρχετο. καὶ γινώσκων τὴν φύσιν τοῦ Φιλίππου ὁ Δημοσθένης, ὡς ἀεὶ καταστρεφομένου καὶ ἐπηρεάζοντος, λέγει τοῖς Ἀθηναίοις ταχέως δοῦναι τοὺς ὅρκους, καὶ μὴ παρόντος Κερσοβλέπτου· ἔλεγε γὰρ ὅτι εἰς τὴν Θρᾴκην ἀπερχομένων ἡμῶν παρέξει τοὺς ὅρκους ὁ Κερσοβλέπτης. ἰστέον δὲ ὅτι Δημοσθένης ἀπῆλθεν ἐν τῇ δευτέρᾳ πρεσβείᾳ διὰ τοιαύτην πρόφασιν· ἀπελθὼν γὰρ εἰς τὴν πρώτην πρεσβείαν, εὗρεν ἐν Μακεδονίᾳ τινὰς τῶν Ἀθηναίων αἰχμαλώτους, καὶ ὑπέσχετο φέρειν ἐκ τῶν ἰδίων χρημάτων καὶ ῥύσασθαι αὐτούς, οὐκ ἠδύνατο δὲ τοῦτο ποιῆσαι, εἰ μὴ ἐν προσχήματι πρεσβευτοῦ. ἔλεγε δὲ τὴν πρεσβείαν ἀπελθεῖν πλῷ διὰ τὸ αὐτοὺς ταχέως ἀπελθεῖν· καὶ ὅπου ἂν ὄντα πύθωνται Φίλιππον, δεῖ αὐτοὺς ἀπελθεῖν καὶ ἐκεῖσε τοὺς ὅρκους λαβεῖν. οἱ δὲ μὴ πεισθέντες πεζῇ ἀπῆλθον, καὶ εἰς Μακεδονίαν ἀπελθόντες ἐκάθισαν ὅλους τρεῖς μῆνας, ἕως οὗ πολλὰ τῶν Ἀθη- 337 ναίων χωρία καταστρέψας ὑπέστρεφε Φίλιππος, ἐν οἷς καὶ Κερσοβλέπτης. καὶ ἐλθὼν οὐκ εὐθὺς παρέσχεν αὐτοῖς τοὺς ὅρκους, ἀλλ' εἵλκυσεν αὐτούς, ἕως ηὐτρέπισε τὴν ἐπὶ Φωκέας στρατείαν, καίτοι πρεσβευσαμένων πρὸς αὐτὸν Φωκέων περὶ διαλύσεως τοῦ πολέμου. καὶ ἐξελθόντος αὐτοῦ ἐπὶ τοὺς Φωκέας, ἀντὶ τοῦ παρασχεῖν ἐν ἱερῷ τοὺς ὅρκους, ἐν πανδοχείῳ παρέσχε λέγων οὕτω "σπένδομαι Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις, χωρὶς Ἀλέων καὶ Φωκέων." ἔλεγε γὰρ ὅτι οἱ Ἀλεῖς ἐχθροὶ ἦσαν τῶν φίλων μου, τῶν Φαρσαλίων· Φωκεῦσι δὲ οὐ σπένδομαι, ἐπειδήπερ ἠσέβησαν εἰς τὸ ἱερόν. ἐλθούσης οὖν τῆς δευτέρας πρεσβείας εἰς τὴν Ἀττικὴν ὁ Δημοσθένης ἐστασίαζε, λέγων ὅτι οὐκ ἀρέσκει μοι τὰ ὑπὸ Φιλίππου δεδογμένα. ὁ δὲ Αἰσχίνης ἔλεγεν ὅτι ταῦτα εἶπε Φίλιππος ἐν τῷ φανερῷ· ἐμοὶ δὲ εἶπεν εἰς τὸ οὖς, ὅτι "πλὴν Ἀλέων καὶ Φωκέων εἶπον, ἵνα μὴ μαθόντες Θηβαῖοι παραφυλάξωνται· αὐτοὺς γὰρ εἰσερχόμενος ἀπολέσω, τούτους δὲ σώσω." οἱ δὲ Ἀθηναῖοι πεισθέντες Αἰσχίνῃ ἐχειροτόνησαν τρίτην πρεσβείαν, βουλόμενοι μαθεῖν εἰ φυλάττει Φίλιππος τὰ ὑπ' Αἰσχίνου λεχθέντα. καὶ ἐξωμόσατο Δημοσθένης μήτε πρεσβεῦσαι μήτε κοινωνεῖν, εἴτε καλῶς εἴτε κακῶς πράξει ἡ πρεσβεία. καὶ τότε φοβηθεὶς ὁ Αἰσχίνης, μήποτε μένων ὁ Δημοσθένης πέμψαι πείσει τὸν δῆμον τοῖς Φωκεῦσι βοήθειαν, προσεποιήσατο, ὡς λέγει Δημοσθένης, ἀῤῥωστεῖν. καὶ τότε ὁ ἀδελφὸς αὐτοῦ Εὔνομος ἦλθεν ἔχων ἰατρὸν καὶ ὀμνύων ὅτι ἀῤῥωστεῖ Αἰσχίνης. καὶ αὐτὸν τὸν Εὔνομον ἀντὶ τούτου ἐχειροτό- 338 νησεν ὁ δῆμος πρεσβευτήν. καὶ ἀπελθόντων τούτων τῶν πρέσβεων, ὡς κατέλαβον Εὔβοιαν, ἤκουσαν ὅτι Φωκέας κατεστρέψατο ὁ Φίλιππος, καὶ μετ' αἰσχύνης ὑπέστρεψαν. ἐλθούσης δὲ τῆς τρίτης πρεσβείας εἰς τὴν Ἀττικὴν Αἰσχίνης αὐτοχειροτόνητος πρεσβευτὴς ἀπῆλθε πρὸς Φίλιππον, ὡς λέγει Δημοσθένης.

Ἰστέον δὲ ὅτι μετὰ τὴν πρεσβείαν ἕκαστος τῶν πρέσβεων εὐθύνας ἐδίδου.
καὶ ἡ μὲν πρώτη πρεσβεία παρέσχεν εὐθύνας οὕτω καλῶς, ὥστε τὸν Δημο-
σθένην γράψαι καλέσαι αὐτοὺς ἐπ' ἄριστον· ἔθος γὰρ ἦν τοὺς καλῶς πρεσ-
βευσαμένους εἰς δημόσιον ἄριστον καλεῖσθαι. ἀποροῦσι δέ τινες ὅτι, εἰ ἠπί-
στατο Δημοσθένης ὅτι προδόται ἦσαν, διὰ τί ἐποίησεν αὐτοὺς κληθῆναι εἰς
δημόσιον ἄριστον; καὶ λέγομεν ὅτι μετὰ τὸ ἄριστον ἔγνω τὸν σκοπὸν αὐτῶν.
τῶν δὲ τῆς δευτέρας πρεσβείας μόνος ὁ Δημοσθένης δέδωκεν εὐθύνας. μέλλον-
τος δὲ τοῦ Αἰσχίνου παρέχειν, ἐπέστη Τίμαρχος καὶ Δημοσθένης κατηγορή-
σοντες τούτου. καὶ ᾔτησεν Αἰσχίνης ἀνάκρισιν γενέσθαι, καὶ γενομένης ἀνα-
κρίσεως ἔδειξε Τίμαρχον ἡταιρηκότα, καὶ ἐξέβαλον αὐτόν· νόμος γὰρ ἦν τὸν
ἡταιρηκότα μὴ πολιτεύεσθαι. εἶτα ἐπέστη κατηγορήσων ὁ Δημοσθένης. καὶ
λέγουσί τινες, πῶς ἐνταῦθα μέμνηται τῆς τρίτης πρεσβείας; λέγομεν δ' ὅτι
μετὰ τρία ἔτη τῆς γραφῆς εἰσῆλθεν ἔχων τὴν κατηγορίαν. γενομένης γὰρ τῆς
δευτέρας πρεσβείας, μαθόντες οἱ Ἀθηναῖοι τὴν τῶν Φωκέων ἀπώλειαν, ἐσκευ-
αγώγουν ἐκ τῶν ἀγρῶν καὶ ἐν πολλῷ θορύβῳ ἦσαν· καὶ μετὰ τρία ἔτη εἰσῆλ- 339
θεν ὁ Δημοσθένης κατηγορήσων Αἰσχίνου, καὶ κρίνει αὐτὸν διὰ δύο ἐγκλήματα,
διὰ τὴν ἀπώλειαν τῶν Φωκέων καὶ διὰ δωροδοκίαν. ἰστέον δὲ ὅτι προηγούμενόν
ἐστιν ἔγκλημα, ὅτι Φωκεῖς ἀπολώλασιν. πρὸς σύστασιν τούτου δεύτερον ἐνέ-
κυψε ζήτημα, ὅτι ἐπὶ χρήμασιν Αἰσχίνῃ τοῦτο τετόλμηται, ὡς σύστασιν
γίνεσθαι τοῦ προτέρου ἐγκλήματος τοῦ κατὰ Φωκέας. τεκμήριά ἐστι τοῦ πά-
λαι ταῦτα ἐσκευωρῆσθαι καὶ κατεσκευάσθαι, δι' ὧν ἅμα καὶ προαναιρεῖ τὸ
χρῶμα Αἰσχίνου, καταφεύγοντος ἐπὶ ἄγνοιαν καὶ συγγνώμην. καὶ τούτων τὰ
μὲν ἐκ τῶν παρειμένων εἴληφε, τὰ δὲ ἐκ τῶν πεπραγμένων. συνεῖπε γὰρ Φι-
λοκράτει ἄνευ Φωκέων γράφοντι τὴν εἰρήνην. οὐκ ἔλαβεν ὅρκους παρὰ Θεττα-
λῶν συμμαχούντων Φιλίππῳ, οἳ οὐκ ἂν συνεστράτευσαν ἐπὶ Φωκέας, εἴπερ
δεδωκότες ἦσαν τοὺς ὅρκους. ἐνέδωκε Φιλίππῳ χρόνῳ παρασκευάσασθαι τὴν
ἐπὶ Φωκέας στρατείαν· διέτριψε γὰρ ἐκεῖνος τοὺς χρόνους ἐξεπίτηδες ἀναλί-
σκων, ἵνα μὴ περιπλεύσας ὁ δῆμος κλείσῃ τὰς Πύλας. ἐξηπάτησε τὴν πόλιν
ἐπανελθὼν ἐπίτηδες διτταῖς ἐλπίσι, μιᾷ μὲν ὅτι [2] Θηβαῖοι ἀπολοῦνται, ἑτέρᾳ
δὲ ὅτι Φωκεῖς σωθήσονται, ὥστε μὴ ἐγγενέσθαι βουλεύσασθαί τι δεξιὸν ὑπὲρ
Φωκέων· εἶπε γὰρ δεῖν Φιλίππῳ πιστεύειν· σώσειν γὰρ αὐτοὺς τῇ πόλει ἐπηγ-
γείλατο. καὶ τοῦ μὲν προτέρου ταῦτα τεκμήρια. τοῦ δὲ δευτέρου τοῦ περὶ τῶν
δώρων, ἐν ᾧ δείκνυται ὅτι χρήματα εἴληφεν Αἰσχίνης, ταῦτα τεκμήρια· ὧν
ὁμοίως τὰ μὲν ἐκ τῶν παρειμένων ἐστί, τὰ δὲ ἐκ τῶν πεπραγμένων. οὐ μισεῖ
Φίλιππον, καίπερ ἐξαπατηθεὶς ὑπ' αὐτοῦ, ὥς φησι. συνεῖπε Φιλίππῳ γενέσθαι 340
Ἀμφικτύονα, πρεσβευσαμένων περὶ αὐτοῦ τῶν Ἀμφικτυόνων. σύνεστιν ἀεὶ
Φιλοκράτει χρήματα εἰληφότι. καλούμενος ἐπὶ μαρτυρίαν, ἡνίκα Ὑπερίδης
εἰσήγγειλε Φιλοκράτην, παρὼν οὐκ ἐφθέγξατο. χειροτονηθεὶς πρεσβευτὴς ἐπὶ

[2] Θηβαῖοι vulg. om.

τὴν Φωκίδα πρὸς Φίλιππον ἐπὶ ταῖς ὑποσχέσεσιν ἀῤῥωστεῖν προσεποιήσατο. ἁλόντων Φωκέων ἐπὶ τὴν ἐξωμοσίαν ἀχειροτόνητος πορεύεται, ὅτε καὶ φυλάξασθαι αὐτὸν ἐχρῆν. ταῦτα τὰ τεκμήρια τοῦ δευτέρου λόγου. ἔστι δὲ τούτων τὸ ἰσχυρότερον, καὶ οὗ μάλιστα ἀντέχεται, ἡ ἐπαγγελία καὶ ἡ ὑπόσχεσις Αἰσχίνου ἡ περὶ Θηβαίων καὶ Φωκέων.

Ἡ μὲν ὑπόθεσις τοῦ λόγου στοχαστική· οὐ γὰρ συντρέχει τοῖς ἐγκαλουμένοις Αἰσχίνης, ἀλλ' ἀρνεῖται παντάπασι. τὸ δὲ εἶδος οἱ μὲν ἁπλοῦν νενομίκασιν, ὕλης πολλῆς ὡς ἐν ἀληθείᾳ συνδραμούσης, οἱ δὲ συγκατασκευαζόμενον, δύο λαβόντες ἐγκλήματα, τὸ κατὰ Φωκέας καὶ Θρᾴκην. Μένανδρος δὲ ἐμπίπτοντά φησιν. εἴληπται δὲ ἐκ διαβολῆς τὸ προοίμιον· δι' ὧν γὰρ αὐτὸν δεδιότα ποιεῖ καὶ δεόμενον, διὰ τούτων δείκνυσιν οὐ πάνυ τοῖς δικαίοις τεθαῤῥηκότα. καὶ ἅμα συγκρουστικὸν ἂν εἴη τὸ νόημα ἐκ διαβολῆς τοῦ τε ἀντιδίκου καὶ τῶν συνηγόρων αὐτοῦ, οἷον τοῦ Εὐβούλου καὶ τῶν περὶ αὐτόν· ἀεὶ γὰρ ὁ Εὔβουλος ἐπολέμει τῷ Δημοσθένει ἀπὸ τῆς αἰτίας τῆς κατὰ Ἀρίσταρχον, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Μειδίου.

ΟΣΗ μὲν ὦ ἄνδρες Ἀθηναῖοι σπουδὴ περὶ [a] τουτονὶ τὸν 341
ἀγῶνα καὶ παραγγελία γέγονε, σχεδὸν [b] οἶμαι πάντας ὑμᾶς ᾐσθῆσθαι, [c] ἑωρακότας ἄρτι τοὺς ὅτε ἐκληροῦσθε ἐνοχλοῦντας καὶ [d] προσιόντας [e] ὑμῖν. δεήσομαι δὲ πάντων ὑμῶν, ἃ καὶ τοῖς μὴ δεηθεῖσι δίκαιόν ἐστιν ὑπάρχειν, μηδεμίαν μήτε χάριν μήτ' ἄνδρα ποιεῖσθαι περὶ πλείονος ἢ τὸ δίκαιον καὶ τὸν ὅρκον ὃν εἰσελήλυθεν [f] ὑμῶν ἕκαστος ὀμωμοκώς, [g] ἐνθυμουμένους ὅτι ταῦτα μέν ἐστιν ὑπὲρ ὑμῶν καὶ ὅλης τῆς πόλεως, αἱ δὲ τῶν παρακλήτων αὗται δεήσεις καὶ σπουδαὶ τῶν [h] ἰδίων πλεονεξιῶν ἕνεκα γίγνονται, ἃς ἵνα κωλύηθ' οἱ νόμοι [i] συνήγαγον ὑμᾶς, οὐχ ἵνα
2 κυρίας τοῖς ἀδικοῦσι ποιῆτε. τοὺς μὲν [k] οὖν ἄλλους, ὅσοι πρὸς τὰ κοινὰ δικαίως προσέρχονται, κἂν δεδωκότες ὦσιν

[a] τουτονὶ] τοῦτον Y. k.
[b] οἶμαι F. S. Y. Q. O. k. r. s. t. u. v. vulg. οἴομαι.
[c] ἑωρακότας] ἑορακότας Y.
[d] προσιόντας] προϊόντας (σ superscript) S.
[e] ὑμῖν om. pr. t.
[f] ὑμῶν ἕκαστος S. Y. vulg. ἕκαστος ὑμῶν.
[g] ἐνθυμουμένους] ἐνθυμούμενος v.
[h] ἰδίων om. pr. S. Y.
[i] συνήγαγον] συνηγον rec. S.
[k] οὖν om. k.

εὐθύνας, τὴν ἀειλογίαν ὁρῶ προτεινομένους, τουτονὶ δ' Αἰσχίνην πολὺ τἀναντία [l]τούτου· πρὶν γὰρ [m]εἰσελθεῖν εἰς ὑμᾶς καὶ λόγον δοῦναι τῶν πεπραγμένων τὸν μὲν ἀνῄρηκε τῶν ἐπὶ τὰς εὐθύνας ἐλθόντων, τοῖς δ' ἀπειλεῖ περιιών, δεινότατον πάντων ἔθος εἰς τὴν πολιτείαν εἰσάγων [n]καὶ ἀσυμφορώτατον ὑμῖν· εἰ γὰρ ὁ πράξας τι τῶν κοινῶν καὶ διοικήσας [o]τῷ καθ' ἑαυτὸν φόβῳ καὶ μὴ τῷ δικαίῳ [p]κατασκευάσει μηδένα εἶναι κατήγορον αὑτοῦ, παντάπασιν 342 ἄκυροι πάντων ὑμεῖς γενήσεσθε.

3 Τὸ μὲν οὖν [q]ἐξελέγξειν πολλὰ καὶ δεινὰ [r]πεποιηκότα τουτονὶ καὶ τῆς ἐσχάτης [s]ὄντα τιμωρίας ἄξιον θαῤῥῶ καὶ πάνυ πιστεύω· ὃ δὲ καίπερ ὑπειληφὼς ταῦτα φοβοῦμαι, φράσω πρὸς ὑμᾶς καὶ οὐκ [t]ἀποκρύψομαι, ὅτι μοι δοκοῦσιν ἅπαντες οἱ παρ' [u]ὑμῖν ἀγῶνες οὐχ ἧττον ὦ [x]ἄνδρες Ἀθηναῖοι τῶν καιρῶν ἢ τῶν πραγμάτων εἶναι, καὶ τὸ χρόνον γεγενῆσθαι μετὰ τὴν πρεσβείαν πολὺν δέδοικα, μή τινα λήθην ἢ συνήθειαν τῶν ἀδικημάτων ὑμῖν [y]ἐμπεποιήκῃ. 4 ὡς δή μοι [z]δοκεῖτ' ἂν ὅμως ἐκ [a]τούτων καὶ γνῶναι τὰ δίκαια καὶ δικάσαι νυνί, [b]τοῦθ' ὑμῖν λέξω· εἰ [c]σκέψαισθε παρ' ὑμῖν αὐτοῖς, ὦ ἄνδρες [d]δικασταί, καὶ

[l] τούτου F.S.Y.r. vulg. τούτων.
[m] εἰσελθεῖν] ἐλθεῖν O.
[n] καὶ ἀσυμφορώτατον ὑμῖν vulg. post ἔθος ponunt.
[o] τῷ] τὸ s.
[p] κατασκευάσει] κατασκευάσοι O. k. u.
[q] ἐξελέγξειν S.Q. ἐξελέγξειν (χ) F.t. ceteri ἐξελέγχειν.
[r] πεποιηκότα] πεπλημμεληκότα r.
[s] ὄντα τιμωρίας] τιμωρίας ὄντα r.
[t] ἀποκρύψομαι] ἀποκρυψομαι (τρέψομαι) r. ἀποτρεψομαι (κρυ) k. ἀποτρέψομαι s.
[u] ὑμῖν] ὑμῶν t. u. v.
[x] ἄνδρες om. k.
[y] ἐμπεποιήκῃ] ἐμπεποιήκει k. t. u. πεποιήκῃ pr. S.
[z] δοκεῖτ'] δοκοῖτ' O. k. t. u. v. δόξετε r.
[a] τούτων] τούτου O. r. s. u.
[b] τοῦθ' S.Y.O.u.v. ταῦθ' (ου) F. ceteri ταῦθ'.
[c] σκέψαισθε] σκέψασθε S. σκέψεσθε O.k.u. σκέψασθε (αι) r. σκεψάσθε s.
[d] δικασταί] ἀθηναῖοι u. om. k.r.

[e] λογίσαισθε τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσ-
βευτοῦ λαβεῖν. πρῶτον [f] μὲν τοίνυν ὧν ἀπήγγειλε, δεύτε-
ρον δὲ ὧν ἔπεισε, τρίτον δὲ ὧν προσετάξατε αὐτῷ, [g] μετὰ
ταῦτα [h] τῶν χρόνων, ἐφ' ἅπασι δὲ τούτοις, εἰ ἀδωροδοκή-
5 τως ἢ μὴ [i] πάντα ταῦτα πέπρακται. τί δήποτε [k] τούτων;
ὅτι ἐκ μὲν τῶν ἀπαγγελιῶν τὸ [l] βουλεύσασθαι περὶ τῶν
[m] πραγμάτων ὑμῖν ἐστίν· [n] ἂν μὲν οὖν ὦσιν ἀληθεῖς, τὰ
δέοντα ἔγνωτε, [o] ἂν δὲ μὴ τοιαῦται, τἀναντία. τὰς δὲ
συμβουλίας πιστοτέρας ὑπολαμβάνετ' εἶναι τὰς τῶν
πρέσβεων· ὡς γὰρ εἰδότων περὶ ὧν [p] ἐπέμφθησαν ἀκούετε·
οὐδὲν οὖν ἐξελέγχεσθαι δίκαιός ἐστιν ὁ πρεσβευτὴς φαῦ-
6 λον οὐδ' ἀσύμφορον ὑμῖν συμβεβουλευκώς. καὶ μὴν περὶ
ὧν γε προσετάξατ' εἰπεῖν ἢ πρᾶξαι καὶ διαῤῥήδην [q] ἐψη-
φίσασθε ποιῆσαι, προσήκει διῳκηκέναι. εἶεν· [r] τῶν δὲ δὴ
χρόνων διὰ τί; ὅτι πολλάκις ὦ ἄνδρες Ἀθηναῖοι συμ- 343
βαίνει πολλῶν πραγμάτων καὶ μεγάλων καιρὸν ἐν βρα-
χεῖ χρόνῳ γίγνεσθαι, ὃν [s] ἐάν τις ἑκὼν καθυφῇ τοῖς ἐναν-
τίοις καὶ προδῷ, οὐδ' ἂν ὁτιοῦν ποιῇ πάλιν οἷός τ' [t] ἔσται
7 σῶσαι. ἀλλὰ μὴν ὑπέρ γε τοῦ προῖκα ἢ μή, τὸ μὲν ἐκ
τούτων λαμβάνειν, ἐξ ὧν ἡ πόλις βλάπτεται, [u] πάντες
οἶδ' ὅτι φήσαιτ' ἂν εἶναι δεινὸν καὶ πολλῆς ὀργῆς ἄξιον·

[e] λογίσαισθε] λογίσεσθε k. s. u. λογίσασθαι S. λελόγισθε O.

[f] μὲν om. Q.

[g] μετὰ ταῦτα] εἶτα O. r. s. u. εἶτα δὲ k.

[h] τῶν χρόνων] χρόνων (articulo in γρ. posito) Q. τὸν χρόνον O. k. u.

[i] πάντα om. u. post ταῦτα ponunt O. k. r. s.

[k] τούτων] τούτων ἑκάστου k. r. s. et rec. margo t. τούτων ἕκαστον rec. S.

[l] βουλεύσασθαι] βουλεύεσθαι k. r. s. u.

[m] πραγμάτων ὑμῖν S. et γρ. Q. vulg. πραγμάτων ὀρθῶς ὑμῖν.

[n] ἂν μὲν] ἐὰν μὲν O. k. s. u.

[o] ἂν δὲ] ἐὰν δὲ O. k. r. s. u.

[p] ἐπέμφθησαν] vulg. ἐξεπέμφθησαν.

[q] ἐψηφίσασθε] ψηφίσασθε O. ψηφίσασθαι u.

[r] τῶν—χρόνων] τὸν — χρόνον O. k. u.

[s] ἐάν] ἂν S.

[t] ἔσται] ἐστι Q. r.

[u] πάντες οἶδ' S. Y. ceteri πάντες εὖ οἶδ'.

ὁ μέντοι τὸν νόμον τιθεὶς οὐ διώρισε τοῦτο, ἀλλ' ἁπλῶς
[x] εἶπε μηδαμῶς δῶρα λαμβάνειν, ἡγούμενος, ὡς ἐμοὶ δο-
κεῖ, τὸν ἅπαξ [y] λαβόντα καὶ διαφθαρέντα ὑπὸ χρημάτων
οὐδὲ κριτὴν ἔτι τῶν συμφερόντων ἀσφαλῆ μένειν [z] τῇ πό-
8 λει. ἂν μὲν τοίνυν [a] ἐξελέγξω καὶ δείξω σαφῶς Αἰσχίνην
τουτονὶ καὶ μηδὲν ἀληθὲς ἀπηγγελκότα καὶ κεκωλυκότα
ἐμοῦ τὸν δῆμον ἀκοῦσαι τἀληθῆ, καὶ πάντα τἀναντία τῶν
συμφερόντων [b] ὑμῖν [c] συμβεβουλευκότα, καὶ μηδὲν ὧν
προσετάξατε ἐν τῇ πρεσβείᾳ [d] πεποιηκότα, καὶ [e] ἀνηλω-
κότα τοὺς χρόνους ἐν οἷς πολλῶν καὶ μεγάλων πραγμά-
των καιροὶ προεῖνται τῇ πόλει, καὶ πάντων τούτων δῶρα
καὶ μισθοὺς εἰληφότα μετὰ Φιλοκράτους, καταψηφί-
σασθε αὐτοῦ καὶ δίκην ἀξίαν τῶν ἀδικημάτων λάβετε·
[f] ἂν δὲ μὴ δείξω ταῦτα ἢ μὴ πάντα, ἐμὲ μὲν φαῦλον
ἡγεῖσθε, [g] τουτονὶ [h] δὲ ἄφετε.

9 Πολλὰ δὲ καὶ δεινὰ κατηγορεῖν ἔχων ἔτι πρὸς τούτοις ἕτερα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐξ ὧν [i] οὐκ ἔσθ' ὅστις ἂν οὐκ εἰκότως μισήσειεν αὐτόν, βούλομαι πρὸ πάντων ὧν μέλλω λέγειν μνημονεύοντας ὑμῶν [k] οἶδ' ὅτι [l] τοὺς πολλοὺς ὑπομνῆσαι, [m] εἰς τίνα τάξιν [n] ἑαυτὸν ἔταξεν Αἰσχίνης ἐν τῇ πολιτείᾳ τὸ πρῶτον καὶ τίνας λόγους κατὰ τοῦ Φιλίππου δημηγορεῖν ᾤετο δεῖν, ἵν' εἰδῆθ' ὅτι τοῖς ὑφ' ἑαυτοῦ πεπρα- 344

[x] εἶπε] ἀπεῖπεν γρ. S. Y. Q.
[y] λαβόντα] λαμβάνοντα k. s.
[z] τῇ] ἐν τῇ F. Q.
[a] ἐξελέγξω] ἐλέγξω Q.
[b] ὑμῖν om. S.k.s. τῇ πόλει rec. S.
[c] συμβεβουλευκότα] βεβουλευκότα Q.
[d] πεποιηκότα] ποιήσαντα S. Y.
[e] ἀνηλωκότα] ἀνηλωκότα F.
[f] ἂν] ἐὰν O. k. r. s.
[g] τουτονὶ] τοῦτον S. Y.
[h] δὲ om. Q.
[i] οὐκ ἔσθ' ὅστις ἂν οὐκ] ὅστις ἂν οὖν k. s. u.
[k] οἶδ'] εὖ οἶδ' O. k. r. s. u.
[l] τοὺς om. k. r. s.
[m] εἰς om. s.
[n] ἑαυτὸν ἔταξεν S.Y. ceteri ἔταξεν ἑαυτόν.

γμένοις [o] καὶ δεδημηγορημένοις ἐν ἀρχῇ [p] μάλιστα ἐξε-
10 λεγχθήσεται δῶρα ἔχων. ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθη-
ναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν ἔφη, ἐπι-
βουλεύοντα τοῖς Ἕλλησι καὶ διαφθείροντά τινας τῶν ἐν
[q] Ἀρκαδίᾳ προεστηκότων, καὶ ἔχων [r] Ἴσχανδρον τὸν Νεοπ-
τολέμου δευτεραγωνιστὴν [s] προσιὼν μὲν τῇ βουλῇ, προσιὼν
δὲ τῷ δήμῳ περὶ τούτων, καὶ πείσας [t] ὑμᾶς [u] πανταχοῖ
πρέσβεις [x] πέμψαι τοὺς συνάξοντας δεῦρο τοὺς βουλευ-
11 σομένους περὶ τοῦ πρὸς Φίλιππον πολέμου, καὶ [y] ἀπαγ-
γέλλων μετὰ ταῦθ' ἥκων ἐξ Ἀρκαδίας τοὺς [z] καλοὺς
ἐκείνους καὶ μακροὺς λόγους, οὓς ἐν τοῖς μυρίοις ἐν Με-
γάλῃ πόλει πρὸς Ἱερώνυμον τὸν ὑπὲρ Φιλίππου λέγοντα
ὑπὲρ [a] ὑμῶν ἔφη δεδημηγορηκέναι, καὶ [b] διεξιὼν ἡλίκα
τὴν Ἑλλάδα πᾶσαν, οὐχὶ τὰς ἰδίας ἀδικοῦσι μόνον πα-
τρίδας οἱ δωροδοκοῦντες καὶ χρήματα λαμβάνοντες παρὰ
12 Φιλίππου. ἐπειδὴ τοίνυν ταῦτα πολιτευομένου τούτου τότε
καὶ τοῦτο [c] τὸ δεῖγμα ἐξενηνοχότος περὶ αὑτοῦ, [d] τοὺς
[e] περὶ τῆς εἰρήνης πρέσβεις πέμπειν ὡς Φίλιππον ἐπείσ-
θητε ὑπ' Ἀριστοδήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶν-
τος καὶ τῶν ἄλλων τῶν ἐκεῖθεν [f] ἀπαγγελλόντων οὐδ'
ὁτιοῦν ὑγιές, γίγνεται τῶν πρέσβεων τούτων εἷς καὶ
οὗτος, οὐχ ὡς τῶν ἀποδωσομένων τὰ [g] ὑμέτερα οὐδ' ὡς

[o] καὶ δεδημηγορημένοις] καὶ δεδημιουργημένοις O. u. om. k. s.

[p] μάλιστα] vulg. τούτοις μάλιστα πάντων. sed τούτοις om. F.S.Y.Q. t. u. μάλιστα om. F.S.Y.Q.O.s.

[q] Ἀρκαδίᾳ] καρδία pr. t.

[r] Ἴσχανδρον] ἴσχναδρον u. ἴχναδρον O.

[s] προσιὼν μὲν τῇ βουλῇ om. Q.

[t] ὑμᾶς] ἡμᾶς O. k. u.

[u] πανταχοῖ S. πανταχοῦ F.Y.Q. t.v. vulg. πανταχῇ.

[x] πέμψαι] πέμπειν F. Q. t. v.

[y] ἀπαγγέλλων] ἐπαγγέλλων u.

[z] καλοὺς — μακροὺς] μακροὺς — καλοὺς O. k. s. u.

[a] ὑμῶν] ἡμῶν O. k. u.

[b] διεξιὼν] ἐξιων pr. S.

[c] τὸ post τοῦτο om. F. Q.

[d] τοὺς om. v.

[e] περὶ] ὑπὲρ s.

[f] ἀπαγγελλόντων] ἀπαγγελόντων t.

[g] ὑμετέρα] ἡμέτερα O. k. u.

τῶν πεπιστευκότων [h] τῷ Φιλίππῳ, ἀλλ᾽ ὡς τῶν φυλα-
ξόντων τοὺς ἄλλους· διὰ γὰρ τοὺς προειρημένους λόγους
καὶ τὴν πρὸς [i] τὸν Φίλιππον ἀπέχθειαν ταύτην εἰκότως
13 περὶ αὐτοῦ πάντες [k] εἴχετε τὴν δόξαν. προσελθὼν τοίνυν
ἐμοὶ μετὰ ταῦτα συνετάττετο κοινῇ πρεσβεύειν, καὶ ὅπως 345
τὸν μιαρὸν καὶ ἀναιδῆ [l] φυλάξομεν ἀμφότεροι, [m] τὸν Φι-
λοκράτην, πολλὰ παρεκελεύσατο. καὶ μέχρι τοῦ δεῦρ᾽
ἐπανελθεῖν ἀπὸ τῆς [n] πρώτης πρεσβείας ἐμὲ γοῦν, ὦ ἄν-
δρες Ἀθηναῖοι, διεφθαρμένος καὶ πεπρακὼς ἑαυτὸν ἐλάν-
14 θανε. χωρὶς γὰρ τῶν ἄλλων [o] ὧν, ὅπερ [p] εἶπον, [q] εἰρήκει
πρότερον, ἀναστὰς τῇ [r] προτέρᾳ [s] τῶν [t] ἐκκλησιῶν, ἐν αἷς
περὶ τῆς εἰρήνης ἐβουλεύεσθε, ἤρξατο ἀρχήν, ἣν ἐγὼ καὶ
τοῖς ῥήμασιν οἶμαι [u] τοῖς αὐτοῖς οἷσπερ οὗτος εἶπεν [x] ἐν
15 ὑμῖν ἀπομνημονεύσειν. "εἰ πάνυ πολὺν" ἔφη "χρόνον
"ἐσκόπει Φιλοκράτης, ὦ ἄνδρες Ἀθηναῖοι, [y] πῶς [z] ἂν
"ἄριστα [a] ἐναντιωθείη τῇ εἰρήνῃ, οὐκ ἂν αὐτὸν [b] ἄμεινον
"εὑρεῖν οἶμαι ἢ τοιαῦτα γράφοντα. ἐγὼ δὲ ταύτην μὲν
"τὴν εἰρήνην, ἕως ἂν εἷς Ἀθηναίων [c] λείπηται, οὐδέποτ᾽
"ἂν συμβουλεύσαιμι ποιήσασθαι τῇ πόλει, εἰρήνην μέντοι
"φημὶ δεῖν ποιεῖσθαι." καὶ τοιούτους τινὰς εἶπε βρα-
16 χεῖς καὶ μετρίους λόγους. ὁ δὲ ταῦτ᾽ εἰπὼν τῇ [d] προτε-

[h] τῷ om. F. O. k. r. s. u.
[i] τὸν om. F. Q. O. k. r. t. v.
[k] εἴχετε] ἔχετε r.
[l] φυλάξομεν F. S. Q. r. vulg. φυλάξωμεν.
[m] τὸν om. s.
[n] πρώτης om. pr. O. δευτέρας rec. O.
[o] ὧν ὅπερ] ὅπερ u. ὧνπερ S. Q. ὧν margo Q.
[p] εἶπον om. margo Q.
[q] εἰρήκει] προειρήκει margo Q.
[r] προτέρᾳ] προτεραίᾳ S. Y. Q. O. r. t. u. v. et correctus k.
[s] τῶν om. s. et pr. k.
[t] ἐκκλησιῶν] ἐκκλησίᾳ s.
[u] τοῖς ante αὐτοῖς om. r.
[x] ἐν ante ὑμῖν om. F.
[y] πῶς S. Q. ceteri ὅπως.
[z] ἂν om. pr. S.
[a] ἐναντιωθείη] ἐναντιωθῇ correctus v.
[b] ἄμεινον εὑρεῖν] εὑρεῖν ἄμεινον r.
[c] λείπηται] λίπηται k. λίπηται Y. s. et correctus t.
[d] προτεραίᾳ] προτεραι S.

ραίᾳ πάντων [e] ἀκουόντων ὑμῶν, εἰς τὴν ὑστεραίαν, ἐν ᾗ τὴν
εἰρήνην ἔδει κυροῦσθαι, ἐμοῦ τῷ τῶν συμμάχων συνηγοροῦν-
τος δόγματι καὶ τὴν εἰρήνην, ὅπως ἴση καὶ δικαία [f] γένη-
ται, πράττοντος, καὶ ὑμῶν βουλομένων [g] ταῦτα καὶ οὐδὲ
φωνὴν [h] ἐθελόντων ἀκούειν τοῦ καταπτύστου Φιλοκράτους,
ἀναστὰς ἐδημηγόρει [i] καὶ συνηγόρει ἐκείνῳ πολλῶν ἀξίους,
17 ὦ Ζεῦ καὶ [k] πάντες θεοί, θανάτων λόγους, ὡς οὔτε τῶν
προγόνων ὑμᾶς μεμνῆσθαι δέοι οὔτε τῶν τὰ τρόπαια καὶ
τὰς ναυμαχίας [l] λεγόντων ἀνέχεσθαι, νόμον τε θήσειν καὶ
[m] γράψειν μηδενὶ τῶν Ἑλλήνων ὑμᾶς βοηθεῖν, [n] ὃς ἂν μὴ
[o] πρότερος βεβοηθηκὼς [p] ὑμῖν ᾖ. καὶ ταῦθ' ὁ σχέτλιος 346
καὶ ἀναιδὴς οὗτος ἐτόλμα λέγειν [q] ἐφεστηκότων τῶν
πρέσβεων καὶ ἀκουόντων, οὓς ἀπὸ τῶν Ἑλλήνων μετε-
πέμψασθε [r] ὑπὸ [s] τούτου πεισθέντες, ὅτ' οὔπω πεπρακὼς
αὑτὸν ἦν.

18 Ὃν μὲν οὖν τρόπον, [t] ὦ ἄνδρες Ἀθηναῖοι, χειροτονησάν-
των ὑμῶν ἐπὶ τοὺς ὅρκους αὐτὸν πάλιν τούς τε χρόνους
κατέτριψε καὶ τὰ πράγματα πάντ' ἐλυμήνατο [u] τὰ τῆς
πόλεως, καὶ ὅσαι περὶ τούτων ἐμοὶ πρὸς τοῦτον ἀπέχθειαι
19 συνέβησαν βουλομένῳ κωλύειν, [x] αὐτίκα ἀκούσεσθε. ἀλλ'
ἐπειδὴ πάλιν ἥκομεν ἐκ τῆς πρεσβείας ταύτης τῆς [y] ἐπὶ

[e] ἀκουόντων ὑμῶν] ὑμῶν ἀκουόντων u.

[f] γένηται πράττοντος] πράττοντος γένηται O. k. s. u. γενήσεται πράττοντος F. Q. r.

[g] ταῦτα] ταυτὰ k. r. s.

[h] ἐθελόντων ἀκούειν] ἀκούειν ἐθελόντων Y. O. k. s. u.

[i] καὶ συνηγόρει] καὶ συνηγόρησεν k. r. om. u.

[k] πάντες om. F. Q. r.

[l] λεγόντων post τρόπαια ponunt O. k. s. u.

[m] γράψειν] γράφειν O. k. s. u.

[n] ὃς] ὡς Q.

[o] πρότερος] πρότερον O. k. r. s. u.

[p] ὑμῖν om. Q. ante βεβοηθηκὼς ponunt O. k. s. u.

[q] ἐφεστηκότων] ἐφεστηκότων ἔτι k. s. u.

[r] ὑπὸ] ἀπὸ O.

[s] τούτου] τούτου τότε F. Q. O. t. u. v.

[t] ὦ om. O.

[u] τὰ ante τῆς om. S. Y.

[x] αὐτίκα] αὐτίκα δὴ μάλα γρ. S. Q.

[y] ἐπὶ] περὶ k. r. s.

τοὺς ὅρκους, ἧσπερ εἰσὶν αἱ νῦν [z] εὐθῦναι, οὔτε μικρὸν οὔτε μέγα οὐδ' ὁτιοῦν [a] εὑρημένοι τῶν ὅτε τὴν εἰρήνην ἐποιεῖσθε λεχθέντων καὶ προσδοκηθέντων, ἀλλὰ πάντ' [b] ἐξηπατημένοι, καὶ τούτων ἕτερ' [c] αὖθις αὖ [d] πεπραχότων καὶ [e] παρὰ τὸ ψήφισμα πεπρεσβευκότων, [f] προσῆμεν τῇ βουλῇ. καὶ ταυτὶ πολλοὶ [g] συνίσασιν, ἃ μέλλω λέγειν· τὸ γὰρ βου-

20 λευτήριον μεστὸν ἦν ἰδιωτῶν. παρελθὼν δ' ἐγὼ πάντα τἀληθῆ πρὸς τὴν βουλὴν ἀπήγγειλα, καὶ κατηγόρησα τούτων, καὶ ἀνηριθμησάμην ἀπὸ τῶν πρώτων ἐλπίδων [h] ἐκείνων ὧν [i] ὁ [k] Κτησιφῶν καὶ ὁ Ἀριστόδημος ἀπήγγειλαν πρὸς ὑμᾶς, καὶ μετὰ ταῦθ', ὅτε τὴν εἰρήνην ἐποιεῖσθε, ἃ οὗτος ἐδημηγόρησε [l] καὶ εἰς ἃ [m] προήχασι τὴν πόλιν, καὶ περὶ τῶν ὑπολοίπων (ταῦτα δ' ἦν Φωκεῖς καὶ Πύλαι) [n] μὴ προέσθαι συνεβούλευον, μηδὲ ταὐτὰ παθεῖν, μηδ' ἀναρτωμένους ἐλπίσιν ἐξ ἐλπίδων καὶ [o] ὑποσχέσεσιν εἰς τοὔσχατον ἐλθεῖν τὰ πράγματ' ἐᾶσαι. καὶ ἔπεισα ταῦτα

21 τὴν βουλήν. ἐπειδὴ δὲ ἧκεν ἡ ἐκκλησία καὶ πρὸς ὑμᾶς 347
ἔδει λέγειν, παρελθὼν Αἰσχίνης οὑτοσὶ πρῶτος [p] ἡμῶν ἁπάντων (καὶ πρὸς Διὸς καὶ θεῶν πειρᾶσθε συνδιαμνημονεύειν, ἂν ἀληθῆ λέγω· [q] τὰ γὰρ πάντα τὰ πράγματα [r] λυμηνάμενα [s] ὑμῶν καὶ διαφθείραντα ὅλως ταῦτ' ἐστὶν

[z] εὐθῦναι r. εὔθυναι F. vulg. εὐθύναι.

[a] εὑρημένοι] εὑρημένον u. εὑρήσετε rec. margo u.

[b] ἐξηπατημένοι] ἐξηπατηθέντων S.

[c] αὖθις om. k. αὖ om. O.

[d] πεπραχότων] πεπρακότων r. s.

[e] παρὰ τὸ ψήφισμα F. Q. t. u. v. παρὰ τὸ ψήφισμα αὐτὸ r. ceteri παρ' αὐτὸ τὸ ψήφισμα.

[f] προσῆμεν S. Y. t. v. et γρ. F. Q. προσήειν F. Q. προσήειν μὲν correctus r. vulg. προσῄειμεν.

[g] συνίσασιν] συνίασιν t.

[h] ἐκείνων om. k. u. et pr. O.

[i] ὁ om. r.

[k] Κτησιφῶν] ἀριστοφῶν (κτησιφῶν) S.

[l] καὶ ante εἰς in γρ. S.

[m] προήχασι] προσήχασι Y. O. r. προήκασι γρ. S. Q.

[n] μὴ] καὶ μὴ O.

[o] ὑποσχέσεσιν] ὑπόσχεσιν pr. v.

[p] ἡμῶν] ὑμῶν u. et pr. O.

[q] τὰ γὰρ] ταυτὰ γὰρ O.

[r] λυμηνάμενα] τὰ λυμηνάμενα S. Y. O.

[s] ὑμῶν] ἡμῶν F. O. k. r. t. u. v.

ἤδη) τοῦ μὲν [t] ἀπαγγέλλειν τι τῶν πεπρεσβευμένων ἢ
περὶ τῶν ἐν τῇ βουλῇ ῥηθέντων, εἰ ἄρα ἠμφισβήτει μὴ
[u] ἀληθῆ λέγειν ἐμέ, μνησθῆναι [x] πάμπληθες ἀπέσχεν,
εἶπε δὲ τοιούτους λόγους καὶ τηλικαῦτα καὶ [y] τοιαῦτ'
22 ἔχοντας ἀγαθά, ὥσθ' ἅπαντας ὑμᾶς λαβὼν ᾤχετο. ἔφη
γὰρ ἥκειν πεπεικὼς Φίλιππον [z] ἅπανθ', ὅσα συμφέρει τῇ
πόλει, καὶ περὶ τῶν ἐν [a] Ἀμφικτύοσι καὶ περὶ τῶν ἄλ-
λων ἁπάντων, καὶ διεξῆλθε λόγον μακρὸν ὑμῖν, ὃν κατὰ
Θηβαίων εἰπεῖν πρὸς Φίλιππον ἔφη, καὶ τὰ κεφάλαια
[b] ἀπήγγειλε πρὸς ὑμᾶς, καὶ [c] ἀπελογίζετο ἐκ τῶν [d] ἑαυτῷ
πεπρεσβευμένων [e] δυεῖν ἢ τριῶν ἡμερῶν ὑμᾶς, μένοντας οἴ-
κοι καὶ οὐ στρατευομένους, οὐδ' [f] ἐνοχλουμένους, Θήβας
μὲν πολιορκουμένας αὐτὰς καθ' αὑτὰς χωρὶς τῆς ἄλλης
23 Βοιωτίας [g] ἀκούσεσθαι, Θεσπιὰς δὲ καὶ Πλαταιὰς οἰκι-
ζομένας, τῷ θεῷ δὲ τὰ χρήματα [h] εἰσπραττόμενα οὐ παρὰ
[i] Φωκέων ἀλλὰ παρὰ Θηβαίων τῶν βουλευσάντων τὴν κα-
τάληψιν τοῦ ἱεροῦ· διδάσκειν γὰρ αὐτὸς ἔφη τὸν Φίλιπ-
πον ὅτι οὐδὲν ἧττον ἠσεβήκασιν οἱ βεβουλευκότες τῶν ταῖς
χερσὶ πραξάντων, καὶ διὰ ταῦτα χρήμαθ' [k] ἑαυτῷ τοὺς
24 Θηβαίους ἐπικεκηρυχέναι. ἀκούειν δὲ καὶ τῶν Εὐβοέων
[l] ἐνίων ἔφη πεφοβημένων καὶ τεταραγμένων τὴν πρὸς τὴν
πόλιν οἰκειότητα Φιλίππῳ γεγενημένην, [m] ὅτι " οὐ λελή-
" θατε ἡμᾶς, ὦ ἄνδρες πρέσβεις, [n] ἐφ' οἷς πεποίησθε τὴν 348

[t] ἀπαγγέλλειν] ἀπαγγελεῖν r.
[u] ἀληθῆ S.Y.r.t.u.v. ceteri τἀληθῆ.
[x] πάμπληθες] παμπληθὲς k. r. s.
[y] τοιαῦτ' vel τοιαῦτα S.Y.Q.k.s. ceteri τοσαῦτα.
[z] ἅπανθ' S.Y. ceteri πάνθ'.
[a] Ἀμφικτύοσι] ἀμφικτυόσι O. k. r. s. t. v.
[b] ἀπήγγειλε] ἀπήγγελλε S. Y.
[c] ἀπελογίζετο] ὑπελογίζετο k.r.s.
[d] ἑαυτῷ S. Y. ceteri αὐτῷ.
[e] δυεῖν] δυοῖν S. Y. O. k. t. u. v.
[f] ἐνοχλουμένους] ὀχλουμένους r.
[g] ἀκούσεσθαι] ἀκούσεσθε F. Q. r. t. et pr. v.
[h] εἰσπραττόμενα] εἰσπραττομένους r.
[i] Φωκέων] φωκαίων t.
[k] ἑαυτῷ S. Y. vulg. αὐτῷ.
[l] ἐνίων ἔφη] ἔνη O.
[m] ὅτι] καὶ λεγόντων ὅτι k. r. s. v.
[n] ἐφ' οἷς in margine S.

“ εἰρήνην πρὸς Φίλιππον, οὐδ' ἀγνοοῦμεν ὅτι ὑμεῖς μὲν
“ Ἀμφίπολιν δεδώκατ' [o] ἐκείνῳ, [p] Φίλιππος δ' ὑμῖν Εὔ-
25 “ βοιαν [q] ὡμολόγηκε παραδώσειν.” εἶναι [r] μέντοι [s] τι καὶ
ἄλλο διῳκημένον αὐτῷ, οὐ [t] μὴν [u] πω τοῦτο βούλεσθαι λέ-
γειν· καὶ γὰρ νῦν [x] φθονεῖν τινὰς αὐτῷ τῶν [y] συμπρέσβεων.
ὑπῃνίττετο δ' [z] οὕτω καὶ παρεδήλου τὸν Ὠρωπόν. εὐδο-
κιμῶν δ' ἐπὶ τούτοις εἰκότως, καὶ δοκῶν καὶ ῥήτωρ ἄρι-
στος εἶναι καὶ ἀνὴρ θαυμαστός, κατέβη μάλα σεμνῶς.
26 ἀναστὰς δ' [a] ἐγὼ ταῦτά [b] τε οὐκ ἔφην εἰδέναι, καὶ [c] ἐπει-
ρώμην τι λέγειν τούτων ὧν εἰς τὴν βουλὴν ἀπήγγειλα.
καὶ παραστὰς ὁ μὲν ἔνθεν ὁ δ' ἔνθεν, οὑτοσὶ [d] καὶ Φιλο-
κράτης, ἐβόων, ἐξέκρουόν με, τελευτῶντες ἐχλεύαζον.
ὑμεῖς δ' ἐγελᾶτε, [e] καὶ οὔτ' ἀκούειν ἠθέλετε οὔτε πιστεύ-
27 ειν ἠβούλεσθε ἄλλα πλὴν [f] ἃ οὗτος [g] ἀπηγγέλκει. καὶ
νὴ τοὺς θεοὺς εἰκός τι παθεῖν ἔμοιγε [h] δοκεῖτε· τίς γὰρ ἂν
ἠνέσχετο, τηλικαῦτα καὶ τοσαῦτα ἔσεσθαι προσδοκῶν ἀ-
γαθά, ἢ ταῦθ' ὡς οὐκ ἔσται λέγοντός τινος, ἢ κατηγο-
ροῦντος τῶν πεπραγμένων τούτοις; πάντα γὰρ [i] τἆλλ',
οἶμαι, τότε δεύτερα ἦν τῶν [k] ὑποκειμένων προσδοκιῶν καὶ
τῶν ἐλπίδων, οἱ δ' ἀντιλέγοντες ὄχλος [l] ἄλλως καὶ βα-
σκανία [m] κατεφαίνετο, ταῦτα δὲ θαυμάσι' ἡλίκα καὶ
συμφέροντ' ἐδόκει [n] πεπρᾶχθαι τῇ πόλει.

[o] ἐκείνῳ om. O.
[p] Φίλιππος] ἐκεῖνος r.
[q] ὡμολόγηκε] ὡμολόγησε O. u.
[r] μέντοι] δέ F. Q. et margo O.
[s] τι om. Y. O. t. u. v.
[t] μήν] μέν S. Y.
[u] πω] που k.
[x] φθονεῖν post αὐτῷ ponunt k. s.
[y] συμπρέσβεων] πρέσβεων Q. s.
[z] οὕτω] οὕτω που k. r. s.
[a] ἐγώ] εὐθὺς ἐγώ r.
[b] τε om. r.
[c] ἐπειρώμην] ἅμα ἐπειρώμην rec. S. μάλα ἐπειρώμην γρ. Q.
[d] καὶ post οὑτοσὶ om. s.
[e] καὶ οὔτ'] καὶ οὐδ' k. r. s. v.
[f] ἃ] ὧ s.
[g] ἀπηγγέλκει] ἀπήγγελκε S. Q.
[h] δοκεῖτε] ἐδοκεῖτε F. Y. Q. t. v.
[i] τἆλλ' οἶμαι] τότ' οἶμαι τότε Y.
[k] ὑποκειμένων] ὑποκρινομένων O. t. u.
[l] ἄλλως] ἄλλος r.
[m] κατεφαίνετο] κατεφαίνοντο k. u.
[n] πεπρᾶχθαι post πόλει ponunt k. s.

28 Τοῦ [o] χάριν δὴ ταῦθ' ὑπέμνησα [p] πρῶτα νῦν ὑμᾶς καὶ
διεξῆλθον τούτους τοὺς λόγους; ἑνὸς μὲν ὦ ἄνδρες Ἀθη-
ναῖοι μάλιστα καὶ πρώτου, ἵνα μηδεὶς ὑμῶν, ἐπειδάν τι
λέγοντος ἀκούῃ [q] μου τῶν πεπραγμένων, καὶ δοκῇ δεινὸν 349
αὐτῷ καὶ ὑπερβάλλον εἶναι, “εἶτα τότ' οὐκ ἔλεγες πα-
29 “ραχρῆμα ταῦτα οὐδ' ἐδίδασκες ἡμᾶς;” θαυμάζῃ, ἀλ-
λὰ μεμνημένοι τὰς ὑποσχέσεις τὰς τούτων, ἃς ἐφ' [r] ἑκά-
στων ποιούμενοι τῶν καιρῶν [s] ἐξέκλειον λόγου τυγχάνειν
τοὺς ἄλλους, καὶ τὴν [t] ἐπαγγελίαν τὴν τούτου ταύτην τὴν
καλήν, εἰδῆθ' ὅτι πρὸς ἅπασι τοῖς ἄλλοις καὶ τοῦτο ἠδί-
κησθε [u] ὑπ' αὐτοῦ, ὅτι τἀληθῆ παραχρῆμα καὶ ἡνίκ' ἔδει
πυνθάνεσθαι διεκωλύθητε ἐλπίσι καὶ φενακισμοῖς καὶ
30 ὑποσχέσεσιν [x] ἐξαπατώμενοι. πρώτου [y] μὲν τούτου καὶ
μάλισθ', οὗπερ εἶπον, ἕνεκα [z] ταῦτα διεξῆλθον, δευτέρου
[a] δὲ τίνος; καὶ οὐδὲν ἐλάττονος ἢ τούτου, ἵνα τὴν ὅτ' ἀδω-
ροδόκητος ὑπῆρχε προαίρεσιν αὐτοῦ τῆς πολιτείας ἀνα-
μνησθέντες, ὡς προβεβλημένη καὶ ἄπιστος ἦν πρὸς τὸν
Φίλιππον, τὴν μετὰ ταῦτ' ἐξαίφνης γεγονυῖαν πίστιν καὶ
31 φιλίαν σκέψησθε, εἶτ' εἰ μὲν ἐκβέβηκεν ὅσ' [b] ἀπήγγειλε
πρὸς ὑμᾶς οὗτος καὶ καλῶς [c] ἔχει τὰ πεπραγμένα, διὰ
τὴν ἀλήθειαν καὶ τὸ συμφέρον τῇ πόλει γεγενῆσθαι νομί-
σητε, εἰ δὲ πάντα τἀναντία ὧν οὗτος εἶπε πέπρακται,
καὶ πολλὴν αἰσχύνην καὶ μεγάλους κινδύνους ταῦτ' ἔχει
τῇ πόλει, διὰ τὴν [d] αἰσχροκέρδειαν τὴν [e] ἑαυτοῦ καὶ τὸ

[o] χάριν δὴ] δὲ χάριν r. χάριν pr. S.

[p] πρῶτα] πρῶτον γρ. S.

[q] Post μου cum S. omisi, quæ vulg. adduntur, καὶ κατηγοροῦντος.

[r] ἑκάστων] ἑκάστῳ k. s.

[s] ἐξέκλειον] ἐξέκρουον γρ. F.S.Q.

[t] ἐπαγγελίαν] ἀπαγγελίαν k.

[u] ὑπ'] παρ' k. r. s.

[x] ἐξαπατώμενοι in γρ. S. ἐξηπατημένοι Q.

[y] μὲν] μὲν οὖν F. Q.

[z] ταῦτα om. k.

[a] δὲ τίνος] δέ τινος k. s. t. u.

[b] ἀπήγγειλε] ἀπήγγελκε k. s.

[c] ἔχει] εἶχε F. Q. O. r. v.

[d] αἰσχροκέρδειαν] αἰσχροκερδίαν F. S. Y. Q. s.

[e] ἑαυτοῦ S. Y. et γρ. F. vulg. τούτου.

χρημάτων ἀποδόσθαι τἀληθῆ μεταβεβλημένον αὐτὸν εἰδῆτε.

32 Βούλομαι δ', ἐπειδήπερ εἰς τούτους προήχθην τοὺς λόγους, ὃν τρόπον τὰ περὶ τοὺς Φωκέας πράγμαθ' [f] ὑμῶν [g] παρείλοντο, πρῶτον εἰπεῖν ἁπάντων. δεῖ [h] δὲ μηδένα ὑμῶν, ὦ ἄνδρες [i] δικασταί, εἰς τὸ τῶν πραγμάτων μέγε- 350 θος [k] ἀποβλέψαντα μείζους τὰς κατηγορίας καὶ τὰς

33 αἰτίας τῆς τούτου δόξης νομίσαι, ἀλλ' ἐκεῖν' ὁρᾷν, ὅτι [l] ὅντιν' ἂν ὑμεῖς εἰς ταύτην τὴν τάξιν [m] κατεστήσατε καὶ τῶν συμβάντων καιρῶν ἐποιήσατε κύριον, [n] οὗτος, εἴπερ ὥσπερ οὗτος ἐβουλήθη μισθώσας [o] αὑτὸν ἐξαπατᾷν ὑμᾶς καὶ φενακίζειν, τῶν ἴσων [p] ἂν αἴτιος ἦν κακῶν ὅσωνπερ καὶ οὗτος· οὐ γὰρ εἰ φαύλοις [q] χρῆσθ' ὑμεῖς εἰς τὰ κοινὰ πολλάκις ἀνθρώποις, καὶ τὰ πράγματ' ἐστὶ φαῦλα ὧν ἡ πόλις ἀξιοῦται παρὰ τοῖς ἄλλοις, οὐδὲ πολλοῦ δεῖ.

34 εἶτα καὶ Φωκέας ἀπολώλεκε [r] μέν, οἶμαι, Φίλιππος, συνηγωνίσαντο [s] δὲ οὗτοι· τοῦτο δὴ δεῖ σκοπεῖν καὶ ὁρᾷν, [t] εἰ ὅσα τῆς [u] Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἧκε, [x] ταῦθ' ἅπαντ' ἀπώλεσαν οὗτοι καὶ διέφθειραν ἑκόντες, οὐχ ὡς ὅδε Φωκέας [y] ἀπώλεσε καθ' ἑαυτόν. [z] πόθεν;

35 Δὸς δέ μοι τὸ προβούλευμα ὃ πρὸς τὴν ἐμὴν [a] ἀπαγγελίαν ἐψηφίσαθ' ἡ βουλή, καὶ τὴν μαρτυρίαν τὴν τοῦ

[f] ὑμῶν] ὑμῖν r.
[g] παρείλοντο] παρείλαντο Q. προείλοντο r.
[h] δὲ] δὴ u.
[i] δικασταί] ἀθηναῖοι Y. om. k.r.
[k] ἀποβλέψαντα] βλέψαντα S.Y.
[l] ὅντιν' ἂν S. Y. καὶ ὀντινοῦν O. u. vulg. εἰ καὶ ὀντινοῦν.
[m] κατεστήσατε] κατεστήκατε u.
[n] οὗτος] οὗτος δ' k.s. εἶθ' οὗτος F. Y. Q. O. r. t. u. v.
[o] αὑτὸν] ἑαυτὸν τοῖς ἐχθροῖς F.Y. Q. O. r. s. t. u. v.
[p] ἂν post ἦν ponunt S.Y. om. s.
[q] χρῆσθ' ὑμεῖς] ὑμεῖς χρῆσθε k.s.
[r] μὲν om. k.
[s] δὲ om. pr. k.
[t] εἰ om. k. s.
[u] Φωκέων] τῶν Φωκέων F.Q.O. r. t. u. v.
[x] ταῦθ' ἅπαντ' S. Y. vulg. ταῦτα πάντα.
[y] ἀπώλεσεν] ἀπώλεσεν ἂν F. Y. Q. O. t. u. v. ἐπώλισεν ἂν r.
[z] πόθεν om. u.
[a] ἀπαγγελίαν] ἐπαγγελίαν F.Y. Q. O. t. u. v.

γράψαντος αὐτὸ τότε, ἵν᾽ εἰδῆθ᾽ ὅτι ἐγὼ μὲν οὐ τότε σιγήσας νῦν [b] ἀφίσταμαι τῶν πεπραγμένων, ἀλλ᾽ εὐθὺς κατηγόρουν καὶ [c] προεώρων τὰ μέλλοντα, ἡ βουλὴ δὲ ἡ μὴ κωλυθεῖσα ἀκοῦσαι τἀληθῆ παρ᾽ [d] ἐμοῦ οὔτ᾽ ἐπῄνεσε τούτους οὔτ᾽ εἰς τὸ πρυτανεῖον ἠξίωσε καλέσαι. καίτοι τοῦτ᾽, ἀφ᾽ οὗ γέγονεν ἡ πόλις, οὐδεὶς πώποτε [e] φήσει παθεῖν οὐδένας πρέσβεις, οὐδὲ Τιμαγόραν, οὗ θάνατον κατεχειροτόνησεν ὁ δῆμος. ἀλλ᾽ οὗτοι πεπόνθασιν.

36 Λέγε δ᾽ αὐτοῖς πρῶτον [f] μὲν τὴν μαρτυρίαν, εἶτα τὸ προβούλευμα.

ΜΑΡΤΥΡΙΑ. ΠΡΟΒΟΥΛΕΥΜΑ. 513

[g] Ἐνταῦθ᾽ οὔτ᾽ ἔπαινος οὔτε κλῆσις εἰς τὸ πρυτανεῖόν ἐστι τῶν πρέσβεων ὑπὸ τῆς βουλῆς. εἰ δέ φησιν οὗτος, δειξάτω καὶ παρασχέσθω, κἀγὼ καταβαίνω. ἀλλ᾽ οὐκ ἔστιν. εἰ μὲν τοίνυν ταὐτὰ [h] πάντες ἐπρεσβεύομεν, δικαίως οὐδένα [i] ἐπῄνεσεν ἡ βουλή· δεινὰ γὰρ [k] ὡς ἀληθῶς τὰ πεπραγμένα πᾶσιν· εἰ δ᾽ οἱ μὲν τὰ δίκαια ἔπραττον ἡμῶν, οἱ δὲ τἀναντία, διὰ τοὺς πεπονηρευμένους, ὡς ἔοικε, τοῖς ἐπιεικέσι συμβεβηκὸς ἂν εἴη ταύτης τῆς ἀτιμίας
37 μετεσχηκέναι. πῶς [l] οὖν ῥᾳδίως [m] πάντες εἴσεσθε τίς ποτ᾽ ἔσθ᾽ ὁ πονηρός; ἀναμνήσθητε παρ᾽ ὑμῖν αὐτοῖς τίς ἐσθ᾽ ὁ κατηγορῶν τῶν πεπραγμένων ἐξ ἀρχῆς. δῆλον γὰρ ὅτι τῷ μὲν ἠδικηκότι σιγᾶν ἐξήρκει καὶ διακρουσαμένῳ τὸν [n] παρόντα χρόνον μηκέτ᾽ εἰς λόγον [o] περὶ τῶν πεπραγμένων [p] ἑαυτὸν καθιστάναι, τῷ δὲ μηδὲν ἑαυτῷ συν-

[b] ἀφίσταμαι] ἐφίσταμαι S. Q.
[c] προεώρων S. Y. k. s. προεωρώμην r. προὐωρώμην v. vulg. προωρώμην.
[d] ἐμοῦ] ἐμοῦ τότε rec. S.
[e] φήσει] φησὶ F. Y. Q. O. r. t. u. v.
[f] μὲν om. k. s.
[g] Ἐνταῦθ᾽] ἐντεῦθεν k. r. s.
[h] πάντες] ἅπαντες S.
[i] ἐπῄνεσεν] ἐποίησεν k.
[k] ὡς ἀληθῶς om. S. k. s.
[l] οὖν] ἂν r.
[m] πάντες S. k. s. vulg. ἅπαντες.
[n] παρόντα] πάντα O.
[o] περὶ om. v.
[p] ἑαυτὸν] αὐτὸν (idque ante περὶ) s. om. k.

ειδότι δεινὸν [q] εἰσῄει, εἰ [r] δεινῶν καὶ πονηρῶν [s] ἔργων δόξει κοινωνεῖν τῷ σιωπῆσαι. εἰμὶ τοίνυν ὁ κατηγορῶν ἐξ ἀρχῆς ἐγὼ [t] τούτων, τούτων δ' οὐδεὶς ἐμοῦ.

38 Ἡ μὲν [u] τοίνυν βουλὴ ταῦτα προβεβουλεύκει, τῆς δ' ἐκκλησίας γιγνομένης καὶ τοῦ Φιλίππου παρόντος [x] ἐν Πύλαις ἤδη—ἦν [y] γὰρ τοῦτο πρῶτον ἁπάντων τῶν ἀδικημάτων, τὸ τὸν Φίλιππον ἐπιστῆσαι τοῖς πράγμασι τούτοις, καὶ δέον ὑμᾶς ἀκοῦσαι περὶ τῶν πραγμάτων, εἶτα βουλεύσασθαι, μετὰ ταῦτα δὲ πράττειν ὅ τι [z] δόξαι, ἅμα [a] ἀκούειν κἀκεῖνον παρεῖναι καὶ μηδ' ὅ τι [b] χρῆν ποιεῖν
39 ῥᾴδιον εἰπεῖν εἶναι. πρὸς [c] δὲ τούτοις [d] τοῦτο μὲν οὐδεὶς ἀνέγνω τῷ δήμῳ τὸ προβούλευμα, οὐδ' ἤκουσεν ὁ δῆμος, 352
ἀναστὰς δ' οὗτος ἐδημηγόρει ταῦθ' ἃ διεξῆλθον ἄρτι πρὸς ὑμᾶς ἐγώ, τὰ πολλὰ καὶ μεγάλα ἀγαθά, ἃ πεπεικὼς ἔφη τὸν Φίλιππον ἥκειν καὶ διὰ τοῦτο [e] χρήμαθ' ἑαυτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι. ὥσθ' ὑμᾶς ἐκπεπληγμένους τῇ παρουσίᾳ τὸ πρῶτον τῇ τοῦ Φιλίππου, καὶ τούτοις ὀργιζομένους ἐπὶ τῷ μὴ [f] προηγγελκέναι, πρᾳοτέρους γενέσθαι [g] τινός, πάνθ' ὅσ' ἐβούλεσθ' ὑμῖν ἔσεσθαι προσδοκήσαντας, καὶ μηδὲ φωνὴν [h] ἐθέλειν ἀκούειν ἐμοῦ μηδ'
40 ἄλλου μηδενός. καὶ μετὰ ταῦτ' ἀνεγιγνώσκετο ἡ ἐπιστολὴ ἡ παρὰ τοῦ Φιλίππου, ἣν οὗτος ἔγραψεν ἀπολει-

[q] εἰσῄει εἰ S.Q.r.s. ceteri (cum Anecd. p. 150, 28) εἰ σιγῴη.

[r] δεινῶν καὶ πονηρῶν] πονηρῶν καὶ δεινῶν F.Q.O.r.t.u.v.

[s] ἔργων] ἔργῳ O. u.

[t] Prius τούτων om. k. s. in γρ. habet Q.

[u] τοίνυν] οὖν k. s.

[x] ἐν Πύλαις ἤδη] ἤδη ἐν Πύλαις O.t.u.v.

[y] γὰρ] γὰρ δὴ r.

[z] δόξαι] δόξῃ k. δόξει s.

[a] Post ἀκούειν addit συνέβη margo rec. O. et supra versum rec. k.

[b] χρῆν] χρῇ s. χρὴ S.Y.r. Fortasse legendum χρείη.

[c] δὲ] δὴ r.

[d] τοῦτο S. Y. vulg. ταῦτα.

[e] χρήμαθ' ἑαυτῷ S. αὑτῷ χρήματα u. vulg. χρήματα αὑτῷ.

[f] προηγγελκέναι] προσηγγελκέναι S.t.u.v.

[g] τινός] τινος O. (α supra) τινὰς r.

[h] ἐθέλειν ἀκούειν] ἀκούειν ἐθέλειν k.s.

φθεὶς ἡμῶν, ἄντικρυς [i] οὑτωσὶ καὶ διαῤῥήδην ἀπολογία γε-
γραμμένη τῶν τούτοις ἡμαρτημένων. καὶ γὰρ ὡς αὐτὸς
κατεκώλυσεν αὐτοὺς βουλομένους ἐπὶ τὰς πόλεις ἰέναι
καὶ τοὺς ὅρκους ἀπολαμβάνειν, ἔνεστι, καὶ ὡς, ἵνα συν-
διαλλάττωσιν αὐτῷ τοὺς [k] Ἁλεῖς πρὸς τοὺς Φαρσαλίους,
41 κατέσχεν αὐτούς· καὶ πάντα ἀναδεχόμενος καὶ εἰς αὑτὸν
ποιούμενος τὰ τούτων ἁμαρτήματά ἐστιν. ὑπὲρ δὲ [l] Φω-
κέων ἢ Θεσπιέων ἢ ὧν οὗτος [m] ἀπήγγειλε πρὸς ὑμᾶς,
ἀλλ' οὐδὲ μικρόν. καὶ τοῦτο οὐκ ἀπὸ ταὐτομάτου τοῦτον
ἐπράχθη τὸν τρόπον, ἀλλ' ὑπὲρ μὲν ὧν παρὰ τούτων ὑμᾶς
ἔδει δίκην λαμβάνειν οὐ πεποιηκότων οὐδὲ διῳκηκότων
οὐδὲν ὧν ὑμεῖς προσετάξατε ἐν τῷ ψηφίσματι, ἐκεῖνος
[n] ἐκδέχεται τὴν αἰτίαν καί φησιν αὐτὸς αἴτιος γεγενῆ-
σθαι, ὃν οὐκ ἐμέλλεθ' ὑμεῖς οἶμαι δυνήσεσθαι κολάσαι,
42 ἃ δ' ἐκεῖνος ἐξαπατῆσαι καὶ προλαβεῖν τῆς πόλεως [o] ἐ-
βούλετο, οὗτος [p] ἀπήγγειλεν, ἵνα μηδ' ἐγκαλέσαι μηδὲ
μέμψασθαι μηδὲν ὕστερον [q] ὑμεῖς ἔχοιτε Φιλίππῳ, μήτ' 353
ἐν ἐπιστολῇ μήτ' [r] ἄλλοθι μηδαμοῦ [s] τῶν παρ' ἐκείνου
τούτων [t] ἐνόντων. λέγε δ' αὐτοῖς αὐτὴν τὴν ἐπιστολήν, ἣν
ἔγραψε μὲν οὗτος, ἔπεμψε δ' ἐκεῖνος· καὶ σκοπεῖθ' ὅτι
τοῦτον ἔχει τὸν τρόπον, ὃν διεξελήλυθ' ἐγώ. λέγε.

## ΕΠΙΣΤΟΛΗ.

43 Ἀκούετε [u] ὦ ἄνδρες Ἀθηναῖοι [x] τῆς ἐπιστολῆς, ὡς καλὴ
καὶ φιλάνθρωπος. περὶ δὲ [y] Φωκέων ἢ Θηβαίων ἢ τῶν

[i] οὑτωσὶ] οὕτως S.
[k] Ἁλεῖς] ἄλεις Y. ἅλεις k. u. et pr. O. Ἀλέας Valckenar. ad Herodot. 7, 173.
[l] Φωκέων ἢ Θεσπιέων] φωκέων καὶ θεσπιέων Y. φωκέων καὶ θετταλῶν γρ. Q. θετταλῶν ἢ margo S.
[m] ἀπήγγειλε] ἀπήγγελλεν S. Y.
[n] ἐκδέχεται] ἐνδέχεται u.
[o] ἐβούλετο om. k.
[p] ἀπήγγειλεν] ἀπήγγελλεν k. s.
[q] ὑμεῖς om. k.
[r] ἄλλοθι] ἄλλοτε S.
[s] τῶν] τοῖς Q. O. r. u. v. ἐν τοῖς γρ. S. om. S. Y.
[t] ἐνόντων] ὄντων F. Y. O. t. u. v.
[u] ὦ om. O. t. u.
[x] τῆς ἐπιστολῆς] τὴν ἐπιστολὴν v.
[y] Φωκέων ἢ Θηβαίων] θηβαίων ἢ φωκέων F. Q. O. r. u. v.

ἄλλων [z] ὧν οὗτος ἀπήγγειλε [[a] πρὸς ὑμᾶς], οὐδὲ [b] γρῦ.
ταύτης τοίνυν οὐδ᾽ ὁτιοῦν ἐσθ᾽ ὑγιές. καὶ τοῦτ᾽ αὐτίκα δὴ
μάλα ὑμεῖς ὄψεσθε. οἱ μὲν γὰρ [c] Ἁλεῖς, οὓς ἵνα συν-
διαλλάττωσι κατασχεῖν φησὶ τούτους, τοιαύτης τετυχή-
44 κασι [d] διαλλαγῆς ὥστ᾽ ἐξελήλανται καὶ [e] ἀνάστατος [f] ἡ
πόλις αὐτῶν γέγονε· τοὺς δ᾽ αἰχμαλώτους, ὁ σκοπῶν τί
ἂν [g] ποιῶν ὑμῖν χαρίσαιτο, οὐδ᾽ ἐνθυμηθῆναί φησι λύσα-
σθαι. μεμαρτύρηται δὲ δήπουθεν ὑμῖν ἐν τῷ δήμῳ πολ-
λάκις ὡς ἐγὼ τάλαντον ἔχων ἐπ᾽ αὐτοὺς ᾠχόμην, καὶ
[h] νῦν μαρτυρηθήσεται· διὸ καὶ τὴν ἐμὴν φιλοτιμίαν οὗτος
45 ἀφαιρούμενος τοῦτ᾽ ἔπεισεν ἐκεῖνον [i] ἐγγράψαι. ὃ τοίνυν
μέγιστον ἁπάντων· ὁ γὰρ εἰς τὴν προτέραν γράψας ἐπι-
στολήν, ἣν ἠνέγκαμεν ἡμεῖς, ὅτι "ἔγραφον [k] δ᾽ ἂν καὶ διαῤ-
"ῥήδην, [l] ἡλίκα ὑμᾶς εὖ ποιήσω, εἰ εὖ ᾔδειν καὶ τὴν συμ-
"μαχίαν μοι γενησομένην," [m] γεγονυίας τῆς συμμαχίας
οὔ φησιν εἰδέναι τί ἂν ποιῶν [n] χαρίσαιτο, οὐδ᾽ [o] ὃ αὐτὸς ὑπ-
έσχετο· τοῦτο γὰρ [p] ᾔδει δηλονότι, εἴπερ μὴ [q] ἐφενάκιζεν.
ἀλλὰ μὴν ὅτι ταῦθ᾽ [r] οὕτω [s] τότ᾽ ἔγραψε, λέγε μοι λαβὼν 354
[t] ἐκ τῆς προτέρας ἐπιστολῆς αὐτὸ τοῦτο, ἐνθένδε. λέγε.

## [u] ΕΞ ΕΠΙΣΤΟΛΗΣ.

46 Οὐκοῦν πρὶν [x] μὲν εἰρήνης τυχεῖν, εἰ καὶ συμμαχία

[z] ὧν om. u.
[a] πρὸς ὑμᾶς om. S.
[b] γρῦ F. Y. Q. k. r. u. vulg. γρύ: in S. accentus erasus est.
[c] Ἁλεῖς] ἅλεις Y. ἄλεις O. t. u. v. et γρ. k. αλεεις S.
[d] διαλλαγῆς] τῆς διαλλαγῆς F. Q. O. r. t. u. v.
[e] ἀνάστατος] ἀνάσπαστος Y.
[f] ἡ πόλις αὐτῶν] αὐτῶν ἡ πόλις k.
[g] ποιῶν om. S. Y. s.
[h] νῦν] νῦν δὲ k. r. s.
[i] ἐγγράψαι] ἐγκρύψαι Y.
[k] δ᾽ ἂν] μὲν ἂν F. Q.
[l] ἡλίκα] ἡνίκα S.
[m] γεγονυίας] γεγονυίας δὲ F. Q. O. r. u. v.
[n] χαρίσαιτο] ὑμῖν χαρίσαιτο γρ. F. Q.
[o] ὃ] ἃ Q. k. r. s.
[p] ᾔδει] ἤδη r.
[q] ἐφενάκιζεν] ἐφενάκιζεν ὑμᾶς F. Q. O. k. r. s. t. u. v.
[r] οὕτω] οὗτος F. Q. r. t. v.
[s] τότ᾽ om. F. Q. O. t. u. v.
[t] ἐκ τῆς] ἐκείνης S.
[u] Ἐξ ἐπιστολῆς] ἐπιστολὴ s. ἐκ τῆς ἐπιστολῆς O. u. v.
[x] μὲν om. u.

[y] προσγένοιτ᾽ αὐτῷ, γράψειν ὡμολόγει ἡλίκα τὴν πόλιν εὖ ποιήσει· ἐπειδὴ δ᾽ ἀμφότερ᾽ αὐτῷ γέγονεν, [z] οὐκ εἰδέναι φησὶ τί ἂν ποιῶν χαρίσαιτο, [a] ἐὰν δ᾽ ὑμεῖς λέγητε, ποιήσειν [b] ἃ μήτ᾽ αἰσχύνην μήτ᾽ ἀδοξίαν αὐτῷ φέρει, εἰς ταύτας τὰς προφάσεις καταφεύγων, [c] κἂν ἄρα εἴπητέ τι καὶ προαχθῆθ᾽ ὑμεῖς ἐπαγγείλασθαι, ἀναχώρησιν [d] ἑαυτῷ καταλείπων.

47 Ταῦτα τοίνυν καὶ πόλλ᾽ ἕτερα ἐνῆν παραχρῆμα τότ᾽ εὐθὺς ἐξελέγχειν καὶ διδάσκειν ὑμᾶς καὶ μὴ [e] προέσθαι τὰ πράγματ᾽ ἐᾶν, εἰ μὴ Θεσπιαὶ καὶ Πλαταιαὶ καὶ τὸ Θηβαίους αὐτίκα [f] δὴ μάλα δώσειν δίκην [g] ἀφείλετο τὴν ἀλήθειαν. καίτοι ταῦτα εἰ μὲν ἀκοῦσαι [h] μόνον ἔδει [i] καὶ φενακισθῆναι τὴν πόλιν, ὀρθῶς ἐλέγετο, εἰ δὲ πραχθῆναι τῷ ὄντι, σιωπᾶσθαι συνέφερεν. εἰ μὲν γὰρ [k] ἐνταῦθ᾽ ἦν ἤδη τὰ πράγματα ὥστε μηδ᾽ [l] αἰσθομένοις τοῖς Θηβαίοις πλέον εἶναι μηδέν, τί οὐ γέγονεν; εἰ δὲ παρὰ τὸ [m] προαι-
48 σθέσθαι κεκώλυται, τίς [n] ὁ ἐκλαλήσας; οὐχ οὗτος; ἀλλ᾽ οὔτ᾽ [o] ἤμελλεν οὔτ᾽ ἠβουλήθη ταῦτ᾽ [p] οὔτ᾽ ἤλπισεν οὗτος, ὥστε τοῦ γ᾽ ἐκλελαληκέναι μηδ᾽ αἰτίαν ἐχέτω· ἀλλὰ φενακισθῆναι τοῖς λόγοις [q] τούτοις ὑμᾶς ἔδει, καὶ ἐμοῦ

[y] προσγένοιτ᾽] προσγίνοιτ᾽ Q. r.
[z] οὐκ εἰδέναι φησὶ] οὔ φησιν εἰδέναι k. s.
[a] ἐὰν] ἂν S.
[b] ἃ] ὃ S. Y. s.
[c] κἂν—καταλείπων S. κἂν—καταλείπει Y. O. t. u. v. et correctus F. ἵνα κἂν—καταλείπῃ ceteri cum γρ. S.
[d] ἑαυτῷ] ὑμῖν γρ. S.
[e] προέσθαι S. k. s. vulg. προϊέσθαι.
[f] δὴ om. Q.
[g] ἀφείλετο] ἀφείλατο r.
[h] μόνον] μὲν S.
[i] καὶ φενακισθῆναι] φενακισθῆναι δὲ S. k. s.
[k] ἐνταῦθ᾽] ταῦθ᾽ r. ταῦτ᾽ k. s.
[l] αἰσθομένοις τοῖς Θηβαίοις] αἰσθομένων[οις] τῶν[οῖς] θηβαίων[οις] F. αἰσθανομένοις τοῖς θηβαίοις r. s. αἰσθανομένους τοῖς θηβαίοις k.
[m] προαισθέσθαι] προαίσθεσθαι s. αἰσθέσθαι Q.
[n] ὁ ἐκλαλήσας] οὑκλαλήσας s.
[o] ἤμελλεν] ἤμελλον r. s.
[p] οὔτ᾽ ἤλπισεν] Malim οὐδ᾽ ἤλπισεν.
[q] τούτοις] καὶ τούτοις k. r. s.

τἀληθῆ [r] μὴ ἐθελῆσαι [s] ἀκοῦσαι, [t] καὶ αὐτοὺς οἴκοι [u] καταμεῖναι, καὶ ψήφισμα νικῆσαι [x] τοιοῦτο δι' οὗ Φωκεῖς ἀπολοῦνται. διὰ ταῦτ' ἐσπαθᾶτο ταῦτα καὶ διὰ ταῦτ' 355
[y] ἐδημηγορεῖτο.

49 Ἀκούων τοίνυν [z] ἐγὼ [a] τηλικαῦτα καὶ τοιαῦτα ἐπαγγελλομένου τούτου [b] τότε, καὶ ἀκριβῶς εἰδὼς ὅτι ψεύδεται,—καὶ ὅθεν, φράσω πρὸς ὑμᾶς, πρῶτον μὲν ἐκ τοῦ, ὅτε τοὺς ὅρκους ἤμελλε Φίλιππος ὀμνύναι [c] τοὺς περὶ τῆς εἰρήνης, ἐκσπόνδους ἀποφανθῆναι τοὺς Φωκέας ὑπὸ τούτων, ὃ σιωπᾶν καὶ ἐᾶν εἰκὸς ἦν, εἴπερ ἤμελλον σώζεσθαι· ἔπειτα ἐκ τοῦ [d] μὴ τοὺς παρὰ [e] τοῦ Φιλίππου πρέσβεις ταῦτα λέγειν μηδὲ τὴν ἐπιστολὴν τὴν [f] τοῦ Φιλίππου, ἀλ-
50 λὰ τοῦτον. ἐκ τούτων οὖν τεκμαιρόμενος, ἀναστὰς καὶ παρελθὼν ἐπειρώμην [g] μὲν ἀντιλέγειν, ὡς δ' ἀκούειν οὐκ ἠθέλετε, ἡσυχίαν ἔσχον, [h] τοσοῦτο μόνον διαμαρτυράμενος (καὶ πρὸς Διὸς καὶ θεῶν ἀναμιμνήσκεσθε) ὅτι ταῦτα οὔτ' οἶδα οὔτε [i] κοινωνῶ, προσέθηκα δὲ ὡς οὐδὲ προσδοκῶ. τραχέως δ' ὑμῶν [k] ἐπὶ τῷ μηδὲ προσδοκᾶν [l] σχόντων, καὶ ὅπως γε, ὦ ἄνδρες Ἀθηναῖοι, ἔφην, ἄν τι τούτων [m] γίγνηται, τούτους [n] ἐπαινέσεσθε καὶ τιμήσετε καὶ στεφανώσετε, ἐμὲ δὲ μή· καὶ μέντοι κἄν τι τῶν [o] ἐναντίων, ὅπως
51 τούτοις ὀργιεῖσθε· ἐγὼ δὲ ἀφίσταμαι. μὴ νῦν, ὑπολαβὼν

[r] μὴ om. pr. Y.
[s] ἀκοῦσαι] ἀκούειν k. r. s.
[t] καὶ om. S. Y. O. t. u. v.
[u] καταμεῖναι] καταμένειν k. r. s.
[x] τοιοῦτο] τοιοῦτον O. r. t. u.
[y] ἐδημηγορεῖτο] ἐδημηγορεῖτε u.
[z] ἐγὼ om. k. s.
[a] τηλικαῦτα καὶ τοιαῦτα] τοιαῦτα καὶ τηλικαῦτα r.
[b] τότε om. S. Y.
[c] τοὺς ante περὶ om. O.
[d] μὴ—μηδὲ S. vulg. μήτε—μήτε.
[e] τοῦ ante Φιλίππου om. O. k. s. t. v.
[f] τοῦ post τὴν om. S. Y.
[g] μὲν om. F. Q.
[h] τοσοῦτο S. vulg. τοσοῦτον.
[i] κοινωνῶ] κοινῶ u.
[k] ἐπὶ om. S. Y. k. r.
[l] σχόντων] ἐχόντων F. Q. r. s.
[m] γίγνηται] γένηται s.
[n] ἐπαινέσεσθε] μὲν ἐπαινέσετε k. r. s.
[o] ἐναντίων] ἐναντίων γένηται γρ. F. Q.

[p] ἔφη Αἰσχίνης οὑτοσί, μὴ νῦν ἀφίστασο, ἀλλ' ὅπως τότε μὴ [q] προσποιήσει. νὴ Δία, [r] ἢ ἀδικήσω γ', ἔφην. [s] ἐπαναστὰς δ' ὁ Φιλοκράτης μάλα ὑβριστικῶς [t] οὐδέν, ἔφη, θαυμαστόν, ὦ ἄνδρες Ἀθηναῖοι, [u] μὴ ταὐτὰ ἐμοὶ καὶ Δημοσθένει [x] δοκεῖν· οὗτος μὲν γὰρ ὕδωρ, ἐγὼ δὲ οἶνον πίνω.
52 καὶ ὑμεῖς ἐγελᾶτε.

Σκέψασθε δὴ τὸ ψήφισμα, ὃ δίδωσι γράψας μετὰ
ταῦτα [y] ὁ Φιλοκράτης. ἀκοῦσαι μὲν γὰρ [z] οὑτωσὶ [a] παγ-
κάλως ἔχει· ἐπειδὰν δὲ τοὺς καιροὺς συλλογίσηταί τις
ἐφ' ὧν ἐγράφη, καὶ τὰς ὑποσχέσεις ἃς οὗτος ὑπισχνεῖτο 356
τότε, οὐδὲν ἄλλο [b] φανήσονται πλὴν παραδόντες Φιλίππῳ
καὶ Θηβαίοις Φωκέας, μόνον [c] οὐκ ὀπίσω τὼ χεῖρε δήσαν-
τες. Λέγε τὸ ψήφισμα.

53 ΨΗΦΙΣΜΑ.

Ὁρᾶτε ὦ ἄνδρες Ἀθηναῖοι τὸ ψήφισμα, ὅσων ἐπαίνων καὶ ὅσης εὐφημίας μεστόν ἐστι, καὶ τὴν εἰρήνην εἶναι τὴν αὐτὴν ἥνπερ Φιλίππῳ καὶ τοῖς [d] ἐγγόνοις, καὶ τὴν συμμαχίαν, καὶ ἐπαινέσαι [e] δὲ Φίλιππον ὅτι ἐπαγγέλλεται τὰ δίκαια ποιήσειν. ἀλλ' οὐδὲν ἐκεῖνός γε ἐπηγγέλλετο, ἀλλὰ [f] τοσούτου ἔδει ἐπαγγέλλεσθαι, ὥστ' οὐδ' εἰδέναι
54 φησὶ τί ἂν ποιῶν [g] ὑμῖν χαρίσαιτο. ἀλλ' οὗτος ἦν ὁ λέ-
γων ὑπὲρ αὐτοῦ καὶ [h] ὑπισχνούμενος. πρὸς δὲ τοὺς παρὰ

[p] ἔφη post ἀφίστασο ponunt k. s.

[q] προσποιήσει S. vulg. προσποιήσῃ.

[r] ἢ addidit S.

[s] ἐπαναστὰς] ἀναστὰς k. r. s.

[t] οὐδέν] οὐδέν ἐστιν F. Q. O. k. r. s. t. u. v.

[u] μὴ] εἰ μὴ Q. r. cum pr. F. et γρ. S.

[x] δοκεῖν] δοκεῖ γρ. S.

[y] ὁ om. Q. r.

[z] οὑτωσὶ] οὕτως εἰ s. οὑτωσὶ εἰ r.

[a] παγκάλως] πάνυ καλῶς k. r. s.

[b] φανήσονται] φανήσεται u. φανήσεσθε margo u.

[c] οὐκ] οὐχὶ k. s.

[d] ἐγγόνοις] ἐγγόνοις F. ἐκγόνοις Q. k. r. s.

[e] δὲ om. O.

[f] τοσούτου] τοσούτου γε F. Q. O. r. t. u. v.

[g] ὑμῖν χαρίσαιτο] ἡμῖν χαρίσαιτο k. s. χαρίσαιτο ὑμῖν r.

[h] ὑπισχνούμενος] ἐπισχνούμενος u.

τούτου λόγους ὡρμηκότας [i] λαβὼν ὑμᾶς ὁ Φιλοκράτης,
ἐγγράφει τοῦτ' εἰς τὸ ψήφισμα· ἐὰν [k] δὲ μὴ ποιῶσι
Φωκεῖς ἃ δεῖ, καὶ παραδιδῶσι τοῖς Ἀμφικτύοσι τὸ ἱε-
ρόν, ὅτι βοηθήσει [l] ὁ δῆμος ὁ Ἀθηναίων ἐπὶ τοὺς [m] διακω-
55 λύοντας [n] ταῦτα γίγνεσθαι. οὐκοῦν, ὦ ἄνδρες Ἀθηναῖοι,
μενόντων μὲν [o] ὑμῶν οἴκοι καὶ οὐκ ἐξεληλυθότων, [p] ἀπε-
ληλυθότων δὲ τῶν Λακεδαιμονίων καὶ προῃσθημένων τὴν
ἀπάτην, οὐδενὸς δ' ἄλλου [q] παρόντος τῶν Ἀμφικτυόνων
πλὴν Θετταλῶν καὶ Θηβαίων, εὐφημότατ' ἀνθρώπων τού-
τοις παραδοῦναι [r] γέγραφε τὸ ἱερὸν γράψας τοῖς Ἀμφι-
κτύοσι παραδοῦναι (ποίοις; οὐ γὰρ ἦσαν αὐτόθι πλὴν
56 Θηβαῖοι καὶ Θετταλοί), ἀλλ' [s] οὐ συγκαλέσαι [t] δὲ [u] τοὺς
Ἀμφικτύονας, οὐδ' ἐπισχεῖν ἕως ἂν συλλεγῶσιν, οὐδὲ
βοηθεῖν Πρόξενον εἰς Φωκέας, οὐδ' ἐξιέναι Ἀθηναίους, οὐδὲ
[x] τοιοῦτ' οὐδέν. καίτοι καὶ ἐπιστολὰς ἔπεμψεν ὁ Φίλιπ- 357
πος δύο καλούσας ὑμᾶς, οὐχ ἵν' [y] ἐξέλθοιτε· πώμαλα·
οὐ γὰρ ἄν ποτε τοὺς χρόνους ἀνελών, ἐν οἷς ἠδυνήθητ' [z] ἂν
ἐξελθεῖν, τηνικαῦτ' ἐκάλει· οὐδ' ἂν ἐμέ, ἡνίκα δεῦρο ἀπο-
πλεῖν ἐβουλόμην, κατεκώλυεν· οὐδὲ [a] τοιαῦτα λέγειν τού-
τῳ προσέταττεν, ἐξ ὧν [b] ἥκισθ' ὑμεῖς [c] ἠμέλλετ' ἐξιέναι·
57 ἀλλ' ἵνα, ἃ ἠβούλεσθε, οἰόμενοι πράξειν αὐτὸν μηδὲν ἐναν-

[i] λαβὼν ὑμᾶς] ὑμᾶς λαβὼν F. Q. O. k. r. s. t. u. v.

[k] δὲ post ἐὰν om. S. Y.

[l] ὁ δῆμος ὁ Ἀθ.] ὁ δῆμος ἀθ. r. ὁ δῆμος ὁ τῶν ἀθ. s.

[m] διακωλύοντας] διακωλύσοντας k. r. s.

[n] ταῦτα] αὐτὰ F. Q. O. r. t. u. v.

[o] ὑμῶν om. pr. r.

[p] ἀπεληλυθότων δὲ τῶν] τῶν δὲ k.

[q] παρόντος] παρόντων k. s.

[r] γέγραφε ante παραδοῦναι ponunt k. s. post ἱερὸν ponit r.

[s] οὐ S. s. et pr. k. vulg. οὐδέ.

[t] δὲ S. s. om. Y. k. r. t. u. v. ἔδει margo F. O. et γρ. Q.

[u] τοὺς om. r. s. u.

[x] τοιοῦτ'] τοιοῦτον F. k. r. s.

[y] ἐξέλθοιτε] ἐξέλθητε libri omnes.

[z] ἂν ἐξελθεῖν] ἀνελθεῖν s.

[a] τοιαῦτα] τοιαυτὶ Q. r.

[b] ἥκισθ' ὑμεῖς] ὑμεῖς ἥκιστα F. Q. O. r. t. u. v.

[c] ἠμέλλετ'—ἠβούλεσθε] ἐμέλλετ'—ἐβούλεσθε S.

τίον [d] ψηφίσαισθε αὐτῷ, μηδ' [e] ἀμύνοιντο μηδ' ἀντέχοιεν
οἱ Φωκεῖς ἐπὶ ταῖς παρ' ὑμῶν [f] ἐπανέχοντες ἐλπίσιν,
ἀλλ' ἀπογνόντες [g] ἅπαντα ἑαυτοὺς ἐγχειρίσαιεν. Λέγε
δ' αὐτοῖς [h] αὐτὰς τὰς ἐπιστολὰς [i] τὰς τοῦ Φιλίππου.

## ΕΠΙΣΤΟΛΑΙ.

58 Αἱ μὲν τοίνυν ἐπιστολαὶ καλοῦσιν αὗται, καὶ νὴ Δία
ἤδη γε· τούτοις δ', εἴπερ ἦν ὑγιές τι τούτων, τί ἄλλο
[k] προσῆκεν ἢ συνειπεῖν ὅπως [l] ἐξέλθοιτε ὑμεῖς, καὶ τὸν
Πρόξενον, ὃν περὶ τοὺς τόπους ᾔδεσαν ὄντα, γράφειν εὐ-
θέως βοηθεῖν; πάντα τοίνυν τἀναντία τούτων φαίνονται
πεποιηκότες. εἰκότως· οὐ γὰρ οἷς [m] ἐπέστελλε [n] προσεῖ-
χον τὸν νοῦν, ἀλλ' ἃ φρονῶν ταῦτ' ἔγραφε συνῄδεσαν·
59 τούτοις οὖν συνέπραττον καὶ τούτοις συνηγωνίζοντο. οἱ μὲν
τοίνυν Φωκεῖς, ὡς τὰ παρ' ὑμῶν ἐπύθοντο ἐκ τῆς ἐκκλη-
σίας καὶ τό [o] τε ψήφισμα τοῦτ' ἔλαβον τὸ τοῦ Φιλοκρά-
τους καὶ τὴν [p] ἀπαγγελίαν ἐπύθοντο τὴν τούτου καὶ τὰς
ὑποσχέσεις, κατὰ πάντας τοὺς τρόπους ἀπώλοντο. σκο-
60 πεῖτε γάρ. ἦσαν ἀπιστοῦντές τινες αὐτόθι τῷ Φιλίππῳ
καὶ [q] νοῦν ἔχοντες· οὗτοι πιστεύειν [r] ὑπήχθησαν. [s] διὰ τί;
ὅτι ἡγοῦντο, οὐδ' εἰ δεκάκις Φίλιππος αὐτοὺς ἐξηπάτα, 358
οὐδέποτ' ἂν τούς [t] γε Ἀθηναίων πρέσβεις [u] Ἀθηναίους ἐξα-
πατᾶν τολμῆσαι, ἀλλ' εἶναι ταῦτ' ἀληθῆ ἃ οὗτος [x] ἀπήγ-

[d] ψηφίσαισθε] ψηφίσησθε Q. k. r. s. ψηφισασθε S.

[e] ἀμύνοιντο] ἀμύναιντο S. Y. O. u. v. ἀμύναιτο t.

[f] ἐπανέχοντες] ἐπέχοντες F. Y. Q. O. t. u. v. ὑπέχοντες S.

[g] ἅπαντα S. k. r. s. et γρ. Q. vulg. ἅπαντες.

[h] αὐτὰς om. k.

[i] τὰς ante τοῦ om. O.

[k] προσῆκεν] προσῆκον s.

[l] ἐξέλθοιτε] ἐξέλθητε S. Y. k. r.

[m] ἐπέστελλε] ἐπέστελλον s.

[n] προσεῖχον] προσέχειν r.

[o] τε delet Y. om. O. r. t. u. v.

[p] ἀπαγγελίαν] ἐπαγγελίαν F. Q. O. r. s. t. u. v.

[q] νοῦν] νῦν u.

[r] ὑπήχθησαν] ἐπήχθησαν O.

[s] διὰ τί in γρ. Q.

[t] γε om. k. s.

[u] Ἀθηναίους] εἰς ἀθηναίους S.

[x] ἀπήγγειλε] ἀπήγγελλε S. ἐπήγγειλε s.

γειλε πρὸς ὑμᾶς, καὶ τοῖς Θηβαίοις ἥκειν, [y] οὐχ αὐτοῖς
61 ὄλεθρον. ἦσαν ἄλλοι τινὲς οἳ πάσχειν ὁτιοῦν καὶ [z] ἀμύ-
νεσθαι δεῖν ᾤοντο· ἀλλὰ καὶ τούτους μαλακοὺς ἐποίησε
τὸ τὸν Φίλιππον [a] ὑπάρχειν αὐτοῖς πεισθῆναι, καὶ τὸ
ταῦτ' εἰ μὴ [b] ποιήσουσιν [c] ὑμᾶς ἐπ' αὐτοὺς ἥξειν, οὓς βοη-
θήσειν [d] αὐτοῖς ἤλπιζον ἐκεῖνοι. ἀλλὰ καὶ μεταμέλειν
ὑμῖν ᾤοντό τινες πεποιημένοις τὴν πρὸς [e] Φίλιππον εἰρή-
νην· τούτοις ὅτι καὶ τοῖς [f] ἐγγόνοις τὴν αὐτὴν [g] ἐψηφί-
σασθ' ἐπέδειξαν, ὥστε [h] πανταχῇ τὰ παρ' [i] ὑμῶν ἀπο-
γνωσθῆναι. διόπερ [k] ἅπαντα ταῦτα εἰς ἓν [l] ψήφισμα
62 συνεσκεύασαν. ὃ καὶ μέγιστον ἔμοιγε δοκοῦσιν ἁπάντων
ὑμᾶς ἠδικηκέναι· τὸ γὰρ πρὸς ἄνδρα θνητὸν καὶ διὰ και-
ρούς τινας ἰσχύοντα γράφοντας εἰρήνην ἀθάνατον [m] συνθέ-
σθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην, καὶ ἀποστερῆσαι
μὴ [n] μόνον τῶν ἄλλων ἀλλὰ καὶ τῶν παρὰ τῆς τύχης
εὐεργεσιῶν τὴν πόλιν, καὶ τοσαύτῃ περιουσίᾳ [o] χρήσασθαι
πονηρίας ὥστε μὴ μόνον τοὺς ὄντας Ἀθηναίους ἀλλὰ καὶ
τοὺς ὕστερόν ποτε μέλλοντας ἔσεσθαι πάντας ἠδικηκέναι,
63 πῶς οὐχὶ πάνδεινόν ἐστι; τοῦτο τοίνυν οὐδέποθ' ὑμεῖς
[p] ὑπεμείνατ' ἂν ὕστερον προσγράψαι πρὸς τὴν εἰρήνην, τὸ
καὶ τοῖς [q] ἐγγόνοις, εἰ μὴ ταῖς παρ' Αἰσχίνου ῥηθείσαις

[y] οὐχ αὐτοῖς] οὐκ αὐτοῖς F. S. Y. O. r. t. u. v.

[z] ἀμύνεσθαι] ἀμύνασθαι O. t. u. v.

[a] ὑπάρχειν] ὑπάρξειν k. r. s.

[b] ποιήσουσιν F. Y. O. r. t. u. v. vulg. ποιήσωσιν.

[c] ὑμᾶς] ἡμᾶς O. t. u. v.

[d] αὐτοῖς] αὐτοὺς Q.

[e] Φίλιππον] τὸν φίλιππον k.

[f] ἐγγόνοις S. O. t. u. v. ἐκγόνοις F.

[g] ἐψηφίσασθε] ἐπεψηφίσασθε r.

[h] πανταχῇ] παντευχῇ u.

[i] ὑμῶν] ὑμῖν s.

[k] ἅπαντα ταῦτα S. Y. vulg. ταῦτα πάντα.

[l] ψήφισμα] ψήφισμα οὗτοι F. Q. O. t. u. v.

[m] συνθέσθαι] συνθέσθαι καὶ r.

[n] μόνον] μόνον παρὰ F. Y. Q. μόνον τῶν παρὰ O. t u. v.

[o] χρήσασθαι] χρῆσθαι k. r. s.

[p] ὑπεμείνατ'] ὑπεμείνετ' r. s.

[q] ἐγγόνοις S. O. t. u. v. ἐκγόνοις F.

ὑποσχέσεσι τότ' ἐπιστεύσατε. αἷσπερ οἱ Φωκεῖς πιστεύσαντες ἀπώλοντο. καὶ γάρ τοι παραδόντες αὑτοὺς Φιλίππῳ καὶ ἑκόντες [r] ἐγχειρίσαντες ἐκείνῳ τὰς πόλεις 359 ἁπάντων τῶν ἐναντίων, ὧν πρὸς [s] ὑμᾶς οὗτος ἀπήγγειλεν, ἔτυχον.

64 Ἵνα δ' εἰδῆτε σαφῶς ὅτι ταῦθ' οὕτω καὶ διὰ τούτους ἀπόλωλε, τοὺς χρόνους [t] ὑμῖν λογιοῦμαι καθ' οὓς ἐγίγνεθ' ἕκαστα. περὶ ὧν δ' ἂν τις ἀντιλέγῃ τούτων, ἀναστὰς ἐν τῷ ἐμῷ ὕδατι [u] εἰπάτω. ἡ μὲν τοίνυν εἰρήνη ἐλαφηβολιῶνος [x] ἐνάτῃ ἐπὶ [y] δέκα [z] ἐγένετο, ἀπεδημήσαμεν δ' ἡμεῖς ἐπὶ τοὺς ὅρκους τρεῖς μῆνας ὅλους· καὶ τοῦτον
65 ἅπαντα τὸν χρόνον ἦσαν οἱ Φωκεῖς σῶοι. ἥκομεν δὲ δεῦρο ἀπὸ τῆς πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους τρίτῃ ἐπὶ [a] δέκα [b] τοῦ σκιροφοριῶνος μηνός, καὶ παρῆν [c] ὁ Φίλιππος ἐν Πύλαις [d] ἤδη καὶ τοῖς Φωκεῦσιν [e] ἐπηγγέλλετο ὧν οὐδὲν ἐπίστευον ἐκεῖνοι. σημεῖον δέ· οὐ γὰρ ἂν δεῦρ' ἧκον ὡς ὑμᾶς. ἡ δ' ἐκκλησία μετὰ ταῦτα, ἐν ᾗ πάντα τὰ πράγματ' [f] ἀπώλεσαν οὗτοι ψευσάμενοι καὶ φενακίσαντες [g] ὑμᾶς, τῇ ἕκτῃ ἐπὶ [h] δέκα [i] ἐγίγνετο τοῦ σκιροφοριῶνος.
66 ἀπὸ τοίνυν ταύτης πεμπταῖα [j] λογίζομαι τὰ παρ' ὑμῶν ἐν τοῖς Φωκεῦσι γενέσθαι· παρῆσαν γὰρ οἱ τῶν Φωκέων πρέσβεις ἐνθάδε, καὶ ἦν αὐτοῖς καὶ τί [k] ἀπαγγελοῦσιν

[r] ἐγχειρίσαντες] ἐγχειρήσαντες S. Q.
[s] ὑμᾶς] ἡμᾶς F. u. v.
[t] ὑμῖν] ἡμῖν r.
[u] εἰπάτω] εἰπέτω pr. F.
[x] ἐνάτῃ] ἐννάτῃ k.
[y] δέκα] δεκάτῃ Y. r. et γρ. F.
[z] ἐγένετο] ἐγίγνετο r.
[a] δέκα] δεκατῃ S. Y. O. t. u. et γρ. F. Q.
[b] τοῦ om. S. Y. r.
[c] ὁ Φίλιππος ἐν Πύλαις S. Y. vulg. ἐν Πύλαις ὁ Φίλιππος.
[d] ἤδη] ἦση u. εἴσω margo u.
[e] ἐπηγγέλλετο] ἐπηγγείλλετο s.
[f] ἀπώλεσαν] ἀπολωλέκεσαν k. s.
[g] ὑμᾶς] ἡμᾶς v.
[h] δέκα] δεκάτῃ r.
[i] ἐγίγνετο τοῦ σκιροφ. S. Y. ἐγίγνετο τοῦ σκιροφ. μηνός k. s. σκιροφ. ἐγίγνετο r. vulg. τοῦ σκιροφ. ἐγίγνετο.
[j] λογίζομαι] λογίζομαι καὶ r.
[k] ἀπαγγελοῦσιν] ἀπαγγέλλουσιν S. Q. k. s.

οὗτοι καὶ τί ψηφιεῖσθ' ὑμεῖς ἐπιμελὲς [l] εἰδέναι. οὐκοῦν
εἰκάς, ᾗ τίθεμεν πυθέσθαι τοὺς Φωκέας τὰ παρ' ὑμῶν·
ἀπὸ γὰρ τῆς ἕκτης εἰς ταύτην πέμπτη γίγνεται. ὑστέρα
τοίνυν δεκάτη, ἐνάτη, ὀγδόη· ταύτῃ ἐγίγνονθ' αἱ σπονδαί,
καὶ πάντα τἀκεῖ πράγματ' [m] ἀπολώλει καὶ τέλος εἶχεν.
67 τῷ [n] τοῦτο δῆλον; τῇ τετράδι φθίνοντος [o] ἠκκλησιάζετε
μὲν [p] τόθ' ὑμεῖς ἐν Πειραιεῖ περὶ τῶν ἐν τοῖς νεωρίοις, ἧκε
δὲ [q] Δερκύλος ἐκ Χαλκίδος, καὶ [r] ἀπήγγειλεν ὑμῖν ὅτι 360
πάντα τὰ πράγματ' [s] ἐγκεχείρικε Θηβαίοις ὁ Φίλιππος,
καὶ πέμπτην [t] εἶναι ταύτην ἡμέραν ἐλογίζετ' ἀφ' οὗ γε-
γόνασιν αἱ σπονδαί. ὀγδόη τοίνυν, ἑβδόμη, ἕκτη, πέμπτη,
τετράς· αὕτη συμβαίνει εἰς ταύτην εἶναι πέμπτην. οὐκοῦν
τοῖς χρόνοις, οἷς ἀπήγγελλον, οἷς ἔγραφον, πᾶσιν ἐξε-
λέγχονται συνηγωνισμένοι Φιλίππῳ καὶ συναίτιοι γεγο-
68 νότες τοῦ τῶν Φωκέων ὀλέθρου. ἔτι τοίνυν τὸ μηδεμίαν τῶν
πόλεων τῶν ἐν Φωκεῦσιν ἁλῶναι πολιορκίᾳ μηδ' ἐκ προσ-
βολῆς κατὰ κράτος, ἀλλ' ἐκ τοῦ [u] σπείσασθαι πάντας
ἄρδην ἀπολέσθαι, μέγιστόν ἐστι σημεῖον τοῦ διὰ τούτους
πεισθέντας αὐτοὺς ὡς ὑπὸ τοῦ Φιλίππου σωθήσονται ταῦ-
τα παθεῖν· οὐ γὰρ ἐκεῖνόν γε ἠγνόουν. φέρε δή [x] μοι καὶ
τὴν συμμαχίαν τὴν τῶν Φωκέων καὶ τὰ δόγματα, ὑφ' ὧν
[y] καθεῖλον αὐτῶν τὰ τείχη, ἵν' εἰδῆτε [z] οἵων ὑπαρχόντων
αὐτοῖς παρ' ὑμῶν οἵων ἔτυχον διὰ [a] τουτουσὶ τοὺς θεοῖς
ἐχθρούς. λέγε.

[l] εἰδέναι in γρ. S.

[m] ἀπολώλει] ἀπωλώλει F. Y. s.

[n] τοῦτο] τούτου r.

[o] ἠκκλησιάζετε S. Y. t. v. ἠκκλησιάζετε F. vulg. ἐκκλησιάζετε.

[p] τόθ' om. k. s.

[q] Δερκύλος F. S. Y. Q. t. v. δερκῦλος r. u. δέρκυλος O. δερκύλλος k. s. vulg. Δέρκυλλος.

[r] ἀπήγγειλεν] ἀπήγγελλεν F. S. Y. et γρ. Q.

[s] ἐγκεχείρικε] ἐγκεχείρηκε Q.

[t] εἶναι ταύτην ἡμέραν S. Y. k. s. ceteri ἡμέραν εἶναι ταύτην.

[u] σπείσασθαι] πείσασθαι t.

[x] μοι καὶ om. k. s.

[y] καθεῖλον S. vulg. καθεῖλεν.

[z] οἵων] ὧν S. Y.

[a] τουτουσὶ S. vulg. τούτους.

69 [b] ΣΥΜΜΑΧΙΑ ΦΩΚΕΩΝ ΚΑΙ ΑΘΗΝΑΙΩΝ.

Ἃ μὲν τοίνυν ὑπῆρχε παρ' ὑμῶν αὐτοῖς, ταῦτ' ἐστί, φιλία, συμμαχία, βοήθεια· ὧν δ' ἔτυχον διὰ τοῦτον τὸν βοηθῆσαι κωλύσαντα [c] ὑμᾶς, ἀκούσατε. λέγε.

ΟΜΟΛΟΓΙΑ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΦΩΚΕΩΝ.

[d] Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι. ὁμολογία Φιλίππου καὶ Φωκέων, φησίν, οὐχὶ Θηβαίων καὶ Φωκέων, [e] οὐδὲ Θετταλῶν καὶ Φωκέων, οὐδὲ Λοκρῶν, οὐδὲ ἄλλου τῶν παρόντων οὐδενός· καὶ πάλιν παραδοῦναι δὲ τὰς πόλεις [f] Φωκέας φησὶ Φιλίππῳ, οὐχὶ Θηβαίοις [g] οὐδὲ Θετταλοῖς οὐδὲ ἄλλῳ οὐδενί. 361

70 διὰ τί; ὅτι Φίλιππος ἀπηγγέλλετο πρὸς ὑμᾶς ὑπὸ τούτου ἐπὶ τῇ τῶν Φωκέων σωτηρίᾳ παρεληλυθέναι. τούτῳ δὴ [h] πάντ' ἐπίστευον, καὶ πρὸς τοῦτον [i] πάντ' ἐσκόπουν, πρὸς τοῦτον [k] ἐποιοῦντο τὴν εἰρήνην. λέγε δὴ τἀπίλοιπα. καὶ σκοπεῖτε, [l] τί πιστεύσαντες τί ἔπαθον. ἆρά γε ὅμοια ἢ παραπλήσια οἷς οὗτος [m] ἀπήγγειλεν; λέγε.

[n] ΔΟΓΜΑ ΑΜΦΙΚΤΥΟΝΩΝ.

71 Τούτων ὦ ἄνδρες Ἀθηναῖοι δεινότερα [o] οὐ γέγονεν οὐδὲ μείζω πράγματ' ἐφ' ἡμῶν ἐν τοῖς Ἕλλησιν, οἶμαι δ'

[b] Συμμαχία Φωκέων καὶ Ἀθηναίων S. et γρ. Q. συμμαχία φωκέων καὶ θηβαίων F. Y. Q. r. t. δόγματα συμμαχία θηβαίων καὶ φωκέων O. u. v. συμμαχία φωκέων k. s. vulg. συμμαχία Ἀθηναίων καὶ Φωκέων.

[c] ὑμᾶς] ἡμᾶς k. s.

[d] Ἀκούετε] ἀκούσατε s.

[e] οὐδὲ Θετταλῶν καὶ Φωκέων om. Q.

[f] Φωκέας φησὶ S. Y. ceteri φησὶ Φωκέας.

[g] οὐδὲ Θετταλοῖς] καὶ θετταλοῖς k. οὐχὶ θετταλοῖς Q. r. v.

[h] πάντ' S.O.k.r.s.t.u.v. vulg. πάντες.

[i] πάντ' ἐσκόπουν πρὸς τοῦτον om. F. k. r. s. in γρ. habet Q.

[k] ἐποιοῦντο] πάντες ἐποιοῦντο F. Q. r.

[l] τί πιστεύσαντες τί ἔπαθον F. Q. O. t. u. v. τίνα πιστεύσαντες τί ἔπαθον Y. τίνα πιστεύσαντες τί ἔπασχον S. τίνα πιστεύσαντες τίνα ἔπαθον γρ. Q. τίνα πιστεύσαντες οἷα ἔπαθον r. οἷα πιστεύσαντες οἷα ἔπαθον k. s. et γρ. S.

[m] ἀπήγγειλεν] ἀπήγγελλεν F. S. Y. Q. r. t. u. v. ἀπήγγειλλε O.

[n] Δόγμα] δόγματα O. u. v.

[o] οὐ] οὔτε Q. k. r.

οὐδ' ἐν τῷ [p] πρόσθεν χρόνῳ. τηλικούτων μέντοι καὶ τοιού-
των πραγμάτων [q] κύριος εἷς ἀνὴρ Φίλιππος γέγονε διὰ
τούτους, οὔσης [r] τῆς Ἀθηναίων πόλεως, ᾗ προεστάναι τῶν
Ἑλλήνων πάτριον καὶ μηδὲν [s] τοιοῦτον περιορᾷν γιγνόμε-
νον. ὃν μὲν τοίνυν τρόπον οἱ ταλαίπωροι Φωκεῖς ἀπολώ-
λασιν, οὐ μόνον ἐκ τῶν δογμάτων [t] τούτων ἔστιν ἰδεῖν,
72 ἀλλὰ καὶ ἐκ τῶν ἔργων ἃ πέπρακται, θέαμα δεινὸν ὦ
ἄνδρες Ἀθηναῖοι καὶ ἐλεεινόν· ὅτε γὰρ νῦν ἐπορευόμεθα
εἰς Δελφούς, ἐξ ἀνάγκης ἦν [u] ὁρᾷν ἡμῖν [x] πάντα ταῦτα,
οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον
τῶν ἐν ἡλικίᾳ, γύναια δὲ καὶ παιδάρια ὀλίγα καὶ πρεσ-
βύτας ἀνθρώπους οἰκτρούς. [y] οὐδ' ἂν εἷς [z] δύναιτ' ἐφικέ-
73 σθαι τῷ λόγῳ τῶν ἐκεῖ κακῶν νῦν ὄντων. ἀλλὰ μὴν ὅτι
τὴν ἐναντίαν ποτὲ Θηβαίοις ψῆφον ἔθεντο οὗτοι περὶ [a] ἡ-
μῶν [b] ὑπὲρ ἀνδραποδισμοῦ [c] προτεθεῖσαν, ὑμῶν ἔγωγε
ἀκούω πάντων. τίν' [d] ἂν οὖν οἴεσθε [e] ὦ ἄνδρες Ἀθηναῖοι
τοὺς προγόνους ὑμῶν, εἰ λάβοιεν αἴσθησιν, ψῆφον ἢ γνώ- 362
74 μην θέσθαι περὶ τῶν αἰτίων τοῦ [f] τούτων ὀλέθρου; ἐγὼ μὲν
γὰρ οἶμαι κἂν [g] καταλεύσαντας αὐτοὺς ταῖς ἑαυτῶν
χερσὶ καθαροὺς ἔσεσθαι νομίζειν. πῶς γὰρ οὐκ αἰσχρόν,
μᾶλλον δ' εἴ τις ἔστιν ὑπερβολὴ [h] τούτου, τοὺς σεσωκό-
τας ἡμᾶς [i] τότε καὶ τὴν σώζουσαν [k] περὶ ἡμῶν ψῆφον

[p] πρόσθεν] ἔμπροσθεν s.
[q] κύριος εἷς ἀνὴρ] εἷς ἀνὴρ κύριος r.
[r] τῆς] $\overset{\text{τῆς}}{\text{τῶν}}$ O.
[s] τοιοῦτον] τοιοῦτο Q.
[t] τούτων om. u.
[u] ὁρᾷν ἡμῖν] ἡμῖν ὁρᾷν k. s.
[x] πάντα] ἅπαντα k. s.
[y] Ante οὐδ' ἂν cum S. Y. omisi ὅλως δέ.
[z] δύναιτο post ἐφικέσθαι ponunt F. Q. O. r. t. u. v. post λόγῳ k. s.
[a] ἡμῶν] ὑμῶν k. s.
[b] ὑπὲρ] ὑπὸ O. t. u.
[c] προτεθεῖσαν] προστεθεῖσαν O. t. u.
[d] ἂν om. F. S. Q. k. s.
[e] ὦ om. k. s.
[f] τούτων S. vulg. τῶν Φωκέων.
[g] καταλεύσαντας] κατακελεύσαντας O.
[h] τούτου] του pr. S. τούτοις O.
[i] τότε om. k.
[k] περὶ ἡμῶν ψῆφον] ψῆφον περὶ ἡμῶν s.

θεμένους, τούτους τῶν ἐναντίων τετυχηκέναι διὰ τούτους,
καὶ περιῶφθαι τοιαῦτα πεπονθότας οἷα οὐδένες ἄλλοι τῶν
Ἑλλήνων; τίς οὖν ὁ τούτων αἴτιος; τίς ὁ [l] ταῦτα φενα-
κίσας; οὐχ οὗτος;

75 [m] Πολλὰ τοίνυν [n] ἄν τις ὦ ἄνδρες Ἀθηναῖοι Φίλιππον
εὐδαιμονίσας τῆς τύχης, εἰκότως [o] τοῦτο μάλιστ' ἂν εὐ-
δαιμονίσειεν ἁπάντων, [p] ὃ μὰ τοὺς θεοὺς καὶ τὰς θεὰς
οὐκ ἔχω λέγειν ἔγωγε ἄλλον ὅστις [q] εὐτύχηκεν ἐφ' ἡμῶν.
τὸ μὲν γὰρ πόλεις μεγάλας εἰληφέναι καὶ χώραν πολ-
λὴν ὑφ' ἑαυτῷ πεποιῆσθαι καὶ πάντα τὰ τοιαῦτα ζηλω-
τὰ μέν ἐστιν, οἶμαι, καὶ λαμπρά· πῶς γὰρ οὔ; ἔχοι
76 δ' ἄν τις εἰπεῖν πεπραγμένα καὶ ἑτέροις [r] πολλοῖς. ἀλλ'
[s] ἐκεῖνο ἴδιον καὶ οὐδενὶ τῶν [t] πάντων [u] ἄλλῳ γεγονὸς εὐ-
τύχημα. τὸ ποῖον; τὸ ἐπειδὴ πονηρῶν ἀνθρώπων εἰς τὰ
πράγματ' [x] αὐτῷ ἐδέησε, πονηροτέρους εὑρεῖν ἢ ἐβούλετο.
πῶς γὰρ οὐχ οὗτοι τοιοῦτοι δικαίως ὑποληφθεῖεν [y] ἄν,
[z] οἵγε, [a] ἃ ὑπὲρ αὐτοῦ Φίλιππος τηλικούτων ὄντων αὐτῷ
τῶν [b] διαφόρων οὐκ ἐτόλμα ψεύσασθαι, [c] οὐδ' ἔγραψεν
οὔτ' εἰς ἐπιστολὴν οὐδεμίαν, [d] οὔτε πρεσβευτὴς οὐδεὶς εἶπε
τῶν παρ' ἐκείνου, ἐπὶ ταῦτα [e] μισθώσαντες ἑαυτοὺς ὑμᾶς
77 ἐξηπάτων; καὶ ὁ μὲν Ἀντίπατρος καὶ ὁ Παρμενίων, δε-

[l] ταῦτα in γρ. Q.

[m] πολλὰ] πολλὰ μὲν F. Q. O. r. t. u. v.

[n] ἂν om. S.

[o] τοῦτο] τούτου Reiskius.

[p] ὃ] οὗ F. S. Q.

[q] εὐτύχηκεν] εὐτετύχηκεν S. et γρ. Q.

[r] πολλοῖς] πολλά k.

[s] ἐκεῖνο] ἐκεῖνό γ' k. r. s.

[t] πάντων] ἁπάντων r. u.

[u] ἄλλῳ] ἄλλῳ t. ἄλλο F.O. om. k. s.

[x] αὐτῷ post ἐδέησεν ponit t. om. k.

[y] ἂν om. O.

[z] οἵγε S. Q. k. r. s. ceteri εἴγε.

[a] ἃ ὑπὲρ αὐτοῦ] ὑπὲρ ὧν γρ. S. ὑπὲρ ὧν αὐτὸς F. Y. Q. O. r. t. u. v.

[b] διαφόρων] διαφορῶν S. Q. r. s.

[c] οὐδ' ἔγραψεν οὔτ' εἰς ἐπιστολὴν S. Y. οὔτ' ἔγραψεν οὔτ' εἰς ἐπιστολὴν r. οὐδὲ γράψαι οὔτ' εἰς ἐπιστολὴν k. s. οὔτ' εἰς ἐπιστολὴν γράψαι F. Q. O. t. u. v.

[d] οὔτε S. Y. k. r. s. ceteri οὐδέ.

[e] μισθώσαντες] οὗτοι μισθώσαντες F. Y. Q. O. r. t. u. v.

σπότῃ διακονοῦντες καὶ οὐ μέλλοντες [f] ὑμῖν μετὰ ταῦτ' 363
[g] ἐντεύξεσθαι, ὅμως τοῦθ' [h] εὕροντο, [i] μὴ δι' αὐτῶν ὑμᾶς
ἐξαπατηθῆναι. οἱ δ' [k] Ἀθηναίων, [l] τῆς ἐλευθερωτάτης πό-
λεως, πρέσβεις ταχθέντες ὑμᾶς, οἷς ἀπαντῶντας ἐμβλέ-
πειν, οἷς συζῆν ἀνάγκη τὸν λοιπὸν [m] βίον καὶ ἐν οἷς εὐ-
θύνας ἤμελλον δώσειν τῶν πεπραγμένων, τούτους ἐξαπα-
τᾶν ὑπέστησαν. πῶς ἂν ἄνθρωποι κακίους ἢ μᾶλλον
ἀπονενοημένοι τούτων γένοιντο;

78 Ἵνα τοίνυν εἰδῆθ' ὅτι καὶ κατάρατός ἐστιν ὑφ' ὑμῶν,
καὶ οὐδ' ὅσιον [n] ὑμῖν οὐδ' εὐσεβές ἐστι τοιαῦτ' ἐψευσμέ-
νον αὐτὸν ἀφεῖναι, [o] λέγε τὴν ἀρὰν καὶ ἀνάγνωθι λαβὼν
τὴν ἐκ τοῦ νόμου [p] ταυτηνί.

[q] ΑΡΑ.

79 Ταῦθ' ὑπὲρ ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι καθ' ἑκάστην [r] τὴν
ἐκκλησίαν ὁ κῆρυξ εὔχεται νόμῳ προστεταγμένα, καὶ
ὅταν ἡ βουλὴ καθῆται, παρ' ἐκείνῃ πάλιν. καὶ ταῦτ' οὐκ
[s] ἔνεστιν εἰπεῖν τούτῳ ὡς οὐκ εὖ [t] ᾔδει· ὑπογραμματεύων
γὰρ ὑμῖν καὶ ὑπηρετῶν τῇ βουλῇ αὐτὸς ἐξηγεῖτο τὸν νόμον
80 τοῦτον τῷ κήρυκι. πῶς οὖν οὐκ ἄτοπον καὶ ὑπερφυὲς ἂν
πεποιηκότες ὑμεῖς εἴητε, εἰ [u] ἄρ', ἃ [x] προστάττετε, μᾶλ-
λον [y] δ' ἀξιοῦτε [z] ποιεῖν ὑπὲρ ὑμῶν τοὺς θεούς, [a] ταῦτ' αὐ-

[f] ὑμῖν post ταῦτ' ponunt F. Q. O. r. t. u. v.

[g] ἐντεύξεσθαι] ἐντεύξασθαι F. ἐντεύξασθαι r. s.

[h] εὕροντο] εὗρον Y. k. s. εὕραντο Q. r.

[i] μὴ] τὸ μὴ omnes præter S.

[k] Ἀθηναίων] ἀθηναῖοι F. S. Y. O. k. r. s. t. u. v.

[l] τῆς] οἱ τῆς s. et rec. O.

[m] βίον] χρόνον k. s.

[n] ὑμῖν οὐδ' εὐσεβές om. F. in γρ. habet Q.

[o] λέγε] λαβὲ k. s.

[p] ταυτηνί] ταύτην Q. k. s.

[q] ΑΡΑ om. s.

[r] τὴν post ἑκάστην recepi ex S. Y.

[s] ἔνεστιν] ἔστιν Q. r.

[t] ᾔδει] ἔχει correctus r.

[u] ἄρ' om. F. Q. k. s.

[x] προστάττετε] προστάττεται O.

[y] δ' om. pr. S.

[z] ποιεῖν] ποιήσειν Y. Q. O. r. t. u. v.

[a] ταῦτ' αὐτοὶ] ταῦθ' οἱ S.

τοὶ κύριοι γεγενημένοι τήμερον μὴ [b] ποιήσαιτε, ἀλλ' ὃν
ἐκείνοις εὔχεσθ' ἐξώλη ποιεῖν αὐτὸν καὶ γένος καὶ οἰκίαν,
τοῦτον [c] ἀφείητε αὐτοί; μηδαμῶς· ὃς γὰρ ἂν ὑμᾶς
[d] λάθῃ, τοῦτον ἀφίετε τοῖς θεοῖς κολάζειν· ὃν [e] δ' ἂν αὐ-
τοὶ [f] λάβητε, μηκέτ' ἐκείνοις περὶ τούτου προστάττετε.

81 Εἰς [g] τοίνυν τοῦτ' ἀναιδείας καὶ τόλμης [h] αὐτὸν ἥξειν
ἀκούω, ὥστε πάντων τῶν πεπραγμένων ἐκστάντα, ὧν
ἀπήγγειλεν, ὧν ὑπέσχετο, ὧν πεφενάκικε τὴν πόλιν,
ὥσπερ ἐν ἄλλοις τισὶ κρινόμενον καὶ οὐκ ἐν ὑμῖν τοῖς
[i] ἅπαντ' εἰδόσι, πρῶτον μὲν Λακεδαιμονίων, εἶτα Φωκέων, 364
82 εἶθ' Ἡγησίππου κατηγορήσειν. ἔστι δὲ ταῦτα γέλως,
μᾶλλον δ' ἀναισχυντία δεινή. [k] ὅσα γὰρ νῦν ἐρεῖ περὶ
τῶν Φωκέων ἢ τῶν Λακεδαιμονίων ἢ τοῦ Ἡγησίππου, [l] ὡς
Πρόξενον οὐχ ὑπεδέξαντο, ὡς ἀσεβεῖς [m] εἰσίν, ὡς ὅ τι [n] ἂν
δήποτ' αὐτῶν κατηγορῇ, πάντα δήπου ταῦτα πρὸ τοῦ τοὺς
πρέσβεις [o] τούτους δεῦρ' ἥκειν ἐπέπρακτο, καὶ οὐκ ἦν ἐμ-
ποδὼν τῷ τοὺς Φωκέας σώζεσθαι, ὡς [p] τίς φησιν; Αἰ-
83 σχίνης αὐτὸς [q] οὑτοσί. οὐ γὰρ ὡς εἰ μὴ [r] διὰ Λακεδαι-
μονίους, οὐδ' ὡς εἰ μὴ Πρόξενον [s] οὐχ ὑπεδέξαντο, οὐδ' ὡς
εἰ μὴ δι' Ἡγήσιππον, οὐδ' ὡς εἰ μὴ διὰ τὸ καὶ τὸ ἐσώ-
θησαν [t] ἂν οἱ Φωκεῖς, οὐχ οὕτω τότε [u] ἀπήγγειλεν, ἀλλὰ

[b] ποιήσαιτε F. S. Q. vulg. ποιήσετε.
[c] ἀφείητε] ἀφιητε S. ceteri ἀφίετε.
[d] λάθῃ] λάθοι s.
[e] δ' ἂν] δὲ F. Q. O. r. t. u. v.
[f] λάβητε] λάβοιτε k. s.
[g] τοίνυν post τοῦτο ponunt k. s.
[h] αὐτὸν ἥξειν] ἥξειν αὐτὸν F. Q. O. r. t. u. v.
[i] ἅπαντ' S.Y.k.r.s. ceteri πάντ'.
[k] ὅσα] ὃς pr. Y.
[l] ὡς—ὡς] ἢ ὡς—ἢ ὡς F.Y.Q.O. r.t.u.v. et γρ. S.
[m] εἰσὶν ὡς] εἰσὶν ἢ ὡς rec. O. v. et γρ. S. εἰσὶν ἢ correctus r.
[n] ἂν om. γρ. S.
[o] τούτους om. k. τούτων correctus r.
[p] τίς] τίς (περ) O. τίς (που) t. που k. et γρ. v. γε correctus r.
[q] οὑτοσί] οὑτοσίν s.
[r] διὰ om. F. in γρ. habet Q.
[s] οὐχ om. k.
[t] ἂν om. F. O. t. u. v. in γρ. habet Q.
[u] ἀπήγγειλεν] ἀπήγγελλεν (ειλ) F. ἀπήγγελλεν O. k. r. t. u. v.

[x] πάντα ταῦθ' ὑπερβὰς διαῤῥήδην ἥκειν [y] πεπεικὼς ἔφη Φίλιππον Φωκέας σώζειν, τὴν Βοιωτίαν οἰκίζειν, [z] ὑμῖν τὰ πράγματα οἰκεῖα ποιεῖν· ταῦτα πεπράξεσθαι [a] δυοῖν ἢ τριῶν ἡμερῶν, [b] διὰ ταῦτα χρήμαθ' ἑαυτῷ τοὺς Θηβαίους
84 ἐπικεκηρυχέναι. μὴ τοίνυν ἃ πρὸ [c] τοῦ τοῦτον ἀπαγγεῖλαι ταῦτ' ἐπέπρακτο ἢ Λακεδαιμονίοις ἢ Φωκεῦσιν, ἀκούετε μηδ' [d] ἀνέχεσθε, μηδὲ κατηγορεῖν ἐᾶτε Φωκέων [e] ὡς πονηροί. [f] οὐδὲ γὰρ Λακεδαιμονίους διὰ τὴν [g] ἀρετὴν αὐτῶν [h] ποτ' [i] ἐσώσατε, οὐδὲ τοὺς καταράτους Εὐβοέας [k] τουτουσί, οὐδ' ἄλλους πολλούς, ἀλλ' ὅτι συμφέρον ἦν
85 σῶς εἶναι τῇ πόλει, ὥσπερ Φωκέας [l] νυνί. καὶ τί τῶν Φωκέων ἢ τῶν Λακεδαιμονίων ἢ ὑμῶν ἢ ἄλλου τινὸς [m] ἀνθρώπων μετὰ τοὺς παρὰ [n] τούτου λόγους ἐξαμαρτόντος οὐκ ἀπέβη τὰ πρὸς ὑμᾶς ὑπὸ τούτου [o] τότε ῥηθέντα; τοῦτ' ἐρωτᾶτε· οὐ γὰρ ἕξει δεῖξαι. πέντε γὰρ [p] ἡμέραι γεγό- 365
νασι μόναι, ἐν αἷς οὗτος ἀπήγγειλε τὰ ψευδῆ, ὑμεῖς ἐπιστεύσατε, οἱ Φωκεῖς ἐπύθοντο, ἐνέδωκαν ἑαυτούς, ἀπώ-
86 λοντο. ὅθεν, οἶμαι, καὶ δῆλόν ἐστι σαφῶς ὅτι πᾶσα [q] ἡ ἀπάτη καὶ τέχνη συνεσκευάσθη τοῦ περὶ [r] Φωκέας [s] ὀλέθρου. ὃν μὲν γὰρ χρόνον οὐχ οἷός τ' [t] ἦν ἐλθεῖν ὁ Φίλιππος

[x] πάντα ταῦθ'] ταῦτα πάντα k. s.
[y] πεπεικὼς ἔφη] ἔφη πεπεικὼς F. Q. O. k. r. s. t. u. v.
[z] ὑμῖν] ἡμῖν s.
[a] δυοῖν] δυεῖν r.
[b] διὰ] καὶ διὰ k. s.
[c] τοῦ om. O.
[d] ἀνέχεσθε] ἀνάσχεσθε r.
[e] ὡς] οἱ (ὡς) t.
[f] οὐδὲ] οὐ S. Y.
[g] ἀρετὴν αὐτῶν] vulg. αὐτῶν ἀρετήν.
[h] ποτε ante αὐτῶν ponit s.
[i] ἐσώσατε] αὐτοὺς ἐσώσατε correctus r.
[k] τουτουσὶ] τουτουσὶν r. s.
[l] νυνὶ] νῦν F. Q.
[m] ἀνθρώπων] ἀνθρώπου k.
[n] τούτου] τούτων r.
[o] τότε om. F. O. t. u. v. in γρ. habet Q.
[p] ἡμέραι γεγόνασι S. Y. vulg. γεγόνασιν ἡμέραι.
[q] ἡ om. omnes.
[r] Φωκέας] τοὺς φωκέας F. Q. k. r. s. t.
[s] ὀλέθρου] ἕνεκεν ὀλέθρου γρ. S. ὀλέθρου ἕνεκεν γρ. Q.
[t] ἦν om. F.

[u] μετὰ τὴν εἰρήνην ἀλλ' ἦν ἐν παρασκευῇ, τοὺς Λακεδαι-
μονίους μετεπέμπετο, πάντα τὰ πράγμαθ' ὑποσχόμενος
πράξειν [x] ἐκείνοις, ἵνα μὴ δι' [y] ὑμῶν [z] αὐτοὺς οἱ Φωκεῖς
87 [a] ὑποποιήσωνται. [b] ἐπειδὴ δὲ ἧκεν [c] εἰς Πύλας, οἱ Λακε-
δαιμόνιοι δ' αἰσθόμενοι τὴν ἐνέδραν ὑπεχώρησαν, [d] τοῦτον
αὖ προκαθῆκεν ἐξαπατᾷν ὑμᾶς, ἵνα μὴ πάλιν ὑμῶν αἰ-
σθομένων ὅτι Θηβαίοις τὰ πράγματα πράττει εἰς χρόνους
καὶ πόλεμον καὶ τριβὴν ἐμπέσῃ, τῶν μὲν Φωκέων ἀμυνο-
μένων, ὑμῶν δὲ βοηθούντων, ἀλλ' ἀκονιτὶ πάνθ' [e] ὑφ' ἑαυτῷ
ποιήσηται· ὅπερ καὶ γέγονεν. μὴ οὖν ὅτι [f] καὶ Λακεδαι-
μονίους καὶ Φωκέας ἐξηπάτησε Φίλιππος, διὰ ταῦθ' ὧν
[g] ὑμᾶς [h] οὗτος ἐξηπάτησε μὴ [i] δότω δίκην· οὐ γὰρ δί-
καιον.

88 Ἂν τοίνυν ἀντὶ Φωκέων καὶ Πυλῶν καὶ τῶν ἄλλων τῶν
ἀπολωλότων [k] Χεῤῥόνησος ὡς περίεστι τῇ πόλει λέγῃ, πρὸς
Διὸς καὶ θεῶν μὴ ἀποδέξησθε, ὦ ἄνδρες [l] δικασταί, μηδ'
ὑπομείνητε, πρὸς οἷς ἐκ τῆς πρεσβείας ἠδίκησθε, καὶ ἐκ
τῆς ἀπολογίας ὄνειδος [m] προσκατασκευασθῆναι τῇ πόλει,
ὡς ἄρα ὑμεῖς τῶν ἰδίων [n] τι κτημάτων ὑπεξαιρούμενοι τὴν
89 τῶν συμμάχων σωτηρίαν προήκασθε. οὐ γὰρ ἐποιήσατε
τοῦτο, ἀλλ' ἤδη τῆς εἰρήνης γεγονυίας καὶ τῆς Χεῤῥονήσου
σώας οὔσης τέτταρας [o] μῆνας ὅλους ἐσώζοντο οἱ Φωκεῖς 366
τοὺς ὕστερον, ἡ δὲ τούτου ψευδολογία μετὰ ταῦθ' ὕστερον

[u] μετὰ] διὰ F. S. O. t. u. v.
[x] ἐκείνοις ante ὑποσχόμενος ponunt k. s.
[y] ὑμῶν] ἡμῶν k. s.
[z] αὐτοὺς post Φωκεῖς ponit k.
[a] ὑποποιήσωνται] ποιήσωνται S.
[b] ἐπειδὴ] ἐπεὶ r.
[c] εἰς Πύλας] ἐν πύλαις O.
[d] τοῦτον αὖ] τούτων αὖ τινας k.
[e] ὑφ' ἑαυτῷ] ὑπ' αὐτὸν k. s.
[f] καὶ post ὅτι om. r.
[g] ὑμᾶς post ἐξηπάτησε ponunt k. s.
[h] οὗτος om. pr. S.
[i] δότω] διδότω Q. r.
[k] Χεῤῥόνησος] χεῤῥόνησον k. s.
[l] δικασταί] ἀθηναῖοι r.
[m] προσκατασκ.] προκατασκ. O. k. s. t. u.
[n] τι om. Q. O. u.
[o] μῆνας ὅλους] ὅλους μῆνας r. s.

αὐτοὺς ἀπώλεσεν, ἐξαπατήσασα ὑμᾶς. εἶτα καὶ νῦν ἐν
μείζονι κινδύνῳ τὴν Χεῤῥόνησον οὖσαν εὑρήσετε ἢ τότε.
90 [p] πότερον γὰρ εὐπορώτερον [q] ἂν [r] δίκην ἔδωκε Φίλιππος
ἐξαμαρτὼν εἰς αὐτὴν πρὶν [s] τούτων τι τῆς πόλεως [t] προ-
λαβεῖν, ἢ [u] νυνί; ἐγὼ μὲν οἶμαι, τότε πολλῷ. τίς οὖν ἡ
ταύτης περιουσία τῶν φόβων ἀφῃρημένων καὶ τῶν κινδύνων
τῶν τοῦ βουληθέντος [x] ἂν αὐτὴν ἀδικῆσαι;
91 Ἔτι [y] τοίνυν [z] τοιοῦτό τι μέλλειν αὐτὸν ἀκούω λέγειν,
ὅτι θαυμάζει τί δήποτε Δημοσθένης [a] μὲν αὐτοῦ κατηγορεῖ,
Φωκέων δ' οὐδείς. ὡς [b] δὴ τοῦτ' ἔχει, βέλτιον [c] προακοῦ-
σαι παρ' ἐμοῦ. Φωκέων τῶν [d] ἐκπεπτωκότων οἱ μὲν οἶμαι
[e] βέλτιστοι καὶ μετριώτατοι φυγάδες γεγενημένοι καὶ τοι-
αῦτα πεπονθότες ἡσυχίαν ἄγουσι, καὶ οὐδεὶς ἂν αὐτῶν
ἐθελήσειεν ὑπὲρ τῶν κοινῶν συμφορῶν ἰδίαν ἔχθραν [f] ἀνε-
λέσθαι· οἱ δ' [g] ὁτιοῦν ἂν [h] ἀργυρίου [i] ποιήσαντες τὸν δώ-
92 σοντα οὐκ ἔχουσιν αὐτοῖς. οὐ γὰρ ἔγωγ' ἂν ἔδωκα οὐ-
δενὶ οὐδέν, ὥστε [k] μοι [l] παραστάντας [m] ἐνταυθοῖ βοᾶν οἷα
πεπόνθασιν· ἡ γὰρ ἀλήθεια καὶ τὰ πεπραγμένα [n] αὐτὰ
βοᾷ. ἀλλὰ μὴν ὅ γε δῆμος ὁ τῶν Φωκέων οὕτω κακῶς
καὶ ἐλεεινῶς διάκειται, ὥστε μὴ περὶ τοῦ κατηγορεῖν
ἑκάστῳ τὰς Ἀθήνῃσιν εὐθύνας εἶναι τὸν λόγον, [o] ἀλλὰ

[p] πότερον] πρότερον t.
[q] ἂν om. k. ante εὐπορώτερον ponit s.
[r] δίκην ἔδωκε] ἔδωκε δίκην r.
[s] τούτων τι] τι τῶν γρ. S. Q.
[t] προλαβεῖν] προσλαβεῖν s.
[u] νυνί] νῦν Q. r.
[x] ἂν om. Y. O. r. t. u. v.
[y] Post τοίνυν cum S. omisi καί.
[z] τοιοῦτό] τοιοῦτόν k. r. s.
[a] μὲν soli habent k. s.
[b] δὴ] δὲ F. Q. k. r. s.
[c] προακοῦσαι] προακοῦσαι ὑμᾶς γρ. Q.
[d] ἐκπεπτωκότων] ἐπταικότων u.
[e] βέλτιστοι] καὶ βέλτιστοι O.
[f] ἀνελέσθαι] ἑλέσθαι k. r. s.
[g] ὁτιοῦν ἂν] μηδ' ὁτιοῦν ἄνευ O. r. t. u. v. correcti F. Y. γρ. k.
[h] ἀργυρίου] ἀργύριον k.
[i] ποιήσαντες] ποιήσοντες (α supra) F. v. ποιήσοντες Y. k. r. s.
[k] μοι] ἐμοὶ r.
[l] παραστάντας] παραστάντα k. s.
[m] ἐνταυθοῖ] ἐνταυθὶ S. ἐνταῦθα k. s.
[n] αὐτὰ] αὐτῷ O.
[o] ἀλλὰ δουλ.] ἀλλὰ (οὐ supra) δουλ. F. ἀλλ' οὐ δουλ.. S. Y. u. v. et pr. O. t.

δουλεύειν καὶ τεθνάναι τῷ φόβῳ [p] Θηβαίους καὶ τοὺς Φι-
λίππου ξένους, οὓς ἀναγκάζονται τρέφειν, διῳκισμένοι
93 κατὰ [q] κώμας καὶ [r] παρῃρημένοι τὰ ὅπλα. μὴ δὴ ταῦτα
λέγειν αὐτὸν ἐᾶτε, ἀλλ' ὡς οὐκ ἀπολώλασι Φωκεῖς δεικ- 367
νύναι, ἢ ὡς οὐχ ὑπέσχετο σώσειν αὐτοὺς Φίλιππον.
[s] τοῦτο γάρ [t] εἰσι πρεσβείας [u] εὐθῦναι, τί πέπρακται; τί
ἀπήγγειλας; εἰ μὲν ἀληθῆ, σώζου· εἰ δὲ ψευδῆ, δίκην
δός. εἰ δὲ μὴ πάρεισι Φωκεῖς, τί τοῦτο; οὕτω γὰρ διέ-
θηκας αὐτοὺς οἶμαι [x] τὸ μέρος σύ, ὥστε μήτε τοῖς φίλοις
βοηθεῖν μήτε τοὺς ἐχθροὺς [y] ἀμύνεσθαι δύνασθαι.
94 Καὶ μὴν ὅτι χωρὶς τῆς ἄλλης αἰσχύνης καὶ ἀδοξίας,
ἣν τὰ πεπραγμένα ἔχει, καὶ μεγάλοι κίνδυνοι [z] περιεσ-
τᾶσιν ἐκ τούτων τὴν πόλιν, ῥᾴδιον δεῖξαι. τίς γὰρ οὐκ
οἶδεν ὑμῶν ὅτι [a] τῷ Φωκέων πολέμῳ καὶ τῷ κυρίους εἶναι
Πυλῶν Φωκέας ἥ τε ἀπὸ Θηβαίων ἄδεια ὑπῆρχεν [b] ἡμῖν,
καὶ τὸ [c] μηδέποτ' [d] ἂν ἐλθεῖν εἰς Πελοπόννησον μηδ' εἰς
Εὔβοιαν μηδ' εἰς τὴν Ἀττικὴν [e] Φίλιππον μηδὲ Θηβαίους;
95 ταύτην μέντοι τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν πραγμάτων
[f] αὐτῶν ἀσφάλειαν ὑπάρχουσαν τῇ πόλει ταῖς τούτων
ἀπάταις καὶ ψευδολογίαις πεισθέντες [g] προήκασθ' ὑμεῖς,
[h] καὶ τετειχισμένην ὅπλοις καὶ πολέμῳ συνεχεῖ καὶ πό-

[p] Θηβαίους] τοὺς θηβαίους r. et γρ. Q. καὶ τοὺς θηβαίους rec. O.
[q] κώμας] χώραν k. r. s.
[r] παρῃρημένοι] παρῃρημένοι (περι) F. περιῃρημένοι Q. et γρ. S.
[s] τοῦτο] ταῦτα correctus r.
[t] εἰσι] ἐστι k. s.
[u] εὐθῦναι r. εὔθυναι F. vulg. εὐθύναι.
[x] τὸ μέρος σύ] τὸ σὸν μέρος σὺ O. τὸ κατὰ σαυτὸν μέρος σὺ γρ. S. Q.
[y] ἀμύνεσθαι] ἀμύνεσθαι (α) F. t. ἀμύνασθαι S. Q. O. k. s.
[z] περιεστᾶσιν ἐκ τούτων τὴν πόλιν] τὴν πόλιν περιεστᾶσιν, ἐκ τούτων k. s.
[a] τῷ Φ.] τῶν φ. O.
[b] ἡμῖν] ὑμῖν k. s.
[c] μηδέποτ'] μηδέτ' O.
[d] ἂν post ἐλθεῖν ponunt S. Q. om. k. s.
[e] Φίλιππον] μηδὲ φίλιππον Y. O. v.
[f] αὐτῶν om. F. in γρ. habet Q.
[g] προήκασθ'] προήκαθ' O. r. t. u. et pr. v.
[h] καὶ ante τετειχ. om. pr. Y.

λεσι [i] μεγάλαις συμμάχων ἀνδρῶν καὶ χώρᾳ πολλῇ περιείδετ' ἀνασταθεῖσαν. καὶ ματαία μὲν ἡ [k] πρότερον βοήθεια [l] ἡ εἰς Πύλας [m] ὑμῖν γέγονεν, ἣν μετὰ πλειόνων ἢ διακοσίων ταλάντων [n] ἐποιήσασθε, [o] ἐὰν λογίσησθε τὰς ἰδίας δαπάνας [p] τὰς τῶν στρατευσαμένων, μάταιαι δὲ
96 [q] καὶ αἱ κατὰ Θηβαίων ἐλπίδες. ὁ δέ, πολλῶν ὄντων καὶ δεινῶν ὧν οὗτος ὑπηρέτηκε Φιλίππῳ, πλείστην ὕβριν ὡς ἀληθῶς ἔχει κατὰ τῆς πόλεως καὶ [r] ἁπάντων ὑμῶν, τοῦτ' ἀκούσατέ μου, ὅτι τοῖς Θηβαίοις ἐγνωκότος ἐξ ἀρχῆς τοῦ Φιλίππου πάνθ' [s] ἃ πεποίηκε ποιεῖν, οὗτος ἀπαγ- 368
γείλας τἀναντία καὶ φανεροὺς ἐπιδείξας ὑμᾶς οὐχὶ βουλομένους ὑμῖν μὲν τὴν ἔχθραν τὴν πρὸς Θηβαίους μείζω, Φιλίππῳ δὲ τὴν χάριν πεποίηκεν. πῶς ἂν [t] οὖν ὑβριστικώτερον [u] ἄνθρωπος ὑμῖν ἐχρήσατο;

97 Λέγε δὴ τὸ ψήφισμα [x] λαβὼν τὸ τοῦ Διοφάντου καὶ τὸ τοῦ Καλλισθένους, ἵν' εἰδῆτε ὅτι, ὅτε μὲν τὰ δέοντ' ἐποιεῖτε, θυσιῶν καὶ ἐπαίνων ἠξιοῦσθε παρ' ὑμῖν αὐτοῖς καὶ παρὰ τοῖς [y] ἄλλοις, ἐπειδὴ δ' ὑπὸ τούτων παρεκρούσθητε, παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν [z] κατεκομίζεσθε καὶ τὰ Ἡράκλεια ἐντὸς [a] τείχους θύειν [b] ἐψηφί-

[i] μεγάλαις] μεγάλοις F.
[k] πρότερον S. ceteri προτέρα.
[l] ἡ ante εἰς om. F. S. Y. Q. O. t. u. v.
[m] ὑμῖν] ἡμῖν F. r.
[n] ἐποιήσασθε] ἐποιήσασθ' ὑμεῖς k. r. s.
[o] ἐὰν] ἂν S.
[p] τὰς τῶν S. Y. vulg. om. τάς.
[q] καὶ om. k. s.
[r] ἁπάντων S. Y. πάντων k. s. ceteri κατὰ πάντων.
[s] ἃ πεποίηκε S. k. ἅπερ πεποίηκε f. ἅπερ προῄρητο ceteri.
[t] οὖν om. F. k. s. v. in margine habet Q.
[u] ἄνθρωπος ὑμῖν] ὑμῖν ἄνθρωπος k. s.
[x] λαβὼν post Διοφάντου ponunt k. s.
[y] ἄλλοις] ἄλλοις Ἕλλησιν k. r. s.
[z] κατεκομίζεσθε S. Y. s. et γρ. Q. κατεκομίζετε k. r. t. u. v. κατεμικομίζετε O. κατακομίζεσθε F. κατακομίζετε Q.
[a] τείχους] τοῦ τείχους Q. O. u.
[b] ἐψηφίζεσθε] ἐψηφίσασθε F.

ζεσθε εἰρήνης οὔσης· ὃ καὶ θαυμάζω, [c] εἰ [d] τὸν μηδὲ τοὺς θεούς, καθ' ὃ πάτριον [e] ἦν, τιμᾶσθαι ποιήσαντα τοῦτον ἀτιμώρητον ἀφήσετε. λέγε τὸ ψήφισμα.

[f] ΨΗΦΙΣΜΑ.

98 Ταῦτα μὲν [g] τότε ἄξια, [h] ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πεπραγμένων [i] ἐψηφίσασθε. Λέγε δὴ τὰ μετὰ ταῦτα.

[k] ΨΗΦΙΣΜΑ.

Ταῦτα τότ' ἐψηφίζεσθ' ὑμεῖς διὰ τούτους, οὐκ ἐπὶ ταύταις ταῖς ἐλπίσιν [l] οὔτε κατ' ἀρχὰς ποιησάμενοι τὴν εἰρήνην καὶ τὴν συμμαχίαν, οὔθ' ὕστερον ἐγγράψαι πεισθέντες [m] αὐτῇ καὶ τοῖς [n] ἐγγόνοις, ἀλλ' ὡς θαυμάσι'
99 ἡλίκα πεισόμενοι διὰ τούτους ἀγαθά. καὶ μὴν [[o] καὶ] μετὰ ταῦτα ὁσάκις πρὸς Πορθμῷ ἢ πρὸς Μεγάροις ἀκούοντες δύναμιν Φιλίππου καὶ ξένους [p] ἐθορυβεῖσθε, πάντες ἐπίστασθε. οὐ τοίνυν εἰ μήπω τῆς Ἀττικῆς ἐπιβαίνει, δεῖ σκοπεῖν οὐδὲ ῥαθυμεῖν, ἀλλ' εἰ διὰ τούτους ἐξουσία γέγονεν αὐτῷ τοῦθ' ὅταν βούληται ποιῆσαι, τοῦθ' ὁρᾶν, καὶ πρὸς ἐκεῖνο τὸ δεινὸν βλέπειν, καὶ [q] τὸν αἴτιον καὶ [r] τὸν [s] παρασκευάσαντα τὴν ἐξουσίαν ταύτην ἐκείνῳ 369
μισεῖν καὶ τιμωρεῖσθαι.

100 Οἶδα τοίνυν ὅτι τοὺς μὲν ὑπὲρ τῶν [t] κατηγορημένων [u] αὐτοῦ λόγους Αἰσχίνης φεύξεται, βουλόμενος δ' ὑμᾶς

[c] εἰ—ἀφήσετε om. S. et pr. Y.
[d] τὸν μηδὲ] μηδὲ τὸν F. Y. Q. O. r. t. u. v.
[e] ἦν] νῦν O.
[f] ΨΗΦΙΣΜΑ] ψηφίσματα u.
[g] τότε post τῶν ponunt k. s.
[h] ὦ ἄνδρες Ἀθηναῖοι om. s.
[i] ἐψηφίσασθε om. k. s.
[k] ΨΗΦΙΣΜΑ] ψηφίσματα O. u.
[l] οὔτε] οὔτε (δ superscr.) F. οὐδὲ S. et pr. Y.
[m] αὐτῇ Taylorus: libri αὐτήν.
[n] ἐγγόνοις t. v. ceteri ἐκγόνοις.
[o] [καὶ] post μὴν om. k. s.
[p] ἐθορυβεῖσθε] ἐθορυβεῖτε t. vulg. ὡς ἐθορυβεῖσθε.
[q] τὸν αἴτιον] τὸ αἴτιον t.
[r] τὸν post καὶ om. S. Y.
[s] παρασκευάσαντα] συμπαρασκευάσαντα γρ. Q.
[t] κατηγορημένων] κατηγορουμένων O. t. u.
[u] αὐτοῦ] αὐτῶν (οῦ superscr.) S.

ὡς πορρωτάτω τῶν [x] πεπραγμένων ἀπάγειν διέξεισιν, ἡλίκα πᾶσιν ἀνθρώποις ἀγαθὰ ἐκ τῆς εἰρήνης γίγνεται καὶ τοὐναντίον ἐκ τοῦ πολέμου κακά, καὶ ὅλως ἐγκώμια εἰρήνης ἐρεῖ, καὶ [y] τοιαῦτα ἀπολογήσεται. ἔστι δὲ [z] καὶ ταῦτα [a] πάντα κατηγορήματα τούτου. εἰ γὰρ ἡ τοῖς ἄλλοις [b] ἀγαθῶν [c] αἰτία [d] τοσούτων πραγμάτων καὶ [e] τηλικαύτης ταραχῆς [f] ἡμῖν αἰτία γέγονε, τί τις εἶναι τοῦτο [g] φῇ πλὴν ὅτι δῶρα λαβόντες οὗτοι καλὸν πρᾶγμα φύσει [h] κακῶς
101 διέθηκαν; τί δ'; οὐ τριήρεις [i] τριακόσιαι καὶ σκεύη ταύταις καὶ [k] χρήμαθ' ὑμῖν [l] περίεστι καὶ περιέσται διὰ τὴν εἰρήνην; ἴσως ἂν εἴποι. πρὸς [m] δὴ ταῦτα [n] ἐκεῖνο ὑμᾶς ὑπολαμβάνειν δεῖ, ὅτι καὶ τὰ Φιλίππου πράγματα ἐκ τῆς εἰρήνης γέγονεν εὐπορώτερα πολλῷ, καὶ [o] κατασκευαῖς [p] ὅπλων καὶ [q] χώρας καὶ [r] προσόδων, αἳ γεγόνασιν
102 ἐκείνῳ μεγάλαι. γεγόνασι δὲ καὶ [s] ἡμῖν [t] τινές. ἡ δέ γε τῶν πραγμάτων κατασκευὴ καὶ τῶν συμμάχων, δι' ἣν [u] ἢ αὐτοῖς ἢ τοῖς κρείττοσι τἀγαθὰ πάντες κέκτηνται, ἡ μὲν ἡμετέρα πραθεῖσα ὑπὸ τούτων ἀπόλωλε καὶ γέγονεν ἀσθενής, ἡ δ' [x] ἐκείνου φοβερὰ καὶ [y] μείζων πολλῷ. οὐ

[x] πεπραγμένων] πραγμάτων Q. u. v.
[y] τοιαῦτα] ταῦτα r.
[z] καὶ post δὲ om. k. s.
[a] πάντα om. S. O.
[b] ἀγαθῶν] ἀγαθοῖς S. Q.
[c] αἰτία—ἡμῖν om. Q.
[d] τοσούτων] τηλικούτων r.
[e] τηλικαύτης om. S. k. s.
[f] ἡμῖν] ὑμῖν r.
[g] φῇ S. k. r. s. ceteri φαίη.
[h] κακῶς διέθηκαν] διέθηκαν κακῶς r.
[i] τριακόσιαι] διακόσιαι k. r. s.
[k] χρήμαθ'] κτημαθ' (χρη superscr.) F. κτήμαθ' O. t. u. v.
[l] περίεστι καὶ om. pr. k.
[m] δὴ] δὲ (ἡ superscr.) F. r. s.
[n] ἐκεῖνο] ἐκείνως r.
[o] κατασκευαῖς] κατασκευαὶ correctus k.
[p] ὅπλων om. Q.
[q] χώρας] χώραις O. r. t. u. v.
[r] προσόδων] προσόδοις r. s. πρόσοδοι omisso αἳ correctus k.
[s] ἡμῖν] ἡμῶν F. ὑμῖν r.
[t] τινές ante καὶ ponit r
[u] ἢ αὐτοῖς] ἑαυτοῖς k. r. s.
[x] ἐκείνου] ἐκείνων (ου superscr.) F. O. ἐκείνω t. u.
[y] μείζων] μείζω pr. r.

δὴ δίκαιον ἐκείνῳ μὲν [z] ἀμφότερ' ηὐξῆσθαι διὰ τούτους, καὶ τὰ τῶν [a] συμμάχων καὶ [b] τὰ τῶν προσόδων, [c] ἡμῖν δ' ἃ δικαίως [d] ἂν [e] ὑπῆρχεν ἐκ τῆς εἰρήνης, ταῦτ' ἀνθ' ὧν ἀπέδοντο [f] αὐτοὶ λογίζεσθαι. οὐ γὰρ ταῦτ' ἀντ' ἐκείνων 370
γέγονεν, οὐδὲ πολλοῦ δεῖ, ἀλλὰ ταῦτα μὲν ἦν [g] ἂν ὁμοίως [h] ἡμῖν, ἐκεῖνα δὲ τούτοις ἂν προσῆν, εἰ μὴ διὰ τούτους.

103 Ὅλως δ', ὦ ἄνδρες Ἀθηναῖοι, [i] δίκαιον δήπου φήσαιτ' ἂν εἶναι μήτ', εἰ πολλὰ καὶ δεινὰ τὰ συμβεβηκότ' [k] ἐστὶ τῇ πόλει, μηδενὸς δ' Αἰσχίνης αἴτιος τούτων, εἰς τοῦτον ἐλθεῖν τὴν ὀργήν, μήτ' εἴ τι τῶν δεόντων πέπρακται δι' ἄλλον τινά, [l] τοῦτο σῶσαι [m] τουτονί· ἀλλ' [n] ὅσων οὗτος αἴτιος σκεψάμενοι καὶ χάριν, ἂν ταύτης ἄξιος ᾖ, καὶ τοὐναντίον ὀργήν, ἂν [o] τοιαῦτα φαίνηται [p] πεποιηκώς,
104 [q] ποιεῖσθε. πῶς οὖν [r] εὑρήσετε ταῦτα δικαίως; ἐὰν μὴ πάνθ' ἅμα [s] ἐᾶτε [t] ταράττειν αὐτόν, τὰ τῶν στρατηγῶν ἀδικήματα, τὸν πόλεμον τὸν πρὸς Φίλιππον, τἀπὸ τῆς εἰρήνης ἀγαθά, ἀλλ' ἕκαστον ἐφ' ἑαυτοῦ [u] σκοπῆτε. οἷον ἦν [x] ἡμῖν πόλεμος πρὸς Φίλιππον; ἦν. ἐνταῦθ' ἐγκαλεῖ τις Αἰσχίνῃ; βούλεταί τις τούτου κατηγορεῖν περὶ τῶν ἐν
105 [y] τῷ πολέμῳ πραχθέντων; οὐδὲ εἷς. οὐκοῦν περὶ [z] τούτων

[z] ἀμφότερα om. s.
[a] συμμάχων—προσόδων] προσόδων—ξυμμάχων k. s.
[b] τὰ ante τῶν πρ. om. pr. O.
[c] ἡμῖν δ' ἃ] ἃ δ' ὑμῖν S. Y. ἃ δ' ἡμῖν γρ. F. ὑμῖν δ' ἃ k. r. s.
[d] ἂν om. Y.
[e] ὑπῆρχεν] ὑπῆρξεν k. r. s.
[f] αὐτοὶ S. Y. οὗτοι ceteri.
[g] ἂν ὁμοίως] ἀνομοίως F.
[h] ἡμῖν] ὑμῖν s.
[i] δίκαιον] καὶ δίκαιον F. Y. O. t. u. v.
[k] ἐστὶ in γρ. F. Q.
[l] τοῦτο] τοῦ'το k.
[m] τουτονὶ] τοῦτον k. s.
[n] ὅσων] ὅσον O.
[o] τοιαῦτα] ταῦτα γρ. S. Q.
[p] πεποιηκὼς om. k. s. in γρ. habet S.
[q] ποιεῖσθε] ἀπονείματε αὐτῷ γρ. S. Q.
[r] εὑρήσετε] εὑρήσεται S. O.
[s] ἐᾶτε post αὐτὸν ponit r.
[t] ταράττειν] πράττειν S. Q.
[u] σκοπῆτε] σκοπεῖτε Y. Q. O. r. u.
[x] ἡμῖν] ὑμῖν Y.
[y] τῷ om. O.
[z] τούτων] τούτου k. s.

[a] γε ἀφεῖται, [b] καὶ οὐδὲν αὐτὸν [c] δεῖ λέγειν· περὶ γὰρ τῶν ἀμφισβητουμένων καὶ τοὺς μάρτυρας παρέχεσθαι καὶ τὰ τεκμήρια δεῖ λέγειν τὸν [d] φεύγοντα, οὐ τὰ ὁμολογούμενα ἀπολογούμενον ἐξαπατᾷν. ὅπως τοίνυν περὶ τοῦ πολέμου μηδὲν ἐρεῖς· οὐδεὶς γὰρ [e] οὐδὲν αἰτιᾶται περὶ αὐτοῦ [f] σε.

106 μετὰ ταῦτα εἰρήνην τινὲς [g] ἡμᾶς [h] ἔπειθον ποιήσασθαι· ἐπείσθημεν· πρέσβεις ἐπέμψαμεν· ἤγαγον [i] οὗτοι δεῦρο τοὺς ποιησομένους τὴν εἰρήνην. πάλιν ἐνταῦθα περὶ [k] τούτου μέμφεταί τις Αἰσχίνην; [l] φησί τις εἰσηγήσασθαι τοῦτον εἰρήνην, ἢ ἀδικεῖν ὅτι δεῦρ' [m] ἤγαγε τοὺς [n] ποιησομένους; οὐδὲ εἷς. οὔκουν οὐδ' ὑπὲρ αὐτοῦ τοῦ ποιήσασθαι 371
τὴν πόλιν εἰρήνην [o] οὐδὲν αὐτῷ λεκτέον· οὐ γὰρ οὗτος αἴ-
107 τιος. τί [p] οὖν, ἄνθρωπε, λέγεις, εἴ τις ἔροιτό με, καὶ πόθεν ἄρχῃ [q] κατηγορεῖν; ὅθεν, ὦ ἄνδρες Ἀθηναῖοι, [r] βουλευομένων ὑμῶν οὐ περὶ τοῦ [s] εἰ ποιητέον εἰρήνην ἢ μή (ἐδέδοκτο γὰρ ἤδη τοῦτό [t] γε) ἀλλ' ὑπὲρ τοῦ ποίαν τινά, [u] τοῖς τὰ δίκαια [x] λέγουσιν ἀντειπὼν τῷ μισθοῦ γράφοντι συνεῖπε, δῶρα λαβών, καὶ μετὰ ταῦτ' ἐπὶ τοὺς ὅρκους αἱρεθείς, ὧν μὲν ὑμεῖς προσετάξατε, οὐδ' ὁτιοῦν ἐποίησε, τοὺς δ' [y] ἐπὶ τοῦ πολέμου διασωθέντας ἀπώλεσε τῶν συμμάχων, καὶ τηλικαῦτα [z] καὶ τοιαῦτα ἐψεύσατο, ἡλί-

[a] γε om. O. u.
[b] καὶ om. u.
[c] δεῖ] δεῖν r.
[d] φεύγοντα] φυγόντα S.
[e] οὐδὲν post γὰρ om. pr. O.
[f] σε vulg. ante περὶ ponunt.
[g] ἡμᾶς] ὑμᾶς O. t. u.
[h] ἔπειθον] ἐπείθοντο k.
[i] οὗτοι] αὐτοὶ Y.
[k] τούτου] τούτων (ου suprascr.) F. τούτων Y. O. r. t. u. v.
[l] φησί] φήσει F. Q. k. r. s. t. u. v. et pr. Y.
[m] ἤγαγε] ἠγάγετο pr. Q.
[n] ποιησομένους] ποιησαμένους (ο suprascr.) F.
[o] οὐδὲν] οὐδ' ἐν r.
[p] οὖν om. t.
[q] κατηγορεῖν] καὶ κατηγορεῖν O.
[r] βουλευομένων] βουλομένων O. t. u. v. et pr. r.
[s] εἰ] ἢ S. Q. om. k.
[t] γε om. k. s.
[u] τοῖς] τοῖς γὰρ F. Y. Q. O. t. u. v.
[x] λέγουσιν S. Y. ceteri γράφουσιν.
[y] ἐπὶ τοῦ πολέμου] ἐν τῷ πολέμῳ k. r. s.
[z] καὶ τοιαῦτα om. O. t. u. v. in γρ. habent F. Q.

κα οὐδεὶς πώποτ' [a] ἄλλος ἀνθρώπων οὔτε πρότερον οὔθ'
108 ὕστερον. τὸ μὲν [b] γὰρ ἐξ ἀρχῆς ἄχρι [c] τοῦ λόγου τυχεῖν
Φίλιππον [d] ὑπὲρ τῆς εἰρήνης Κτησιφῶν καὶ Ἀριστόδημος
[e] τὴν ἀρχὴν τὴν πρώτην ἔφερον τοῦ φενακισμοῦ, [f] ἐπειδὴ δ'
εἰς τὸ πράττειν [g] ἤδη τὰ πράγματ' [h] ἧκεν, Φιλοκράτει καὶ
τούτῳ παρέδωκαν, [i] ἐκδεξάμενοι δ' οὗτοι πάντ' ἀπώλε-
109 σαν. εἶτ' ἐπειδὴ δεῖ [k] λόγον καὶ δίκην [l] ὑπέχειν τῶν πε-
πραγμένων, [m] ὧν οἶμαι [n] πανοῦργος οὗτος καὶ θεοῖς ἐχθρὸς
καὶ γραμματεύς, ὡς ὑπὲρ [o] τῆς εἰρήνης κρινόμενος ἀπο-
λογήσεται, οὐχ ἵνα πλειόνων ἢ κατηγορεῖ τις αὐτοῦ [p] δῷ
λόγον· μανία γὰρ τοῦτό γε· ἀλλ' ὁρᾷ τοῦθ', ὅτι ἐν μὲν
τοῖς ὑφ' αὐτοῦ πεπραγμένοις ἀγαθὸν μὲν οὐδέν ἐστιν,
[q] ἅπαντα δὲ τἀδικήματα, ἡ δ' ὑπὲρ τῆς εἰρήνης ἀπολο-
γία, [r] καὶ εἰ μηδὲν ἄλλο, τοὔνομα γοῦν ἔχει φιλάνθρω-
110 πον. ἣν δέδοικα μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δέδοικα, μὴ 372
λελήθαμεν, ὥσπερ οἱ δανειζόμενοι, ἐπὶ πολλῷ ἄγοντες·
τὸ γὰρ ἀσφαλὲς αὐτῆς καὶ τὸ βέβαιον οὗτοι προὔδοσαν,
Φωκέας καὶ Πύλας· οὐ μὴν διὰ τοῦτόν γε ἐξ ἀρχῆς
[s] ἐποιησάμεθα, ἀλλ' ἄτοπον [t] μέν ἐστιν, ὃ μέλλω λέγειν,
ἀληθὲς δὲ πάνυ· εἰ γάρ τις ὡς ἀληθῶς χαίρει τῇ εἰρήνῃ,
τοῖς στρατηγοῖς, ὧν κατηγοροῦσιν ἅπαντες, χάριν [u] αὐτῆς

[a] ἄλλος om. k. s.
[b] γὰρ om. O.
[c] τοῦ om. k. r. s.
[d] ὑπὲρ om. s. et γρ. S. Q.
[e] τὴν ἀρχὴν om. k. r. s. et γρ. S. Q.
[f] ἐπειδὴ] ἐπεὶ F. Q.
[g] ἤδη om. k. s.
[h] ἧκεν F.S.Y.Q.O.t.u.v. vulg. ἧκον.
[i] ἐκδεξάμενοι] δεξάμενοι S. Q. O. t. u. v.
[k] λόγον] λόγον αὐτὸν s. et γρ. S. Q.
[l] ὑπέχειν] ὑποσχεῖν k. s. et γρ. S. Q.
[m] ὧν] ὢν r.s.t. et correctus F.
[n] πανοῦργος] ὁ πανοῦργος O. t. u. et rec. F.
[o] τῆς om. S.
[p] δῷ] δώσει r. δώσῃ Q.
[q] ἅπαντα] πάντα r.
[r] καὶ εἰ] εἰ καὶ O. t. u.
[s] ἐποιησάμεθα] ἐποιησάμεθα τὴν εἰρήνην γρ. F. Q. et rec. S.
[t] μέν om. O.
[u] αὐτῆς] αὐτῆς (οἷς superscr.) F. αὐτοῖς O.t.u.v. om. k. s.

ἐχέτω. εἰ γὰρ ἐκεῖνοι ὡς ὑμεῖς ἐβούλεσθε ἐπολέμουν, οὐδ'
111 ὄνομα [x] εἰρήνης ἂν [y] ὑμεῖς [z] ἠνέσχεσθε. εἰρήνη μὲν οὖν δι'
ἐκείνους, ἐπικίνδυνος δὲ καὶ σφαλερὰ καὶ ἄπιστος διὰ
[a] τούτους γέγονε δωροδοκήσαντας. εἴργετ' οὖν, εἴργετε αὐ-
τὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων, εἰς δὲ τοὺς ὑπὲρ τῶν πε-
πραγμένων [b] ἐμβιβάζετε. οὐ γὰρ Αἰσχίνης ὑπὲρ τῆς εἰ-
ρήνης κρίνεται, οὔ, ἀλλ' [c] ἡ εἰρήνη δι' [d] Αἰσχίνην διαβέβλη-
112 ται. σημεῖον δέ· εἰ γὰρ ἡ μὲν εἰρήνη ἐγεγόνει, μηδὲν [e] δ'
ὕστερον ἐξηπάτησθε ὑμεῖς μηδ' [f] ἀπολώλει [g] τῶν συμμά-
χων μηδείς, τίν' ἀνθρώπων ἐλύπησεν [h] ἂν [i] ἡ εἰρήνη, ἔξω
τοῦ [k] ἄδοξος γεγενῆσθαι; καίτοι καὶ τούτου συναίτιος οὗ-
τος συνειπὼν Φιλοκράτει. ἀλλὰ ἀνήκεστόν γ' οὐδὲν ἂν ἦν
γεγονός. νῦν δ', [l] οἶμαι, [m] πολλῶν αἴτιος οὗτος.
113 Ὅτι μὲν τοίνυν αἰσχρῶς [n] καὶ κακῶς [o] πάντα ταῦθ'
ὑπὸ τούτων ἀπόλωλε καὶ διέφθαρται, οἶμαι πάντας
ὑμᾶς εἰδέναι. ἐγὼ δ', ὦ ἄνδρες δικασταί, [p] τοσοῦτ' ἀπέ-
χω τοῦ συκοφαντίαν τινὰ τοῖς πράγμασι τούτοις προσά-
γειν ἢ ὑμᾶς ἀξιοῦν, ὥστ' εἰ ταῦθ' ὑπ' [q] ἀβελτερίας ἢ δι'
εὐήθειαν ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν [r] οὕτω πέπρακται,
114 αὐτός τ' ἀφίημι Αἰσχίνην καὶ ὑμῖν [s] συμβουλεύω. καίτοι 373

[x] εἰρήνης] εἰρήνην Y.
[y] ὑμεῖς om. k. s.
[z] ἠνέσχεσθε] ἠνέχεσθε s.
[a] τούτους] τούτου^ς S.
[b] ἐμβιβάζετε] ἐμβιβάζετε (συμ supra) F. συμβιβάζετε S. Y. Q.
[c] ἡ om. k.
[d] Αἰσχίνην] αἰσχύνην t.
[e] δ' om. Q.
[f] ἀπολώλει] ἀπωλώλει F. Y. r. s.
[g] τῶν συμμάχων om. S.
[h] ἂν om. O.
[i] ἡ εἰρήνη om. F. Q.
[k] ἄδοξος] ἀδόξως F. O. t. u. v. vulg. ἄδοξον.
[l] οἶμαι] οἶδα ὅτι γρ. S.
[m] πολλῶν αἴτιος οὗτος S. Q. πολλῶν κακῶν αἴτιος οὗτος γρ. S. πολλῶν οὗτος αἴτιός ἐστι k. s. πολλῶν ἄλλων οὗτός ἐστι κακῶν αἴτιος r. et γρ. Q. vulg. πολλῶν ἄλλων ἐστι κακῶν αἴτιος οὗτος.
[n] καὶ κακῶς om. k.
[o] πάντα ταῦθ'] ταῦτα πάντα k. s.
[p] τοσοῦτ' S. Y. vulg. τοσοῦτον.
[q] ἀβελτερίας S. Y. Q. vulg. ἀβελτηρίας.
[r] οὕτω] οὕτω (αὐ supra) O. αὐτῷ k. r. s.
[s] συμβουλεύω] ἀφεῖναι συμβουλεύω omnes præter S.

τῶν σκήψεων τούτων οὐδεμία ἐστὶ πολιτικὴ οὐδὲ δικαία.
οὐδένα γὰρ τὰ κοινὰ πράττειν ὑμεῖς [t] κελεύετε οὐδ' ἀναγ-
κάζετε· ἀλλ' ἐπειδάν τις ἑαυτὸν πείσας δύνασθαι προσ-
έλθῃ, πρᾶγμα ποιοῦντες [u] ἀνθρώπων χρηστῶν καὶ φιλαν-
θρώπων, εὐνοϊκῶς [x] δέχεσθε καὶ οὐ φθονερῶς, ἀλλὰ [y] καὶ
115 χειροτονεῖτε καὶ τὰ ὑμέτερ' αὐτῶν ἐγχειρίζετε. ἐὰν μὲν
οὖν κατορθοῖ τις, [z] τιμήσεται καὶ πλέον ἕξει [a] τῶν πολ-
λῶν κατὰ τοῦτο· [b] ἐὰν δ' ἀποτυγχάνῃ, σκήψεις καὶ προ-
φάσεις ἐρεῖ; [c] ἀλλ' οὐ δίκαιον. οὐ γὰρ ἂν ἐξαρκέσειε
τοῖς ἀπολωλόσι συμμάχοις οὐδὲ τοῖς παισὶν [d] αὐτῶν οὐδὲ
ταῖς γυναιξὶν οὐδὲ τοῖς ἄλλοις, διὰ τὴν ἀβελτερίαν
τὴν ἐμήν, ἵνα μὴ τὴν τούτου λέγω, τοιαῦτα πεπονθέναι·
116 πολλοῦ γε καὶ δεῖ. ἀλλ' ὅμως ὑμεῖς ἄφετ' [e] Αἰσχίνῃ τὰ
δεινὰ ταῦτα καὶ ὑπερβάλλοντα, ἂν δι' εὐήθειαν ἢ δι'
[f] ἄλλην ἄγνοιαν ἡντινοῦν λελυμασμένος φανῇ. ἂν μέντοι
διὰ πονηρίαν ἀργύριον λαβὼν καὶ δῶρα, καὶ τοῦτ' [g] ἐξ-
ελεγχθῇ σαφῶς ὑπ' αὐτῶν τῶν πεπραγμένων, μάλιστα
μέν, εἰ οἷόν τε, ἀποκτείνατε, εἰ δὲ μή, ζῶντα τοῖς [h] λοι-
ποῖς παράδειγμα ποιήσατε. σκοπεῖτε δὴ [i] τὸν ὑπὲρ τού-
των ἔλεγχον, ὡς δίκαιος ἔσται, μεθ' ὑμῶν.
117 Ἀνάγκη δή που τοὺς λόγους [k] τούτους Αἰσχίνην πρὸς
ὑμᾶς εἰπεῖν [l] τουτονί, τοὺς περὶ τῶν Φωκέων καὶ [m] τῶν

[t] κελεύετε] ἐκελεύετε S. Y. k.
[u] ἀνθρώπων om. s. et pr. k.
[x] δέχεσθε] προσέχεσθε s.
[y] καὶ post ἀλλὰ om. pr. Y.
[z] τιμήσεται] μιμήσεται (τι supra) t. τιμηθήσεται F. Q. r.
[a] τῶν πολλῶν κατὰ τοῦτο] κατὰ τοῦτο τῶν πολλῶν k. s.
[b] ἐὰν δ'] ἂν δ' S.
[c] ἀλλ' οὐ] οὐ γὰρ Q.
[d] αὐτῶν om. F. O. t. u. v. in γρ. habet Q.
[e] Αἰσχίνῃ] αἰσχίνην F. Q.
[f] ἄλλην] ἄλλην τινὰ k. s.
[g] ἐξελεγχθῇ] ἐλεγχθῇ s.
[h] λοιποῖς] πολλοῖς F. Q. O. t. u. v.
[i] τὸν ὑπὲρ τούτων ἔλεγχον S. vulg. τὸν ἔλεγχον τὸν ὑπὲρ τούτων.
[k] τούτους om. pr. v.
[l] τουτονὶ post Αἰσχίνην ponunt F. Q. O. k. r. s. t. u. v.
[m] τῶν post καὶ om. F. Q. r.

[n] Θεσπιέων καὶ τῆς Εὐβοίας, εἴπερ μὴ πεπρακὼς αὐτὸν [o] ἑκὼν ἐξηπάτα, δυοῖν θάτερον, ἢ διαῤῥήδην ἀκούσαντα [p] ὑποσχομένου Φιλίππου ὅτι [q] πράξει ταῦτα καὶ ποιήσει, ἢ εἰ μὴ τοῦτο, γοητευθέντα καὶ φενακισθέντα τῇ περὶ τἄλλα φιλανθρωπίᾳ καὶ ταῦτ' ἐλπίσαντα παρ' αὐτοῦ. 374

118 οὐκ ἔνεστι τούτων οὐδὲ [r] ἓν χωρίς. ἐκ τοίνυν τούτων ἀμφοτέρων [s] μάλιστα πάντων ἀνθρώπων [t] μισεῖν αὐτῷ προσήκει Φίλιππον. διὰ τί; ὅτι τὸ μὲν ἐκείνου μέρος πάντ' αὐτῷ γέγονε τὰ δεινότατα καὶ τὰ αἴσχιστα. ὑμᾶς ἐξηπάτηκεν, ἀδοξεῖ, [u] δικαίως [x] ἀπολωλέναι [y] κρίνεται. εἴ [z] γέ τι τῶν προσηκόντων ἐγίγνετο, ἐν εἰσαγγελίᾳ πάλαι ἂν ἦν· νῦν δὲ διὰ τὴν [a] ὑμετέραν [b] εὐήθειαν καὶ πρᾳότητα

119 εὐθύνας δίδωσι, καὶ ταύτας ὁπηνίκα βούλεται. ἔστιν οὖν ὅστις ὑμῶν φωνὴν ἀκήκοεν Αἰσχίνου κατηγοροῦντος Φιλίππου; [c] τίς δ' ἐξελέγχοντα [d] ἢ λέγοντά τι [e] τοῦτον [f] ἑώρακεν; οὐδὲ εἷς· ἀλλὰ [g] πάντες Ἀθηναῖοι [h] πρότερον κατηγοροῦσι Φιλίππου, καὶ [i] ὁ τυχὼν ἀεί, ὧν [k] οὐδὲν οὐδεὶς [l] ἠδίκηται ἰδίᾳ δήπου. ἐγὼ δ' ἐκείνους τοὺς λόγους [m] ἐζήτουν παρὰ τούτου, εἴπερ μὴ πεπρακὼς αὐτὸν ἦν, "ἄνδρες

[n] Θεσπιέων] θεσπεσίων u.

[o] ἑκὼν om. s.

[p] ὑποσχομένου Φιλίππου] ὑποσχομένοις φίλιππον t.

[q] πράξει ταῦτα] ταῦτα πράξει k. s.

[r] ἓν χωρίς. ἐκ τοίνυν] ἕν. χωρὶς τοίνυν Q.

[s] μάλιστα] καὶ μάλιστα k.

[t] μισεῖν αὐτῷ ante πάντων ponit r.

[u] δικαίως] δίκαιος H. Wolfius.

[x] ἀπολωλέναι] ἀπόλωλε S. et γρ. Q.

[y] κρίνεται] κρίνεται καὶ F. Y. Q. O. k. r. s. t. u. v.

[z] γέ] δέ r.

[a] ὑμετέραν] ἡμετέραν r. t. u. v.

[b] εὐήθειαν καὶ πρᾳότητα S. Y. k. s. ceteri πρᾳότητα καὶ εὐήθειαν.

[c] τίς] τί F. S. Y. Q. O. r. s. u. v.

[d] ἢ λέγοντα om. O. post τι ponit r.

[e] τοῦτον] τοῦτον (ων) O. τούτων k. s.

[f] ἑώρακεν] ἑόρακεν Q. qui sic sæpe.

[g] πάντες S. Y. k. r. s. ceteri ἅπαντες.

[h] πρότερον] πρότεροι r. s.

[i] ὁ τυχὼν ἀεί] ἀεὶ ὁ τυχὼν r.

[k] οὐδὲν οὐδεὶς S. Y. r. ceteri οὐδεὶς οὐδέν.

[l] ἠδίκηται ἰδίᾳ] ἰδίᾳ ἠδίκηται F. Q. O. r. t. u. v.

[m] ἐζήτουν] ἐξήτουν S. Y. et γρ. F.

“ Ἀθηναῖοι, ἐμοὶ μὲν [n] χρήσασθε ὅ τι βούλεσθε· ἐπίστευ-“ σα, ἐξηπατήθην, ἥμαρτον, ὁμολογῶ. τὸν δ' ἄνθρωπον “ [o] ὦ ἄνδρες Ἀθηναῖοι φυλάττεσθε· ἄπιστος, γόης, πο-“ νηρός. οὐχ ὁρᾶτε οἷα πεποίηκεν ἐμέ; οἷα ἐξηπάτηκεν;”

120 τούτων [p] οὐδένα ἀκούω τῶν λόγων, οὐδ' ὑμεῖς. διὰ τί; ὅτι οὐ παρακρουσθεὶς οὐδ' ἐξαπατηθεὶς ἀλλὰ μισθώσας αὑτὸν καὶ λαβὼν ἀργύριον ταῦτ' εἶπε, καὶ προὔδωκεν ἐκείνῳ, καὶ γέγονε καλὸς κἀγαθὸς καὶ δίκαιος [q] μισθωτὸς ἐκείνῳ, πρεσβευτὴς μέντοι καὶ πολίτης ὑμῖν προδότης καὶ τρίς, οὐχ ἅπαξ ἀπολωλέναι δίκαιος.

121 Οὐ τοίνυν [r] ἐκ τούτων μόνον [s] δῆλός ἐσθ' ὅτι χρημάτων ἅπαντ' εἶπεν [t] ἐκεῖνα. ἀλλ' ἧκον ὡς [u] ὑμᾶς [x] ἔναγχος Θετταλοὶ καὶ Φιλίππου πρέσβεις μετ' αὐτῶν, ἀξιοῦντες 375 ὑμᾶς Φίλιππον Ἀμφικτύονα εἶναι ψηφίσασθαι. [y] τῷ [z] προσῆκεν [a] οὖν ἀντειπεῖν τούτοις μάλιστα πάντων [b] ἀνθρώπων; Αἰσχίνῃ τούτῳ. διὰ τί; ὅτι οἷς οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, τούτοις τἀναντία [c] ἐποίησεν ἐκεῖνος.

122 οὗτος μὲν γὰρ [d] ἔφη [e] Θεσπιὰς καὶ Πλαταιὰς αὐτὸν τειχιεῖν, καὶ τοὺς μὲν Φωκέας οὐκ ἀπολεῖν, τὴν δὲ Θηβαίων [f] ὕβριν καταλύσειν· ὁ δὲ τοὺς μὲν Θηβαίους μείζους ἢ προσῆκε πεποίηκε, τοὺς δὲ Φωκέας ἄρδην ἀπολώλεκε, καὶ τὰς μὲν Θεσπιὰς καὶ Πλαταιὰς οὐ τετείχικε, τὸν

[n] χρήσασθε] χρῆσθε F. Q.
[o] ὦ om. k. s.
[p] οὐδένα] οὐδὲν O. u.
[q] μισθ. ἐκείνῳ—ὑμῖν] μισθ. φιλίππῳ—ὑμέτερος k. s.
[r] ἐκ τούτων μόνον] μόνον ἐκ τούτων k. s.
[s] δῆλός] δῆλον k. r. s.
[t] ἐκεῖνα—ὡς] ἐκείνῳ—εἰς r.
[u] ὑμᾶς F. O. t. u.
[x] ἔναγχος om. k. s.
[y] τῷ] τὸ k.
[z] προσῆκεν] προσῆκον ἦν s.
[a] οὖν om. k. s.
[b] post ἀνθρώπων, non post τούτοις interpungunt F. Y. Q. O. k. s. t. u.
[c] ἐποίησεν] πεποίηκεν r.
[d] ἔφη om. pr. S.
[e] Θεσπιὰς] θεσπειὰς r. idque constanter.
[f] ὕβριν] ὕβριν ὑμῖν F. Y. Q. O. r. t. u. v.

δὲ Ὀρχομενὸν καὶ τὴν Κορώνειαν προσεξηνδραπόδισται. πῶς ἂν ἐναντιώτερα πράγμαθ' ἑαυτοῖς τούτων γένοιτο; οὐ τοίνυν ἀντεῖπεν, οὐδὲ διῆρε τὸ στόμα, οὐδ' ἐφθέγξατο
123 ἐναντίον οὐδέν. καὶ οὐχὶ τοῦτό [g] πω [h] δεινόν, [i] τηλικοῦτον ὄν· ἀλλὰ καὶ συνεῖπε μόνος τῶν ἐν τῇ πόλει πάντων ἀνθρώπων. καίτοι τοῦτό γε οὐδὲ Φιλοκράτης ἐτόλμησε ποιῆσαι ὁ μιαρός, ἀλλ' Αἰσχίνης οὑτοσί. καὶ θορυβούντων ὑμῶν καὶ οὐκ ἐθελόντων ἀκούειν αὐτοῦ καταβαίνων ἀπὸ τοῦ βήματος, ἐνδεικνύμενος τοῖς πρέσβεσι τοῖς παρὰ [k] τοῦ Φιλίππου παροῦσι, πολλοὺς ἔφη τοὺς θορυβοῦντας εἶναι, ὀλίγους δὲ τοὺς στρατευομένους, ὅταν δέῃ, ([l] μέμνησθε [m] γὰρ [n] δήπου), αὐτὸς [o] ὢν οἶμαι θαυμάσιος στρατιώτης, ὦ Ζεῦ.

124 Ἔτι τοίνυν, εἰ [p] μὲν μηδένα [q] μηδὲν ἔχοντα εἴχομεν δεῖξαι τῶν πρέσβεων, μηδ' ἦν ὥστ' ἰδεῖν ἅπαντας, βασάνους καὶ [r] τὰ τοιαῦθ' ὑπόλοιπον ἂν ἦν σκοπεῖν. εἰ δὲ Φιλοκράτης μὴ μόνον ὡμολόγει παρ' ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ἀλλὰ καὶ ἐδείκνυεν ὑμῖν, [s] πυροπωλῶν, οἰκοδο- 376
μῶν, βαδιεῖσθαι φάσκων, κἂν [t] μὴ χειροτονῆτε ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος φανερῶς ἐπὶ ταῖς τραπέζαις, οὐκ ἔνι δήπου τοῦτον εἰπεῖν ὡς οὐκ εἴληφε,
125 τὸν αὐτὸν ὁμολογοῦντα καὶ δεικνύντα. ἔστιν οὖν οὕτω τις ἀνθρώπων ἀνόητος ἢ κακοδαίμων, [u] ὥσθ' ἵνα λαμβάνῃ μὲν Φιλοκράτης, ἀδοξῇ δὲ αὐτὸς καὶ κινδυνεύῃ, ἐξὸν αὐτῷ

[g] πω] πού O. k. t. u.
[h] δεινόν om. S. et pr. Y.
[i] τηλικοῦτον ὄν] τηλικοῦτον S. καίπερ δεινὸν ὄν k. καίπερ ὂν δεινὸν s.
[k] τοῦ Φιλίππου S. Y. k. s. ceteri om. articulum.
[l] μέμνησθε] μέμνησθε [αι] F. μεμνῆσθαι Q. k. μεμνᾶσθαι s.
[m] γὰρ in γρ. S.
[n] δήπου] δήπουθεν r.
[o] ὢν in γρ. S.
[p] μὲν om. S.
[q] μηδὲν om. t. u. v. et pr. O.
[r] τὰ om. O. t. u. v.
[s] πυροπωλῶν] πυροπολῶν r. πυρπολῶν t.
[t] μὴ post κἂν om. r.
[u] ὥσθ'] [ὅστις] ὥστε k.

μετὰ τῶν μηδὲν ἠδικηκότων ἐξετάζεσθαι, τούτοις μὲν πολεμεῖν, πρὸς δ' ἐκεῖνον ἐλθὼν κρίνεσθαι [x] βούλεσθαι; ἐγὼ μὲν οὐδένα οἶμαι. ἀλλὰ [y] πάντα ταῦτ', ἐὰν ὀρθῶς σκοπῆτε, εὑρήσετε [z] μεγάλα ὦ ἄνδρες Ἀθηναῖοι καὶ ἐναργῆ σημεῖα τοῦ χρήματα τοῦτον ἔχειν.

126 Ὃ τοίνυν ὕστατον μὲν γέγονεν, οὐδενὸς δ' ἐστὶν ἔλαττον σημεῖον τοῦ πεπρακέναι τοῦτον ἑαυτὸν Φιλίππῳ, θεάσασθε. ἴστε δήπου πρῴην, ὅτ' [a] εἰσήγγειλεν Ὑπερίδης Φιλοκράτην, ὅτι παρελθὼν ἐγὼ δυσχεραίνειν ἔφην ἕν [b] τι τῆς εἰσαγγελίας, εἰ μόνος Φιλοκράτης τοσούτων καὶ [c] τοιούτων ἀδικημάτων αἴτιος γέγονεν, οἱ δ' ἐννέα τῶν [d] πρέσβεων μηδενός. καὶ οὐκ ἔφην τοῦθ' οὕτως ἔχειν· οὐδαμοῦ γὰρ ἂν φανῆναι καθ' ἑαυτὸν ἐκεῖνον, εἰ μὴ τοὺς συναγωνιζομένους
127 τούτων τινὰς εἶχεν. ἵν' οὖν μήτ' ἀφῶ μήτ' αἰτιάσωμαι μηδένα, ἔφην ἐγώ, ἀλλὰ [e] τὸ πρᾶγμ' αὐτὸ τοὺς μὲν αἰτίους εὕρῃ, τοὺς δὲ μὴ μετεσχηκότας ἀφῇ, ἀναστὰς ὁ βουλόμενος καὶ παρελθὼν εἰς ὑμᾶς ἀποφηνάσθω μὴ μετέχειν μηδὲ ἀρέσκειν αὐτῷ τὰ ὑπὸ Φιλοκράτους [f] πεπραγμένα.
καὶ τὸν τοῦτο [g] ποιήσαντα ἀφίημι ἔγωγ', ἔφην. ταῦτα 377
[h] γὰρ μνημονεύετε, ὡς [i] ἐγὼ οἶμαι. οὐ τοίνυν παρῆλθεν
128 οὐδεὶς οὐδ' ἔδειξεν ἑαυτόν. καὶ τῶν μὲν ἄλλων ἔσθ' ἑκάστῳ τις [k] πρόφασις· ὁ μὲν οὐχ ὑπεύθυνος [l] ἦν, ὁ δ' οὐχὶ παρῆν ἴσως, τῷ δὲ κηδεστὴς [m] ἦν ἐκεῖ· τούτῳ δ' οὐδὲν

[x] βούλεσθαι] βούλεται omnes.
[y] πάντα post ταῦτα ponunt k. s.
[z] μεγάλα om. k.
[a] εἰσήγγειλεν] εἰσήγγελλεν S. εἰσήγγελεν O.
[b] τι τῆς] τι τῶν τῆς O.
[c] τοιούτων S. k. s. ceteri τηλικούτων.
[d] πρέσβεων] συμπρέσβεων k.
[e] τὸ πρᾶγμ' αὐτὸ] τὰ πεπραγμένα αὐτὰ k. r. τὰ πεπραγμένα τὰ αὐτὰ s.
[f] πεπραγμένα] εἰρημένα γρ. S. Q.
[g] ποιήσαντα] ποιήσοντα O. k. r. t. u. v.
[h] γὰρ] καὶ F. Y. Q. O. t. u. v. om. S.
[i] ἐγὼ om. k. s.
[k] πρόφασις] ὡς ἔοικε πρόφασις k. r. s.
[l] ἦν] ἐστιν k. r. s.
[m] ἦν ἐκεῖ] ἐστιν ἐκεῖνος S. ἐστιν ἐκεῖ k. r. s. et γρ. S.

τούτων. ἀλλ' οὕτω καθάπαξ πέπρακεν ἑαυτὸν καὶ οὐκ
ἐπὶ τοῖς παρεληλυθόσι μεμισθάρνηκε μόνον, ἀλλὰ καὶ
μετὰ ταῦτα δῆλός ἐστιν, [n] ἐάν περ ἐκφύγῃ νῦν, καθ'
ὑμῶν ὑπάρξων ἐκείνῳ, ὥσθ', ἵνα [o] μηδὲν ἐναντίον μηδὲ
ῥῆμα πρόηται Φιλίππῳ, [p] οὐδ' ἀφιέντων [q] ἀφίεται, ἀλλ'
ἀδοξεῖν, κρίνεσθαι, πάσχειν ὁτιοῦν αἱρεῖται παρ' ὑμῖν
129 μᾶλλον ἢ Φιλίππῳ τι ποιῆσαι μὴ πρὸς ἡδονήν. καίτοι
τίς ἡ κοινωνία, τίς ἡ πολλὴ πρόνοια ὑπὲρ Φιλοκράτους
αὕτη; [r] ὃς εἰ τὰ κάλλιστα καὶ πάντα τὰ συμφέροντα
ἐπεπρεσβεύκει, χρήματα δ' ὡμολόγει λαβεῖν ἐκ τῆς
πρεσβείας, ὥσπερ [s] ὁμολογεῖ, τοῦτό γ' αὐτὸ φυγεῖν καὶ
διευλαβηθῆναι τῷ προῖκα πρεσβεύοντι προσῆκε, καὶ [t] δια-
μαρτύρασθαι τὸ καθ' [u] αὑτόν. οὐ τοίνυν πεποίηκε τοῦτ'
Αἰσχίνης. ταῦτ' οὐ φανερά, ὦ ἄνδρες Ἀθηναῖοι; ταῦτ'
οὐχὶ βοᾷ καὶ λέγει ὅτι χρήματ' εἴληφεν Αἰσχίνης καὶ
πονηρός ἐστιν ἀργυρίου συνεχῶς, οὐ δι' ἀβελτερίαν οὐδὲ δι'
ἄγνοιαν, οὐδ' ἀποτυγχάνων;
130 Καὶ τίς μου καταμαρτυρεῖ, [x] φησί, [y] δῶρα λαβεῖν;
τοῦτο γάρ ἐστι τὸ λαμπρόν. τὰ πράγματ', Αἰσχίνη,
ἅπερ πιστόταθ' ἐστὶν ἁπάντων, καὶ οὐκ ἔνεστ' εἰπεῖν οὐδ'
αἰτιάσασθαι ὡς ἢ [z] πεπεισμένα ἢ χαριζόμενά τῳ ἐστι τοι-
αῦτα, ἀλλ' οἷάπερ αὐτὰ προδοὺς καὶ διαφθείρας [a] σὺ 378
131 πεποίηκας, τοιαῦτ' ἐξεταζόμενα φαίνεται. πρὸς δὲ τοῖς
πράγμασιν αὐτὸς αὐτίκα [b] δὴ [c] σὺ σαυτοῦ [d] καταμαρτυ-

[n] ἐάν] ἄν S.
[o] μηδὲν—μηδὲ] μηδὲ—μηδὲν S. Y. r.
[p] οὐδ'] οὐδὲ μὴ r.
[q] ἀφίεται S. k. r. s. ἀφίσταται γρ. Q. ceteri ἀφίησιν.
[r] ὃς] ὃν F. O. r. u.
[s] ὁμολογεῖ t. ceteri ὡμολόγει.
[t] διαμαρτύρασθαι] διαμαρτύρασθαι k. διαμαρτύρεσθαι S. Y. Q. s.
[u] αὑτόν] ἑαυτό s.
[x] φησί] φήσει S. φησί t.
[y] δῶρα λαβεῖν in γρ. F. Q.
[z] πεπ. ἢ χαριζ.] χαριζ. ἢ πεπ. k. s.
[a] σὺ ante προδοὺς ponunt k. r. s.
[b] δὴ] δὴ μάλα γρ. S. Q.
[c] σὺ om. r.
[d] καταμαρτυρήσεις in γρ. S.

ῥήσεις. ἀπόκριναι γάρ [e] δεῦρ' ἀναστάς μοι. οὐ γὰρ δὴ δι'
ἀπειρίαν γε οὐ φήσεις ἔχειν ὅ τι [f] εἴπῃς· ὃς γὰρ ἀγῶνας
καινοὺς [g] ὥσπερ δράματα, καὶ τούτους ἀμαρτύρους, πρὸς
[h] διαμεμετρημένην τὴν ἡμέραν [i] αἱρεῖς διώκων, δῆλον ὅτι
πάνδεινος εἶ τις.

132 Πολλῶν τοίνυν καὶ δεινῶν ὄντων [k] τῶν πεπραγμένων
Αἰσχίνῃ τούτῳ, καὶ πολλὴν κακίαν ἐχόντων, ὡς καὶ ὑμῖν
[l] οἴομαι δοκεῖν, οὐδέν ἐστιν οὗ μέλλω λέγειν, ὡς ἐγὼ
κρίνω, δεινότερον, οὐδ' ὅ τι μᾶλλον ἐπ' αὐτοφώρῳ δεδωρο-
δοκηκότ' [m] αὐτὸν καὶ πεπρακότα πάντ' ἐξελέγξει. ἐπειδὴ
γὰρ [n] ἀπεστέλλετ' αὖθις αὖ τὸ τρίτον τοὺς πρέσβεις ὡς
τὸν Φίλιππον, ἐπὶ ταῖς καλαῖς καὶ μεγάλαις ἐλπίσι
ταύταις αἷς [o] οὗτος [p] ὑπέσχητο, ἐχειροτονήσατε καὶ τοῦτον
133 κἀμὲ καὶ τῶν ἄλλων τοὺς πλείστους [q] τοὺς αὐτούς. ἐγὼ
μὲν δὴ παρελθὼν [r] ἐξωμοσάμην εὐθέως, καὶ θορυβούντων
τινῶν καὶ κελευόντων βαδίζειν οὐκ ἂν ἔφην ἀπελθεῖν·
οὗτος δ' ἐκεχειροτόνητο. ἐπειδὴ [s] δὲ ἀνέστη μετὰ ταῦθ' ἡ
ἐκκλησία, συνελθόντες ἐβουλεύονθ' οὗτοι τίν' αὐτοῦ κατα-
λείψουσιν. ἔτι γὰρ τῶν πραγμάτων ὄντων μετεώρων καὶ
τοῦ μέλλοντος ἀδήλου, σύλλογοι καὶ λόγοι παντοδαποὶ
134 κατὰ τὴν ἀγορὰν ἐγίγνοντο τότε· ἐφοβοῦντο δὴ μὴ σύγ-
κλητος ἐκκλησία [t] γένοιτο ἐξαίφνης, εἶτα ἀκούσαντες
ὑμεῖς ἐμοῦ τἀληθῆ [u] ψηφίσαισθέ τι τῶν δεόντων ὑπὲρ τῶν

[e] δεῦρ' ἀναστάς μοι] μοι δεῦρο ἀναστάς Anecd. p. 208, 29. δεῦρό μοι παρελθών p. 429, 20.
[f] εἴπῃς] εἴποις v.
[g] ὥσπερ] καὶ ὥσπερ k.
[h] διαμεμετρημένην] μεμετρημένην k. s.
[i] αἱρεῖς] αἵρεις O. v.
[k] τῶν om. S.
[l] οἴομαι S. ceteri οἶμαι.
[m] αὐτὸν post πάντα ponunt k. s. omissis καὶ πεπρακότα.
[n] ἀπεστέλλετ'] ἀπεστείλατ' F. Q. O. t. u. v.
[o] οὗτος post ὑπισχνεῖτο ponit r.
[p] ὑπέσχητο S. Y. ὑπέσχετο k. ὑπέσχετο s. vulg. ὑπισχνεῖτο.
[q] τοὺς αὐτούς om. k. s.
[r] ἐξωμοσάμην] ἐξωμολογησάμην S.
[s] δὲ] γὰρ s.
[t] γένοιτο] γένηται k. s.
[u] ψηφίσαισθέ S. t. u. v. ψηφί-

Φωκέων, καὶ τὰ πράγματ' [x] ἐκφύγοι τὸν Φίλιππον. εἰ
γὰρ ἐψηφίσασθε μόνον καὶ μικρὰν [y] ὑπεφήνατ' ἐλπίδα 379
ἡντινοῦν αὐτοῖς, ἐσώθησαν ἄν. οὐ γὰρ ἐνῆν, [z] οὐκ ἐνῆν μὴ
135 παρακρουσθέντων ὑμῶν [a] μεῖναι Φιλίππῳ. οὔτε γὰρ σῖτος
[b] ἦν [c] ἐν τῇ χώρᾳ, ἀσπόρῳ διὰ τὸν πόλεμον γεγονυίᾳ, οὔθ'
ἡ [d] σιτοπομπία [e] δυνατὴ [f] τριήρων οὐσῶν [g] ὑμετέρων ἐκεῖ
καὶ τῆς θαλάττης [h] κρατουσῶν, αἵ τε πόλεις πολλαὶ καὶ
χαλεπαὶ λαβεῖν αἱ τῶν Φωκέων, μὴ [i] οὐ χρόνῳ καὶ πο-
λιορκίᾳ· εἰ γὰρ ἐν ἡμέρᾳ πόλιν ᾕρει, δύο καὶ εἴκοσίν εἰσιν
ἀριθμῷ. διὰ δὴ ταῦτα πάντα, ἵνα μηδὲν μετάθησθε ὧν
136 ἐξηπάτησθε, τοῦτον αὐτοῦ κατέλιπον. ἐξομόσασθαι μὲν
δὴ μὴ μετ' αἰτίας τινὸς δεινὸν ἦν καὶ ὑποψία μεγάλη.
"τί λέγεις; ἐπὶ [k] τηλικαῦτα καὶ τοιαῦτ' ἀγαθὰ οὐχὶ
"[l] βαδίζεις [m] ἀπαγγείλας οὐδὲ πρεσβεύεις;" ἔδει δὲ
μένειν. πῶς οὖν; ἀῤῥωστεῖν προφασίζεται, καὶ λαβὼν
Ἐξήκεστον τὸν ἰατρὸν [n] ἀδελφὸς αὐτοῦ [o] καὶ προσελθὼν τῇ
βουλῇ [p] ἐξώμοσεν [q] ἀῤῥωστεῖν τουτονὶ καὶ αὐτὸς ἐχειροτο-
137 νήθη. ἐπειδὴ δὲ [r] ἀπωλώλεσαν οἱ Φωκεῖς ὕστερον ἡμέραις
πέντε ἢ ἕξ, καὶ τέλος εἶχε τὸ μίσθωμα, ὥσπερ ἂν ἄλλο
τι, τούτῳ, καὶ ὁ [s] Δερκύλος ἐκ τῆς Χαλκίδος ἧκεν ἀνα-

σεσθέ k. r. s. ψηφίσαισθε (η) F. ψηφίσασθε (η) O. ψηφίσησθε Y. Q.

[x] ἐκφύγοι] ἐκφεύγοι (υ) Y. ἐκφεύγοι S.

[y] ὑπεφήνατ'] ἀπεφήνατ' Y.

[z] οὐκ ἐνῆν in γρ. S.

[a] μεῖναι] μεῖναί τι F. Y. Q. O. r. t. u. v.

[b] ἦν S. Y. k. ceteri ἐνῆν.

[c] ἐν om. O. u.

[d] σιτοπομπία] σιτοπομπεία O. t. u.

[e] δυνατὴ] δύναται S.

[f] τριήρων] τριηρῶν F. S. Y. Q. t.

[g] ὑμετέρων] ἡμετέρων r.

[h] κρατουσῶν] κρατούντων ὑμῶν γρ. S. Q.

[i] οὐ om. pr. S.

[k] τηλικαῦτα καὶ τοιαῦτ' S. k. s. ceteri τηλικαῦτα καὶ τοσαῦτα.

[l] βαδίζεις] βαδίζειν r. s.

[m] ἀπαγγείλας] ἀπήγγειλας r. s. om. pr. F.

[n] ἀδελφὸς Q. vulg. ἀδελφός.

[o] καὶ—αὐτὸς om. u.

[p] ἐξώμοσεν S. ceteri ἐξωμόσατο.

[q] ἀῤῥωστεῖν] αὐτὸν ἀῤῥωστεῖν r.

[r] ἀπωλώλεσαν] ἀπολώλεσαν O. r. t. u. ἀπολώλεισαν (ε) k. ἀπωλώλεισαν s.

[s] Δερκύλος] δερκῦλος r. u. δερκύλλος k. s.

στρέψας καὶ ἀπήγγειλεν [t] ὑμῖν ἐκκλησιάζουσιν ἐν Πειραιεῖ ὅτι Φωκεῖς ἀπολώλασι, καὶ ὑμεῖς ὦ ἄνδρες Ἀθηναῖοι [u] ταῦτ' ἀκούσαντες εἰκότως κἀκείνοις συνήχθεσθε καὶ [x] αὐτοὶ ἐξεπέπληχθε, καὶ παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατακομίζειν ἐψηφίζεσθε καὶ τὰ φρούρια ἐπισκευάζειν καὶ τὸν Πειραιᾶ [y] τειχίζειν καὶ τὰ Ἡράκλεια
138 ἐν ἄστει θύειν,—ἐπειδὴ [z] ταῦτ' ἦν καὶ [a] τοιαύτη ταραχὴ καὶ [b] τοσοῦτος θόρυβος [c] περιειστήκει τὴν πόλιν, τηνι- 380
καῦτα ὁ [d] σοφὸς καὶ δεινὸς οὑτοσὶ [e] καὶ εὔφωνος οὔτε βουλῆς οὔτε δήμου χειροτονήσαντος αὐτὸν ᾤχετο πρεσβεύων ὡς [f] τὸν ταῦτα πεποιηκότα, οὔτε τὴν ἀῤῥωστίαν, ἐφ' [g] ᾗ [h] τότ' ἐξωμόσαθ', ὑπολογισάμενος, οὔθ' ὅτι πρεσβευτὴς ἄλλος ᾕρητο [i] ἀνθ' αὐτοῦ, οὔθ' ὅτι τῶν τοιούτων ὁ
139 νόμος θάνατον τὴν ζημίαν [k] εἶναι κελεύει, [l] οὔθ' ὅτι πάνδεινόν ἐστιν ἀπηγγελκότα ὡς ἐπικεκήρυκται χρήματ' αὐτῷ ἐν Θήβαις, ἐπειδὴ Θηβαῖοι πρὸς τῷ τὴν Βοιωτίαν ἅπασαν ἔχειν καὶ τῆς [m] Φωκέων χώρας ἐγκρατεῖς γεγόνασι, τηνικαῦτα εἰς μέσας τὰς Θήβας καὶ τὸ τῶν Θηβαίων στρατόπεδον βαδίζειν· ἀλλ' [n] οὕτως [o] ἔκφρων ἦν καὶ [p] ὅλος πρὸς τῷ λήμματι [q] καὶ τῷ δωροδοκήματι, ὥστε [r] πάντα ταῦτα ἀνελὼν καὶ παριδὼν ᾤχετο.

[t] ὑμῖν] ἡμῖν O. k. r. s. t. u.
[u] ταῦτ'] τοῦτ' k. s.
[x] αὐτοὶ] αὐτὸν v. ἑαυτοῖς S. Y. et γρ. F.
[y] τειχίζειν] ἐπιτειχίζειν r.
[z] ταῦτ' ἦν καὶ om. k. s.
[a] τοιαύτη S. k. s. τηλικαύτη γρ. S. Q. vulg. τοσαύτη.
[b] τοσοῦτος] τοιοῦτος S. k. s.
[c] περιειστήκει] περιεστήκει O.
[d] σοφὸς καὶ δεινὸς οὗτος S. Y. t. δεινὸς καὶ σοφὸς οὗτος F. Q. O. r. t. u. v. σοφὸς οὑτοσὶ καὶ δεινὸς k. s.
[e] καὶ εὔφωνος] καὶ ἄφωνος καὶ εὔφωνος r.
[f] τὸν om. pr. O.
[g] ᾗ] ἦν γρ. Q.
[h] τότ'] ταῦτα F. O. t. u. v.
[i] ἀνθ' αὐτοῦ S. vulg. ἀντ' αὐτοῦ.
[k] εἶναι om. O.
[l] οὔθ'] οὐδ' k. s.
[m] Φωκέων] τῶν φωκέων Q. s.
[n] οὕτως] οὗτος S.
[o] ἔκφρων ἦν] ἦν ἔκφρων k. s.
[p] ὅλος] ὅλως Y. O. r. t. u. v.
[q] καὶ τῷ δωροδοκήματι om. k. s. u.
[r] πάντα] ἅπαντα k. r. s.

140 Καὶ τοιούτου [s] τοῦ πράγματος ὄντος, ἔτι [t] πολλῷ δει-
νότερά ἐστιν ἃ ἐκεῖσε ἐλθὼν διεπράξατο. ἁπάντων γὰρ
ὑμῶν [u] τουτωνὶ καὶ τῶν ἄλλων Ἀθηναίων οὕτω δεινὰ καὶ
σχέτλια ἡγουμένων τοὺς ταλαιπώρους [x] πάσχειν Φωκέας,
ὥστε μήτε τοὺς ἐκ τῆς βουλῆς θεωροὺς μήτε τοὺς θεσμο-
θέτας εἰς τὰ Πύθια πέμψαι, ἀλλ' ἀποστῆναι τῆς πα-
141 τρίου θεωρίας, οὗτος εἰς τἀπινίκια τῶν πραγμάτων καὶ
τοῦ πολέμου, ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον, εἱστιᾶτο
ἐλθὼν καὶ σπονδῶν μετεῖχε καὶ εὐχῶν, ἃς ἐπὶ τοῖς τῶν
συμμάχων τῶν ὑμετέρων τείχεσι καὶ [y] χώρᾳ καὶ ὅπλοις
ἀπολωλόσιν [z] εὔχετο ἐκεῖνος, καὶ συνεστεφανοῦτο καὶ
[a] συνεπαιώνιζε Φιλίππῳ καὶ φιλοτησίας [b] προὔπινεν.

142 Καὶ ταῦτ' οὐκ ἔνεστιν ἐμοὶ [c] μὲν οὕτω, τούτῳ δ' ἄλ-
λως πως εἰπεῖν· ἀλλ' ὑπὲρ μὲν τῆς ἐξωμοσίας ἐν τοῖς 381
κοινοῖς τοῖς ὑμετέροις γράμμασιν ἐν τῷ μητρῴῳ ταῦτ'
ἐστίν, ἐφ' οἷς ὁ δημόσιος τέτακται, καὶ ψήφισμα ἄντι-
κρυς περὶ τούτου τοῦ ὀνόματος γέγραπται· ὑπὲρ δ' ὧν
[d] ἐκεῖ [e] διεπράξατο, οἱ [f] συμπρεσβεύοντες καὶ παρόντες
[g] καταμαρτυρήσουσιν, οἵπερ [h] ἐμοὶ ταῦτα διηγοῦντο· οὐ
γὰρ ἔγωγ' αὐτοῖς συνεπρέσβευσα, ἀλλ' ἐξωμοσάμην.
Καί μοι λέγε τὸ ψήφισμα καὶ τὰ γράμματα, καὶ τοὺς
μάρτυρας κάλει.

[s] τοῦ om. O. t. u. v. in γρ. habet Q.

[t] πολλῷ om. k. s.

[u] τουτωνὶ in γρ. Q.

[x] πάσχειν] φάσκειν s.

[y] χώρᾳ] χώραις r. et rec. S. Y.

[z] εὔχετο S. Y. ηὔχετο F. vulg. ηὔχετο.

[a] συνεπαιώνιζε] συνεπαιάνιζε s. et rec. v.

[b] προὔπινεν] προὔτεινεν pr. Y. et γρ. F.

[c] μὲν om. O. t. u.

[d] ἐκεῖ] ἐκεῖσε ἐλθὼν k. r. s.

[e] διεπράξατο] διεπράξαντο pr. v.

[f] συμπρεσβεύοντες] συμπρεσβεύσαντες s.

[g] καταμαρτυρήσουσιν] καταμαρτυροῦσιν k. r. s.

[h] ἐμοὶ] παρ' ἐμοὶ r.

143 [i] ΨΗΦΙΣΜΑ. [k] ΓΡΑΜΜΑΤΑ. ΜΑΡΤΥΡΕΣ.

Τίνας οὖν εὐχὰς ὑπολαμβάνετ' εὔχεσθαι [l] τοῖς θεοῖς τὸν Φίλιππον, ὅτ' ἔσπενδεν, ἢ τοὺς Θηβαίους; ἆρ' οὐ κράτος [m] πολέμου καὶ νίκην αὑτοῖς καὶ τοῖς συμμάχοις διδόναι, καὶ [n] τἀναντία τοῖς τῶν Φωκέων; οὐκοῦν ταῦτα [o] συνεύχετο οὗτος καὶ κατηρᾶτο τῇ πατρίδι, ἃ νῦν εἰς κεφαλὴν ὑμᾶς αὑτῷ δεῖ τρέψαι.

144 Οὐκοῦν ᾤχετο μὲν παρὰ τὸν νόμον, ὃς [p] θάνατον κελεύει τούτων τὴν ζημίαν εἶναι· ἐλθὼν δ' ἐκεῖσε ἑτέρων θανάτων ἄξια ποιῶν πέφανται· τὰ [q] δὲ πρόσθεν πεπραγμένα καὶ πεπρεσβευμένα ὑπὲρ τούτων ἀποκτείνειεν ἂν αὐτὸν δικαίως. σκοπεῖτε τοίνυν τί [r] ἔσται τίμημα, ὃ [s] ταύτην ἕξει τὴν ἀξίαν ὥστε τοσούτων [t] ἀδικημάτων ἀξιό-

145 χρεων φαίνεσθαι. πῶς γὰρ οὐκ αἰσχρόν, [u] ὦ ἄνδρες Ἀθηναῖοι, δημοσίᾳ μὲν ἅπαντας [x] ὑμᾶς καὶ ὅλον τὸν δῆμον [y] πᾶσι τοῖς πεπραγμένοις ἐκ τῆς εἰρήνης ἐπιτιμᾶν, καὶ μήτε [z] τῶν ἐν Ἀμφικτύοσι κοινωνεῖν ἐθέλειν δυσκόλως τ' ἔχειν καὶ ὑπόπτως πρὸς τὸν Φίλιππον, ὡς ἀσεβῶν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων καὶ οὔτε δικαίων οὔθ' ὑμῖν 382
συμφερόντων, εἰς [a] δὲ τὸ δικαστήριον εἰσελθόντας [b] τὰς ὑπὲρ τούτων εὐθύνας δικάσοντας, [c] ὅρκον [d] ὑπὲρ τῆς πόλεως ὀμωμοκότας, τὸν ἁπάντων [e] τῶν κακῶν αἴτιον, καὶ

[i] Titulos om. S.
[k] γράμματα om. Y. Q. t.
[l] τοῖς θεοῖς τὸν Φίλιππον] τοῖς θεοῖς φίλιππον O. τὸν φίλιππον τοῖς θεοῖς k. s.
[m] πολέμου post νίκην ponit S.
[n] τἀναντία] τἀναντία τούτων k. r. s.
[o] συνεύχετο S. vulg. συνηύχετο.
[p] θάνατον] θάνατον μὲν r.
[q] δὲ πρόσθεν S. et γρ. Q. ceteri δ' ἔμπροσθεν.
[r] ἔσται τίμημα] τίμημα ἔσται F. Q. O. r. t. u. v.
[s] ταύτην] τοιαύτην vulg.
[t] ἀδικημάτων] πραγμάτων S. Y. et γρ. F.
[u] ὦ om. k. s.
[x] ὑμᾶς om. O. t. v.
[y] πᾶσι S. Y. k. ceteri ἅπασι.
[z] τῶν ante ἐν om. Y.
[a] δὲ] δὴ t. u.
[b] τὰς om. Y.
[c] ὅρκον] καὶ τὸν ὅρκον F. Q. O. r. t. u. v.
[d] ὑπὲρ] τὸν ὑπὲρ F. Y. Q. O. r. t. u. v.
[e] τῶν om. Y.

ὃν εἰλήφατ' ἐπ' αὐτοφώρῳ τοιαῦτα πεποιηκότα, τοῦτον
146 ἀφεῖναι; καὶ τίς οὐ δικαίως [f] ὑμῖν ἐγκαλέσει [g] τῶν ἄλλων πολιτῶν, μᾶλλον δ' ἁπάντων τῶν [h] Ἑλλήνων, ὁρῶν Φιλίππῳ μὲν ὑμᾶς ὀργιζομένους, ὃς ἐκ [i] πολέμου ποιούμενος [k] εἰρήνην παρὰ τῶν πωλούντων τὰς πράξεις [l] ἐωνεῖτο, πρᾶγμα πολλὴν συγγνώμην ἔχον διαπραττόμενος, τουτονὶ δ' ἀφιέντας, ὃς τὰ ὑμέτερα οὕτως αἰσχρῶς ἀπέδοτο, τῶν νόμων τὰ ἔσχατα [m] ταττόντων ἐπιτίμια, ἐάν [n] τις ταῦτα ποιῇ.

147 Τάχα τοίνυν ἴσως καὶ τοιοῦτος ἥξει τις λόγος παρὰ τούτων, ὡς ἀρχὴ γενήσεται [o] πρὸς Φίλιππον ἔχθρας, εἰ τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφιεῖσθε. ἐγὼ δ', εἰ τοῦτ' ἔστιν ἀληθές, οὐκ ἔχω σκοπούμενος εὑρεῖν ὅ τι [p] μεῖζον τούτου κατηγορήσω. εἰ γὰρ ὁ τῆς εἰρήνης χρήματ' ἀναλώσας ὥστε τυχεῖν, οὗτος οὕτω [q] νῦν γέγονε φοβερὸς καὶ μέγας, ὥστε τῶν ὅρκων καὶ τῶν δικαίων [r] ἀμελήσαντας ὑμᾶς ἤδη τί Φιλίππῳ [s] χαριεῖσθε σκοπεῖν, τί παθόντες ἂν οἱ τούτων αἴτιοι τὴν προσήκουσαν δίκην
148 δεδωκότες [t] εἶεν; οὐ μὴν ἀλλ' ὅτι καὶ φιλίας ἀρχὴ συμφερούσης [u] ὑμῖν [x] οὕτω μᾶλλον ἐκ τῶν εἰκότων γενήσεται, καὶ τοῦτ' οἴομαι δείξειν. εὖ γὰρ εἰδέναι χρὴ τοῦθ', ὅτι οὐ καταφρονεῖ Φίλιππος ὦ ἄνδρες Ἀθηναῖοι τῆς πόλεως τῆς [y] ὑμετέρας, οὐδ' ἀχρηστοτέρους [z] νομίσας ὑμᾶς Θηβαίων 383

[f] ὑμῖν ἐγκαλέσει] ὑμῖν ἐγκαλέσειε r. ἂν ὑμῖν ἐγκαλέσειε k. s.
[g] τῶν om. O.
[h] Ἑλλήνων] ἄλλων ἑλλήνων k. s.
[i] πολέμου] τοῦ πολέμου k.
[k] εἰρήνην] τὴν εἰρήνην F. Q. O. r. s. t. u. v.
[l] ἐωνεῖτο] ὠνεῖτο k. s.
[m] ταττόντων] τὰ τούτων u.
[n] τις om. t. ante ἥξει ponit r.
[o] πρὸς] τῆς πρὸς F. Q. O. k. s. t. u. v. τῆς πρὸς τὸν r.
[p] μεῖζον τούτου S. Y. k. s. ceteri τούτου μεῖζον.
[q] νῦν om. S. Y.
[r] ἀμελήσαντας] ἀμελήσοντας F. Q.
[s] χαριεῖσθε] χαριεῖσθαι F. χαριεῖσθαι Q. r. v.
[t] εἶεν] vulg. ἂν εἶεν.
[u] ὑμῖν] ἡμῖν F. Q. k. r. s.
[x] οὕτω om. F. Q. O. v.
[y] ὑμετέρας] ἡμετέρας k.
[z] νομίσας ὑμᾶς] ὑμᾶς νομίσας r.

ἐκείνους εἵλετ' ἀνθ' ὑμῶν. ἀλλ' ὑπὸ τούτων [a] ἐδιδάχθη
καὶ ταῦτ' ἤκουσεν, [b] ἃ καὶ πρότερόν ποτ' εἶπον ἐγὼ πρὸς
149 ὑμᾶς ἐν τῷ δήμῳ καὶ τούτων οὐδεὶς ἀντεῖπεν, ὡς ὁ μὲν
δῆμός [c] ἐστιν ἀσταθμητότατον [d] πρᾶγμα τῶν [e] πάντων
καὶ [f] ἀσυνθετώτατον, ὥσπερ ἐν θαλάττῃ πνεῦμα ἀκατά-
στατον, ὡς ἂν τύχῃ, [g] κινούμενον. [h] ὁ μὲν ἦλθεν, ὁ δ'
ἀπῆλθεν· μέλει δ' οὐδενὶ τῶν κοινῶν, [i] οὐδὲ μέμνηται.
δεῖ δέ τινας φίλους ὑπάρχειν τοὺς ἕκαστα πράξοντας
[k] ἐν ὑμῖν [l] αὐτῷ καὶ διοικήσοντας, οἷον [m] αὐτὸς δή· κἄν-
περ αὐτῷ τοῦτο [n] κατασκευασθῇ, πᾶν ὅ τι ἂν βούληται
150 παρ' ὑμῖν ῥᾳδίως διαπράξεται. εἰ μὲν οὖν ἤκουσεν, οἴ-
μαι, τοὺς τότε [o] ταῦτα πρὸς αὐτὸν εἰπόντας παραχρῆμα,
ὡς δεῦρ' ἐπανῆλθον, ἀποτετυμπανισμένους, ἐποίησεν ἂν
ταὐτὸ [p] τῷ βασιλεῖ. τί δ' ἦν ὃ ἐκεῖνος ἐποίησεν; ἐξαπα-
τηθεὶς ὑπὸ Τιμαγόρου καὶ [q] τετταράκοντα τάλαντα, ὡς
λέγεται, δεδωκὼς αὐτῷ, ἐπειδὴ παρ' ὑμῖν ἐπύθετο αὐτὸν
τεθνεῶτα καὶ οὐδὲ [r] τοῦ ζῆν ὄντα κύριον αὐτῷ βεβαιῶσαι,
μή τί [s] γ', ἃ ἐκείνῳ τόθ' [t] ὑπέσχετο, πρᾶξαι, ἔγνω τὴν
τιμὴν οὐχὶ τῷ κυρίῳ τῶν πραγμάτων δεδωκώς. καὶ γὰρ

νομίσας ἡμᾶς F. νομίσας omisso pronomine S. Y. k. s.

[a] ἐδιδάχθη ante ὑπὸ ponit r.

[b] ἃ] ἅπερ F. Y. t. u.

[c] Post ἐστιν cum S. omisi ὄχλος.

[d] πρᾶγμα τῶν] πραγμάτων S. r.

[e] πάντων S. Y. k. s. ceteri ἁπάντων.

[f] ἀσυνθετώτατον] ἀσυνετώτατον F. S. Y. Q. r. t. u. v. et correctus O. conf. Anecd. p. 456, 19.

[g] κινούμενον] κινούμενος S. Y. Q. κινούμενον[ς] F. t.

[h] ὁ μὲν om. pr. S.

[i] οὐδὲ] ἀλλ' οὐδὲ F. Y. O. r. t. u. v. et γρ. Q.

[k] ἐν] παρ' k. s.

[l] αὐτῷ καὶ] οὕτω καὶ k. r. s.

[m] αὐτὸς δή] αὐτὸ δή t. u. αὐτῷ δή O. αὐτῷ δοκεῖ margo O. ἂν αὐτῷ δοκῇ k. s.

[n] κατασκευασθῇ] κατεσκευάσθη r. s.

[o] ταῦτα om. Y.

[p] τῷ post ταὐτὸ expungendum censeo.

[q] τετταράκοντα] τεττεράκοντα Q.

[r] τοῦ] τὸ correctus v.

[s] γ', ἃ] γ' αν S.

[t] ὑπέσχετο] ὑπέσχητο Y. cum Anecd. p. 177, 13.

τοι πρῶτον μὲν Ἀμφίπολιν [u] πάλιν [x] ὑμετέραν δούλην
[y] κατέστησεν, ἣν τότε σύμμαχον αὑτοῦ καὶ φίλην ἔγρα-
ψεν· εἶτ' οὐδενὶ πώποτ' [z] ἔδωκε χρήματα τοῦ λοιποῦ.
151 ταὐτὸ [a] τοίνυν τοῦτ' ἂν ἐποίησε [b] Φίλιππος, εἴ τινα τούτων
εἶδε δίκην [c] δόντα, καὶ νῦν, ἂν [d] ἴδῃ, ποιήσει. ἐπειδὰν δ'
[e] ἀκούῃ λέγοντας εὐδοκιμοῦντας ἐν ὑμῖν, ἑτέρους κρίνοντας,
τί καὶ [f] ποιήσῃ; ζητῇ πόλλ' ἀναλίσκειν, ἐξὸν ἐλάττω, 384
καὶ πάντας θεραπεύειν [g] βούληται, δύ' ἢ τρεῖς ἐξόν; μαί-
νοιτο μέντ' ἄν. οὐδὲ γὰρ τὴν τῶν Θηβαίων πόλιν εἵλετο
δημοσίᾳ ποιεῖν ὁ Φίλιππος εὖ, πολλοῦ γε καὶ δεῖ, ἀλλ'
ὑπὸ τῶν πρέσβεων ἐπείσθη. ὃν δὲ τρόπον, φράσω πρὸς
152 ὑμᾶς [h] ἐγώ. [i] ἦλθον [k] ὡς αὐτὸν [l] πρέσβεις ἐκ Θηβῶν, ὅτε
περ καὶ παρ' ὑμῶν ἡμεῖς ἦμεν ἐκεῖ. τούτοις χρήματ'
ἐκεῖνος [m] ἠβούλετο δοῦναι, καὶ πάνυ γε, ὡς ἔφασαν,
πολλά. οὐκ ἐδέξαντο οὐδ' ἔλαβον ταῦτα οἱ τῶν Θηβαίων
πρέσβεις. μετὰ ταῦτα ἐν θυσίᾳ τινὶ [n] καὶ δείπνῳ πίνων
καὶ φιλανθρωπευόμενος πρὸς αὐτοὺς ὁ Φίλιππος ἄλλα
τε δὴ πολλά, οἷον αἰχμάλωτα καὶ [o] τοιαῦτα, καὶ τε-
λευτῶν ἐκπώματ' ἀργυρᾶ καὶ χρυσᾶ [p] προὔπινεν αὐτοῖς.
[q] πάντα ταῦτα ἐκεῖνοι [r] διεωθοῦντο καὶ [s] οὐδαμῇ προΐεντο

[u] πάλιν Y. Q. O. t. u. v. vulg. πόλιν.
[x] ὑμετέραν] ἡμετέραν k.
[y] κατέστησεν] κατέπεμψεν S.
[z] ἔδωκε χρήματα] χρήματ' ἔδωκε r.
[a] τοίνυν om. r.
[b] Φίλιππος] ὁ φίλιππος F. k. s.
[c] δόντα S. Y. vulg. διδόντα.
[d] ἴδῃ] εἰδῇ F. S. Q. k. s. t. v.
[e] ἀκούῃ] ἀκούσῃ F. Y. Q. r. t. u. v.
[f] ποιήσῃ ζητῇ S. et γρ. Q. ποιήσει ζητεῖ r. ποιῆσαι ζητῇ F. Q. s. ποιῆσαι ζητεῖ Y. O. t. u. v. ποιῆσαι ζητοίη k. et γρ. u. v.
[g] βούληται F. S. Y. Q. r. s. u. βούλεται t. v. βούλοιτο O. k.
[h] ἐγώ om. k.
[i] ἦλθον] ἧκον r. s.
[k] ὡς] πρὸς s.
[l] πρέσβεις om. s. et pr. k.
[m] ἠβούλετο] ἐβούλετο S.
[n] καὶ δείπνῳ om. k. s.
[o] τοιαῦτα] τὰ τοιαῦτα F. Q. O. k. r. s. t. u. v.
[p] προὔπινεν] προὔτεινεν O. t. u. v.
[q] πάντα ταῦτα S. Y. vulg. ταῦτα πάντα.
[r] διεωθοῦντο] διωθοῦντο O. k. r. s.
[s] οὐδαμῇ] οὐδαμῶς r.

153 ἑαυτούς. τελευτῶν δὲ Φίλων, εἷς τῶν πρέσβεων, εἶπεν ὦ ἄνδρες Ἀθηναῖοι [t] λόγον οὐχ ὑπὲρ [u] Θηβαίων, ἀλλ' ὑπὲρ ὑμῶν ἄξιον εἰρῆσθαι. ἔφη γὰρ τὸν Φίλιππον [x] ὁρῶν μεγαλοψύχως καὶ φιλανθρώπως ἔχοντα [y] πρὸς αὐτοὺς ἥδεσθαι καὶ χαίρειν· αὐτοὶ μὲν οὖν ὑπάρχειν αὐτῷ φίλοι καὶ ξένοι καὶ ἄνευ τῶν δώρων τούτων, εἰς δὲ τὰ τῆς πόλεως πράγματα, ἐν οἷς ἦν τότε, τὴν φιλανθρωπίαν [z] αὐτὸν ἠξίουν ταύτην προσθέντα ἄξιόν τι [a] καὶ αὐτοῦ καὶ τῶν Θηβαίων πρᾶξαι, καὶ ὅλην [b] τε τὴν πόλιν οὕτω καὶ
154 [c] σφεῖς ὡμολόγουν [d] ὑπάρξειν αὐτῷ. καὶ γάρ [e] τοι σκέψασθε, τί τοῖς Θηβαίοις γέγονεν ἐκ τούτων καὶ τί [f] συμβέβηκε, καὶ θεάσασθε ἐπ' αὐτῆς τῆς ἀληθείας, ἡλίκον ἐστὶ τὸ μὴ πωλεῖν τὰ τῆς [g] πόλεως. πρῶτον μὲν τοίνυν εἰρήνη γέγονεν αὐτοῖς πονοῦσι καὶ ταλαιπωρουμένοις ἤδη 385
τῷ πολέμῳ καὶ ἡττωμένοις, εἶτα τῶν [h] ἐχθρῶν Φωκέων ἄρδην ὄλεθρος καὶ ὅλων τῶν τειχῶν καὶ τῶν πόλεων ἀναίρεσις. ἆρα καὶ μόνα ταῦτα; οὐ μὰ Δί', ἀλλ' ἔτι πρὸς τούτοις Ὀρχομενός, Κορώνεια, [i] Κορσιαί, τὸ [k] Τιλφωσ-
155 σαῖον, τῆς [l] τῶν Φωκέων χώρας [m] ὁπόσην βούλονται. τοῖς μὲν [n] δὴ Θηβαίοις ταῦτ' ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ' ἂν εὔξαιντο δήπου μείζονα· τοῖς δὲ πρέσβεσι τοῖς τῶν Θηβαίων τί; οὐδὲν πλὴν τὸ τούτων αἰτίοις γεγενῆσθαι τῇ

[t] λόγον] λόγον ὃν F. Q.
[u] Θηβαίων] θηβῶν k.
[x] ὁρῶν] ὁρῶν καὶ S. Y. k.
[y] πρὸς αὐτοὺς om. k.
[z] αὐτὸν om. k.
[a] καὶ post τι om. k.
[b] τε S. Y. k. s. δὲ (τε) F. ceteri δέ.
[c] σφεῖς S. vulg. σφᾶς.
[d] ὑπάρξειν] ὑπάρχειν k. s.
[e] τοι] τι s.
[f] συμβέβηκε] ἡμῖν συμβέβηκε r. s.
[g] Post πόλεως omisi πράγματα cum S. k. s.
[h] ἐχθρῶν om. k.
[i] Κορσιαί] κορσίαι t. cum pr. v. et correcto O. κορσια S.
[k] Τιλφωσσαῖον] τιλφώσαιον F. Q. v. τιλφωσαῖον k. r. s.
[l] τῶν om. F. Q. O. r. t. u. v.
[m] ὁπόσην βούλονται S. Y. et γρ. Q. vulg. ὅσην ἠβούλοντο.
[n] δὴ om. O. s.

πατρίδι· τοῦτο δὲ καλὸν ὦ ἄνδρες Ἀθηναῖοι καὶ σεμνὸν
εἰς ἀρετῆς λόγον καὶ δόξης, ἣν οὗτοι χρημάτων ἀπέδοντο.
ἀντιθῶμεν δή, τί τῇ τῶν [o] Ἀθηναίων πόλει γέγονεν ἐκ τῆς
εἰρήνης καὶ τί τοῖς πρέσβεσι τοῖς τῶν Ἀθηναίων, καὶ θεω-
156 ρεῖτε εἰ παραπλήσια τῇ πόλει καὶ τούτοις αὐτοῖς. τῇ
πόλει μὲν τοίνυν ἀφεστηκέναι μὲν ἁπάντων καὶ τῶν κτη-
μάτων καὶ τῶν συμμάχων, ὀμωμοκέναι [p] δὲ Φιλίππῳ,
κἂν [q] ἄλλος τις ἴῃ [r] ποτ' ἐπ' αὐτὰ βουλόμενος σώζειν,
[s] ὑμᾶς [t] κωλύσειν καὶ τὸν μὲν [u] ὑμῖν βουλόμενον παρα-
δοῦναι ἐχθρὸν [x] ἡγήσεσθαι καὶ πολέμιον, τὸν δὲ ἀπεστερη-
157 κότα σύμμαχον καὶ φίλον. ταῦτα γάρ ἐσθ' ἃ συνεῖπε
μὲν Αἰσχίνης [y] οὑτοσί, ἔγραψε δ' ὁ τούτου συνεργὸς Φιλο-
κράτης· καὶ κρατοῦντος ἐμοῦ τὴν προτέραν ἡμέραν, καὶ
πεπεικότος ὑμᾶς τὸ τῶν συμμάχων δόγμα κυρῶσαι καὶ
καλέσαι τοὺς πρέσβεις [z] τοὺς τοῦ Φιλίππου, ἐκκρούσας
οὗτος εἰς τὴν ὑστεραίαν [a] τὴν Φιλοκράτους γνώμην [b] ἔπει-
σεν ἑλέσθαι, ἐν ᾗ καὶ ταῦτα καὶ πολλὰ [c] ἄλλ' ἔτι τού-
158 των [d] δεινότερά [e] ἐστι γεγραμμένα. τῇ μὲν δὴ πόλει
ταῦτα ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ' εὑρεῖν αἴσχιω ῥᾴ- 386
διον· τοῖς δὲ [f] πρέσβεσι τί τοῖς ταῦτα πράξασιν; τὰ μὲν
ἄλλα σιωπῶ πάνθ', ὅσα ἑωράκαθ' ὑμεῖς, οἰκίας, ξύλα,
πυρούς, [g] ἀλλ' ἐν τῇ τῶν ἀπολωλότων συμμάχων χώρᾳ
κτήματα καὶ γεωργίαι παμπληθεῖς, Φιλοκράτει μὲν

[o] Ἀθηναίων] θηβαίων k. r. s.
[p] δὲ] δὴ Q. r.
[q] ἄλλος τις] τις ἄλλος F. Q. O. r. t. u. v.
[r] ποτ' om. r.
[s] ὑμᾶς] ἡμᾶς k. r.
[t] κωλύσειν] κωλύσειν Y. r. et γρ. Q.
[u] ἡμῖν F. S. Y. Q. k. r. s.
[x] ἡγήσεσθαι] ἡγήσασθαι F. ἡγήσασθαι Q. O. k. r. s. t. u. v.
[y] οὑτοσί] οὑτοσὶν s.
[z] τοὺς post πρέσβεις om. k. s.
[a] τὴν Φιλ.] τοῦ φιλ. r.
[b] ἔπεισεν] ἔπεισεν ὑμᾶς F. k. s.
[c] ἄλλα om. k. s.
[d] δεινότερα] δεινὰ k. s.
[e] ἐστι] ἔνεστι k. s.
[f] πρέσβεσι] πρεσβεῦσι O.
[g] ἀλλ'] ἀλλ' ἃ r.

[h] τάλαντον ἔχουσαι πρόσοδον, τούτῳ δ' Αἰσχίνῃ τριάκοντα
159 μνᾶς. καίτοι πῶς οὐ δεινὸν ὦ ἄνδρες Ἀθηναῖοι καὶ σχέτλιον τὰς τῶν [i] ὑμετέρων συμμάχων συμφορὰς προσόδους τοῖς πρέσβεσι τοῖς [k] ὑμετέροις γεγενῆσθαι, καὶ τὴν αὐτὴν εἰρήνην τῇ μὲν ἐκπεμψάσῃ πόλει τῶν [l] μὲν συμμάχων ὄλεθρον, τῶν δὲ κτημάτων ἀπόστασιν, ἀντὶ δὲ δόξης αἰσχύνην γεγενῆσθαι, [m] τῶν δὲ πρέσβεων τοῖς κατὰ τῆς πόλεως ταῦτα πράξασι προσόδους, εὐπορίας, κτήματα, πλοῦτον ἀντὶ τῶν ἐσχάτων ἀποριῶν [n] εἰργάσθαι; ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει [o] μοι τοὺς [p] Ὀλυνθίους μάρτυρας.

## ΜΑΡΤΥΡΕΣ.

160 Οὐ τοίνυν θαυμάσαιμ' ἂν εἰ καὶ [q] τοιοῦτό τι τολμήσει λέγειν, ὡς οὐκ ἦν [r] καλὴν οὐδ' οἵαν ἠξίουν ἐγὼ τὴν εἰρήνην ποιήσασθαι κακῶς τῷ πολέμῳ τῶν στρατηγῶν κεχρημένων. ἂν δὴ ταῦτα λέγῃ, πρὸς θεῶν ἐρωτήσατ' αὐτὸν μεμνημένοι, πότερον ἐξ ἑτέρας [s] τινὸς ᾤχετο πρεσβεύων πόλεως ἢ ταύτης [t] αὐτῆς. εἰ μὲν γὰρ [u] ἐξ ἑτέρας, ἣν κεκρατηκέναι [x] τε τῷ [y] πολέμῳ φήσει καὶ χρηστοὺς ἔχειν
161 [z] τοὺς στρατηγούς, εἰκότως χρήματ' εἴληφεν. εἰ δ' ἐκ [a] ταύτης αὐτῆς, τίνος ἕνεκα, ἐφ' οἷς ἡ πέμψασα πόλις τῶν ἑαυτῆς ἀπέστη, ἐπὶ τούτοις οὗτος [b] δῶρα προσλαβὼν φαίνεται; τῶν γὰρ αὐτῶν ἔδει τήν τε πέμψασαν πόλιν 387

[h] τάλαντον] τάλαντα O. t. u.
[i] ὑμετέρων] ἡμετέρων k.
[k] ὑμετέροις] ἡμετέροις k. r.
[l] μὲν post τῶν om. S.
[m] τῶν δὲ πρέσβεων S. ceteri τοῖς δὲ πρέσβεσι.
[n] εἰργάσθαι] ἐργάσασθαι O. u.
[o] μοι] μοι τούτων F.Q.O.k.r.s.t.u.v.
[p] Ὀλυνθίους] ὀλυνθίων k. r. s. om. v.
[q] τοιοῦτό] τοιοῦτόν Q. k. r. s.
[r] καλὴν] καλὴ F.S.Y.Q.t.u. et pr. O. v.
[s] τινὸς om. k. s.
[t] αὐτῆς] τῆς αὐτῆς S.Y.O.t.u.v.
[u] ἐξ] καὶ s.
[x] τε om. F.Q.O.t.u. et pr. v.
[y] πολέμῳ] φιλίππῳ O. t. u.
[z] τοὺς om. S. Y. Q. k. r. s.
[a] ταύτης] τῆς S. Y. et γρ. F.
[b] δῶρα] δωρεὰς S. k. s.

τυγχάνειν καὶ τοὺς ἐκ ταύτης πρέσβεις, εἴπερ τι τῶν δι-
162 καίων [c] ἐγίγνετο. Ἔτι τοίνυν κἀκεῖνο σκέψασθε, ὦ ἄνδρες [d] Ἀθηναῖοι. [e] πότερ' οἴεσθε [f] πλέον [g] Φωκέας Θηβαίων ἢ Φίλιππον ὑμῶν κρατεῖν τῷ πολέμῳ; ἐγὼ μὲν γὰρ [h] εὖ οἶδ' ὅτι Φωκεῖς Θηβαίων. εἶχόν [i] γε Ὀρχομενὸν καὶ Κορώνειαν καὶ τὸ [k] Τιλφωσσαῖον, καὶ τοὺς [l] ἐν Νέωσιν ἀπειλήφεσαν αὐτῶν, καὶ ἑβδομήκοντα καὶ διακοσίους ἀπεκτόνεσαν ἐπὶ τῷ Ἡδυλείῳ, καὶ τρόπαιον εἱστήκει, καὶ ἱπποκράτουν, καὶ κακῶν Ἰλιὰς περιειστήκει Θηβαί-
163 ους. ὑμῖν δὲ [m] τοιοῦτο μὲν [n] οὐδὲν οὔτ' ἦν μήτε γένοιτο τοῦ λοιποῦ, τοῦτο δ' ἦν τὸ δεινότατον τοῦ πρὸς Φίλιππον πολέμου· οὐκ [o] ἠδύνασθε κακῶς, ἡνίκα ἐβούλεσθε, ποιεῖν ἐκεῖνον. τοῦ δὲ μὴ [p] πάσχειν αὐτοὶ πᾶσαν ἄδειαν ἤγετε. τί ποτ' οὖν ἐκ τῆς αὐτῆς εἰρήνης τοῖς μὲν Θηβαίοις, [q] τοῖς [r] τοσοῦτο κρατουμένοις τῷ πολέμῳ, καὶ τὰ ἑαυτῶν κομίσασθαι καὶ τὰ τῶν ἐχθρῶν προσλαβεῖν [s] γέγονε, τοῖς δ' Ἀθηναίοις ὑμῖν, καὶ ἃ τῷ πολέμῳ διεσῴζετο, ταῦτ' ἐπὶ τῆς εἰρήνης ἀπολωλεκέναι; ὅτι [t] τἀκείνων μὲν οὐκ ἀπέδονθ' οἱ πρέσβεις, τὰ δ' [u] ὑμέτερα οὗτοι πεπράκασιν.

[c] Post ἐγίγνετο cum S. Y. O. t. u. v. omisi hæc: νῦν δὲ ἡ μὲν πόλις τῶν αὐτῆς ἀφέστηκεν, οὗτος δὲ χρήματα εἴληφεν.

[d] Ἀθηναῖοι] δικασταί S. Y. et γρ. F.

[e] πότερ'] πότερον k. s.

[f] πλέον post Φωκέας ponit Y.

[g] Φωκέας Θηβαίων] φωκέων Q.

[h] εὖ om. k. r. s.

[i] γε S. γὰρ Y. Q. O. t. u. v. μέν γε k. r. μὲν γὰρ F. S.

[k] Τιλφωσσαῖον] τιλφώσαιον F. S. Q. τιλφωσαῖον k. r. s.

[l] ἐν Νέωσιν] ἐννεώσινας k. ἐννεωσίνας r.

[m] τοιοῦτο] τοιοῦτον Q. k. r. s. cum Anecd. p. 147, 8.

[n] οὐδὲν om. F. O. t. u. v.

[o] ἠδύνασθε] ἐδύνασθε S.

[p] πάσχειν] πάσχειν ἔτι F. r.

[q] τοῖς post Θηβαίοις om. k. s.

[r] τοσοῦτο S. Y. Q. τοσοῦτον k. r. s. et correctus v. τοσούτῳ F. τοσούτῳ O. t. u. v.

[s] γέγονε] ἐγγέγονε r. k. utrum habeat non liquet.

[t] τἀκείνων μὲν vel τὰ ἐκείνων μὲν F. S. Y. Q. O. r. t. u. v. vulg. τὰ μὲν ἐκείνων.

[u] ὑμέτερα] ἡμέτερα k. s.

[ἀλλὰ νὴ Δία τοὺς συμμάχους [x]ἀπειρηκέναι [y]φήσει τῷ
πολέμῳ.] ὅτι γὰρ ταῦθ᾽ οὕτω πέπρακται, καὶ ἐκ τῶν
[z]ἐπιλοίπων ἔτι μᾶλλον εἴσεσθε.
164 Ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη τέλος εἶχεν [a]αὕτη ἡ τοῦ Φι-
λοκράτους, ᾗ συνεῖπεν οὗτος, οἱ δὲ πρέσβεις ἀπῄρκεσαν
οἱ τοῦ Φιλίππου λαβόντες τοὺς ὅρκους) καὶ μέχρι τούτου 388
[b]γε οὐδὲν ἀνήκεστον ἦν τῶν πεπραγμένων, ἀλλ᾽ αἰσχρὰ
μὲν ἡ εἰρήνη καὶ ἀναξία τῆς πόλεως, ἀντὶ δὲ τούτων [c]δὴ
τὰ θαυμάσια [d]ἀγαθὰ ἡμῖν ἤμελλεν ἔσεσθαι), ἠξίουν
165 [e]ὑμᾶς ἐγὼ καὶ τούτοις ἔλεγον πλεῖν τὴν ταχίστην [f]ἐφ᾽
Ἑλλησπόντου καὶ μὴ προέσθαι μηδ᾽ [g]ἐᾶσαι [h]κατα-
σχεῖν Φίλιππον [i]μηδὲν ἐν τῷ μεταξὺ χρόνῳ τῶν [k]ἐκεῖ χω-
ρίων. ᾔδειν γὰρ ἀκριβῶς ὅτι πάνθ᾽, ὅσ᾽ ἂν ἐκ πολέμου
γιγνομένης εἰρήνης [l]προεθῇ, ταῦτα τοῖς [m]ἀμελήσασιν
ἀπόλλυται· οὐδεὶς γὰρ πώποθ᾽ ὑπὲρ τῶν ὅλων πεισθεὶς
εἰρήνην ἄγειν, ὑπὲρ τῶν [n]ἐγκαταλειφθέντων ἐξ ἀρχῆς [o]ἠθέ-
166 λησε πολεμεῖν, ἀλλὰ ταῦθ᾽ οἱ προλαβόντες ἔχουσιν. χω-
ρὶς δὲ τούτων δυοῖν χρησίμοιν οὐ διαμαρτήσεσθαι τὴν πό-
λιν ἡγούμην πλευσάντων ἡμῶν· ἢ γὰρ παρόντων καὶ κατὰ
τὸ ψήφισμ᾽ αὐτὸν [p]ἐξορκωσάντων, ἃ μὲν [q]εἰλήφει [r]τῆς
πόλεως, ἀποδώσειν, τῶν δὲ λοιπῶν [s]ἀφέξεσθαι, ἢ μὴ

[x] ἀπειρηκέναι] ἀνηρηκέναι r.
[y] φήσει] φησί F. Q. O. k. t. u. v. et correctus s.
[z] ἐπιλοίπων] ὑπολοίπων k. r. s.
[a] αὕτη] αὐτὴ F. O. r. t. v.
[b] γε om. k. s.
[c] δὴ om. k. s.
[d] ἀγαθὰ ἡμῖν ἤμελλεν (vel ἔμελλεν ut S.) F. S. Y. Q. O. r. t. u. v. ἤμελλεν ἡμῖν ἀγαθὰ s. ἤμελλεν ἀγαθὰ k.
[e] ὑμᾶς] ἡμᾶς Q.
[f] ἐφ᾽] τὴν ἐφ᾽ F. Q.
[g] ἐᾶσαι] ἀκοῦσαι O.
[h] κατασχεῖν post μηδὲν ponit k. s.
[i] μηδὲν] μὴ δ᾽ r.
[k] ἐκεῖ] ἐκεῖ τι F. Y. Q. O. r. t. u. v.
[l] προεθῇ] προσθῇ r. t. u. et pr. O.
[m] ἀμελήσασιν] μελλήσασιν k. r. s.
[n] ἐγκαταλειφθέντων] καταληφθέντων Q. r.
[o] ἠθέλησε] ἐθελῆσαι k. s.
[p] ἐξορκωσάντων] ὁρκωσάντων k. s.
[q] εἰλήφει] ειλήφασι r.
[r] τῆς] τῶν τῆς Q. O. t. u. v.
[s] ἀφέξεσθαι] ἐφέξεσθαι r.

[t] ποιοῦντος ταῦτα [u] ἀπαγγελεῖν [x] ἡμᾶς εὐθέως δεῦρο, ὥστ'
ἐν ἐκείνοις τοῖς πόῤῥω καὶ ἐλάττοσι τὴν πλεονεξίαν καὶ
167 τὴν ἀπιστίαν [y] ἰδόντας ὑμᾶς περὶ τῶνδε τῶν ἐγγὺς [z] καὶ
μειζόνων, λέγω [a] δὲ Φωκέων καὶ Πυλῶν, οὐ [b] προήσεσθαι·
μὴ προλαβόντος δ' ἐκείνου ταῦτα μηδ' ὑμῶν ἐξαπατηθέν-
των ἅπαντ' ἐν ἀσφαλεῖ τὰ πράγμαθ' [c] ὑμῖν ἔσεσθαι, καὶ
παρ' ἑκόντος ὑπάρξειν αὐτοῦ τὰ δίκαια. καὶ ταῦτ' εἰκό-
τως οὕτως ὑπελάμβανον ἕξειν. εἰ γὰρ ἦσαν, ὡς ἦσαν
τότε, [d] Φωκεῖς σῷοι καὶ Πύλας εἶχον, ἐκεῖνος μὲν οὐδὲν
ἂν [e] ὑμῖν εἶχεν [f] ἀνατείνασθαι φοβερόν, δι' ὃ τῶν δικαίων 389
168 ἄν τι παρείδετε· [g] οὔτε γὰρ κατὰ γῆν παρελθὼν οὔτε
ναυσὶ κρατήσας εἰς τὴν Ἀττικὴν ἥξειν ἔμελλεν, [h] ὑμεῖς
δ' [i] ἐκείνου παραχρῆμα, εἰ μὴ τὰ δίκαια [k] ποιοίη, κλεί-
σειν τὰ ἐμπόρια, καὶ χρημάτων [l] τ' ἐν σπάνει καὶ τῶν
ἄλλων ἐν πολιορκίᾳ πάλιν αὐτὸν καταστήσειν, ὥστ' ἐκεῖ-
νος ὁ [m] δουλεύσων [n] ἔμελλεν ἔσεσθαι τοῖς ἀπὸ τῆς εἰρήνης
169 λυσιτελοῦσιν, οὐχ ὑμεῖς. καὶ ταῦθ' ὅτι οὐκ ἐπὶ τοῖς συμ-
βεβηκόσι [o] νυνὶ πλάττομαι καὶ προσποιοῦμαι, ἀλλὰ
[p] τότ' [q] εὐθὺς ἐγνώκειν καὶ προεωρώμην ὑπὲρ [r] ὑμῶν καὶ
τούτοις ἔλεγον, ἐκεῖθεν εἴσεσθε. ἐπειδὴ γὰρ ἐκκλησία μὲν
οὐκέτ' [s] ἦν ὑπόλοιπος οὐδεμία διὰ τὸ προκατακεχρῆσθαι,

[t] ποιοῦντος] ποιοῦντος τούτου F.Q. O. r. t. u. v. ποιοῦντος ἐκείνου k. s.
[u] ἀπαγγελεῖν] ἀπαγγέλλειν omnes.
[x] ἡμᾶς] ὡς ἡμᾶς k. r. s.
[y] ἰδόντας] εἰδότας F.Q.O.t.u.v.
[z] καὶ] καὶ τῶν F. Q. O. r. u. v. αὐτῶν t.
[a] δὲ] δὴ t.
[b] προήσεσθαι] προέσεσθαι O.
[c] ὑμῖν om. k. s.
[d] Φωκεῖς] οἱ φωκεῖς F.Q.O.r.t.u.v.
[e] ὑμῖν ante οὐδὲν ponunt k. s.
[f] ἀνατείνασθαι] ἐπανατείνασθαι γρ. F. S. Q.
[g] οὔτε γὰρ] οὐδὲ γὰρ k. r. s.
[h] ὑμεῖς] ἡμεῖς k. s.
[i] ἐκείνου] ἐκείνου O. ἐκεῖνοι r.
[k] ποιοίη] ποιοῖ pr. S.
[l] τ'] γ' O. u.
[m] δουλεύσων] δουλεύων k. s.
[n] ἔμελλεν om. pr. S. post ἔσεσθαι ponunt Q. O. t. u. v.
[o] νυνὶ] νῦν S. Y. r.
[p] τότ'] τοῦτ' r. et γρ. F. Q.
[q] εὐθὺς] εὐθέως k. s.
[r] ὑμῶν] ἡμῶν u.
[s] ἦν om. S.

170 οὗτοι δ' οὐκ ἀπῇεσαν ἀλλ' αὐτοῦ διέτριβον, γράφω ψήφισμα βουλεύων, τὴν βουλὴν ποιήσαντος τοῦ δήμου κυρίαν, ἀπιέναι τοὺς πρέσβεις τὴν ταχίστην, τὸν δὲ στρατηγὸν Πρόξενον [t] κομίζειν [u] αὐτοὺς ἐπὶ τοὺς [x] τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνηται, γράψας ὥσπερ νῦν λέγω, τοῖς ῥήμασιν οὕτως ἄντικρυς. Καί μοι λέγε τοῦτο τὸ ψήφισμα λαβών.

## ΨΗΦΙΣΜΑ.

171 Ἐνθένδε μὲν τοίνυν αὐτοὺς ἐξήγαγον οὕτως [y] ἄκοντας, ὡς καθαρῶς οἷς μετὰ ταῦτ' ἐποίουν εἴσεσθε. ἐπειδὴ δὲ ἀφικόμεθ' εἰς Ὠρεὸν καὶ συνεμίξαμεν τῷ Προξένῳ, ἀμελήσαντες οὗτοι τοῦ πλεῖν καὶ τὰ προστεταγμένα πράττειν ἐπορεύοντο κύκλῳ, καὶ πρὶν εἰς Μακεδονίαν ἐλθεῖν, τρεῖς καὶ εἴκοσιν ἡμέρας [z] ἀνηλώσαμεν· τὰς δὲ ἄλλας
[a] πάσας καθήμεθ' ἐν Πέλλῃ, πρὶν Φίλιππον ἐλθεῖν, [b] σὺν 390
172 αἷς ἐπορεύθημεν ὁμοῦ πεντήκονθ' [c] ὅλας. ἐν δὲ τούτῳ [d] Δορίσκον, Θρᾴκην, τὰ ἐπὶ [e] τειχῶν, Ἱερὸν ὄρος, πάντα τὰ πράγματα ἐν εἰρήνῃ καὶ σπονδαῖς ᾕρει καὶ διῳκεῖθ' [f] ὁ Φίλιππος, πολλὰ λέγοντος [g] ἐμοῦ καὶ [h] θρυλοῦντος ἀεί, τὸ μὲν πρῶτον ὡς ἂν εἰς κοινὸν γνώμην ἀποφαινομένου, μετὰ ταῦτα δ' ὡς [i] ἀγνοοῦντας διδάσκοντος, τελευτῶντος δὲ ὡς [k] ἂν [l] πρὸς πεπρακότας αὐτοὺς καὶ ἀνοσιωτάτους
173 ἀνθρώπους οὐδὲν [m] ὑποστελλομένου. ὁ δὲ τούτοις ἀντιλέ-

[t] κομίζειν] νομίζειν Q.
[u] αὐτοὺς] αὐτὸν r.
[x] τόπους] τρόπους O.
[y] ἄκοντας] ἀκούοντας pr. Y.
[z] ἀνηλώσαμεν] ἀνηλώσαμεν (α supra η) F. t. u. ἀναλώσαμεν O.
[a] πάσας S. k. s. ceteri ἁπάσας.
[b] σὺν] καὶ σὺν s.
[c] ὅλας] ὅλαις O. t. u.
[d] Δορίσκον] δωρίσκον Q.
[e] τειχῶν] τῶν τειχῶν rec. v.
[f] ὁ om. k. s.
[g] ἐμοῦ] μου k. r. s.
[h] θρυλοῦντος S. Y. Q. k. v. vulg. θρυλλοῦντος.
[i] ἀγνοοῦντας] αὐτοὺς ἀγνοοῦντας καὶ r.
[k] ἂν om. k. r. s.
[l] πρὸς om. Y. et (qui προπεπρακότας habent) r. s.
[m] ὑποστελλομένου] ὑποστελλουμένου u. ὑποστελλόμενος F. Q. r.

γων φανερῶς καὶ [n] ἅπασιν ἐναντιούμενος οἷς ἔλεγον μὲν
ἐγώ, ἐψήφιστο δὲ ὑφ' ὑμῶν, οὗτος ἦν. εἰ δὲ καὶ πᾶσιν
ἤρεσκε ταῦτα τοῖς ἄλλοις πρέσβεσιν, αὐτίκα εἴσεσθε·
ἐγὼ μὲν γὰρ [o] οὐδέν πω λέγω περὶ οὐδενὸς οὐδ' [p] αἰτιῶ-
μαι, οὐδ' ἀναγκασθέντ' [q] αὐτῶν οὐδένα [r] δεῖ δοκεῖν χρη-
στὸν εἶναι τήμερον, ἀλλὰ δι' αὐτὸν καὶ τὸ μὴ κεκοινωνη-
κέναι τῶν ἀδικημάτων. ὅτι μὲν γὰρ αἰσχρὰ καὶ δεινὰ
καὶ οὐ προῖκα [s] τὰ πεπραγμένα, πάντες ὑμεῖς ἑωράκατε·
οἵτινες δ' οἱ τούτων [t] μετεσχηκότες, [u] αὐτὸ δηλώσει.

174 Ἀλλὰ νὴ Δί' ἐν τούτῳ τῷ χρόνῳ τοὺς ὅρκους ἔλαβον
παρὰ τῶν συμμάχων, ἢ τἆλλ' ἃ προσῆκεν ἐποίησαν.
πολλοῦ γε καὶ δεῖ, ἀλλὰ τρεῖς μῆνας ὅλους ἀποδημή-
σαντες καὶ χιλίας [x] λαβόντες δραχμὰς ἐφόδιον παρ'
ὑμῶν, [y] παρ' οὐδεμιᾶς [z] πόλεως, οὔθ' ὅτε ἐκεῖσε ἐπορεύοντο
175 οὔθ' ὅτ' ἐκεῖθεν δεῦρο, τοὺς ὅρκους ἔλαβον, ἀλλ' ἐν [a] τῷ
πανδοκείῳ τῷ πρὸ τοῦ [b] Διοσκουρείου (εἴ τις ὑμῶν εἰς Φε-
ρὰς ἀφῖκται, οἶδεν [c] ὃ λέγω) [d] ἐνταῦθ' ἐγίγνοντο [e] οἱ ὅρκοι,
ὅτε δεῦρ' ἤδη τὸ στράτευμ' ἄγων ἐβάδιζε [f] Φίλιππος, αἰ-
σχρῶς ὦ ἄνδρες Ἀθηναῖοι καὶ ἀναξίως ὑμῶν. καίτοι 391
[g] τοῦτο Φίλιππος ἁπάντων ἂν ἐτιμήσατο [h] πλείστου τοῦ-
176 τον τὸν τρόπον πραχθῆναι. τήν τε γὰρ εἰρήνην οὐχὶ δυνη-

[n] ἅπασιν] πᾶσιν k. s.
[o] οὐδέν] οὐδέ r.
[p] αἰτιῶμαι] ἐναντιοῦμαι r.
[q] αὐτῶν] αὐτὸν Q. k. r. s.
[r] δεῖ om. O.
[s] τὰ om. O.
[t] μετεσχηκότες] μετασχόντες r. et γρ. Q.
[u] αὐτὸ S. vulg. αὐτά.
[x] λαβόντες δραχμὰς S. Y. k. s. vulg. δραχμὰς λαβόντες.
[y] παρ' οὐδεμιᾶς] ὅσα παρ' οὐδεμιᾶς F. Q. O. r. t. u. v. ὅσον παρ' οὐδεμιᾶς k. s.
[z] πόλεως] ἄλλης πόλεως k. r. s.
[a] τῷ post ἐν om. k. s.
[b] Διοσκουρείου] διοσκορείου k. r. t. διοσκορίου s.
[c] ὃ] ἃ Q. r.
[d] ἐνταῦθ'] ἐντεῦθεν r. om. O. t. u. v.
[e] οἱ om. O.
[f] Φίλιππος] φίλιππος ἐφ' ὑμᾶς γρ. Q.
[g] τοῦτο S. Y. k. r. s. vulg. τοῦθ' ὁ.
[h] πλείστου] πλεῖστον r. περὶ πλείστου F. Q.

θέντων ὡς ἐπεχείρησαν οὗτοι [i] τὸ πρῶτον, πλὴν Ἁλέων καὶ Φωκέων, γράψαι, ἀλλ' ἀναγκασθέντος ὑφ' ὑμῶν τοῦ Φιλοκράτους ταῦτα [k] μὲν ἀπαλεῖψαι, γράψαι δ' ἄντικρυς [l] Ἀθηναίους καὶ [m] τοὺς Ἀθηναίων συμμάχους, οὐκ ἐβούλετο τοῦτον ὀμωμοκέναι τὸν ὅρκον οὐδένα τῶν αὑτοῦ συμμάχων (οὐ γὰρ αὐτῷ [n] συστρατεύσειν ἐφ' ἃ νῦν ἔχει τῶν [o] ὑμετέρων [p] ἤμελλον, ἀλλ' ἕξειν πρόφασιν τοὺς ὅρκους),
177 [q] οὐδὲ μάρτυρας [r] γενέσθαι τῶν ὑποσχέσεων, [s] ἐφ' αἷς εὑρίσκετο τὴν εἰρήνην, [t] οὐδὲ τοῦτο δειχθῆναι πᾶσιν, ὅτι οὐκ ἄρ' ἡ πόλις ἡ τῶν Ἀθηναίων ἥττητο τῷ πολέμῳ, ἀλλὰ [u] Φίλιππός ἐστιν ὁ τῆς εἰρήνης ἐπιθυμῶν καὶ ὁ πολλὰ [x] ὑπισχνούμενος τοῖς Ἀθηναίοις, [y] ἂν τύχῃ τῆς εἰρήνης. ἵνα [z] δὴ μὴ [a] γένοιτο ταῦθ' [b] ἃ λέγω φανερά, διὰ ταῦτα
178 [c] οὐδαμόσε ᾤετο δεῖν [d] τούτους βαδίζειν. οὗτοι δ' ἐχαρίζοντο πάντ', ἐνδεικνύμενοι καὶ ὑπερκολακεύοντες ἐκεῖνον. καίτοι ταῦθ' ὅταν ἐξελέγχωνται πάντα, τοὺς χρόνους ἀνηλωκότες, τὰ ἐν Θρᾴκῃ [e] προειμένοι, μηδὲν ὧν ἐψηφίσασθε πεποιηκότες μηδ' ὧν συμφέρον ἦν, τὰ ψευδῆ δεῦρ' ἀπηγγελκότες, πῶς ἔνεστι παρ' εὖ φρονοῦσι δικασταῖς καὶ βουλομένοις εὐορκεῖν [f] τούτοις σώζεσθαι; Ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε πρῶτον μὲν τὸ ψήφισμα, ὡς

[i] τὸ om. O. τὸ πρῶτον om. S.
[k] μὲν om. S.
[l] Ἀθηναίους] ἀθηναίοις[ους] k. ἀθηναίοις[οὺς] s.
[m] τοὺς—συμμάχους] τοῖς—συμμάχοις[ους] k. τοῖς—συμμάχοις Q. r. s.
[n] συστρατεύσειν] συστρατεύειν k. s.
[o] ὑμετέρων] ἡμετέρων k.
[p] ἤμελλον] ἔμελλον S.
[q] οὐδὲ] libri οὔτε.
[r] γενέσθαι] ἔσεσθαι k. s.
[s] ἐφ'] ὑφ' r.
[t] οὐδὲ] οὔτε s.
[u] Φίλιππος] ὁ φίλιππος Q.
[x] ὑπισχνούμενος] ὑποσχόμενος k. s.
[y] ἂν τύχῃ S. Y. k. s. et γρ. F. vulg. ὥστε τυχεῖν.
[z] δὴ] δὲ F. Q. r. et pr. S.
[a] γένοιτο S. k. s. vulg. γένηται.
[b] ἃ] ὃ S.
[c] οὐδαμόσε] μηδαμόσε F. Q. O. t. u. v. qui id post τούτους ponunt.
[d] τούτους] αὐτοὺς F. Q. O. t. u. v.
[e] προειμένοι] προειρημένοι S. προϊέμενοι k. r. s. ceteri προέμενοι.
[f] τούτοις] τούτοις[ωι] v. τούτωι S. Y. τοῦτον k. r. s.

ὁρκοῦν προσῆκεν [g] ἡμῖν, εἶτα τὴν ἐπιστολὴν [h] τὴν [i] τοῦ Φιλίππου, εἶτα τὸ [k] Φιλοκράτους [l] ψήφισμα καὶ τὸ τοῦ δήμου.

ΨΗΦΙΣΜΑ. ΕΠΙΣΤΟΛΗ. [m] ΨΗΦΙΣΜΑΤΑ. 392

179 Καὶ μὴν ὅτι τὸν Φίλιππον ἐν Ἑλλησπόντῳ κατελάβομεν ἄν, εἴ τις ἐπείθετό μοι καὶ τὰ προστεταγμένα ὑφ' ὑμῶν ἐποίει [n] κατὰ [o] τὰ ψηφίσματα, κάλει τοὺς ἐκεῖ παρόντας μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Λέγε δὴ [p] καὶ τὴν ἑτέραν μαρτυρίαν, ἃ πρὸς Εὐκλείδην [q] ὕστερον ἐλθόντα τουτονὶ ἀπεκρίνατο Φίλιππος.

ΜΑΡΤΥΡΙΑ.

180 Ὅτι τοίνυν οὐδ' ἄρνησίς ἐστιν αὐτοῖς τὸ μὴ ταῦθ' ὑπὲρ Φιλίππου πράττειν, [r] ἀκούσατέ μου. ὅτε γὰρ τὴν προτέραν [s] ἀπῄραμεν πρεσβείαν τὴν περὶ τῆς εἰρήνης, κήρυκα ὑμεῖς προαπεστείλατε ὅστις [t] ἡμῖν [u] σπείσεται. τότε μὲν τοίνυν, ὡς τάχιστα εἰς Ὠρεὸν ἦλθον, οὐκ ἀνέμειναν τὸν κήρυκα οὐδ' ἐποίησαν χρόνον [x] οὐδένα, [y] Ἅλου δὲ πολιορκουμένου διέπλευσαν εἰς τοῦτον, καὶ πάλιν ἐντεῦθεν πρὸς Παρμενίωνα τὸν πολιορκοῦντα ἐξελθόντες ἀπῆραν διὰ τοῦ πολεμίου στρατεύματος εἰς Παγασάς, καὶ προϊόντες ἀπήντων ἐν [z] Λαρίσσῃ τῷ κήρυκι· τοσαύτῃ σπουδῇ καὶ

[g] ἡμῖν] ὑμῖν k. r.
[h] τὴν post ἐπιστολὴν om. O. r.
[i] τοῦ om. k. s.
[k] Φιλοκράτους] τοῦ φιλοκράτους t.
[l] ψήφισμα καὶ S. Y. k. s. vulg. ψήφισμα εἶτα. r. om. particulam.
[m] ΨΗΦΙΣΜΑΤΑ] ψήφισμα s.
[n] κατὰ] καὶ κατὰ Q.
[o] τὰ om. Y. k.
[p] καὶ om. O. k. r. s. u.
[q] ὕστερον post τουτονὶ ponunt k. r. s.
[r] ἀκούσατέ] τοῦτο ἀκούσατε k.r.s.
[s] ἀπῄραμεν] ἀπηρόμην pr. S. Y. ἀπῄρομεν O.t.u. ἀπήιρομεν F.
[t] ἡμῖν] ὑμῖν F.S.Y.Q.O.k.r.s.u. ὑμῖν t.
[u] σπείσεται] σπείσηται O.
[x] οὐδένα om. pr. S.
[y] Ἅλου δὲ] ἀλλ' οὐδὲ F.Y.O.k. r. t. u. v. οὐδὲ Q.
[z] Λαρίσσῃ] λαρισηι S.

181 προθυμίᾳ τότ' ἐχώρουν. ἐπειδὴ δὲ εἰρήνη μὲν ἦν, [a] ἅπασα δὲ [b] ἀσφάλεια [c] ἰέναι καὶ πρόσταγμα παρ' ὑμῶν σπεύδειν, τηνικαῦτα οὔτ' ἐπείγεσθαι βαδίζουσιν οὔτε πλεῖν αὐτοῖς [d] ἐπῄει. τί δήποτε; ὅτι τότε μὲν τὸ τὴν εἰρήνην ὡς τάχιστα γενέσθαι, τοῦτ' ἦν ὑπὲρ Φιλίππου, νῦν δὲ [e] τὸ ὡς πλεῖστον [f] τὸν μεταξὺ χρόνον [g] διατριφθῆναι [h] πρὸ [i] τοῦ 393
182 τοὺς ὅρκους ἀπολαβεῖν. Ἀλλὰ μὴν ὅτι καὶ ταῦτ' ἀληθῆ λέγω, [k] λαβέ μοι καὶ ταύτην τὴν μαρτυρίαν.

## ΜΑΡΤΥΡΙΑ.

Ἔστιν οὖν ὅπως ἂν μᾶλλον ἄνθρωποι πάνθ' ὑπὲρ Φιλίππου πράττοντες [l] ἐξελεγχθεῖεν, [m] ἢ τὴν αὐτὴν ὁδὸν ἡνίκα μὲν σπεύδειν ὑπὲρ ὑμῶν ἔδει καθήμενοι, ὅτε δ' οὐδὲ βαδίζειν προσῆκε πρὶν ἐλθεῖν τὸν κήρυκα ἐπειγόμενοι;

183 Ὃν τοίνυν χρόνον ἦμεν ἐκεῖ καὶ καθήμεθ' ἐν Πέλλῃ, σκέψασθε τί πράττειν ἕκαστος ἡμῶν προείλετο. ἐγὼ μὲν τοίνυν τοὺς αἰχμαλώτους ἀνασώζειν [n] καὶ ζητεῖν, καὶ [o] παρ' ἐμαυτοῦ [p] τε χρήματ' ἀναλίσκειν καὶ Φίλιππον [q] ἀξιοῦν, ὧν ἡμῖν ἐδίδου ξενίων, τούτους [r] λύσασθαι· [s] οὗτος δὲ αὐτίκα ἀκούσεσθε τί ποιῶν διετέλεσεν. τί οὖν ἦν τοῦτο;
184 τὸ κοινῇ [t] τὸν Φίλιππον χρήμαθ' ἡμῖν διδόναι. ἵνα [[u] γὰρ] μηδὲ τοῦτ' ἀγνοῆτε, ἐκεῖνος ἡμᾶς [x] διεκωδώνισεν ἅπαντας [y] τίνα τρόπον; [z] ἑκάστῳ προσπέμπων ἰδίᾳ, καὶ πολύ γε

[a] ἅπασα] πᾶσα k. r. s.
[b] ἀσφάλεια] ἀσφάλειαν u.
[c] ἰέναι] εἰδέναι O. t. u.
[d] ἐπῄει] ἐποίει F. t.
[e] τὸ ante ὡς om. Q.
[f] τὸν] τὸ Y.
[g] διατριφθῆναι omnes.
[h] πρὸ] πρὸς O. om. S. k. r. s.
[i] τοῦ om. O.
[k] λαβέ μοι] λέγε k. r. s.
[l] ἐξελεγχθεῖεν] ἐλεγχθεῖεν v.
[m] ἢ] ἢ οἱ Y. et rec. k.
[n] καὶ ante ζητεῖν om. r.
[o] παρ'—ἀναλίσκειν καὶ om. k.
[p] τε addidi ex S.
[q] ἀξιοῦν] ἠξίουν k. r. s.
[r] λύσασθαι] λύσεσθαι k. r.
[s] οὗτος] αὐτὸς Q. t. u. v.
[t] τὸν Φίλιππον post ἡμῖν ponunt S. Y.
[u] [γὰρ] om. omnes.
[x] διεκωδώνισεν] διεκωδώνησεν F. διεκωδώνιζεν S. Y.
[y] τίνα S. Y. Q. k. r. s. vulg. τινα inclinato accentu.
[z] ἑκάστῳ om. F. ante τίνα po-

ὦ ἄνδρες Ἀθηναῖοι διδοὺς χρυσίον. ὡς δ' [a] ἀπετύγχανεν ὁτουδήποτε (οὐ γὰρ ἐμέ γ' εἰπεῖν ἐμαυτὸν δεῖ, ἀλλὰ τὰ ἔργα καὶ τὰ πεπραγμένα αὐτὰ δηλώσει), τὰ κοινῇ δοθέντα [b] πάντας ἡγεῖτο [c] εὐήθως λήψεσθαι· ἀσφάλειαν οὖν ἔσεσθαι τοῖς [d] ἰδίᾳ πεπρακόσιν αὐτούς, εἰ καὶ κατὰ μικρὸν τοῦ [e] λαβεῖν κοινῇ πάντες μετάσχοιμεν. διὰ ταῦτ'
185 ἐδίδοτο, ξένια [f] δ' ἦν [ἡ] πρόφασις. ἐπειδὴ δ' ἐκώλυσα ἐγώ, πάλιν προσδιενείμαντο [g] τοῦθ' οὗτοι. τῷ Φιλίππῳ δ', ἐπειδὴ ταῦτ' εἰς [h] τοὺς αἰχμαλώτους ἠξίουν [i] αὐτὸν ἀναλίσκειν ἐγώ, οὔτε [k] κατειπεῖν τούτων εἶχε καλῶς, [l] οὔτ' εἰπεῖν ὅτι "ἀλλ' ἔχουσιν ὁ δεῖνα καὶ ὁ δεῖνα," οὔτε [m] φυ- 394
γεῖν τὸ ἀνάλωμα· [n] ὡμολόγησε μὲν δή, διεκρούσατο δὲ εἰς τὰ Παναθήναια [o] φήσας ἀποπέμψειν. [p] Λέγε τὴν μαρτυρίαν τὴν Ἀπολλοφάνους, εἶτα τὴν τῶν ἄλλων τῶν παρόντων. λέγε.

[q] ΜΑΡΤΥΡΙΑ.

186 Φέρε δὴ καὶ ὅσους [r] αὐτὸς ἐλυσάμην τῶν αἰχμαλώτων, εἴπω πρὸς ὑμᾶς. ἐν ὅσῳ γὰρ οὐχὶ παρόντος [s] πω [t] Φιλίππου διετρίβομεν ἐν Πέλλῃ, ἔνιοι τῶν ἑαλωκότων, ὅσοι περ ἦσαν [u] ἐξηγγυημένοι, ἀπιστοῦντες, ὡς ἐμοὶ δοκεῖ, μὴ

nit Q. ante τινὰ O. t. u. v. post προσπέμπων r. post προπέμπων k. s. προπέμπων etiam O. u.

[a] ἀπετύγχανεν] ἀπετύγχανον O.

[b] πάντας S. Y. k. r. s. ceteri ἅπαντας. εὐθέως

[c] εὐήθως] εὐήθως F. Q. εὐθέως εὐήθως Y. t. v. εὐθέως O.

[d] ἰδίᾳ πεπρακόσιν] διαπεπρακόσιν k. r. s.

[e] λαβεῖν κοινῇ S. Y. k. r. s. κοινοῦ λαβεῖν O. vulg. κοινῇ λαβεῖν.

[f] δ' ἦν ἡ πρόφασις] δὴ πρόφασιν pr. S. ἡ om. k. r. s.

[g] τοῦθ' accessit ex S.

[h] τοὺς om. F. Q. O. t.

[i] αὐτὸν post ἀναλίσκειν ponunt k. r. s.

[k] κατειπεῖν] καταλιπεῖν r.

[l] οὔτ' εἰπεῖν] οὐδ' εἰπεῖν F. Q. O. t. u. v.

[m] φυγεῖν] φεύγειν F. Q.

[n] ὡμολόγησε] ὡμολόγησα s. ὡμολογήσαμεν omissa μὲν r.

[o] φήσας om. r.

[p] Λέγε] λέγε δὴ F. O. k. s.

[q] ΜΑΡΤΥΡΙΑ] μαρτυρίαι O.

[r] αὐτὸς] αὐτοὺς O.

[s] πω] που t. u. om. O.

[t] Φιλίππου] τοῦ φιλίππου F.Q.O. k. r. s. t. u.

[u] ἐξηγγυημένοι] ἐξεγγυημένοι r. s.

δυνήσεσθαι [x] μετὰ ταῦτα πεῖσαι τὸν Φίλιππον, ἑαυτοὺς
ἔφασαν βούλεσθαι λύσασθαι καὶ μηδεμίαν τούτου [y] χάριν
ἔχειν [z] τῷ Φιλίππῳ, καὶ ἐδανείζοντο [a] ὁ μὲν τρεῖς μνᾶς,
[b] ὁ δὲ πέντε, ὁ δὲ ὅπως συνέβαινεν ἑκάστῳ τὰ λύτρα.
187 ἐπειδὴ τοίνυν ὡμολόγησεν [c] ὁ Φίλιππος [d] τοὺς λοιποὺς
[e] λύσεσθαι, συγκαλέσας ἐγὼ τούτους οἷς αὐτὸς [f] ἔχρησα
τἀργύριον, καὶ τὰ πεπραγμένα ὑπομνήσας, ἵνα μὴ δο-
κοῖεν ἔλαττον ἔχειν ἐπειχθέντες μηδ' ἐκ τῶν ἰδίων λελυ-
τρῶσθαι πένητες ἄνθρωποι, τῶν ἄλλων ὑπὸ τοῦ Φιλίππου
προσδοκωμένων ἀφεθήσεσθαι, ἔδωκα δωρεὰν τὰ λύτρα.
Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, [g] λέγε ταύτας τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΙΑΙ.

188 Ὅσα μὲν τοίνυν ἀφῆκα χρήματα καὶ δωρεὰν ἔδωκα
τοῖς ἀτυχήσασι τῶν πολιτῶν, ταῦτ' ἔστιν. ὅταν δ' οὗτος
αὐτίκα δὴ λέγῃ πρὸς ὑμᾶς "τί δήποτε, ὡς φῄς, ὦ Δη-
"μόσθενες, ἀπὸ τοῦ συνειπεῖν ἐμὲ Φιλοκράτει γνοὺς οὐ-
"δὲν [h] ἡμᾶς ὑγιὲς πράττοντας, τὴν μετὰ ταῦτα πρεσ-
"βείαν τὴν ἐπὶ τοὺς ὅρκους [i] συνεπρέσβευσας πάλιν καὶ 395
189 "οὐκ ἐξωμόσω;" ταῦτα μέμνησθε, ὅτι τούτοις ὡμολογή-
κειν [k] ἥξειν, οὓς ἐλυσάμην, καὶ κομιεῖν [l] τὰ λύτρα καὶ
[m] σώσειν εἰς δύναμιν. δεινὸν οὖν [n] ἦν ψεύσασθαι [o] καὶ
προέσθαι δυστυχοῦντας ἀνθρώπους πολίτας. ἰδίᾳ δ', ἐξ-

[x] μετὰ] με γρ. F.

[y] χάριν ἔχειν post Φιλίππῳ ponunt F. Q. O. t. u. v.

[z] τῷ recepi ex S. Y.

[a] ὁ μὲν] οἱ μὲν k. r. s. t.

[b] ὁ δὲ πέντε] οἱ δὲ πέντε k. r. s.

[c] ὁ om. k.

[d] τοὺς λοιποὺς ante ὡμολόγησεν ponunt k. r. s.

[e] λύσεσθαι S.Y.k. ceteri λύσασθαι.

[f] ἔχρησα τἀργύριον] ἐχρήσατο ἀργύριον k. ἐχρήσατ' ἀργύριον r. ἐχρήσατο ἀργύρια F. Y. O. t. u. v.

[g] λέγε] λέγε καὶ F.Q.O.k.r.s.t. u. v.

[h] ἡμᾶς ὑγιὲς S.Y.O.t.u.v. ὑμᾶς ὑγιὲς F. Q. ὑγιὲς ὑμᾶς r. ὑγιὲς ἡμᾶς k. s.

[i] συνεπρέσβευσας] συνεπρέσβευσας (ω superscr.) F. συνεπρεσβεύσω Q.

[k] ἥξειν om. S.

[l] τὰ om. S. Q. k. r. s.

[m] σώσειν] δώσειν s.

[n] ἦν om. F. S. Y. Q. O. t. u. v.

[o] καὶ προέσθαι om. k. r. s.

ὀμοσάμενον, [p] οὐ πάνυ καλὸν οὐδ' ἀσφαλὲς ἦν ἐκεῖσε πλα-
190 νᾶσθαι. ἐπεὶ εἰ μὴ διὰ [q] τὸ τούτους βούλεσθαι σῶσαι, ἐξώλης ἀπολοίμην καὶ προώλης, εἰ [r] προσλαβὼν [s] γ' ἂν ἀργύριον πάνυ πολὺ μετὰ τούτων ἐπρέσβευσα. σημεῖον δέ· ἐπὶ γὰρ τὴν τρίτην πρεσβείαν δίς με χειροτονησάντων ὑμῶν δὶς ἐξωμοσάμην. καὶ [t] παρὰ ταύτην τὴν ἀποδημίαν πάντα τἀναντία ἔπραττον [u] τούτοις.

191 Ὧν μὲν τοίνυν αὐτοκράτωρ ἦν ἐγὼ κατὰ τὴν πρεσβείαν, τοῦτον [x] ἔσχε τὸν τρόπον ὑμῖν· ἃ δ' οὗτοι πλείους [y] ὄντες ἐνίκων, [z] ἅπαντ' [a] ἀπολώλεκεν. καίτοι καὶ τἆλλ' [b] ἂν [c] ἅπαντ' ἀκολούθως τούτοις ἐπέπρακτο, εἴ τις ἐπείθετό μοι. οὐ γὰρ ἔγωγ' οὕτως [d] ἦν ἄθλιος [e] οὐδ' ἄφρων ὥστε χρήματα μὲν διδόναι, λαμβάνοντας ὁρῶν ἑτέρους, ὑπὲρ τῆς πρὸς ὑμᾶς φιλοτιμίας· ἃ δ' ἄνευ μὲν δαπάνης οἷά τ' ἦν πραχθῆναι, πολλῷ δὲ μείζονας [f] εἶχεν ὠφελείας πάσῃ τῇ πόλει, ταῦτ' οὐκ [g] ἠβουλόμην γίγνεσθαι. καὶ σφόδρα γε, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ', οἶμαι, περιῆσαν οὗτοί μου.

192 Φέρε [h] δή, τί [i] τούτῳ πέπρακται παρὰ ταῦτα καὶ τί τῷ Φιλοκράτει, θεάσασθε· παρ' ἄλληλα γὰρ ἔσται φανερώτερα. πρῶτον μὲν τοίνυν Φωκεῖς ἐκσπόνδους καὶ [k] Ἁλεῖς

[p] οὐ πάνυ καλὸν οὐδ'] οὔτ' αὖ καλὸν οὔτ' k. r. s.
[q] τὸ om. t. u.
[r] προσλαβὼν] προλαβὼν r.
[s] γ' om. k. s.
[t] παρὰ ταύτην] παρ' αὐτὴν k. r. s.
[u] τούτοις om. S. k. r. s.
[x] ἔσχε] εἶχε r.
[y] ὄντες om. r.
[z] ἅπαντ' om. Q.
[a] ἀπολώλεκεν γρ. F. ceteri ἀπόλωλεν.
[b] ἂν post ἀκολούθως ponunt k. r. s.
[c] ἅπαντ' S. Y. Q. k. r. s. ceteri πάντα.
[d] ἦν post ἄφρων ponunt F. Q. O. t. u. v. om. S. Y.
[e] οὐδ'] οὔτ' r.
[f] εἶχεν ὠφελείας] ὠφελείας εἶχεν k. r. s.
[g] ἠβουλόμην] ἐβουλομην S.
[h] δή] δὲ F.
[i] τούτῳ] τοῦτο r.
[k] Ἁλεῖς] ἄλεις u.

ἀπέφηναν καὶ Κερσοβλέπτην παρὰ τὸ ψήφισμα καὶ
τὰ πρὸς ὑμᾶς εἰρημένα· εἶτα τὸ ψήφισμα ἐπεχείρη-
σαν κινεῖν καὶ μεταίρειν, ἐφ' ᾧ πρεσβεύοντες ἥκομεν·
εἶτα Καρδιανοὺς Φιλίππῳ συμμάχους [l] ἐνέγραψαν. καὶ 396
τὴν μὲν γραφεῖσαν ἐπιστολὴν ὑπ' ἐμοῦ πρὸς ὑμᾶς ἀπε-
ψηφίσαντο μὴ πέμπειν, αὐτοὶ [m] δ' [n] οὐδ' ὁτιοῦν ὑγιὲς
193 γράψαντες [o] ἔπεμψαν. εἶθ' ὁ γενναῖος [p] οὑτοσὶ ἐμὲ μὲν τὸν
δῆμον ἔφη τὸν ὑμέτερον καταλύσειν ἐπηγγέλθαι Φιλίππῳ,
ὅτι ταῦτ' ἐπέπληττον οὐ μόνον αἰσχρὰ νομίζων, ἀλλὰ καὶ
δεδιὼς μὴ συμπαραπόλωμαι διὰ τούτους, αὐτὸς δὲ ἰδίᾳ
πάντα τὸν χρόνον ἐντυγχάνων οὐδ' ὁτιοῦν ἐπαύσατο Φι-
λίππῳ. καὶ τὰ μὲν ἄλλα σιωπῶ, [q] Δερκύλος δ' αὐτὸν
ἐν Φεραῖς τὴν νύκτ' ἐφύλαττεν, οὐκ ἐγώ, τὸν παῖδα ἔχων
τὸν ἐμὸν τουτονί, καὶ λαβὼν ἐξιόντα ἐκ τῆς Φιλίππου
σκηνῆς ἐμοὶ τὸν παῖδα [r] ἐκέλευσεν ἀπαγγέλλειν καὶ αὐ-
194 τὸν μεμνῆσθαι, καὶ τὸ τελευταῖον ὁ βδελυρὸς [s] καὶ ἀναι-
δὴς [t] οὑτοσὶ νύκτα καὶ ἡμέραν ἀπιόντων ἡμῶν ἀπελείφθη
παρὰ Φιλίππῳ. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, πρῶτον [u] μὲν
αὐτὸς ἐγὼ συγγραψάμενος καὶ καταστήσας ἐμαυτὸν
ὑπεύθυνον μαρτυρήσω, εἶτα τῶν ἄλλων [x] πρέσβεων ἕκα-
στον καλῶ, καὶ δυοῖν θάτερον, ἢ μαρτυρεῖν ἢ ἐξόμνυσθαι
ἀναγκάσω. [y] ἐὰν δ' ἐξομνύωσιν, ἐπιορκοῦντας [z] ἐξελέγξω
παρ' ὑμῖν φανερῶς.

195 ## ΜΑΡΤΥΡΙΑ.

Οἵοις μὲν τοίνυν κακοῖς καὶ πράγμασι [a] τὴν ἀποδη-

[l] ἐνέγραψαν] ἀνέγραψαν k. r. s. v. F. Q. O. t. u. v.
[m] δ' om. Q.
[n] οὐδ' om. r.
[o] ἔπεμψαν] ἀπέπεμψαν F. Q.
[p] οὑτοσὶ] οὑτοσὶν r. s.
[q] Δερκύλος] δέρκυλλος r. s. δερκύλυς u.
[r] ἐκέλευσεν] ἐκέλευεν r. s.
[s] καὶ ἀναιδὴς ante νύκτα ponunt
[t] οὑτοσὶ] οὗτος Q. O. t. u. v.
[u] μὲν om. O.
[x] πρέσβεων ἕκαστον] ἕκαστον πρέσβεων k. r. s.
[y] ἐὰν] ἂν S.
[z] ἐξελέγξω] ἐλέγξω r.
[a] τὴν] κατὰ τὴν F. Y. Q. O. t. u. v.

μίαν [b] πᾶσαν [c] συνειχόμην, [d] ἑωράκατε. τί γὰρ αὐτοὺς οἴεσθ' ἐκεῖ ποιεῖν ἐγγὺς [e] ὄντας τοῦ διδόντος, ὅθ' ὑμῶν ὁρώντων, [f] τῶν καὶ τιμῆσαι κυρίων ὄντων καὶ τοὐναντίον κολάσαι, τοιαῦτα ποιοῦσιν;

196 Συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορημένα [g] ἀπ' ἀρχῆς, ἵν' [h] ὅσα [i] ὑμῖν ὑπεσχόμην ἀρχόμενος τοῦ λόγου, δείξω [k] πεποιηκώς. [l] ἐπέδειξα [m] οὐδὲν ἀληθὲς ἀπηγγελκότα ἀλλὰ φενακίσανθ' ὑμᾶς, μάρτυσι τοῖς γεγενημένοις 397
αὐτοῖς, οὐ λόγοις χρώμενος. ἐπέδειξα [n] αἴτιον γεγενημένον τοῦ μὴ θέλειν ὑμᾶς ἀκούειν ἐμοῦ τἀληθῆ ταῖς ὑποσχέσεσι καὶ τοῖς ἐπαγγέλμασι τοῖς τούτου [o] καταληφθέντας τότε, πάντα τἀναντία συμβουλεύσαντα [p] ἢ ἔδει
197 καὶ τῇ μὲν τῶν συμμάχων ἀντειπόντα εἰρήνῃ, τῇ δὲ Φιλοκράτους συναγορεύσαντα, τοὺς χρόνους κατατρίψαντα, ἵνα μηδ' εἰ [q] βούλοισθε [r] δύναισθε ἐξελθεῖν εἰς Φωκέας, καὶ ἄλλα ἐπὶ τῆς ἀποδημίας πολλὰ καὶ δεινὰ εἰργασμένον, προδεδωκότα πάντα, πεπρακότα, δῶρα ἔχοντα, οὐδὲν [s] ἐλλελοιπότα μοχθηρίας. οὐκοῦν ταῦθ' ὑπεσχόμην
198 ἐν ἀρχῇ, ταῦτ' [t] ἐπέδειξα. ὁρᾶτε τοίνυν τὰ μετὰ ταῦτα· ἁπλοῦς γάρ ἐσθ' ὁ μέλλων λόγος [u] οὑτοσὶ πρὸς ὑμᾶς ἤδη. ὀμωμόκατε ψηφιεῖσθαι κατὰ τοὺς νόμους καὶ τὰ

[b] πᾶσαν] ἅπασαν F. Q. O. k. r. s. t. u. v.

[c] συνειχόμην] συνεσχόμην S. Y. t. v. συνεχόμην u.

[d] ἑωράκατε] ἑοράκατε F. qui sic tantum non ubique: ἑοράκατε Y. Q.

[e] ὄντας] ὄντος k. r. s. et correctus O.

[f] τῶν om. S. Y.

[g] ἀπ'] ἐξ r.

[h] ὅσα] ἃ k. r. s.

[i] ὑμῖν] ἡμῖν r.

[k] πεποιηκώς] πεποιηκότα ἐμαυτὸν γρ. S. Q.

[l] ἐπέδειξα] ὑπέδειξα r.

[m] οὐδὲν] μηδὲν Q.

[n] αἴτιον om. pr. S.

[o] καταληφθέντας] καταλειφθέντας F. προκαταληφθέντας k. r. s.

[p] ἢ om. pr. k.

[q] βούλοισθε] βούλεσθε k. r. s.

[r] δύναισθε] δύνησθε k. r. s.

[s] ἐλλελοιπότα] ἐκλελοιπότα k. r. s. et γρ. v.

[t] ἐπέδειξα] ὑπέδειξα Q.

[u] οὑτοσὶ om. k. r. s.

ψηφίσματα [x] τὰ τοῦ δήμου καὶ τῆς βουλῆς τῶν πεντα-
κοσίων· φαίνεται δ' οὗτος πάντα τἀναντία τοῖς [y] νόμοις,
τοῖς ψηφίσμασι, τοῖς δικαίοις πεπρεσβευκώς· οὐκοῦν
199 [z] ἡλωκέναι προσήκει παρά γε νοῦν ἔχουσι δικασταῖς. εἰ
γὰρ ἄλλο μηδὲν ἠδίκει, δύο τῶν πεπραγμένων [a] ἔσθ' ἱκα-
νὰ αὐτὸν ἀποκτεῖναι· οὐ γὰρ μόνον Φωκέας ἀλλὰ καὶ
Θρᾴκην προδέδωκε Φιλίππῳ. καίτοι δύο χρησιμωτέρους
τόπους τῆς οἰκουμένης οὐδ' ἂν εἷς ἐπιδεῖξαι τῇ πόλει,
κατὰ μὲν γῆν Πυλῶν, ἐκ θαλάττης δὲ [b] τοῦ Ἑλλησπόν-
του· ἃ συναμφότερα οὗτοι πεπράκασιν αἰσχρῶς καὶ
200 καθ' ὑμῶν [c] ἐγκεχειρίκασι Φιλίππῳ. τοῦτο τοίνυν αὐτὸ
ἄνευ τῶν ἄλλων [d] ἡλίκον ἐστ' ἀδίκημα, τὸ Θρᾴκην καὶ
τὰ [e] τείχη [f] προέσθαι, μυρί' ἂν εἴη λέγειν καὶ ὅσοι διὰ
ταῦτ' ἀπολώλασι παρ' ὑμῖν, [g] οἱ [h] δὲ χρήματα πάμ- 398
πολλ' ὠφλήκασιν, οὐ χαλεπὸν δεῖξαι, Ἐργόφιλος, [i] Κη-
φισόδοτος, Τιμόμαχος, τὸ παλαιόν [k] ποτε Ἐργοκλῆς,
Διονύσιος, [l] ἄλλοι, οὓς [m] ὀλίγου δέω [n] σύμπαντας εἰπεῖν
ἐλάττω τὴν πόλιν βεβλαφέναι τούτου. ἀλλ' ἔτι γὰρ τότε
ὦ ἄνδρες Ἀθηναῖοι ἐκ λογισμοῦ τὰ δεινὰ ἐφυλάττεσθ'
201 ὑμεῖς καὶ προεωρᾶσθε. νῦν δ' ὅ τι ἂν μὴ καθ' ἡμέραν
ὑμᾶς ἐνοχλῇ καὶ παρὸν [o] λυπῇ, παρορᾶτε, εἶτα τὴν ἄλ-
λως ἐνταῦθα ψηφίζεσθε, ἀποδοῦναι δὲ καὶ [p] Κερσοβλέ-

[x] τὰ post ψηφίσματα sumpsi a S.
[y] νόμοις] νόμοις καὶ O. t. u.
[z] ἡλωκέναι S. Y. k. r. s. vulg. ἑαλωκέναι.
[a] ἔσθ' ἱκανὰ] ἱκανά ἐστιν k. r. s.
[b] τοῦ om. O.
[c] ἐγκεχειρίκασι] ἐγκεχειρήκασι Q. ἐγχειρίσασι r.
[d] ἡλίκον] ἡλίκον γάρ O.
[e] τείχη] χείλη u.
[f] προέσθαι] ποιέσται O. περιέσται t. u.
[g] οἱ] εἰ k.
[h] δὲ] δὲ ὅτι O. t. u.
[i] Κηφισ. Τιμομ.] τιμόμ. κηφισ. k. r. s.
[k] ποτε] τότε k. r. s.
[l] ἄλλοι om. Q.
[m] ὀλίγου] ὀλίγω k. r. s.
[n] σύμπαντας] σύμπαντα pr. O.
[o] λυπῇ] αὐτῇ r.
[p] Κερσοβλέπτῃ] κερσοβλέπτην O.

πτῃ [q] Φίλιππον [r] τοὺς ὅρκους, μὴ μετέχειν δὲ τῶν ἐν [s] Ἀμφικτύοσιν, ἐπανορθώσασθαι δὲ τὴν εἰρήνην. [t] καίτοι τούτων οὐδενὸς ἂν τῶν [u] ψηφισμάτων ἔδει, εἰ πλεῖν οὗτος ἤθελε καὶ τὰ προσήκοντα ποιεῖν· νῦν δ' ἃ μὲν ἦν πλεύσασι σῶσαι, βαδίζειν κελεύων ἀπολώλεκεν, ἃ δ' εἰποῦσι τἀληθῆ, ψευδόμενος.

202 Ἀγανακτήσει τοίνυν αὐτίκα δὴ μάλα, ὡς ἐγὼ πυνθάνομαι, εἰ μόνος τῶν ἐν τῷ δήμῳ λεγόντων λόγων εὐθύνας ὑφέξει. ἐγὼ δ', ὅτι [x] μὲν πάντες ἂν εἰκότως ὧν λέγουσι δίκην [y] ὑπέχοιεν, εἴπερ ἐπ' ἀργυρίῳ τι λέγοιεν, παραλείψω. ἀλλ' ἐκεῖνο λέγω· εἰ μὲν Αἰσχίνης ἰδιώτης ὢν ἀπελήρησέ τι καὶ διήμαρτε, μὴ σφόδρα [z] ἀκριβολογήσησθε, [a] ἀλλ' ἐάσατε, συγγνώμην ἔχετε· εἰ δὲ πρεσβευτὴς ὢν ἐπὶ χρήμασιν [b] ἐπίτηδες [c] ἐξηπάτηκεν ὑμᾶς, μὴ ἀφῆτε, μηδ'
203 ἀνάσχησθε ὡς οὐ δεῖ δίκην [d] ὧν εἶπεν ὑποσχεῖν. τίνος γὰρ ἄλλου δεῖ δίκην παρὰ [e] πρέσβεων ἢ [f] λόγων λαμβάνειν; εἰσὶ γὰρ οἱ πρέσβεις οὐ [g] τριήρων οὐδὲ τόπων οὐδὲ ὁπλιτῶν οὐδ' [h] ἀκροπόλεων κύριοι (οὐδεὶς γὰρ πρέσβεσι ταῦτ' ἐγχειρίζει) ἀλλὰ λόγων καὶ χρόνων. τοὺς μὲν [i] οὖν χρόνους εἰ μὲν μὴ προανεῖλε τῆς πόλεως, οὐκ 399
ἀδικεῖ, εἰ δ' ἀνεῖλεν, [k] ἠδίκηκε· τοὺς δὲ λόγους εἰ μὲν ἀληθεῖς ἀπήγγελκεν ἢ συμφέροντας, ἀποφευγέτω, εἰ δὲ

[q] Φίλιππον] τὸν φιλίππον F. Y. Q. O. t. u. v.

[r] τοὺς ὅρκους ante Φίλιππον ponunt k. r. s.

[s] Ἀμφικτύοσιν] ἀμφικτυόσιν O. k. r. s. u.

[t] καίτοι] καὶ pr. O.

[u] ψηφισμάτων] ψηφισάντων r.

[x] μὲν post πάντες ponit r.

[y] ὑπέχοιεν] ὑπόσχοιεν O. k. r. s.

[z] ἀκριβολογήσησθε] ἀκριβῶς λογίσησθε S. Y. k. r. s.

[a] ἀλλ' om. S. k. r. s.

[b] ἐπίτηδες S. k. r. s. ceteri ἐξεπίτηδες.

[c] ἐξηπάτηκεν] ἐξηπάτησεν k. r. s.

[d] ὧν εἶπεν—δίκην om. r.

[e] πρέσβεων] πρεσβευτῶν k. r. s.

[f] λόγων] λόγου r. s.

[g] τριήρων] τριηρῶν Y. O. u.

[h] ἀκροπόλεων] ἀκροπόλεως O. u. v.

[i] οὖν] τοίνυν S. k. r. s.

[k] ἠδίκηκε] ἠδίκησε t.

[l] καὶ ψευδεῖς καὶ μισθοῦ καὶ ἀσυμφόρους, ἁλισκέσθω.
204 οὐδὲν γὰρ ἔσθ' ὅ τι μεῖζον [m] ἂν ὑμᾶς ἀδικήσειέ τις, ἢ
ψευδῆ λέγων. οἷς γάρ ἐστ' ἐν λόγοις ἡ πολιτεία, πῶς,
ἂν οὗτοι μὴ ἀληθεῖς ὦσιν, ἀσφαλῶς [n] ἔστι πολιτεύεσθαι;
[o] ἐὰν δὲ δὴ [p] καὶ πρὸς ἃ τοῖς ἐχθροῖς [q] συμφέρει δῶρά
τις λαμβάνων λέγῃ, πῶς οὐχὶ καὶ [r] κινδυνεύσετε; οὐδέ
γε τοὺς [s] χρόνους ἴσον ἐστ' ἀδίκημα ὀλιγαρχίας ἢ τυράν-
205 νου παρελέσθαι καὶ ὑμῶν· οὐδ' ὀλίγου [t] γε δεῖ. ἐν ἐκεί-
ναις [u] μὲν γάρ, οἶμαι, ταῖς πολιτείαις πάντ' ἐξ ἐπιτάγ-
ματος ὀξέως γίγνεται· ὑμῖν δὲ πρῶτον μὲν τὴν βουλὴν
ἀκοῦσαι [x] περὶ πάντων [y] καὶ προβουλεῦσαι δεῖ, καὶ τοῦθ'
ὅταν ᾖ κήρυξι καὶ πρεσβείαις [z] προγεγραμμένον, οὐκ ἀεί,
εἶτ' ἐκκλησίαν ποιῆσαι, καὶ ταύτην ὅταν ἐκ τῶν νόμων
καθήκῃ. εἶτα κρατῆσαι καὶ περιγενέσθαι δεῖ τοὺς τὰ
βέλτιστα λέγοντας τῶν ἢ δι' ἄγνοιαν ἢ διὰ μοχθηρίαν
206 ἀντιλεγόντων. ἐφ' ἅπασι δὲ τούτοις, ἐπειδὰν καὶ δεδογ-
μένον ᾖ καὶ συμφέρον ἤδη φαίνηται, [a] χρόνον δεῖ δοθῆναι
τῇ τῶν πολλῶν ἀδυναμίᾳ, ἐν ᾧ καὶ ποριοῦνται ταῦθ' ὧν
ἂν δέωνται, [b] ὅπως τὰ δόξαντα καὶ δυνηθῶσι ποιῆσαι.
ὁ [c] δὴ τοὺς χρόνους τούτους ἀναιρῶν τῆς [d] οἵα παρ' [e] ἡμῖν
ἐστὶ πολιτείας οὐ χρόνους ἀνῄρηκεν οὗτος, οὔ, ἀλλὰ τὰ
πράγματα [f] ἁπλῶς ἀφῄρηται.

[l] καὶ ante ψευδεῖς om. k. r.
[m] ἂν ὑμᾶς om. S. Y.
[n] ἔστι πολ.] ἔνεστι πολ. k. r. s.
[o] ἐὰν] ἂν S.
[p] καὶ ante πρὸς om. O.
[q] συμφέρει] συμφέρῃ Y.
[r] κινδυνεύσετε S. k. κινδυνεύσετε [αι] s. v. vulg. κινδυνεύσεται.
[s] χρόνους] χοροὺς pr. t.
[t] γε om. k. r. s.
[u] μὲν dederunt S. k. r. s.
[x] περὶ πάντων ante τὴν ponunt F. Q. O. k. r. s. t. u. v.
[y] καὶ προβουλεῦσαι in γρ. F.
[z] προγεγραμμένον] προσγεγραμμένον [προ] v. προσγεγραμμένον O. t. u.
[a] χρόνον] χρόνῳ O.
[b] ὅπως] ὅπως ἂν k. r. s.
[c] δὴ] δὲ F. Q.
[d] οἵα] οἵας F. Q. O. t. u. v. in r. lacuna.
[e] ἡμῖν F. S. Y. Q. et correctus v. vulg. ὑμῖν.
[f] ἁπλῶς om. pr. O.

207 Ἔστι [g] τοίνυν [h] τις πρόχειρος λόγος πᾶσι τοῖς ἐξαπα-
τᾶν ὑμᾶς [i] βουλομένοις "οἱ ταράττοντες τὴν πόλιν, οἱ δια-
"κωλύοντες Φίλιππον εὖ ποιῆσαι τὴν πόλιν." πρὸς οὓς
ἐγὼ λόγον μὲν οὐδένα ἐρῶ, τὰς δ' ἐπιστολὰς ὑμῖν ἀνα-
γνώσομαι τὰς τοῦ Φιλίππου, καὶ τοὺς καιροὺς [k] ἐφ' ὧν
ἕκαστα ἐξηπάτησθε ὑπομνήσω, ἵν' εἰδῆθ' ὅτι τὸ ψυχρὸν 400
τοῦτο ὄνομα, [l] τὸ ἄχρι κόρου, παρελήλυθ' ἐκεῖνος φενακί-
ζων ὑμᾶς.

[m] ΕΠΙΣΤΟΛΑΙ [n] ΦΙΛΙΠΠΟΥ.

208 Οὕτω τοίνυν αἰσχρὰ καὶ πολλὰ καὶ πάντα καθ' ὑμῶν
πεπρεσβευκὼς περιιὼν λέγει "τί δ' ἂν [o] εἴποι τις περὶ
"Δημοσθένους, ὃς τῶν συμπρέσβεων κατηγορεῖ;" νὴ Δί',
εἴτε βούλομαί γ' εἴτε μή, παρ' ὅλην μὲν τὴν ἀποδημίαν
ὑπὸ σοῦ τοιαῦτα ἐπιβεβουλευμένος, [p] δυοῖν δ' [q] αἱρέσεως
οὔσης μοι νυνί, ἢ τοιούτων [r] ὄντων τῶν πεπραγμένων δοκεῖν
209 κοινωνεῖν ὑμῖν, ἢ κατηγορεῖν. ἐγὼ δ' [s] οὐδὲ συμπεπρεσ-
βευκέναι φημί σοι, πρεσβεύειν μέντοι σὲ μὲν πολλὰ καὶ
δεινά, ἐμαυτὸν δ' ὑπὲρ [t] τουτωνὶ τὰ βέλτιστα. ἀλλὰ Φι-
λοκράτης [u] σοι συμπεπρέσβευκε, κἀκείνῳ σύ, καὶ Φρύ-
νων· ὑμεῖς γὰρ [x] ταῦτ' ἐπράττετε, καὶ ταῦτα [y] πᾶσιν
ὑμῖν ἤρεσκεν. ποῦ δ' ἅλες; ποῦ [z] τράπεζα; ποῦ σπον-
δαί; ταῦτα γὰρ τραγῳδεῖ περιιών, ὥσπερ [a] οὐχὶ τοὺς

[g] τοίνυν om. r.
[h] τις om. Q.
[i] βουλομένοις] βουλόμενος u.
[k] ἐφ' ὧν] ἐφ' οὓς r.
[l] τὸ ante ἄχρι om. Anecd. p. 28, 19.
[m] Ἐπιστολαὶ] ἐπιστολὴ S. Y. Q. O. t. u. v.
[n] Φιλίππου] φιλίππου. προοίμιον καὶ εἰσβολὴ τῆς παρεκβάσεως O. u.
[o] εἴποι τις] εἴποις S. Y. r. s. εἴπῃς k.
[p] δυοῖν plerique omnes: vulg. δυεῖν.
[q] αἱρέσεως οὔσης] αἱρέσεων (ως) οὐσῶν (ης) F. αἱρέσεων οὐσῶν Q. O. r. s. t. u. et γρ. S.
[r] ὄντων om. t. et pr. v.
[s] οὐδὲ] οὐ v.
[t] τουτωνὶ] τούτων S. Y. k. r. s.
[u] σοι om. O.
[x] ταῦτα—ταῦτα] ταυτὰ—ταυτὰ Q.
[y] πᾶσιν S. Y. ceteri ἅπασιν.
[z] τράπεζα S. Y. vulg. τράπεζαι.
[a] οὐχὶ om. pr. r. οὐ rec. r.

ἀδικοῦντας τούτων ὄντας προδότας, ἀλλὰ τοὺς τὰ δίκαια
210 ποιοῦντας. ἐγὼ δ' οἶδ' ὅτι πάντες οἱ πρυτάνεις θύουσιν
ἑκάστοτε κοινῇ καὶ συνδειπνοῦσιν ἀλλήλοις καὶ [b] συσπέν-
δουσιν· καὶ οὐ διὰ [c] ταῦθ' οἱ χρηστοὶ τοὺς πονηροὺς μι-
μοῦνται, ἀλλ' ἐὰν ἀδικοῦντα λάβωσί τινα αὑτῶν, τῇ
βουλῇ καὶ τῷ δήμῳ δηλοῦσιν. [d] ἡ [e] βουλὴ δὲ ταὐτὰ ταῦ-
τα, εἰσιτήρια ἔθυσε, [f] συνειστιάθη, σπονδῶν, ἱερῶν [g] ἐκοινώ-
νησεν. οἱ στρατηγοί, σχεδὸν ὡς εἰπεῖν αἱ ἀρχαὶ πᾶσαι.
ἆρ' οὖν διὰ ταῦτα τοῖς ἀδικοῦσιν ἑαυτῶν ἔδωκαν ἄδειαν;
211 πολλοῦ γε καὶ δεῖ. Λέων Τιμαγόρου [h] κατηγόρει συμ-
πεπρεσβευκὼς τέτταρα ἔτη, Εὔβουλος Θάῤῥηκος καὶ 401
[i] Σμικύθου [k] συσσεσιτηκώς, Κόνων ὁ παλαιὸς ἐκεῖνος
[l] Ἀδειμάντου συστρατηγήσας. [m] πότεροι οὖν τοὺς ἅλας
[n] παρέβαινον καὶ τὰς σπονδάς, Αἰσχίνη; οἱ προδιδόντες
καὶ οἱ παραπρεσβεύοντες καὶ οἱ δωροδοκοῦντες ἢ οἱ κατ-
ηγοροῦντες; οἱ ἀδικοῦντες δηλονότι [o] τὰς ὅλης [p] γε τῆς
πατρίδος [q] σπονδάς, ὥσπερ σύ, οὐ μόνον τὰς ἰδίας.
212 Ἵνα τοίνυν εἰδῆθ' ὅτι οὐ [r] μόνον τῶν δημοσίᾳ [s] πώποτ'
ἐληλυθότων [t] ὡς Φίλιππον ἀνθρώπων ἀλλὰ καὶ τῶν ἰδίᾳ
[u] καὶ πάντων οὗτοι φαυλότατοι [x] καὶ πονηρότατοι γεγό-
νασι, [y] μικρὸν ἀκούσατέ μου ἔξω [z] τι [a] τῆς πρεσβείας

[b] συσπένδουσι] συσπεύδουσι O. r.
[c] ταῦθ'] τοῦθ' vel τοῦτο F. Q. O. t. u. v.
[d] ἡ] καὶ ἡ F. Y. Q. O. t. u. v.
[e] βουλὴ] βουλὴ δὲ k.
[f] συνειστιάθη] συνιστιάθη S. συνεστιάθη r.
[g] ἐκοινώνησεν] ἐκοινώνησαν S. Y. Q. t. u. v.
[h] κατηγόρει] κατηγορεῖ Y. O. t. u.
[i] Σμικύθου] σωκύθου (μι superscr.) S.
[k] συσσεσιτηκώς] συσσεσιτικὼς F.
[l] Ἀδειμάντου] ἀδημάντου S.
[m] πότεροι] πότερον r. s.
[n] παρέβαινον post σπονδὰς ponunt F. Q. O. s. t. u. v.
[o] τὰς] τῆς r.
[p] γε om. Q.
[q] σπονδὰς om. S.
[r] μόνον] μόνον γε s.
[s] πώποτε k. r. s. ceteri ποτέ.
[t] ὡς] πρὸς F. πρὸς (ὡς superscr.) Q. ὡς πρὸς O. t. u.
[u] καὶ ante πάντων om. O.
[x] καὶ πονηρότατοι om. k. r. s.
[y] μικρὸν] μικροῦ r.
[z] τι] τὸ u. om. F. Q.
[a] τῆς om. O.

[b] ταύτης. ἐπειδὴ γὰρ [c] εἷλεν Ὄλυνθον Φίλιππος, Ὀλύμπια ἐποίει, εἰς δὲ τὴν θυσίαν ταύτην καὶ τὴν πανήγυριν
213 πάντας τοὺς τεχνίτας συνήγαγεν. ἑστιῶν δ' αὐτοὺς καὶ στεφανῶν τοὺς νενικηκότας ἤρετο Σάτυρον τουτονὶ τὸν κωμικὸν ὑποκριτήν, τί δὴ μόνος οὐδὲν ἐπαγγέλλεται, ἢ τίνα ἐν [d] ἑαυτῷ μικροψυχίαν ἢ [e] πρὸς αὐτὸν ἀηδίαν [f] ἐνεωρακώς; εἰπεῖν δή φασι τὸν Σάτυρον ὅτι, ὧν μὲν οἱ ἄλλοι [g] δέονται, οὐδενὸς ὧν ἐν χρείᾳ τυγχάνει, ἃ δ' ἂν αὐτὸς ἐπαγγείλαιτο ἡδέως, ῥᾷστα μέν ἐστι Φιλίππῳ δοῦναι
214 καὶ χαρίσασθαι πάντων, [h] δέδοικε δὲ μὴ διαμάρτῃ. κελεύσαντος δ' ἐκείνου [i] λέγειν καί τι καὶ νεανιευσαμένου τοιοῦτον, [k] ὡς [l] οὐδὲν ὅ τι οὐ ποιήσει, εἰπεῖν [m] φασὶν αὐτὸν ὅτι ἦν αὐτῷ Ἀπολλοφάνης ὁ Πυδναῖος ξένος καὶ φίλος, ἐπειδὴ δὲ δολοφονηθεὶς ἐτελεύτησεν ἐκεῖνος, φοβηθέντες οἱ συγγενεῖς αὐτοῦ ὑπεξέθεντο τὰς θυγατέρας παιδία [n] ὄντα
215 εἰς Ὄλυνθον. αὗται [o] τοίνυν, [p] ἔφη, τῆς πόλεως ἁλούσης αἰχμάλωτοι γεγόνασι καὶ εἰσὶ παρὰ σοὶ ἡλικίαν ἔχου- 402
σαι γάμου. ταύτας, αἰτῶ σε καὶ [q] δέομαι, δός μοι. βούλομαι δέ [r] σε ἀκοῦσαι καὶ μαθεῖν οἵαν μοι δώσεις δωρεάν, [s] ἐὰν ἄρα δῷς· ἀφ' ἧς ἐγὼ κερδανῶ μὲν οὐδέν, [t] ἐὰν λάβω, προῖκα δὲ προσθεὶς ἐκδώσω, καὶ οὐ περιόψομαι παθούσας οὐδὲν ἀνάξιον οὔθ' ἡμῶν οὔτε τοῦ πα-

[b] ταύτης S. ceteri ταυτησί.
[c] εἷλεν] εἶχεν r.
[d] ἑαυτῷ S. Y. Q. O. t. u. v. αὑτῷ s. vulg. αὐτῷ.
[e] πρὸς αὐτὸν om. r. τίνα πρὸς αὐτὸν k.
[f] ἐνεωρακὼς] ἐνεορακὼς Y. ἑωρακὼς k. r. s. ἑορακὼς F. ἑορακὼς Q. quod vulg. addunt εἴη, omisi cum S.
[g] δέονται] δέωνται O.
[h] δέδοικε S. Y. vulg. δεδοικέναι.
[i] λέγειν om. t. u. et pr. O.
[k] ὡς om. O.
[l] οὐδὲν] οὐδὲ r.
[m] φασὶν αὐτὸν] αὐτόν φασιν F. Q. O. t. u. v.
[n] ὄντα S. vulg. οὔσας.
[o] τοίνυν S. Y. t. u. et γρ. F. ceteri νῦν.
[p] ἔφη om. S.
[q] δέομαι om. u.
[r] σε om. Q.
[s] ἐὰν—ἐὰν] ἂν—ἂν S.
[t] ἐὰν λάβω om. O. t. u. punctis notat F.

216 τρός. ὡς δʼ [u] ἀκοῦσαι τοὺς παρόντας ἐν τῷ συμποσίῳ,
τοσοῦτον κρότον καὶ [x] θόρυβον καὶ ἔπαινον παρὰ πάντων
γενέσθαι, ὥστε τὸν Φίλιππον παθεῖν τι καὶ δοῦναι. καί-
τοι τῶν ἀποκτεινάντων ἦν [y] τὸν Ἀλέξανδρον τὸν ἀδελφὸν
217 [z] τὸν Φιλίππου οὗτος ὁ Ἀπολλοφάνης. [a] Ἐξετάσωμεν
δὴ πρὸς τὸ [b] τοῦ Σατύρου [c] τοῦτο συμπόσιον [d] ἕτερον συμ-
πόσιον, [e] τὸ τούτων ἐν [f] Μακεδονίᾳ γενόμενον, καὶ θεά-
σασθε [g] εἰ παραπλήσιον τούτῳ καὶ ὅμοιον. κληθέντες γὰρ
οὗτοι πρὸς Ξενόφρονα τὸν υἱὸν [h] τὸν Φαιδίμου τοῦ τῶν
τριάκοντα ᾤχοντο· ἐγὼ δʼ οὐκ ἐπορεύθην. ἐπειδὴ δὲ ἧκον
εἰς τὸ πίνειν, [i] εἰσάγει τινὰ Ὀλυνθίαν γυναῖκα, εὐπρεπῆ
μέν, ἐλευθέραν δὲ καὶ σώφρονα, ὡς τὸ ἔργον ἐδήλωσεν.
218 ταύτην τὸ μὲν πρῶτον [k] οὑτωσὶ πίνειν ἡσυχῇ καὶ τρώγειν
ἠνάγκαζον οὗτοι, μοι [l] δοκεῖ, ὡς διηγεῖτο Ἰατροκλῆς ἐμοὶ
τῇ ὑστεραίᾳ· ὡς δὲ προῄει τὸ πρᾶγμα καὶ διεθερμαίνοντο,
κατακλίνεσθαι καί τι καὶ ᾄδειν ἐκέλευον. ἀδημονούσης
δὲ τῆς ἀνθρώπου καὶ οὔτε ἐθελούσης οὔτε ἐπισταμένης,
ὕβριν τὸ πρᾶγμα ἔφασαν οὑτοσὶ καὶ ὁ Φρύνων καὶ οὐκ
ἀνεκτὸν εἶναι, τῶν θεοῖς [m] ἐχθρῶν, τῶν ἀλιτηρίων Ὀλυν-
θίων αἰχμάλωτον οὖσαν τρυφᾶν· καὶ "[n] κάλει παῖδα,"
219 καὶ "ἱμάντα τις φερέτω." [o] ἦκεν οἰκέτης [p] ἔχων ῥυτῆρα,
καὶ πεπωκότων, οἶμαι, καὶ μικρῶν ὄντων τῶν παροξυνόν- 403

[u] ἀκοῦσαι] ἀκούσας r.
[x] θόρυβον καὶ ἔπαινον] ἔπαινον καὶ θόρυβον F. Q. O. t. u. v.
[y] τὸν ante Ἀλέξανδρον dederunt S. Y.
[z] τὸν Φιλίππου] τοῦ φιλίππου Q. O. s. v.
[a] Ἐξετάσωμεν] ἐξετάσομεν r.
[b] τοῦ om. O.
[c] τοῦτο] τοσοῦτο Y. τούτου F. O. u. v.
[d] ἕτερον συμπόσιον in margine S.
[e] τὸ om. S. Y. k. r. s.
[f] Μακεδονίᾳ] μακεδόνι u.
[g] εἰ] ὡς S. (εἰ superscr.)
[h] τὸν Φαιδίμου] τοῦ φαιδίμου Q. O. t. u.
[i] εἰσάγει] εἰσάγειν O. u.
[k] οὑτωσὶ] οὑτοσὶ t. u.
[l] δοκεῖ S. vulg. δοκεῖν.
[m] ἐχθρῶν τῶν] ἐχθρῶν καὶ F. ἐχθρῶν τε καὶ Y. Q. O. t. u. v.
[n] κάλει] κάλει δὴ F. Q.
[o] ἦκεν] ἦλθεν k. r. s.
[p] ἔχων] φέρων r.

των, εἰπούσης τι καὶ [q] δακρυσάσης ἐκείνης περιῤῥήξας τὸν
χιτωνίσκον ὁ οἰκέτης ξαίνει κατὰ τοῦ νώτου πολλάς. ἔξω
δ' αὑτῆς οὖσα ὑπὸ τοῦ κακοῦ καὶ τοῦ πράγματος ἡ
γυνὴ ἀναπηδήσασα προσπίπτει πρὸς τὰ γόνατα τῷ Ἰα-
220 τροκλεῖ, καὶ τὴν τράπεζαν ἀνατρέπει. καὶ εἰ μὴ ἐκεῖνος
[r] ἀφείλετο, ἀπώλετ' ἂν παροινουμένη· καὶ γὰρ ἡ παροι-
νία τοῦ καθάρματος [s] τουτουῒ δεινή. καὶ περὶ ταύτης τῆς
ἀνθρώπου καὶ ἐν Ἀρκαδίᾳ λόγος ἦν ἐν τοῖς μυρίοις, καὶ
Διόφαντος ἐν ὑμῖν [t] ἀπήγγειλεν ἃ νῦν μαρτυρεῖν αὐτὸν
ἀναγκάσω, καὶ κατὰ Θετταλίαν πολὺς λόγος καὶ παν-
ταχοῦ.

221 Καὶ τοιαῦτα συνειδὼς αὑτῷ πεπραγμένα ὁ ἀκάθαρτος
[u] οὑτοσὶ τολμήσει [x] βλέπειν [y] εἰς ὑμᾶς, καὶ [z] τὸν βεβιω-
μένον [a] αὐτῷ βίον αὐτίκα δὴ μάλ' ἐρεῖ λαμπρᾷ τῇ φωνῇ·
ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι. οὐκ ἴσασιν οὗτοι τὸ μὲν
ἐξ ἀρχῆς τὰς βίβλους ἀναγιγνώσκοντά σε τῇ μητρὶ τε-
λούσῃ, καὶ παῖδα ὄντα ἐν θιάσοις καὶ μεθύουσιν ἀνθρώ-
222 ποις καλινδούμενον; μετὰ ταῦτα δὲ ταῖς ἀρχαῖς ὑπο-
γραμματεύοντα καὶ [b] δυοῖν [c] ἢ τριῶν δραχμῶν πονηρὸν
ὄντα; τὰ τελευταῖα [d] δ' ἔναγχος ἐν χορηγίοις ἀλλοτρίοις
ἐπὶ τῷ τριταγωνιστεῖν ἀγαπητῶς παρατρεφόμενον; ποῖον
οὖν ἐρεῖς βίον ὃν οὐ βεβίωκας, ἐπεὶ ὅ [e] γε [f] βεβιωμένος
σοι τοιοῦτος [g] ὢν φαίνεται; ἀλλὰ δὴ τὰ τῆς ἐξουσίας.
οὗτος ἄλλον ἔκρινε παρ' ὑμῖν [h] ἐπὶ πορνείᾳ. [i] Ἀλλὰ μή-

[q] δακρυσάσης] διακρουσάσης k. r. s.
[r] ἀφείλετο] ἐφείλετο u. ἀφείλετο αὐτήν k. r. s.
[s] τουτουῒ] τούτου k. r. s.
[t] ἀπήγγειλεν] ἀπήγγελλεν S. Y.
[u] οὑτοσὶ] οὗτος S. Y.
[x] βλέπειν] λέγειν γρ. S.
[y] εἰς om. t. u. v. et pr. O.
[z] τὸν βεβιωμένον] τῶν βεβιωμένων s.
[a] αὐτῷ βίον om. k. r. s.
[b] δυοῖν] δυεῖν s.
[c] ἢ] καὶ S. k. r.
[d] δ' om. O. t. u.
[e] γε] τε u.
[f] βεβιωμένος] βιωσόμενος u.
[g] ὢν om. S. Q. O. t. u. v.
[h] ἐπὶ] ἐν t. u.
[i] Ἀλλὰ μήπω ταῦτα om. k. r. s.

πω ταῦτα, ἀλλὰ τὰς μαρτυρίας μοι λέγε πρῶτον ταυτασί.

ΜΑΡΤΥΡΙΑΙ. 404

223 Τοσούτων τοίνυν καὶ τοιούτων ὄντων, ὦ ἄνδρες δικασταί, ὧν ἀδικῶν ὑμᾶς ἐξελήλεγκται, ἐν οἷς τί [k] κακὸν οὐκ ἔνι; δωροδόκος, κόλαξ, ταῖς ἀραῖς ἔνοχος, ψεύστης, τῶν φίλων προδότης, πάντ' [l] ἔνεστι τὰ δεινότατα· πρὸς ἓν οὐδ' ὁτιοῦν τούτων ἀπολογήσεται, οὐδ' ἕξει δικαίαν οὐδ' ἁπλῆν [m] εἰπεῖν ἀπολογίαν οὐδεμίαν. ἃ δ' ἐγὼ [n] πέπυσμαι μέλλειν αὐτὸν λέγειν, ἔστι μὲν ἐγγυτάτω μανίας, οὐ μὴν ἀλλ' ἴσως τῷ μηδὲν ἔχοντι δίκαιον ἄλλ' εἰ-
224 πεῖν ἀνάγκη πάντα μηχανᾶσθαι. ἀκούω γὰρ αὐτὸν ἐρεῖν ὡς ἄρ' ἐγὼ πάντων ὧν κατηγορῶ κοινωνὸς γέγονα, καὶ [o] συνήρεσκε ταῦτά μοι, καὶ συνέπραττον αὐτῷ, ἔπειτ' ἐξαίφνης μεταβέβλημαι καὶ κατηγορῶ. ἔστι δ' ὑπὲρ μὲν τῶν πεπραγμένων οὔτε δικαία οὔτε προσήκουσα [p] ἡ τοιαύτη ἀπολογία, ἐμοῦ μέντοι τις κατηγορία· ἐγὼ μὲν γάρ, εἰ ταῦτα πεποίηκα, φαῦλός εἰμι ἄνθρωπος, τὰ δὲ
225 πράγματα οὐδὲν βελτίω διὰ τοῦτο, οὐδὲ πολλοῦ δεῖ. οὐ μὴν ἀλλ' ἔγωγ' οἶμαί [q] μοι προσήκειν ἀμφότερ' ὑμῖν ἐπιδεῖξαι, καὶ ὅτι ψεύσεται, [r] ταῦτ' ἐὰν λέγῃ, καὶ τὴν δικαίαν ἥτις ἐστὶν [s] ἀπολογία. ἡ μὲν τοίνυν δικαία καὶ ἁπλῆ, ἢ ὡς οὐ πέπρακται τὰ [t] κατηγορημένα [u] δεῖξαι, ἢ ὡς πεπραγμένα συμφέρει τῇ πόλει. τούτων δ' οὐδέτερον
226 [x] δύναιτ' ἂν οὗτος ποιῆσαι. οὔτε γὰρ ὡς συμφέρει

[k] κακὸν] κακῶν k. r. s.
[l] ἔνεστι om. F. Q.
[m] εἰπεῖν ἀπολογίαν] ἀπολογίαν εἰπεῖν k.
[n] πέπυσμαι] πέπεισμαι s.
[o] συνήρεσκε] συνήρεσθε u.
[p] ἡ τοιαύτη] αὕτη Q. ἡ ἀπολογία αὕτη γρ. S.
[q] μοι om. r. s.
[r] ταῦτα] ταῦτα πάντα O.
[s] ἀπολογία] ἀπολογία φεύξεται F. Y. Q. O. t. u. v.
[t] κατηγορημένα] κατηγορούμενα s.
[u] δεῖξαι] δέξαι u.
[x] δύναιτ' ἂν οὗτος ποιῆσαι] δύναται εἰπεῖν k. r. s.

[y] δήπου Φωκέας [z] ἀπολωλέναι καὶ Πύλας Φίλιππον ἔχειν καὶ Θηβαίους ἰσχύειν καὶ ἐν Εὐβοίᾳ στρατιώτας εἶναι καὶ Μεγάροις ἐπιβουλεύειν καὶ ἀνώμοτον εἶναι τὴν εἰρήνην, [a] ἔνεστι λέγειν αὐτῷ, οἷς [b] τότε τἀναντία [c] ἀπήγγειλε 405
πρὸς ὑμᾶς ὡς συμφέροντα καὶ γενησόμενα· οὐθ' ὡς οὐ πέπρακται ταῦτα, δυνήσεται πεῖσαι [d] τοὺς αὐτοὺς ἑωρα-
227 κότας ὑμᾶς καὶ εὖ εἰδότας. οὐκοῦν ὡς οὐ κεκοινώνηκα τούτοις οὐδενός, λοιπόν [e] μοι δεῖξαι. βούλεσθ' οὖν ὑμῖν, πάντα τἄλλ' ἀφείς, ἃ παρ' ὑμῖν ἀντεῖπον, [f] ἃ ἐν τῇ ἀποδημίᾳ προσέκρουον, ὡς ἅπαντα τὸν χρόνον ἠναντίωμαι, αὐτοὺς παράσχωμαι [g] μάρτυρας [h] τουτουσὶ [i] ὅτι πάντα τἀναντία ἐμοὶ καὶ τούτοις πέπρακται, καὶ χρήματα οὗτοι μὲν ἔχουσιν [k] ἐφ' ὑμῖν, ἐγὼ δ' οὐκ ἠθέλησα λαβεῖν; θεάσασθε δή.

228 Τίνα τῶν ἐν τῇ πόλει φήσαιτ' ἂν βδελυρώτατον εἶναι καὶ πλείστης [l] ἀναιδείας καὶ ὀλιγωρίας μεστόν; οὐδεὶς οὐδ' ἂν ἁμαρτὼν ὑμῶν [m] ἄλλον εὖ οἶδ' ὅτι [n] φήσειεν ἢ Φιλοκράτην. τίνα δὲ [o] φθέγγεσθαι μέγιστον ἁπάντων καὶ σαφέστατ' ἂν εἰπεῖν ὅ τι βούλοιτο [p] τῇ φωνῇ; Αἰσχίνην οἶδ' ὅτι τουτονί. τίνα δ' οὗτοι μὲν ἄτολμον καὶ δειλὸν πρὸς τοὺς [q] ὄχλους φασὶν εἶναι, ἐγὼ δ' εὐλαβῆ; ἐμέ· οὐδὲν γὰρ πώποτ' οὔτ' ἠνώχλησα οὔτε μὴ [r] βουλομένους

[y] δήπου om. k. s.
[z] ἀπολωλέναι] ἀπολωλεκέναι Y. k.
[a] ἔνεστι post αὐτῷ ponunt F. Q. O. t. u. v.
[b] τότε τἀναντία] τότ' ἐναντία S. Y.
[c] ἀπήγγειλε] ἀπήγγελλε s.
[d] τοὺς om. Q.
[e] μοι] ἐμοὶ Q.
[f] ἃ ante ἐν om. Y.
[g] μάρτυρας] καὶ μάρτυρας k.
[h] τουτουσὶ] τούτους S. k. r. s.
[i] ὅτι S. Y. k. r. s. ceteri ὡς.
[k] ἐφ'] ὑφ' t. u.
[l] ἀναιδείας καὶ ὀλιγωρίας S. Y. vulg. ὀλιγωρίας καὶ ἀναιδείας.
[m] ἄλλον] ἄλλων s.
[n] φήσειεν] φήσειεν ἂν k. r. φήσαιεν ἂν s.
[o] φθέγγεσθαι] φθέγξεσθαι O.
[p] τῇ φωνῇ] λαμπρᾷ τῇ φωνῇ k. s. in r. litura est.
[q] ὄχλους] ὅρκους O. t. u.
[r] βουλομένους] βουλόμενος Q.

229 ὑμᾶς [s] βεβίασμαι. οὐκοῦν ἐν πάσαις ταῖς ἐκκλησιαις,
ὁσάκις λόγος γέγονε περὶ τούτων, καὶ κατηγοροῦντος ἀκού-
ετέ μου καὶ ἐλέγχοντος ἀεὶ τούτους καὶ λέγοντος ἄντι-
κρυς ὅτι [t] χρήματ' εἰλήφασι καὶ πάντα [u] πεπράκασι τὰ
πράγματα τῆς πόλεως. καὶ τούτων οὐδεὶς πώποτ' ἀκούων
ταῦτ' ἀντεῖπεν οὐδὲ διῆρε τὸ στόμα, οὐδ' ἔδειξεν ἑαυτόν.
230 τί ποτ' οὖν ἐστὶ τὸ αἴτιον ὅτι οἱ βδελυρώτατοι [x] τῶν ἐν τῇ
πόλει καὶ μέγιστον φθεγγόμενοι τοῦ καὶ ἀτολμοτάτου
πάντων ἐμοῦ καὶ οὐδενὸς μεῖζον φθεγγομένου τοσοῦτον 406
[y] ἡττῶνται; ὅτι τἀληθὲς [z] ἰσχυρόν, καὶ τοὐναντίον ἀσθενὲς
τὸ συνειδέναι πεπρακόσιν αὐτοῖς τὰ πράγματα. τοῦτο
παραιρεῖται τὴν θρασύτητα τὴν τούτων, τοῦτ' [a] ἀποστρέφει
τὴν γλῶτταν, ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾶν ποιεῖ.
231 τὸ τοίνυν τελευταῖον ἴστε δήπου πρῴην ἐν Πειραιεῖ, ὅτ' αὐ-
τὸν οὐκ εἰᾶτε πρεσβεύειν, βοῶντα ὡς [b] εἰσαγγελεῖ με καὶ
γράψεται [c] καὶ ἰοὺ ἰού. καίτοι ταῦτα μέν ἐστι μακρῶν
καὶ πολλῶν ἀγώνων καὶ λόγων ἀρχή, ἐκεῖνα δὲ ἁπλᾶ
καὶ δύ' ἢ τρία ἴσως ῥήματα, ἃ κἂν [d] ἐχθὲς ἐωνημένος ἄν-
θρωπος εἰπεῖν [e] ἠδυνήθη, "[f] ἄνδρες Ἀθηναῖοι, τουτὶ τὸ
"[g] πρᾶγμα πάνδεινόν ἐστιν· οὑτοσὶ κατηγορεῖ ταῦτ'
" ἐμοῦ ὧν αὐτὸς κοινωνὸς γέγονε, καὶ χρήματ' εἰληφέναι
232 " φησὶν ἐμὲ αὐτὸς εἰληφὼς [ἢ μετειληφώς]." τούτων μὲν
τοίνυν οὐδὲν [h] εἶπεν οὐδ' ἐφθέγξατο, οὐδ' ἤκουσεν ὑμῶν οὐ-

[s] βεβίασμαι] ἐβιασάμην k. r. s.
[t] χρήματ'] γράμματα r.
[u] πεπράκασι post πράγματα ponunt k. r. s.
[x] τῶν] πάντων τῶν F. Y. Q. O. t. u. v.
[y] ἡττῶνται] ἡττῶντο O.
[z] ἰσχυρόν] ἰσχυρόν ἐστι F. Q. O. t. u. v.
[a] ἀποστρέφει] ἀποστρέφεται S. Y.
[b] εἰσαγγελεῖ] εἰσαγγέλλει S. Y.
[c] καὶ ante ἰοὺ om. O.
[d] ἐχθὲς] χθὲς F. Q.
[e] ἠδυνήθη S. Y. k. r. s. ceteri δυνηθείη.
[f] ἄνδρες] ὦ ἄνδρες Q.
[g] πρᾶγμα πάνδεινόν] πραγμ' ἅπαν δεινόν Y.
[h] εἶπεν οὐδ'] οὔτ' εἶπεν οὔτ' F.

δείς, [i] ἄλλα δ᾽ ἠπείλει. διὰ τί; ὅτι ταῦτα μὲν αὐτῷ συνῄδει πεπραγμένα, καὶ δοῦλος ἦν [k] τῶν ῥημάτων τούτων. οὔκουν προσῄει πρὸς ταῦθ᾽ ἡ διάνοια, ἀλλ᾽ ἀνεδύετο· [l] ἐπελαμβάνετο [m] γὰρ αὐτῆς τὸ συνειδέναι. λοιδορεῖσθαι δὲ [n] ἄλλ᾽ [o] ἄττα οὐδεὶς [p] ἐκώλυεν αὐτὸν οὐδὲ βλασφη-
233 μεῖν. ὃ τοίνυν μέγιστον ἁπάντων, καὶ οὐ λόγος ἀλλ᾽
[q] ἔργον· βουλομένου γὰρ ἐμοῦ τὰ δίκαια, ὥσπερ ἐπρέσβευσα δίς, οὕτω καὶ λόγον ὑμῖν δοῦναι δίς, προσελθὼν Αἰσχίνης οὑτοσὶ τοῖς λογισταῖς ἔχων μάρτυρας πολλοὺς ἀπηγόρευε μὴ καλεῖν ἐμὲ εἰς τὸ δικαστήριον ὡς δεδωκότα εὐθύνας καὶ οὐκ [r] ὄντα ὑπεύθυνον. καὶ τὸ πρᾶγμ᾽ ἦν [s] ὑπεργέλοιον. τί οὖν ἦν τοῦτο; τῆς προτέρας ἐκείνης
πρεσβείας, ἧς οὐδεὶς [t] κατηγόρει, δοὺς λόγον [u] οὐκέτ᾽ ἐ- 407
βούλετ᾽ αὖθις εἰσιέναι περὶ ταύτης ἧς νῦν εἰσέρχεται, ἐν
234 ᾗ πάντα τἀδικήματ᾽ ἐνῆν· ἐκ δὲ τοῦ δὶς ἐμὲ εἰσελθεῖν
ἀνάγκη περιίστατο [x] καὶ τούτῳ πάλιν εἰσιέναι· [y] διὰ ταῦτ᾽ οὐκ εἴα καλεῖν. καίτοι τοῦτο τὸ ἔργον ὦ ἄνδρες Ἀθηναῖοι ἀμφότερ᾽ ὑμῖν ἐπιδείκνυσι σαφῶς, καὶ κατεγνωκόθ᾽ ἑαυτοῦ τοῦτον ὥστε μηδενὶ [z] νῦν ὑμῶν εὐσεβῶς ἔχειν ἀποψηφίσασθαι αὐτοῦ, καὶ μηδὲν ἀληθὲς ἐροῦντα περὶ ἐμοῦ· εἰ γὰρ εἶχε, τότ᾽ ἂν καὶ λέγων καὶ κατηγορῶν ἐξητάζετο, οὐ μὰ Δί᾽ οὐκ ἀπηγόρευε καλεῖν.

235 Ὡς τοίνυν ταῦτ᾽ ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

[i] ἄλλα δ᾽] ἀλλ᾽ r.
[k] τῶν om. r.
[l] ἐπελαμβάνετο] εἶτ᾽ ἐλαμβάνετο γρ. S.
[m] γὰρ αὐτῆς] παραυτῆς S.
[n] ἄλλα om. k. r. s.
[o] ἄττα] ἅτε O.
[p] ἐκώλυεν] ἐκώλυσεν O. u.
[q] ἔργον] ἔργον ἤδη k. r. s.
[r] ὄντα] ὄντων O.
[s] ὑπεργέλοιον] ὑπεργελοῖον Q.
[t] κατηγόρει] κατηγορεῖ O. k. r.
[u] οὐκέτ᾽] οὐκ O. u. v.
[x] καὶ τούτῳ om. t.
[y] διὰ ταῦτ᾽] διὰ τοῦτο Q. k. r. s.
[z] νῦν om. Q. k. r. s. t.

## ΜΑΡΤΥΡΕΣ.

Ἀλλὰ μὴν [a] ἐάν [b] γέ τι ἔξω τῆς πρεσβείας βλασφημῇ περὶ ἐμοῦ, κατὰ πολλὰ οὐκ ἂν εἰκότως ἀκούοιτε αὐτοῦ. οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον, οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ οὐδεὶς ἐμοί. τί οὖν ἐστὶ ταῦτα πλὴν δικαίων λόγων ἀπορία; τίς γὰρ ἂν κατηγορεῖν ἕλοιτο κρινόμενος, ἔχων
236 ὅ τι [c] ἀπολογήσεται; ἔτι τοίνυν [d] κἀκεῖνο σκοπεῖτε, ὦ ἄνδρες δικασταί. εἰ ἐκρινόμην μὲν ἐγώ, κατηγόρει δ' Αἰσχίνης οὑτοσί, Φίλιππος δ' ἦν ὁ κρίνων, εἶτ' ἐγὼ μηδὲν ἔχων εἰπεῖν ὡς οὐκ ἀδικῶ κακῶς ἔλεγον τουτονὶ καὶ προπηλακίζειν ἐπεχείρουν, οὐκ ἂν οἴεσθε καὶ [e] κατ' αὐτὸ τοῦτο ἀγανακτῆσαι τὸν Φίλιππον, εἰ παρ' ἐκείνῳ τοὺς ἐκείνου τις εὐεργέτας κακῶς [f] λέγοι; μὴ τοίνυν ὑμεῖς χείρους γένησθε Φιλίππου, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζεται, περὶ τούτων [g] ἀναγκάζετε ἀπολογεῖσθαι. Λέγε τὴν μαρτυρίαν.

## ΜΑΡΤΥΡΙΑ. 408

237 Οὐκοῦν ἐγὼ [h] μὲν ἐκ [i] τοῦ μηδὲν ἐμαυτῷ [k] συνειδέναι καὶ λόγον [l] διδόναι καὶ πάντα τἀκ τῶν νόμων ὑπέχειν ᾤμην δεῖν, [m] οὑτοσὶ δὲ τἀναντία. πῶς οὖν ταὐτὰ [n] ἐμοὶ καὶ [o] τούτῳ πέπρακται; ἢ πῶς ἔνεστι τούτῳ ταῦτα πρὸς ὑμᾶς λέγειν, ἃ [p] μηδ' [q] ᾐτίαται [r] πρότερον πώποτε; οὐδαμῶς δήπου. ἀλλ' ὅμως ἐρεῖ, καὶ νὴ Δί' εἰκότως [s] γε.

[a] ἐάν] ἄν S.
[b] γέ τι] γέ τοι k.
[c] ἀπολογήσεται] ἀπολογήσηται O.
[d] κἀκεῖνο σκοπεῖτε] σκοπεῖτε κἀκεῖνο k. r. s.
[e] κατ' αὐτὸ] κατὰ ταὐτὸ S. Y.
[f] λέγοι] λέγει F. S. Y. Q. O. t. u. v.
[g] ἀναγκάζετε] ἀναγκάζετε αὐτὸν k. r. s.
[h] μὲν om. S. Y.
[i] τοῦ] τῶν r.
[k] συνειδέναι] συνειδέναι δεινὸν F. Q. O. t. u. v.
[l] διδόναι] ἤθελον διδόναι k. r. s.
[m] οὑτοσὶ] οὗτος S. Y. k. r. s.
[n] ἐμοὶ] μοι S.
[o] τούτῳ] τούτω ταῦτα t.
[p] μηδ'—ὅμως om. k.
[q] ᾐτίαται S. vulg. ᾐτιᾶτο.
[r] πρότερον om. r. s.
[s] γε om. k. r. s.

ἴστε γὰρ δήπου τοῦθ', [t] ὅτι ἀφ' οὗ γεγόνασιν ἄνθρωποι
καὶ κρίσεις γίγνονται, οὐδεὶς πώποθ' ὁμολογῶν ἀδικεῖν
ἑάλω, ἀλλ' ἀναισχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προ-
φάσεις πλάττονται, [u] πάντα ποιοῦσιν ὑπὲρ τοῦ μὴ δοῦ-
238 ναι δίκην. ὧν οὐδενὶ δεῖ παρακρουσθῆναι τήμερον ὑμᾶς,
ἀλλ' ἀφ' ὧν ἴστε αὐτοὶ τὰ πράγματα [x] κρῖναι, μὴ τοῖς
ἐμοῖς λόγοις μηδὲ τοῖς τούτου προσέχειν, μηδέ γε τοῖς
μάρτυσιν, [y] οὓς [z] οὗτος [a] ἑτοίμους ἕξει μαρτυρεῖν ὁτιοῦν
Φιλίππῳ χορηγῷ χρώμενος· ὄψεσθε δ' ὡς ἑτοίμως αὐτῷ
239 μαρτυρήσουσιν. μηδέ γε εἰ καλὸν καὶ μέγα οὗτος [b] φθέγ-
γεται, μηδ' εἰ φαῦλον [c] ἐγώ. [d] οὐ γὰρ ῥητόρων οὐδὲ λό-
γων κρίσιν ὑμᾶς τήμερον, εἴπερ εὖ φρονεῖτε, προσήκει
ποιεῖν, ἀλλ' ὑπὲρ πραγμάτων αἰσχρῶς καὶ δεινῶς ἀπο-
λωλότων [e] τὴν ὑπάρχουσαν αἰσχύνην εἰς τοὺς αἰτίους
[f] ἀπώσασθαι, τὰ πεπραγμένα, [g] ἃ πάντες ἐπίστασθε,
[h] ἐξετάσαντας. [i] τί οὖν ἐστὶ ταῦτα; ἃ ὑμεῖς ἴστε καὶ οὐ
240 παρ' ἡμῶν ὑμᾶς ἀκοῦσαι δεῖ. εἰ μὲν [k] γὰρ ἅπανθ', ὅσ'
[l] ὑπέσχονθ' ὑμῖν, ἐκ τῆς εἰρήνης γέγονε, καὶ τοσαύτης
ἀνανδρίας καὶ κακίας [m] ὑμεῖς ὁμολογεῖτε εἶναι μεστοί,
ὥστε μήτ' ἐν τῇ χώρᾳ τῶν πολεμίων ὄντων μήτ' ἐκ θα-
λάττης πολιορκούμενοι μήτ' ἐν ἄλλῳ μηδενὶ δεινῷ τῆς 409
πόλεως οὔσης, ἀλλὰ καὶ σῖτον εὔωνον ὠνούμενοι καὶ τἄλ-

[t] ὅτι—πώποθ' om. u.
[u] πάντα] ταῦτα s.
[x] κρῖναι] κρίνειν k. r. s.
[y] οὓς] οἷς S. Y.
[z] οὗτος] αὐτὸς O. u.
[a] ἑτοίμους] ἑτοίμως (ους supra) t. ἑτοίμως F. O. u. ἕτοιμος pr. v.
[b] φθέγγεται] φθέγξεται S. Y. k. s.
[c] ἐγώ] λέγω r.
[d] οὐ] οὐδὲ S.
[e] τὴν supra versum Y.
[f] ἀπώσασθαι] ἀπώσασθαι O. ἀπώσασθε Q. u.
[g] ἃ πάντες] ἅπαντες Y.
[h] ἐξετάσαντας] ἐξετάσαντες S. Y. Q. O. r. t. u. v.
[i] τί S. Y. vulg. τίνα.
[k] γὰρ om. S. r. s.
[l] ὑπέσχονθ'] ὑπέσχεθ' F. Q. O. k. r. s. t. u. v.
[m] ὑμεῖς ὁμολογεῖτε] ὁμολογεῖτε ὑμεῖς Q. O. t. u. v.

241 λα οὐδὲν χεῖρον πράττοντες ἢ νῦν, προειδότες καὶ προα-
κηκοότες [n] παρὰ τούτων καὶ τοὺς συμμάχους [o] ἀπολου-
μένους καὶ Θηβαίους ἰσχυροὺς [p] γενησομένους καὶ τἀπὶ
Θρᾴκης Φίλιππον ληψόμενον καὶ [q] ἐν Εὐβοίᾳ κατασκευ-
ασθησόμενα ὁρμητήρια ἐφ' ὑμᾶς καὶ πάνθ' ἃ πέπρακται
γενησόμενα, εἶτα τὴν εἰρήνην [r] ἐποιήσασθε ἀγαπητῶς, ἀ-
ποψηφίσασθε Αἰσχίνου, καὶ μὴ πρὸς τοσούτοις αἰσχροῖς
καὶ ἐπιορκίαν προσκτήσησθε· οὐδὲν γὰρ ὑμᾶς ἀδικεῖ,
ἀλλ' ἐγὼ μαίνομαι [s] καὶ τετύφωμαι νῦν κατηγορῶν αὐ-
242 τοῦ. εἰ [t] δὲ πάντα τἀναντία τούτων καὶ πολλὰ καὶ φι-
λάνθρωπα εἰπόντες Φίλιππον, φιλεῖν τὴν πόλιν, Φωκέας
[u] σώσειν, Θηβαίους παύσειν τῆς ὕβρεως, ἔτι πρὸς τούτοις
μείζονα ἢ κατ' Ἀμφίπολιν εὖ ποιήσειν ὑμᾶς, [x] ἂν τύχῃ
τῆς εἰρήνης, Εὔβοιαν, Ὠρωπὸν ἀποδώσειν· εἰ ταῦτ' εἰπόν-
τες καὶ ὑποσχόμενοι πάντ' ἐξηπατήκασι καὶ πεφενακί-
κασι καὶ μόνον [y] οὐ τὴν Ἀττικὴν ὑμῶν [z] περιήρηνται, κα-
ταψηφίσασθε, καὶ μὴ πρὸς τοῖς ἄλλοις οἷς ὕβρισθε (οὐ
γὰρ ἔγωγ' [a] οἶδ' ὅ τι χρὴ λέγειν ἄλλο) καὶ ὑπὲρ ὧν οὗ-
τοι δεδωροδοκήκασιν ὑμεῖς τὴν ἀρὰν καὶ τὴν ἐπιορκίαν οἴ-
καδε [b] ἀπενέγκησθε.
243 Ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτε, ὦ ἄνδρες [c] δικασταί, τί-
νος [d] ἕνεκ' ἐγὼ μηδὲν ἠδικηκότων τούτων κατηγορεῖν ἂν
προειλόμην. οὐ γὰρ [e] εὑρήσετε. ἡδὺ πολλοὺς ἐχθροὺς ἔχειν;

[n] παρὰ] περὶ r. s.
[o] ἀπολουμένους] ἀπολογουμένους pr. O.
[p] γενησομένους] γεγενημένους k. r. s.
[q] ἐν] τὰ ἐν Q. r. et rec. k.
[r] ἐποιήσασθε] ἐποιήσατε k. r. s.
[s] καὶ τετύφωμαι in γρ. Q.
[t] δὲ πάντα S. Y. k. r. s. vulg. δ' ἅπαντα.
[u] σώσειν] σώ(ζ)σειν F. σῴζειν S. Y. O. u. v. σώ(σ)ζειν t.
[x] ἂν] ἐὰν k. r. s.
[y] οὐ] οὐχὶ k. r. s. et γρ. v.
[z] περιήρηνται] (πα)περιήιρηνται F. παρηιρηνται γρ. S.
[a] οἶδ' ὅ τι] οἶδα τί k.
[b] ἀπενέγκησθε] εἰσενέγκησθε S. k. r. s.
[c] δικασταί F. S. Y. O. t. u. v. om. k. vulg. ἀθηναῖοι.
[d] ἕνεκα] εἵνεκα k.
[e] εὑρήσετε] εὑρήσητε O.

[f] οὐδέ γε ἀσφαλές. ἀλλ' ὑπῆρχέ μοί πρὸς τοῦτον ἀπέ-
χθειά τις; οὐδεμία. τί οὖν; ἐφοβοῦ περὶ σεαυτοῦ, καὶ
διὰ δειλίαν ταύτην ἡγήσω σωτηρίαν· καὶ γὰρ ταῦτ' ἀκή-
244 κο' αὐτὸν λέγειν. [g] καίτοι μηδενός [h] γ' ὄντος, Αἰσχίνη,
δεινοῦ μηδὲ ἀδικήματος, ὡς σὺ φῄς. εἰ γὰρ [i] αὖ ταῦτ' 410
[k] ἐρεῖ, σκοπεῖτ', [l] ὦ ἄνδρες δικασταί, εἰ ἐφ' οἷς [m] ὁ μηδ'
ὁτιοῦν ἀδικῶν ἐφοβούμην ἐγὼ μὴ διὰ τούτους ἀπόλωμαι,
τί τούτους προσήκει παθεῖν τοὺς αὐτοὺς ἠδικηκότας; ἀλλ'
245 οὐ διὰ ταῦτα. ἀλλὰ διὰ τί σου κατηγορῶ; [n] συκοφαντῶ
νὴ Δί', ἵν' ἀργύριον λάβω παρὰ σοῦ. καὶ πότερον κρεῖτ-
τον ἦν μοι παρὰ Φιλίππου λαβεῖν τοῦ διδόντος πολὺ καὶ
μηδενὸς τούτων ἔλαττον, καὶ φίλον κἀκεῖνον [o] ἔχειν καὶ
τούτους (ἦσαν γὰρ [p] ἄν, ἦσάν [q] μοι φίλοι τῶν αὐτῶν κε-
κοινωνηκότι· οὐδὲ γὰρ νῦν ἔχθραν πατρικὴν ἔχουσι [r] πρός
με, ἀλλ' ὅτι τῶν πεπραγμένων οὐ μετέσχηκα), ἢ παρὰ
τούτων ἀφ' ὧν εἰλήφασι μεταιτεῖν, κἀκείνῳ τε ἐχθρὸν εἶ-
ναι καὶ τούτοις; καὶ τοὺς μὲν αἰχμαλώτους ἐκ τῶν ἰδίων
τοσούτων χρημάτων [s] λύεσθαι, μικρὰ δ' ἀξιοῦν παρὰ τού-
246 των αἰσχρῶς μετ' ἔχθρας λαμβάνειν; οὐκ ἔστι ταῦτα,
ἀλλ' ἀπήγγειλα μὲν τἀληθῆ καὶ ἀπεσχόμην τοῦ λαβεῖν
τοῦ δικαίου καὶ τῆς ἀληθείας ἕνεκα καὶ τοῦ λοιποῦ βίου,
νομίζων, ὥσπερ ἄλλοι τινές, παρ' ὑμῖν καὶ αὐτὸς ὢν
ἐπιεικὴς [t] τιμηθήσεσθαι, καὶ οὐκ ἀνταλλακτέον εἶναί μοι
247 τὴν πρὸς ὑμᾶς φιλοτιμίαν οὐδενὸς κέρδους· μισῶ δὲ τού-

[f] οὐδέ γε] οὐδ' αὖ F.Q.O.t.u.v.
[g] καίτοι] καιτι S. καί τι Q.k.
[h] γ' om. F. Q. O. t. u. v.
[i] αὖ om. r. s.
[k] ἐρεῖ] ἐρεῖς pr. r.
[l] ὦ om. S.
[m] ὁ—ἀδικῶν] ὁ—ἀδικῶ Y.
[n] συκοφαντῶ] συκοφαντῶν O.
[o] ἔχειν] σχεῖν r.
[p] ἄν om. r. s.
[q] μοι om. k. s. post φίλοι ponunt Q. O. t. u. v.
[r] πρός με S. Y. vulg. πρὸς ἐμέ.
[s] λύεσθαι S. Y. k. s. et γρ. F. vulg. λύσασθαι.
[t] τιμηθήσεσθαι] τιμηθήσεσθαι καὶ πλέον ἕξειν τῶν πολλῶν κατὰ τοῦτο k. r. s.

τους, ὅτι μοχθηροὺς καὶ θεοῖς ἐχθροὺς εἶδον ἐν τῇ πρεσβείᾳ, καὶ ἀπεστέρημαι καὶ τῶν ἰδίων φιλοτιμιῶν διὰ τὴν τούτων δωροδοκίαν πρὸς ὅλην δυσχερῶς ὑμῶν τὴν πρεσβείαν ἐσχηκότων· κατηγορῶ δὲ νυνὶ καὶ ἐπὶ τὰς εὐθύνας ἥκω τὸ μέλλον προορώμενος, καὶ βουλόμενος ἀγῶνι καὶ δικαστηρίῳ μοι διωρίσθαι παρ' ὑμῖν ὅτι τἀναντία ἐμοὶ
248 καὶ τούτοις πέπρακται. καὶ δέδοικα, δέδοικα (εἰρήσεται
γὰρ [u] πάνθ' ἃ φρονῶ πρὸς ὑμᾶς) μὴ τότε [x] μὲν [y] τούτοις 411
συνεπισπάσησθέ με τὸν μηδ' ὁτιοῦν ἀδικοῦντα, νῦν δ' ἀναπεπτωκότες ἦτε. παντάπασι γὰρ ὦ ἄνδρες Ἀθηναῖοι ἐκλελύσθαι [z] μοι δοκεῖτε καὶ παθεῖν [a] ἀναμένειν τὰ δεινά, ἑτέρους δὲ πάσχοντας ὁρῶντες οὐ [b] φυλάττεσθαι, οὐδὲ [c] φροντίζειν τῆς πόλεως πάλαι [d] κατὰ πολλοὺς καὶ
249 δεινοὺς τρόπους [e] διαφθειρομένης. οὐκ οἴεσθε δεινὸν εἶναι καὶ ὑπερφυές; (καὶ γὰρ εἴ τι σιωπᾶν ἐγνώκειν, [f] λέγειν ἐξάγομαι). ἴστε δήπου Πυθοκλέα τουτονὶ τὸν Πυθοδώρου. τούτῳ πάνυ φιλανθρώπως ἐκεχρήμην ἐγώ, καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν εἰς τὴν ἡμέραν ταύτην οὐδέν. οὗτος ἐκτρέπεταί με νῦν ἀπαντῶν, ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται, κἂν ἀναγκασθῇ που συντυχεῖν, ἀπεπήδησεν εὐθέως, μή τις αὐτὸν ἴδῃ λαλοῦντα ἐμοί. μετὰ [g] δ' Αἰσχίνου πε-
250 ριέρχεται τὴν ἀγορὰν κύκλῳ καὶ [h] βουλεύεται. οὐκοῦν δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον τοῖς μὲν τὰ Φιλίππου πράγμαθ' ᾑρημένοις θεραπεύειν οὕτως ἀκριβῆ τὴν

[u] πάνθ'] ἅπανθ' vel ἅπαντα F. k. r. s.

[x] μὲν] με γρ. S. omisso mox pronomine.

[y] τούτοις om. S. k. r. s.

[z] μοι om. r. s.

[a] ἀναμένειν] ἀναμένει r.

[b] φυλάττεσθαι] φυλάττεσθε Y. O. k. r. s. t. u. v.

[c] φροντίζειν] φροντίζετε (ειν) F. φροντίζετε Q. O. t. u. v.

[d] κατὰ] καὶ k.

[e] διαφθειρομένης S. Y. διεφθαρμένης k. r. s.

[f] λέγειν] νῦν λέγειν F. Y. Q. O. t. u. v.

[g] δ' om. k. r. s.

[h] βουλεύεται] βούλεται O. Addi solent καὶ σκοπεῖ: quae om. S.

παρ' ἐκείνου πρὸς ἑκάτερα αἴσθησιν ὑπάρχειν, ὥστε ἕκαστον, [i] ὥσπερ ἂν παρεστηκότος αὐτοῦ, μηδ' ὧν ἂν [k] ἐνθαδὶ πράξῃ μηδὲν ἡγεῖσθαι λήσειν, ἀλλὰ [l] φίλους τε νομίζειν οὓς ἂν ἐκείνῳ δοκῇ καὶ μὴ φίλους ὡσαύτως, τοῖς δὲ πρὸς ὑμᾶς ζῶσι καὶ [m] τῆς παρ' ὑμῶν τιμῆς γλιχομένοις καὶ μὴ προδεδωκόσι ταύτην τοσαύτην κωφότητα καὶ [n] τοσοῦτο σκότος παρ' ὑμῶν ἀπαντᾶν, ὥστε τοῖς [o] ἀλιτηρίοις τούτοις ἐξ ἴσου νῦν ἐμὲ ἀγωνίζεσθαι, καὶ ταῦτα
251 παρ' ὑμῖν τοῖς ἅπαντ' εἰδόσιν. βούλεσθ' οὖν εἰδέναι καὶ ἀκοῦσαι τὸ τούτων αἴτιον; ἐγὼ δὴ φράσω, ἀξιῶ [p] δὲ 412
[q] μηδέν' [r] ἄχθεσθαί μοι λέγοντι τἀληθῆ. ὅτι ἐκεῖνος μὲν [s] ἓν οἶμαι σῶμα ἔχων καὶ ψυχὴν μίαν παντὶ θυμῷ καὶ φιλεῖ τοὺς [t] ἑαυτὸν εὖ ποιοῦντας καὶ μισεῖ τοὺς τἀναντία, ὑμῶν δ' ἕκαστος [[u] πρῶτον μὲν] οὔτε τὸν εὖ ποιοῦντα τὴν πόλιν αὐτὸν εὖ ποιεῖν ἡγεῖται οὔτε τὸν κακῶς [x] κα-
252 κῶς, ἀλλ' ἕτερά ἐστιν ἑκάστῳ προυργιαίτερα, ὑφ' ὧν [y] παράγεσθε πολλάκις, ἔλεος, φθόνος, ὀργή, [z] χαρίσασθαι τῷ δεηθέντι, ἄλλα μυρία· ἂν γὰρ ἅπαντά τις ἐκφύγῃ τἆλλα, τούς γε οὐδένα βουλομένους εἶναι τοιοῦτον οὐ διαφεύξεται. ἡ δ' ἐφ' ἑκάστου τούτων ἁμαρτία κατὰ μικρὸν ὑποῤῥέουσα [a] ἀθρόος τῇ πόλει [b] βλάβη γίγνεται.

253 Ὧν μηδὲν ὦ ἄνδρες Ἀθηναῖοι πάθητε τήμερον, μηδ'

[i] ὥσπερ ἂν] ὥσπερ ἂν εἰ F. Q. O. k. r. s. t. v.
[k] ἐνθαδὶ S. vulg. ἐνθάδε.
[l] φίλους τε S. Y. O. t. u. v. φίλους γε F. Q. καὶ φίλους k. r. s.
[m] τῆς] τοῖς (superscr. ῆς) F.
[n] τοσοῦτο] τοσοῦτον k. r. s.
[o] ἀλιτηρίοις] ἀλητηρίοις S. O.
[p] δὲ om. Y.
[q] μηδέν'] μηδὲν F. Y. Q. O. r. t. u. v. S. accentu caret.
[r] ἄχθεσθαί] ἀχθεσθῆναί r.
[s] ἓν οἶμαι] οἶμαι ἓν k. r. s.
[t] ἑαυτὸν om. k. r. s.
[u] [πρῶτον μὲν] om. F. Q.
[x] Alterum κακῶς om. omnes.
[y] παράγεσθε] παράγεσθαι Y. r.
[z] χαρίσασθαι τῷ S. Y. Q. O. r. s. u. vulg. χαρίσασθαί τῳ.
[a] ἀθρόος Y. ἀθρόος S. Q. ἀθρόως s. vulg. ἀθρόως.
[b] βλάβη γίγνεται] γίγνεται βλάβη k. r. s.

[c] ἀφῆτε τοῦτον ὃς ὑμᾶς τηλικαῦτα ἠδίκηκεν. καὶ γὰρ
ὡς ἀληθῶς τίς ἔσται λόγος περὶ ὑμῶν, εἰ τοῦτον [d] ἀφή-
σετε; Ἀθήνηθεν ἐπρέσβευσάν τινες ὡς Φίλιππον τουτονί,
254 Φιλοκράτης, Αἰσχίνης, Φρύνων, Δημοσθένης. τί οὖν; ὁ
μὲν πρὸς τῷ μηδὲν ἐκ τῆς πρεσβείας λαβεῖν τοὺς αἰχ-
μαλώτους ἐκ τῶν ἰδίων ἐλύσατο· ὁ δέ, ὧν τὰ τῆς πόλεως
πράγματα χρημάτων ἀπέδοτο, τούτων πόρνας ἠγόραζε
καὶ ἰχθῦς περιιών. καὶ ὁ μὲν τὸν υἱὸν ἔπεμψε Φιλίππῳ,
πρὶν εἰς ἄνδρας ἐγγράψαι, ὁ μιαρὸς Φρύνων· ὁ δ' οὐδὲν
255 ἀνάξιον οὔτε τῆς πόλεως οὔθ' αὑτοῦ διεπράξατο. καὶ ὁ
μὲν χορηγῶν καὶ τριηραρχῶν ἔτι καὶ ταῦτ' ᾤετο δεῖν ἐθε-
λοντὴς ἀναλίσκειν, λύεσθαι [e] τοὺς αἰχμαλώτους, μηδένα
ἐν συμφορᾷ τῶν πολιτῶν [f] δι' ἔνδειαν περιορᾶν· ὁ δὲ το- 413
σούτου δεῖ τῶν ὑπαρχόντων τινὰ [g] αἰχμάλωτον σῶσαι,
ὥσθ' ὅλον τόπον καὶ [h] πλεῖν ἢ μυρίους μὲν ὁπλίτας, ὁμοῦ
δὲ χιλίους ἱππέας τῶν ὑπαρχόντων συμμάχων [i] ὅπως
256 αἰχμάλωτοι γένωνται Φιλίππῳ, συμπαρεσκεύασεν. τί
οὖν μετὰ ταῦτα; Ἀθηναῖοι λαβόντες· ᾔδεσαν μὲν γὰρ
πάλαι· τί [j] δαί; τοὺς μὲν χρήματ' εἰληφότας καὶ
δῶρα, καὶ καταισχύναντας ἑαυτούς, τὴν πόλιν, τοὺς
ἑαυτῶν παῖδας, [k] ἀφεῖσαν καὶ νοῦν ἔχειν ἡγοῦντο καὶ τὴν
πόλιν [l] εὐθηνεῖσθαι. τὸν δὲ κατηγοροῦντα τί; ἐμβεβρον-
τῆσθαι, τὴν πόλιν ἀγνοεῖν, οὐκ ἔχειν [m] ὅποι τὰ ἑαυτοῦ

[c] ἀφῆτε] ἀνῆτε F. ἀνῆτε S. Y. O. t. u. v. et γρ. k.
[d] ἀφήσετε] ἀφῆτε k. r. s.
[e] τοὺς αἰχμαλώτους om. S. in γρ. habent F. Q.
[f] δι' ἔνδειαν om. Q.
[g] αἰχμάλωτον S. Y. Q. O. t. u. v. vulg. αἰχμαλώτων.
[h] πλεῖν S. πλέον k. r. s. vulg. πλείους.
[i] ὅπως] ὥσπερ s.
[j] δαί] δὲ F. S. Y. O. t. u. v. δὴ Q.
[k] ἀφεῖσαν S. Q. k. r. s. ceteri ἀφίεσαν.
[l] εὐθηνεῖσθαι] εὐθενεῖσθαι F. S. Y. Q. k. εὐθενεῖσθαι v. εὐθυνεῖσθαι O. u. εὐσθενεῖσθαι r.
[m] ὅποι] ὅπου s.

257 [n] ῥίπτῃ. καὶ τίς, [o] ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ' ἰδὼν τὸ παράδειγμα δίκαιον [p] αὐτὸν [q] παρασχεῖν ἐθελήσει; τίς προῖκα πρεσβεύειν, εἰ μήτε λαβεῖν μήτε τῶν εἰληφότων ἀξιοπιστότερον παρ' ὑμῖν εἶναι δοκεῖν [r] ὑπάρξει; [s] ὥστε οὐ μόνον [t] κρίνετε τούτους τήμερον, [u] οὔ, ἀλλὰ καὶ νόμον [x] τίθεσθε [y] εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον, πότερον χρημάτων αἰσχρῶς ὑπὲρ τῶν ἐχθρῶν πρεσβεύειν ἅπαντας προσήκει ἢ [z] προῖκα ὑπὲρ ὑμῶν τὰ βέλτιστα ἀδωροδοκή-
258 τως. ἀλλὰ μὴν περὶ [a] μὲν τῶν ἄλλων οὐδενὸς προσδεῖσθε μάρτυρος· [b] ὡς δὲ τὸν υἱὸν ἔπεμψεν ὁ Φρύνων, κάλει [c] μοι [d] τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Τοῦτον μὲν τοίνυν οὐκ ἔκρινεν Αἰσχίνης, ὅτι τὸν αὑτοῦ παῖδα ἐπ' [e] αἰσχύνῃ πρὸς Φίλιππον ἔπεμψεν. εἰ δέ τις ὢν ἐφ' ἡλικίας [f] ἑτέρου βελτίων τὴν ἰδέαν, μὴ [g] προϊδόμενος τὴν ἐξ ἐκείνης τῆς ὄψεως ὑποψίαν, ἰταμώτερον [h] τῷ μετὰ ταῦτα ἐχρήσατο βίῳ, τοῦτον ὡς πεπορνευμένον 414 κέκρικεν.

259 Φέρε δὴ περὶ τῆς ἑστιάσεως καὶ τοῦ ψηφίσματος εἴπω· μικροῦ γε, ἃ μάλιστά [i] μ' ἔδει πρὸς ὑμᾶς εἰπεῖν, [k] παρῆλθον. τῆς πρώτης ἐκείνης πρεσβείας γράφων τὸ

[n] ῥίπτῃ] ῥιπτῇ Q. ῥίπτει v. ῥίπτειν O. t. u. ῥιπτεῖ k.
[o] ὦ ἄνδρες Ἀθηναῖοι τοῦτ' ἰδὼν] ἰδὼν ὦ ἀθηναῖοι τουτὶ r.
[p] αὐτὸν om. Q.
[q] παρασχεῖν] παρέχειν k. r. s.
[r] ὑπάρξει] ὑπάρξειν r.
[s] ὥστε om. S. s. et pr. Y. k.
[t] κρίνετε] οὐ κρίνετε k.
[u] οὔ om. Y.
[x] τίθεσθε] τούτοις τίθεσθε O. r. t. u. v. et correctus Y.
[y] εἰς] καὶ εἰς r.
[z] προῖκα post ὑμῶν ponit r.
[a] μὲν om. S.
[b] ὡς δὲ] ὥστε k. s.
[c] μοι om. k. r. s.
[d] τούτων om. O.
[e] αἰσχύνῃ] αἰσχύνην correctus F.
[f] ἑτέρου βελτίων τὴν ἰδέαν] τὴν ἰδέαν ἑτέρου βελτίων Q. O. r. t. u. v. τὴν εἰδέαν ἑτέρου βελτίων F.
[g] προϊδόμενος S. Q. r. προειδομένους O. vulg. προειδόμενος.
[h] τῷ] τῶν u.
[i] μ' ἔδει] μεδει S. με δεῖ Y. O. r. v. με δεῖν t. u. ἔδει k. s.
[k] παρῆλθον] παρῆλθεν Y. r.

προβούλευμα ἐγὼ καὶ πάλιν ἐν τῷ δήμῳ [l] ταῖς ἐκκλη-
σίαις, ἐν αἷς [m] ἠμέλλετε βουλεύεσθαι περὶ τῆς εἰρήνης,
οὐδενὸς οὔτε λόγου πω παρὰ τούτων οὔτ᾽ ἀδικήματος ὄν-
τος φανεροῦ, [n] τὸ νόμιμον ἔθος ποιῶν, καὶ ἐπῄνεσα τού-
260 τους καὶ εἰς [o] πρυτανεῖον ἐκάλεσα. καὶ νὴ Δί᾽ ἔγωγε
[p] καὶ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ἐξένισα, καὶ
πάνυ γε ὦ ἄνδρες Ἀθηναῖοι λαμπρῶς· ἐπειδὴ γὰρ ἑώρων
αὐτοὺς [q] καὶ ἐπὶ τοῖς τοιούτοις ἐκεῖ σεμνυνομένους ὡς εὐ-
δαίμονας καὶ λαμπρούς, εὐθὺς ἡγούμην ἐν τούτοις [r] πρῶ-
τον [s] αὐτὸς περιεῖναι δεῖν αὐτῶν καὶ μεγαλοψυχότερος
φαίνεσθαι. ταῦτα δὴ [t] παρέξεται νῦν οὗτος λέγων ὡς
αὐτὸς ἐπῄνεσεν ἡμᾶς καὶ [u] αὐτὸς [x] εἱστία τοὺς πρέσβεις,
261 τὸ πότε οὐ [y] διορίζων. ἔστι δὲ ταῦτα πρὸ τοῦ τὴν πόλιν
ἠδικῆσθαί τι καὶ φανεροὺς τούτους πεπρακότας αὑτοὺς
γενέσθαι, ὅτ᾽ ἄρτι μὲν ἧκον οἱ πρέσβεις τὸ πρῶτον, [z] ἔδει
δὲ ἀκοῦσαι τὸν δῆμον τί λέγουσιν, οὐδέπω δὲ οὔθ᾽ οὗτος
[a] συνερῶν δῆλος ἦν τῷ Φιλοκράτει οὔτ᾽ [b] ἐκεῖνος τοιαῦτα
[c] γράψων. ἂν δὴ ταῦτα λέγῃ, [d] μέμνησθε τοὺς χρόνους
ὅτι τῶν ἀδικημάτων εἰσὶ πρότεροι. μετὰ ταῦτα δὲ οὐδὲν
ἐμοὶ πρὸς τούτους οἰκεῖον οὐδὲ κοινὸν γέγονεν. Λέγε τὴν
μαρτυρίαν.

## ΜΑΡΤΥΡΙΑ.

262 Ἴσως τοίνυν ἀδελφὸς αὐτῷ συνερεῖ Φιλοχάρης καὶ

[l] ταῖς] ἐν ταῖς k. r. s.

[m] ἠμέλλετε] ἐμέλλετε S.

[n] τὸ νόμιμον F. S. Q. et correctus O. τὸ κοινὸν k. s. et γρ. F. S. Q. τὸ κοινὸν νόμιμον Y. r. et correctus v. vulg. τὸν νόμον.

[o] πρυτανεῖον] τὸ πρυτανεῖον F. Y. Q. O. k. r. s. t. u. v.

[p] καὶ post ἔγωγε om. k. s.

[q] καὶ ante ἐπὶ om. k. s.

[r] πρῶτον S. k. r. vulg. πρῶτος.

[s] αὐτὸς] αὐτὸν Y. om. k. r.

[t] παρέξεται] παράξει Y. k. πράξει s. πράξειν r.

[u] αὐτὸς] αὐτοὺς O. t. u. v.

[x] εἱστία] ἵστια S.

[y] διορίζων S. ceteri προσδιορίζων.

[z] ἔδει δὲ ἀκοῦσαι S. Y. k. s. ceteri ἀκοῦσαι δὲ ἔδει.

[a] συνερῶν] συναίρων r. s.

[b] ἐκεῖνος τοιαῦτα] τοιαῦτα ἐκεῖνος k. r. s.

[c] γράψων] γράφων O. k. r. s.

[d] μέμνησθε] μεμνῆσθαι r. s.

Ἀφόβητος· πρὸς οὓς ἀμφοτέρους ὑμῖν πολλὰ καὶ δί- 415
καια ἔστιν εἰπεῖν. ἀνάγκη δέ, ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ
παῤῥησίας διαλεχθῆναι, μηδὲν [e] ὑποστελλόμενον. ἡμεῖς,
Ἀφόβητε καὶ [f] σὺ Φιλόχαρες, [g] σὲ μὲν τὰς [h] ἀλαβαστο-
θήκας γράφοντα καὶ τὰ τύμπανα, τούτους δ' ὑπογραμ-
ματέας καὶ τοὺς τυχόντας ἀνθρώπους (καὶ οὐδεμιᾶς
κακίας ταῦτα, ἀλλ' [i] οὐδὲ [k] στρατηγίας γ' ἄξια) πρεσ-
263 βειῶν, στρατηγιῶν, τῶν μεγίστων τιμῶν ἠξιώσαμεν. εἰ
τοίνυν [l] μηδὲν ὑμῶν ἠδίκει μηδείς, οὐχ ἡμεῖς χάριν ὑμῖν
οὐδενός, ἀλλ' ὑμεῖς ἡμῖν δικαίως ἂν [m] ἔχοιτε τούτων· πολ-
λοὺς γὰρ ὑμῶν μᾶλλον ἀξίους τιμᾶσθαι παρέντες ἡμεῖς
ὑμᾶς ἐσεμνύνομεν. εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς οἷς ἐτιμᾶσθε
ἠδίκηκέ τις ὑμῶν, καὶ ταῦτα τοιαῦτα, [n] πόσῳ μᾶλλον
ἂν μισοῖσθε δικαίως ἢ [o] σῴζοισθε; ἐγὼ μὲν οἶμαι πολλῷ.
264 βιάσονται τοίνυν ἴσως, μεγαλόφωνοι καὶ ἀναιδεῖς ὄντες,
καὶ τὸ [p] συγγνώμη ἀδελφῷ βοηθεῖν προσειληφότες. ὑμεῖς
δὲ μὴ ἡττᾶσθε, ἐκεῖνο [q] ἐνθυμούμενοι, ὅτι [r] τούτοις μὲν
τούτου προσήκει φροντίζειν, ὑμῖν δὲ τῶν νόμων καὶ ὅλης
τῆς πόλεως καὶ παρὰ πάντα τῶν ὅρκων, οὓς αὐτοὶ κά-
265 θησθε ὀμωμοκότες. καὶ γὰρ εἰ [s] τινῶν δεδέηνται [t] τουτονὶ
σῴζειν, πότερ' ἂν μηδὲν ἀδικῶν φαίνηται τὴν πόλιν ἢ κἂν
ἀδικῶν, σκοπεῖτε. εἰ μὲν γὰρ [u] ἂν μή, κἀγώ φημι δεῖν,

[e] ὑποστελλόμενον S. Y. Q. et γρ. στιλλ F. ὑποστειλάμενον k. r. s. ὑποκρινόμενον v. vulg. ὑποκρινόμενον.

[f] σὺ om. O.

[g] σὲ μὲν] ἴσμεν σὲ μὲν F. Y. Q. O. r. t. u. v.

[h] ἀλαβαστοθήκας Anecd. p. 375, 12. vulg. ἀλαβαστροθήκας.

[i] οὐδὲ] οὐ S.

[k] στρατηγίας γ'] γε στρατηγίας k. s.

[l] μηδὲν ὑμῶν] ὑμῶν μηδὲν v.

[m] ἔχοιτε] εἴχετε k. r. s.

[n] πόσῳ] πῶς οὐ k. s.

[o] σῴζοισθε] σῴζεσθε k. s.

[p] συγγνώμη F. ceteri συγγνώμην.

[q] ἐνθυμούμενοι] ἐνθυμηθέντες k. s.

[r] τούτοις] τούτους Y.

[s] τινῶν] τινων (ες) v.

[t] τουτονὶ] τουτωνὶ r.

[u] ἂν μὴ S. k. r. s. ceteri μὴ ἀδικῶν.

εἰ δ' ὅλως κἂν ὁτιοῦν, ἐπιορκεῖν δεδέηνται. [x] οὐ γὰρ εἰ
κρύβδην ἐστὶν ἡ ψῆφος, λήσει τοὺς θεούς, [y] ἀλλὰ τοῦτο
καὶ πάντων ἄριστα ὁ τιθεὶς τὸν νόμον εἶδε [z] τὸ κρύβδην
266 ψηφίζεσθαι, [a] ὅτι [b] τούτων μὲν οὐδεὶς εἴσεται τὸν [c] ἑαυτῷ
κεχαρισμένον ὑμῶν, οἱ θεοὶ δὲ εἴσονται καὶ τὸ δαιμόνιον 416
τὸν μὴ τὰ δίκαια ψηφισάμενον. παρ' ὧν κρεῖττόν ἐστιν
ἑκάστῳ τὰς ἀγαθὰς ἐλπίδας τοῖς παισὶ καὶ ἑαυτῷ, τὰ
δίκαια γνόντα καὶ τὰ προσήκοντα, [d] περιποιήσασθαι, ἢ
τὴν ἀφανῆ καὶ ἄδηλον [e] χάριν τούτοις καταθέσθαι, καὶ
267 ἀφεῖναι τοῦτον ὃς αὐτὸς ἑαυτοῦ καταμεμαρτύρηκεν. τίνα
γάρ, [f] Αἰσχίνη, μάρτυρα μείζω παράσχωμαι τοῦ πολλὰ
καὶ δεινὰ [g] πεπρεσβεῦσθαί σοι ἢ σὲ κατὰ σαυτοῦ; ὃς
γὰρ ᾠήθης χρῆναι τὸν φανερόν τι [h] ποιῆσαι βουληθέντα
τῶν σοὶ πεπρεσβευμένων τηλικαύτῃ καὶ τοιαύτῃ συμφορᾷ
[i] περιβαλεῖν, δῆλον ὅτι δεινὸν ἄν τι παθεῖν σαυτὸν ἤλπι-
ζες, εἰ πύθοινθ' οὗτοι τὰ πεπραγμένα σοι.

268 Τοῦτο τοίνυν, [k] ἄνπερ ὑμεῖς εὖ φρονῆτε, [l] καθ' αὑτοῦ
συμβήσεται [m] τούτῳ πεπρᾶχθαι, οὐ μόνον κατὰ τοῦθ',
ὅτι παμμέγεθες [n] σημεῖόν ἐστι τῶν πεπρεσβευμένων,
ἀλλ' ὅτι καὶ κατηγορῶν ἐκείνους τοὺς λόγους εἶπεν οἳ
κατ' αὐτοῦ νῦν [o] ὑπάρχουσιν· ἃ γὰρ ὥρισω σὺ δίκαια,
ὅτε Τίμαρχον ἔκρινες, ταὐτὰ δήπου ταῦτα [p] καὶ κατὰ

[x] οὐ S. Y. Q. O. t. u. v. εἰ οὐδὲ r. vulg. οὐδέ.

[y] ἀλλὰ] ἀλλὰ καὶ O. t.

[z] τὸ κρύβδην] τοῦ κρύβδην F. s.

[a] ὅτι] διὰ τί ὅτι F. Y. Q. k. r. s. t. u. v.

[b] τούτων] τοῦτον O.

[c] ἑαυτῷ] ἐν ἑαυτῷ F.

[d] περιποιήσασθαι] ποιήσασθαι t.

[e] χάριν τούτοις] τούτοις χάριν r.

[f] Αἰσχίνη μάρτυρα] μάρτυρα αἰσχίνη r.

[g] πεπρεσβεῦσθαί σοι] πρεσβεύσασθαί σε t.

[h] ποιῆσαι om. r.

[i] περιβαλεῖν] περιβάλλειν k. r. s.

[k] ἄνπερ] ἐάνπερ k. s.

[l] καθ' αὑτοῦ] κατ' αὐτοῦ s.

[m] τούτῳ] τοῦτο Y.

[n] σημεῖον om. pr. S. post ἐστὶ ponit Y.

[o] ὑπάρχουσιν S. Y. vulg. ὑπάρξουσιν.

[p] καὶ ante κατὰ om. O. r.

269 σοῦ προσήκει τοῖς ἄλλοις ἰσχύειν. [q] ἔλεγες τοίνυν [r] τότε πρὸς τοὺς δικαστὰς ὅτι "ἀπολογήσεται [s] δὲ Δημοσθένης "ὑπὲρ αὐτοῦ, καὶ κατηγορήσει τῶν ἐμοὶ πεπρεσβευμένων· "εἶτ', [t] ἂν ὑμᾶς ἀπαγάγῃ τῷ λόγῳ, νεανιεύσεται καὶ "[u] περιιὼν ἐρεῖ· πῶς; [x] τί; τοὺς δικαστὰς ἀπαγαγὼν "ἀπὸ τῆς ὑποθέσεως ᾠχόμην τὸ πρᾶγμ' αὐτῶν ὑφελό-"μενος." μὴ σύ γε, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζῃ, [y] περὶ τούτων ἀπολογοῦ· τότε δ', ἡνίκα ἐκεῖνον ἔκρινες, ἐξῆν σοι κατηγορεῖν καὶ λέγειν ὅ τι ἐβούλου.

270 Ἀλλὰ μὴν καὶ ἐπὶ τοῖς δικασταῖς ἔλεγες, οὐδένα μάρτυρα ἔχων ἐφ' οἷς ἔκρινες τὸν ἄνθρωπον παρασχέσθαι, 417

φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα [z] λαοὶ
πολλοὶ [a] φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

οὐκοῦν, Αἰσχίνη, καὶ σὲ πάντες οὗτοι χρήματα ἐκ τῆς πρεσβείας φασὶν εἰληφέναι, ὥστε [b] καὶ κατὰ σοῦ δήπουθεν φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ
271 πολλοὶ [c] φημίξωσιν. ὅσῳ γὰρ αὖ σε πλείους ἢ ἐκεῖνον αἰτιῶνται, θεώρησον, ὡς [d] ἔχει. τὸν μὲν Τίμαρχον οὐδ' οἱ πρόσχωροι πάντες ἐγίγνωσκον, ὑμᾶς δὲ τοὺς πρέσβεις οὐδεὶς Ἑλλήνων οὐδὲ βαρβάρων ἔσθ' ὅστις οὔ φησι χρήματ' ἐκ τῆς πρεσβείας εἰληφέναι. ὥστ', εἴπερ [e] ἐστ' ἀληθὴς ἡ φήμη, [f] καθ' ὑμῶν ἐστὶν ἡ παρὰ τῶν [g] πολλῶν, ἣν ὅτι πιστὴν εἶναι δεῖ καὶ θεός νύ τίς ἐστι καὶ αὐτή, καὶ

[q] ἔλεγες Reiskius: libri ἔλεγεν.
[r] τότε om. k. s.
[s] δὲ] δὴ O.
[t] ἂν] ἐὰν S. k. s.
[u] περιιὼν] περὶ ὧν Y. O. t.
[x] τί] ὅτι correctus O.
[y] περὶ S. Y. Q. r. s. ceteri ὑπέρ.
[z] λαοὶ πολλοὶ] πολλοὶ λαοὶ r.
[a] φημίξωσι] φημίζωσι F. φημίξουσι k. s. v.
[b] καὶ ante κατὰ om. r.
[c] φημίξωσι] φημίζωσι F. φημίξουσι r. Addunt k. r. s. θεός νύ τις ἐστι καὶ αὐτή.
[d] ἔχει] εἴσῃ S.
[e] ἐστ' om. F. Q. O. t. u. v.
[f] καθ'] καὶ καθ' F. Q. O. k. r. s. t. u. v.
[g] πολλῶν] πολιτῶν s.

ὅτι σοφὸς ἦν ὁ ποιητὴς ὁ ταῦτα ποιήσας, σὺ διώρισας αὐτός.

272 Ἔτι τοίνυν [h] ἰαμβεῖα [i] δήπου συλλέξας ἐπέραινεν, οἷον

ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,
οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι
τοιοῦτός ἐστιν [k] οἷσπερ ἥδεται ξυνών.

εἶτα τὸν εἰς [l] τοὺς [m] ὄρνεις εἰσιόντα καὶ μετὰ [n] Πιτταλάκου περιιόντα, καὶ [o] τοιαῦτ' εἰπών, ἀγνοεῖτ', ἔφη, ποῖόν
273 τινα ἡγεῖσθαι δεῖ; οὐκοῦν, Αἰσχίνη, καὶ κατὰ [p] σοῦ τὰ ἰαμβεῖα ταῦθ' ἁρμόσει νῦν ἐμοί, κἂν ἐγὼ λέγω πρὸς τούτους, ὀρθῶς [q] καὶ προσηκόντως ἐρῶ, ὅστις δ' ὁμιλῶν ἥδεται, καὶ [r] ταῦτα πρεσβεύων, Φιλοκράτει, οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι ἀργύριον [s] εἴληφ' οὗτος, ὥσπερ Φιλοκράτης [t] ὁ ὁμολογῶν.

274 Λογογράφους [u] τοίνυν καὶ σοφιστὰς [x] ἀποκαλῶν τοὺς ἄλλους καὶ ὑβρίζειν πειρώμενος, αὐτὸς ἐξελεγχθήσεται 418
τούτοις ὧν ἔνοχος. ταῦτα μὲν [y] γὰρ τὰ ἰαμβεῖα ἐκ Φοίνικός ἐστιν Εὐριπίδου· τοῦτο δὲ τὸ δρᾶμα οὐδὲ πώποτε [z] οὔτε Θεόδωρος οὔτε Ἀριστόδημος [a] ὑπεκρίναντο, οἷς οὗτος τὰ [b] τρίτα λέγων διετέλεσεν, ἀλλὰ Μόλων ἠγωνίζετο, καὶ εἰ δή τις ἄλλος τῶν παλαιῶν ὑποκριτῶν. Ἀντιγόνην δὲ Σοφοκλέους πολλάκις μὲν Θεόδωρος πολλάκις δὲ Ἀριστόδημος [c] ὑποκέκριται, ἐν ᾗ πεποιημένα ἰαμβεῖα

[h] ἰαμβεῖα] ἰάμβια Q.
[i] δήπου om. k. s.
[k] οἷσπερ] ἕκαστος οἷσπερ r. s.
[l] τοὺς] τὰς Y. Q. k. r. s.
[m] ὄρνεις] ὄρνις O. r. t. u. v.
[n] Πιτταλάκου] πιτταλακοῦ F. O. t. u. πιτταλάκοῦ Q. v.
[o] τοιαῦτ'] ταῦτ' r.
[p] σοῦ] σαυτοῦ s.
[q] καὶ προσηκόντως om. k. s.
[r] ταῦτα] ταυτὰ F. Q. O. r. t. u. v.
[s] εἴληφ' S. Y. vulg. εἴληφεν.
[t] ὁ om. F. Q. k. r. s.
[u] τοίνυν] γὰρ r.
[x] ἀποκαλῶν] καλῶν S.
[y] γὰρ] γὰρ δὴ v.
[z] οὔτε Θ.] οὐδὲ θ. s.
[a] ὑπεκρίναντο F. S. Y. Q. vulg. ὑπεκρίνατο.
[b] τρίτα] τρία O. u.
[c] ὑποκέκριται] ὑποκέκρινται Y. t. ὑπεκρίνατο k. r. s. et γρ. F. S.

καλῶς καὶ συμφερόντως ὑμῖν πολλάκις [d] αὐτὸς εἰρηκὼς
275 καὶ ἀκριβῶς ἐξεπιστάμενος [e] παρέλιπεν. ἴστε γὰρ δή-
που τοῦθ', ὅτι ἐν [f] ἅπασι τοῖς δράμασι τοῖς τραγικοῖς ἐξαίρετόν ἐστιν ὥσπερ [g] γέρας τοῖς τριταγωνισταῖς [h] τὸ τοὺς τυράννους καὶ τοὺς τὰ σκῆπτρα ἔχοντας εἰσιέναι. [i] ταῦτα τοίνυν ἐν τῷ δράματι τούτῳ σκέψασθε ὁ Κρέων Αἰσχίνης οἷα λέγων πεποίηται τῷ ποιητῇ, ἃ οὔτε πρὸς αὐτὸν [k] οὗτος [l] ὑπὲρ τῆς πρεσβείας διελέχθη οὔτε πρὸς τοὺς δικαστὰς εἶπεν. Λέγε.

[m] ΙΑΜΒΕΙΑ ΣΟΦΟΚΛΕΟΥΣ

ΕΞ [n] ΑΝΤΙΓΟΝΗΣ.

276 ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ [o] φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ [p] μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
277 φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω. 419
ἐγὼ γάρ, [q] ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
[r] στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα [s] δυσμενῆ χθονός

[d] αὐτὸς S. Y. οὕτως O. vulg. οὗτος.
[e] παρέλιπεν] παρέλειπεν (idque rec. supra versum) S. ὑπερέβη k. s.
[f] ἅπασι] πᾶσι Q. O. r. v.
[g] γέρας] γέρας τι F. Q. O. r. t. u. v.
[h] τὸ τοὺς] τὸ τούτους omisso altero τοὺς Valckenar. Diatrib. Euripid. p. 180. frustra.
[i] ταῦτα τοίνυν ἐν] τοίνυν ἐν r. ἐν τοίνυν k. s. et γρ. F. S. Q.
[k] οὗτος post πρεσβείας ponit r.
[l] ὑπὲρ] περὶ Q.
[m] Titulum om. r. Σοφοκλέους ἐξ Ἀντιγόνης—ποιούμεθα om. k. s. s. quidem versibus inter scholia positis.
[n] Ἀντιγόνης] ἀντιγόνου u.
[o] φόβου του] φόβου τοι S. φόβου τὴν r.
[p] μείζον'] μειζων S.
[q] ἴστω] ἴσθ' ὁ S. ἴσθ' ὦ Y.
[r] στείχουσαν] στιχουσαν S. Q.
[s] δυσμενῆ] συμμάχου s.

θείμην [t] ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
ἥδ' ἐστὶν [u] ἡ σώζουσα, καὶ ταύτης ἔπι
πλέοντες [x] ὀρθῆς τοὺς [y] φίλους ποιούμεθα.

278 Τούτων [z] οὐδὲν Αἰσχίνης εἶπε πρὸς αὐτὸν ἐν τῇ πρεσ-
βείᾳ, ἀλλ' ἀντὶ μὲν τῆς πόλεως τὴν Φιλίππου ξενίαν
καὶ φιλίαν πολλῷ [a] μείζονα ἡγήσατο αὐτῷ καὶ λυσιτε-
λεστέραν, ἐρρῶσθαι πολλὰ φράσας τῷ [b] σοφῷ Σοφοκλεῖ,
τὴν δὲ ἄτην ὁρῶν [c] στείχουσαν ὁμοῦ, τὴν ἐπὶ Φωκέας
[d] στρατείαν, [e] οὐ προεῖπεν οὐδὲ [f] προεξήγγειλεν, ἀλλὰ
τοὐναντίον συνέκρυψε καὶ συνέπραξε καὶ [g] τοὺς βουλο-
279 μένους εἰπεῖν διεκώλυσεν, οὐκ ἀναμνησθεὶς ὅτι ἥδ' ἐστὶν ἡ
σώζουσα καὶ ταύτης ἔπι τελοῦσα μὲν ἡ μήτηρ αὐτοῦ καὶ
καθαίρουσα καὶ καρπουμένη τὰς τῶν χρωμένων οἰκίας
ἐξέθρεψε τοσούτους τουτουσί, διδάσκων δ' ὁ πατὴρ γράμ-
ματα, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, [h] πρὸς τῷ τοῦ
[i] Ἥρω τοῦ ἰατροῦ, ὅπως ἠδύνατο, ἀλλ' οὖν ἐν ταύτῃ γε
ἔζη, ὑπογραμματεύοντες δ' [k] αὐτοὶ καὶ ὑπηρετοῦντες ἁπά-
σαις ταῖς ἀρχαῖς ἀργύριον εἰλήφεσαν, καὶ τὸ τελευταῖον
[l] ὑφ' ὑμῶν γραμματεῖς χειροτονηθέντες δύ' ἔτη διετράφη-
σαν ἐν τῇ θόλῳ, πρεσβεύων [m] δ' ἀπέσταλτο νῦν [n] οὗτος
280 ἐκ [o] ταύτης. τούτων οὐδὲν ἐσκέψατο, οὐδ' ὅπως [p] ὀρθὴ
[q] πλεύσεται [r] προείδετο, ἀλλ' ἀνέτρεψε καὶ [s] κατέδυσε

[t] ἐμαυτῷ] ἐμαυτοῦ O.
[u] ἡ om. S.
[x] ὀρθῆς] ὀρθῶς v.
[y] φίλους] αὐτοὺς r.
[z] οὐδὲν Αἰσχίνης] αἰσχίνης οὐδὲν k. s.
[a] μείζονα] καὶ μείζονα F. Q.
[b] σοφῷ om. O.
[c] στείχουσαν ὁμοῦ] στίχουσαν ὁμοῦ S. Q. ὁμοῦ στείχουσαν r.
[d] στρατείαν F.Q.O.t.u.v. vulg. στρατιάν.
[e] οὐ] οὐδὲ O. t.
[f] προεξήγγειλεν] ἐξήγγειλεν k.
[g] τοὺς βουλομένους] τὰς βουλὰς O.t.
[h] πρὸς τῷ] πρὸς τὸ F. Q.
[i] ἥρω S. s. ἥρω k. vulg. Ἥρωος.
[k] αὐτοὶ S. ceteri οὗτοι.
[l] ὑφ' ὑμῶν om. k. s. post γραμματεῖς ponit r.
[m] δ' om. O.
[n] οὗτος] αὐτὸς S. Y. k. s.
[o] ταύτης] ταύτης αὐτῆς F. k. r. s.
[p] ὀρθὴ] ὀρθῆι F.Y.Q.O.k.r.s.t.u.
[q] πλεύσεται omnes: vulg. πλευσεῖται.
[r] προείδετο] προείλετο S.
[s] κατέδυσε] κατέδυσε (λ supra δ) F. κατέλυσε r.

[t] καὶ τὸ καθ' αὑτὸν ὅπως ἐπὶ τοῖς ἐχθροῖς ἔσται παρε- 420 σκεύασεν. εἶτ' οὐ σὺ σοφιστής, [u] καὶ πονηρός γε; οὐ σὺ [x] λογογράφος καὶ θεοῖς ἐχθρός [y] γε; [z] ὃς ἃ μὲν πολλάκις ἠγωνίσω καὶ ἀκριβῶς ἐξηπίστασο, ὑπερέβης, ἃ δ' οὐδεπώποτ' ἐν τῷ βίῳ ὑπεκρίνω, ταῦτα ζητήσας ἐπὶ τῷ τῶν πολιτῶν βλάψαι τινὰ εἰς μέσον ἤνεγκας;

281 Φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος ὃν εἶπε λόγον σκέψασθε. ἔφη [a] γὰρ τὸν Σόλωνα ἀνακεῖσθαι τῆς τῶν τότε δημηγορούντων σωφροσύνης παράδειγμα, εἴσω τὴν χεῖρα ἔχοντα ἀναβεβλημένον, ἐπιπλήττων [b] τι καὶ λοιδορούμενος τῇ τοῦ Τιμάρχου προπετείᾳ. καίτοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντα ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι, ἀπὸ Σόλωνος δὲ ὁμοῦ διακόσιά ἐστιν ἔτη καὶ τετταράκοντα εἰς τὸν [c] νυνὶ [d] παρόντα χρόνον, ὥσθ' ὁ δημιουργὸς ὁ τοῦτο πλάσας τὸ σχῆμα οὐ μόνον οὐκ αὐτὸς
282 ἦν κατ' [e] ἐκεῖνον, ἀλλ' οὐδ' ὁ πάππος αὐτοῦ. τοῦτο μὲν τοίνυν εἶπε τοῖς δικασταῖς καὶ ἐμιμήσατο· ὃ δὲ τοῦ σχήματος ἦν τούτου πολλῷ τῇ πόλει λυσιτελέστερον, [f] τὸ τὴν ψυχὴν [g] τὴν Σόλωνος ἰδεῖν καὶ τὴν διάνοιαν, ταύτην οὐκ ἐμιμήσατο, ἀλλὰ [h] πᾶν τοὐναντίον. ἐκεῖνος μέν γε ἀφεστηκυίας Σαλαμῖνος Ἀθηναίων καὶ θάνατον [i] ζημίαν ψηφισαμένων, ἄν τις εἴπῃ κομίζεσθαι, τὸν ἴδιον κίνδυνον ὑποθεὶς ἐλεγεῖα ποιήσας ᾖδε, καὶ τὴν μὲν χώραν ἔσωσε
283 τῇ πόλει, τὴν δ' ὑπάρχουσαν αἰσχύνην ἀπήλλαξεν· οὗτος δ', ἣν βασιλεὺς καὶ πάντες [k] οἱ Ἕλληνες ὑμετέραν

[t] καὶ ante ὅπως ponit r.
[u] καὶ ante πονηρός om. Q.
[x] λογογράφος] λογογράφος (τρό supra) F. λογοτροφος S. Y.
[y] γε post ἐχθρός addiderunt S. Y.
[z] ὃς ἃ] ὅσα r.
[a] γὰρ om. §. k. s. in γρ. habet Q.
[b] τι] τε O. t. u.
[c] νυνὶ] νῦν k. r. s.
[d] παρόντα om. O. t. u. v.
[e] ἐκεῖνον] ἐκεῖνον τὸν χρόνον F. Y. Q. O. k. r. s. t. u. v.
[f] τὸ τὴν] τοῦ τὴν O. τὴν r.
[g] τὴν post ψυχὴν om. t.
[h] πᾶν] ἅπαν Y.
[i] ζημίαν] τὴν ζημίαν F. k. r. s.
[k] οἱ om. O. t. u. v.

ἔγνωσαν, Ἀμφίπολιν, ταύτην ἐξέδωκε καὶ ἀπέδοτο καὶ
τῷ ταῦτα γράφοντι συνεῖπε Φιλοκράτει. ἄξιόν γε, [l] οὐ 421
γάρ; ἦν Σόλωνος [m] αὐτῷ [n] μεμνῆσθαι. καὶ οὐ μόνον ἐν-
ταῦθα [o] ταῦτ' ἐποίησεν, [p] ἀλλ' ἐκεῖσε ἐλθὼν οὐδὲ τοὔνομα
ἐφθέγξατο τῆς χώρας ὑπὲρ ἧς ἐπρέσβευεν. καὶ ταῦτα
284 αὐτὸς ἀπήγγειλε πρὸς ὑμᾶς· μέμνησθε γὰρ [q] δήπου λέ-
γοντ' αὐτὸν ὅτι "περὶ [r] δ' Ἀμφιπόλεως εἶχον μὲν κἀγὼ
"λέγειν· ἵνα δ' [s] ἐγγένηται Δημοσθένει περὶ αὐτῆς εἰ-
"πεῖν, παρέλιπον." ἐγὼ δὲ παρελθὼν οὐδὲν ἔφην [t] τοῦ-
τον ὧν ἐβούλετ' εἰπεῖν πρὸς Φίλιππον ἐμοὶ [u] παραλιπεῖν·
θᾶττον γὰρ [x] ἂν τοῦ αἵματος ἢ λόγου μεταδοῦναί τινι.
ἀλλ', οἶμαι, χρήματ' [y] εἰληφότα οὐκ ἦν ἀντιλέγειν πρὸς
Φίλιππον τὸν ὑπὲρ τούτου δεδωκότα, ὅπως ἐκείνην μὴ
ἀποδῷ. Λέγε δή μοι λαβὼν [z] καὶ τὰ τοῦ Σόλωνος ἐλε-
γεῖα [a] ταυτί, ἵν' [b] ἴδηθ' ὅτι καὶ Σόλων ἐμίσει τοὺς οἷος
οὗτος ἀνθρώπους.

285 Οὐ λέγειν εἴσω τὴν χεῖρ' ἔχοντ', Αἰσχίνη, [c] δεῖ, [d] οὔ,
ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρα ἔχοντα. σὺ δ' ἐκεῖ
προτείνας καὶ ὑποσχὼν καὶ καταισχύνας τούτους ἐνθάδε
[e] σεμνολογεῖ, καὶ λογάρια δύστηνα μελετήσας καὶ φω-
νασκήσας οὐκ οἴει [f] δίκην δώσειν τηλικούτων καὶ τοσούτων

[l] οὐ γάρ om. S. Y. et γρ. F.
[m] αὐτῷ] αὐτὸ t.
[n] μεμνῆσθαι] μνησθῆναι k. r. s.
[o] ταῦτ'] τοῦτ' k. r. s.
[p] ἀλλ' ἐκεῖσε S. Y. k. vulg. ἀλλὰ κἀκεῖσε.
[q] δήπου] δὴ k. s.
[r] δ' om. F. S. Y. Q. O. t. u. v. ante περὶ ponit r.
[s] ἐγγένηται] ἐγγίνηται k. r. s. γένηται Q.
[t] τοῦτον] τούτων mei omnes.
[u] παραλιπεῖν] παραλείπειν S.
[x] ἂν om. k. s.
[y] εἰληφότα] λαβόντα k. s.
[z] καὶ ante τὰ om. k. s.
[a] ταυτὶ] ταῦθ' k. s.
[b] ἴδηθ' S. vulg. εἰδῆθ'.
[c] δεῖ om. t.
[d] οὔ om. k. r. s.
[e] σεμνολογεῖ S. σεμνολογεῖς k. r. s. vulg. σεμνολογῇ.
[f] δίκην δώσειν] δώσειν δίκην r.

ἀδικημάτων, [h] ἂν πιλίδιον λαβὼν [i] ἐπὶ τὴν κεφαλὴν περινοστῇς καὶ ἐμοὶ [k] λοιδορῇ. Λέγε σύ.

### [l] ΕΛΕΓΕΙΑ [m] ΣΟΛΩΝΟΣ.

286 [n] Ἡμετέρα δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
αἶσαν καὶ [o] μακάρων θεῶν φρένας ἀθανάτων·
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος [p] ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
[q] ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι. 422
δήμου θ' ἡγεμόνων ἄδικος νόος, [r] οἷσιν ἑτοῖμον
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν.
οὐ γὰρ [s] ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
287 εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν [t] ἡσυχίῃ.
[u] πλουτοῦσιν δ' ἀδίκοις [x] ἔργμασι πειθόμενοι.
[y] οὔθ' ἱερῶν κτεάνων οὔτε [z] τι δημοσίων
φειδόμενοι κλέπτουσιν, [a] ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος.
οὐδὲ φυλάσσονται σεμνὰ δίκης θέμεθλα,
ἣ σιγῶσα [b] σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα,
τῷ δὲ χρόνῳ πάντως ἦλθ' [c] ἀποτισαμένη.
[d] τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον.
εἰς δὲ κακὴν [e] ταχέως ἤλυθε δουλοσύνην,
288 [f] ἣ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' [g] ἐπεγείρει,

[h] ἂν] κἂν F. Y. Q. O. r. t. u. v.

[i] ἐπὶ] περὶ r.

[k] λοιδορῇ] λοιδορεῖ k.

[l] 'Ελεγεῖα] ἡρωελεγεῖα O. t. Titulum om. r.

[m] Σόλωνος om. S. Y. O. k. s. t.

[n] Versus om. S. k. s. sed s. primum et tertium distichon in scholiis ponit.

[o] μακάρων] μακρων pr. Y.

[p] ὀβριμοπάτρη] ὀμβριμοπάτρη O. t. u.

[q] ἀστοὶ] ἀστοὶ δὲ r.

[r] οἷσιν] οὖσιν u.

[s] ἐπίστανται] ἐπίσταται r.

[t] ἡσυχίῃ] ἢ ἀχίν u. Addunt editi: χρήματα δ' ἱμείρουσιν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι.

[u] πλουτοῦσιν F. Y. Q. O. t. vulg. πλουτοῦσι.

[x] ἔργμασι] ἔρμασι O. t. u.

[y] οὔθ'—ἄλλος om. u.

[z] τι om. O.

[a] ἐφ' ἁρπαγῇ] ἀφαρπαγῆι F. Y. Q. r.

[b] σύνοιδε] δ' ἔληθε συνοῖδε Q. λέληθε συνοῖδε r.

[c] ἀποτισαμένη omnes: vulg. ἀποτισομένη.

[d] τοῦτ'] vulg. ταῦτ'.

[e] ταχέως] τέως O. u.

[f] ἣ F. Y. Q. u. vulg. ἥ.

[g] ἐπεγείρει] ἐπεγείρειν Q. ἐπαγείρειν F. Y. r.

ὃς πολλῶν [h] ἐρατὴν ὤλεσεν ἡλικίην.
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
[i] τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι [k] φίλους.
ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά. τῶν δὲ πενιχρῶν
ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν
πραθέντες δεσμοῖσί τ' [l] ἀεικελίοισι [m] δεθέντες.
οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,
αὔλειοι [n] δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
ὑψηλὸν δ' [o] ὑπὲρ ἕρκος [p] ὑπέρθορεν. εὗρε δὲ [q] πάντως,
289 [r] εἴ γέ [s] τις φεύγων [t] ἐν μυχῷ ᾖ θαλάμῳ.
ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς [u] κακὰ πλεῖστα πόλει δυσνομία παρέχει,
εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας,
τραχέα [x] λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ, 423
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιάς, ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς
[y] πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

290 Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι περὶ τῶν τοιούτων ἀνθρώπων οἷα Σόλων λέγει, καὶ περὶ τῶν θεῶν, οὕς φησι τὴν πόλιν σώζειν. ἐγὼ δ' [z] ἀεὶ μὲν [a] εἶναι ἀληθῆ τὸν λόγον τοῦτον ἡγοῦμαι καὶ βούλομαι, [b] ὡς ἄρ' οἱ θεοὶ σώζουσιν ἡμῶν τὴν πόλιν· τρόπον δέ τινα [c] ἡγοῦμαι καὶ τὰ νῦν

[h] ἐρατὴν] ἐρατῶν Y.
[i] τρύχεται] τρύχετ' r.
[k] φίλους] φίλους (οις) t. φίλοις Y. Q. r. φιλεταίροις O. u.
[l] ἀεικελίοισι] ἀεικλείοισι Q. r.
[m] δεθέντες] δοθέντες F. Y. O. r. v.
[n] δ' ἔτ'] δ' ὅτ' Y. Q. r.
[o] ὑπὲρ ἕρκος om. u.
[p] ὑπέρθορεν] ὑπέρθυρον r.
[q] πάντως] πάντων mei omnes.
[r] εἴ] ἢ Y.
[s] τις] τις ᾖ vulg. de conjectura H. Wolfii.
[t] ἐν] ἢ r.
[u] κακὰ πλεῖστα] καλὰ πλεῖστα u. πλεῖστα κακὰ r.
[x] λειαίνει] δ' ἰαίνει Q. r.
[y] πάντα] πάντας O.
[z] ἀεὶ om. k. s.
[a] εἶναι om. F. S. Y. Q. O. t. v. ante μὲν ponunt k. s.
[b] ὡς—ἡγοῦμαι om. u.
[c] ἡγοῦμαι] ἡγοῦμαι καὶ βούλομαι O. t. v. οἴομαι k. s.

συμβεβηκότα πάντ' ἐπὶ ταῖς εὐθύναις [d] ταυταισὶ δαι-
μονίας τινὸς εὐνοίας ἔνδειγμα τῇ πόλει γεγενῆσθαι. σκο-
291 πεῖτε γάρ. ἄνθρωπος πολλὰ καὶ δεινὰ πρεσβεύσας, καὶ
χώρας ἐκδεδωκὼς ἐν αἷς τοὺς θεοὺς ὑφ' ὑμῶν καὶ τῶν
συμμάχων τιμᾶσθαι προσῆκεν, ἠτίμωσεν ὑπακούσαντά
[e] τιν' αὐτοῦ κατήγορον. διὰ τί; ἵνα μήτε ἐλέου μήτε
συγγνώμης ἐφ' οἷς αὐτὸς [f] ἠδίκηκε τύχῃ. ἀλλὰ καὶ κατ-
ηγορῶν ἐκείνου κακῶς λέγειν προείλετο ἐμέ, καὶ πάλιν
ἐν τῷ δήμῳ γραφὰς ἀποίσειν καὶ [g] τοιαῦτ' [h] ἠπείλει.
[i] ἵνα τί; ἵν' ὡς μετὰ πλείστης συγγνώμης παρ' [k] ὑμῶν
ὁ τὰ τούτου πονηρεύματ' [l] ἀκριβέστατα εἰδὼς ἐγὼ καὶ
292 παρηκολουθηκὼς ἅπασι κατηγορῶ. ἀλλὰ καὶ διακρουό-
μενος [m] πάντα τὸν [n] ἔμπροσθεν χρόνον εἰσελθεῖν εἰς τοιοῦ-
τον ὑπῆκται καιρόν, ἐν ᾧ τῶν ἐπιόντων ἕνεκα, εἰ μηδενὸς
ἄλλου, οὐχ οἷόντε οὐδ' ἀσφαλὲς ὑμῖν δεδωροδοκηκότα
τοῦτον ἀθῷον ἐᾶσαι· ἀεὶ μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι,
προσήκει μισεῖν καὶ κολάζειν τοὺς [o] προδότας καὶ δωρο- 424
δόκους, μάλιστα δὲ νῦν ἐπὶ καιροῦ τοῦτο γένοιτ' ἂν καὶ
293 πάντας ὠφελήσειεν [p] ἀνθρώπους κοινῇ. νόσημα γὰρ ὦ
ἄνδρες Ἀθηναῖοι [q] δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα,
καὶ χαλεπὸν καὶ πολλῆς τινὸς εὐτυχίας καὶ [r] παρ' ὑμῶν
ἐπιμελείας δεόμενον. οἱ γὰρ ἐν ταῖς πόλεσι γνωριμώτα-
τοι καὶ προεστάναι τῶν κοινῶν ἀξιούμενοι, τὴν αὑτῶν
προδιδόντες ἐλευθερίαν οἱ δυστυχεῖς, αὐθαίρετον αὑτοῖς

[d] ταυταισὶ om. k. s.
[e] τιν' αὐτοῦ] αὐτοῦ τινὰ r.
[f] ἠδίκηκε F. S. Y. Q. r. vulg. ἠδίκησε.
[g] τοιαῦτ'] ταῦτα O. t. u.
[h] ἠπείλει] ἀπειλεῖ Y.
[i] ἵνα τί S. Y. ceteri διὰ τί.
[k] ὑμῶν] ὑμῖν k. s.
[l] ἀκριβέστατα] ἀκριβῶς k. r. s.
[m] πάντα] ἅπαντα k. s.
[n] ἔμπροσθεν] ἔμπροσθε Y.
[o] προδότας καὶ om. k. s.
[p] ἀνθρώπους om. k. s.
[q] δεινὸν] νόσημα δεινὸν γρ. S.
[r] παρ'] παρ' (τῆς written above) F. τῆς παρ' Y. O. t. u. v.

ἐπάγονται [s] δουλείαν, [t] Φιλίππου [u] ξενίαν καὶ ἑταιρίαν καὶ φιλίαν καὶ [x] τοιαῦθ' [y] ὑποκοριζόμενοι· οἱ δὲ λοιποὶ καὶ τὰ κύρι' ἄττα ποτ' ἐστὶν ἐν ἑκάστῃ τῶν πόλεων, οὓς ἔδει τούτους κολάζειν καὶ παραχρῆμα ἀποκτιννύναι, [z] τοσοῦτ' ἀπέχουσι [a] τοῦ [b] τοιοῦτόν τι ποιεῖν, ὥστε θαυμάζουσι καὶ ζηλοῦσι καὶ [c] βούλοιντ' ἂν αὐτὸς ἕκαστος τοιοῦτος εἶναι.

294

295 [d] καίτοι τοῦτο τὸ πρᾶγμα καὶ [e] τὰ τοιαῦτα ζηλώματα Θετταλῶν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, μέχρι μὲν ἐχθὲς [f] ἢ πρῴην τὴν ἡγεμονίαν καὶ τὸ κοινὸν ἀξίωμα [g] ἀπολωλέκει, νῦν δ' ἤδη καὶ τὴν ἐλευθερίαν [h] παραιρεῖται· τὰς γὰρ ἀκροπόλεις [i] αὐτῶν ἐνίων Μακεδόνες φρουροῦσιν· εἰς Πελοπόννησον δ' εἰσελθὸν τὰς ἐν Ἤλιδι σφαγὰς πεποίηκε, καὶ τοσαύτης [k] παρανοίας καὶ μανίας ἐνέπλησε τοὺς ταλαιπώρους ἐκείνους ὥσθ', ἵν' ἀλλήλων ἄρχωσι καὶ Φιλίππῳ χαρίζωνται, συγγενεῖς αὐτῶν καὶ

296 πολίτας μιαιφονεῖν. καὶ οὐδ' ἐνταῦθ' ἕστηκεν, ἀλλ' εἰς Ἀρκαδίαν εἰσελθὸν πάντ' ἄνω καὶ κάτω τἀκεῖ πεποίηκε, καὶ νῦν Ἀρκάδων πολλοὶ προσῆκον αὐτοῖς ἐπ' ἐλευθερίᾳ μέγιστον φρονεῖν ὁμοίως [l] ὑμῖν (μόνοι γὰρ [m] πάντων αὐτόχθονες ὑμεῖς ἐστε κἀκεῖνοι) Φίλιππον θαυμάζουσι 425

[s] δουλείαν] δουλιαν S. δοῦλοι O. u.
[t] Φιλίππου] φιλίππῳ S. O. t. u. v.
[u] ξενίαν καὶ ἑταιρίαν καὶ φιλίαν] ξ. καὶ φ. καὶ ἑταιρίαν k. r. ξ. καὶ φ. καὶ ἑταιρείαν s.
[x] τοιαῦθ'] τὰ τοιαῦθ' k. s.
[y] ὑποκοριζόμενοι] ὑποκορακιζόμενοι pr. S.
[z] τοσοῦτ' S. ceteri τοσοῦτον.
[a] τοῦ om. O. u.
[b] τοιοῦτόν] τοιοῦτό k. s.
[c] βούλοιντ' S. Y. Q. O. et correctus u. ceteri βούλοιτ'.
[d] καίτοι τοῦτο Q. k. s. καὶ τοιοῦτο S. ceteri καίτοι τουτί.
[e] τὰ post καὶ om. pr. S.
[f] ἢ S. Y. vulg. καί.
[g] ἀπολωλέκει] ἀπωλωλέκει F. Y. ἀπολώλεκε k. r. s.
[h] παραιρεῖται] παραιτεῖται O. t. u.
[i] αὐτῶν om. k. s.
[k] παρανοίας καὶ μανίας] μανίας καὶ παρανοίας k. παρανομίας καὶ μανίας F. O. t. u. v. παροινίας καὶ μανίας Anecd. p. 163, 8. μανίας καὶ παρανοίας s.
[l] ὑμῖν] ἡμῖν S.
[m] πάντων] ἁπάντων F. Q. O. t. u. v. τῶν ἁπάντων k. r. s.

καὶ χαλκοῦν ἱστᾶσι καὶ στεφανοῦσι, καὶ τὸ τελευταῖον, ἂν εἰς Πελοπόννησον ἴῃ, δέχεσθαι ταῖς πόλεσιν εἰσὶν
297 ἐψηφισμένοι. ταὐτὰ δὲ ταῦτα [n] Ἀργεῖοι. ταῦτα [o] νὴ τὴν [p] Δήμητρα, εἰ [q] δεῖ [r] μὴ ληρεῖν, εὐλαβείας οὐ μικρᾶς δεῖται, ὡς βαδίζον γε κύκλῳ καὶ δεῦρ' [s] ἐλήλυθεν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ νόσημα τοῦτο. ἕως οὖν [t] ἔτ' ἐν ἀσφαλεῖ, φυλάξασθε καὶ τοὺς πρώτους εἰσαγαγόντας [u] ἀτιμώσατε· εἰ δὲ μή, [x] σκοπεῖθ' [y] ὅπως μὴ [z] τηνικαῦτα εὖ λέγεσθαι [a] δόξει τὰ νῦν εἰρημένα, ὅτε οὐδ' ὅ τι χρὴ ποιεῖν ἕξετε.
298 οὐχ ὁρᾶτε ὡς ἐναργές, [b] ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σαφὲς παράδειγμα οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι; οἳ παρ' οὐδὲν οὕτως ὡς [c] τὸ [d] τοιαῦτα ποιεῖν ἀπολώλασιν, οἱ δείλαιοι. ἔχοιτε δ' ἂν ἐξετάσαι καθαρῶς ἐκ τῶν συμβεβηκότων αὐτοῖς. ἐκεῖνοι γάρ, ἡνίκα μὲν τετρακοσίους ἱππέας ἐκέκτηντο μόνον καὶ σύμπαντες οὐδὲν ἦσαν πλείους [e] πεντακισχιλίων τὸν ἀριθμόν, οὔπω Χαλκιδέων πάντων
299 εἰς ἓν συνῳκισμένων, [f] Λακεδαιμονίων ἐπ' αὐτοὺς ἐλθόντων πολλῇ [g] καὶ πεζῇ καὶ ναυτικῇ δυνάμει (ἴστε γὰρ δήπου τοῦθ', ὅτι γῆς καὶ θαλάττης ἦρχον ὡς [h] ἔπος εἰπεῖν Λακεδαιμόνιοι κατ' ἐκείνους τοὺς χρόνους,) ἀλλ' ὅμως [i] τηλικαύτης ἐπ' αὐτοὺς ἐλθούσης δυνάμεως οὔτε τὴν πόλιν οὔτε φρούριον οὐδὲν ἀπώλεσαν, ἀλλὰ καὶ μάχας πολ-

[n] Ἀργεῖοι] εἰσὶν ἀργεῖοι S. Y.
[o] νὴ F. S. Y. r. t. u. v. ceteri μά.
[p] Δήμητρα] δήμητραν Q. r.
[q] δεῖ] χρὴ r.
[r] μὴ om. Q.
[s] ἐλήλυθεν S. ceteri εἰσελήλυθεν.
[t] ἔτ' S. ἐστὲ r. et γρ. S. ceteri ἐστ'.
[u] ἀτιμώσατε] ἀτιμασατε O.
[x] σκοπεῖθ' S. Y. k. s. σκοπεῖτε Q. O. r. t. u. v. vulg. σκοπεῖσθ'.
[y] ὅπως μὴ] ὅμως r.
[z] τηνικαῦτα] τηλικαῦτα r.
[a] δόξει] δόξῃ Y. O. k. s. t. u v.
[b] ὦ ἄνδρες om. r.
[c] τὸ] τὸ τὰ F. Q. O. t. u. v. τὰ Q. r. et pr. S.
[d] τοιαῦτα] ταῦτα k. s.
[e] πεντακισχιλίων] τετρακισχιλίων k. s. τῶν τετρακισχιλίων r.
[f] Λακεδ.] καὶ λακεδ. k.
[g] καὶ πεζῇ καὶ ναυτικῇ] πεζῇ καὶ ναυτικῇ t. καὶ ναυτικῇ καὶ πεζῇ k. s.
[h] ἔπος om. γρ. Q.
[i] τηλικαύτης post αὐτοὺς ponit k.

λὰς ἐκράτησαν καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν
καὶ τὸ τελευταῖον, ὅπως [k] ἠβούλοντο, [l] οὕτω τὸν πόλεμον
300 κατέθεντο. ἐπειδὴ δὲ δωροδοκεῖν ἤρξαντό τινες, καὶ δι'
[m] ἀβελτερίαν οἱ πολλοί, μᾶλλον δὲ διὰ δυστυχίαν, τού-
τους πιστοτέρους ἡγήσαντο τῶν ὑπὲρ αὐτῶν λεγόντων, καὶ
Λασθένης μὲν ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ [n] Μακεδονίας δο- 426
θεῖσι ξύλοις, Εὐθυκράτης δὲ βοῦς ἔτρεφε [o] πολλὰς τιμὴν
οὐδενὶ [p] δούς, ἕτερος δέ τις ἧκεν ἔχων πρόβατα, ἄλλος δέ
τις ἵππους, οἱ δὲ πολλοὶ καὶ καθ' ὧν ταῦτ' [q] ἐγίγνετο
οὐχ ὅπως ὠργίζοντο ἢ κολάζειν ἠξίουν τοὺς ταῦτα ποιοῦν-
τας, ἀλλ' ἀπέβλεπον, ἐζήλουν, [r] ἐτίμων, ἄνδρας ἡγοῦντο·
301 [s] ἐπειδὴ [t] δὲ ταῦθ' οὕτω προήγετο καὶ τὸ δωροδοκεῖν ἐκρά-
τησε, χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δ' ὄντες ἢ
μύριοι, πάντας δὲ τοὺς περιχώρους ἔχοντες συμμάχους,
[u] μυρίοις δὲ ξένοις καὶ τριήρεσι πεντήκοντα ὑμῶν βοηθη-
σάντων αὐτοῖς, καὶ ἔτι τῶν πολιτῶν τετρακισχιλίοις, οὐ-
δὲν αὐτοὺς τούτων ἠδυνήθη σῶσαι, ἀλλὰ πρὶν μὲν ἐξελθεῖν
ἐνιαυτὸν τοῦ πολέμου τὰς πόλεις ἁπάσας ἀπολωλέκεσαν
302 τὰς ἐν τῇ Χαλκιδικῇ [x] οἱ προδιδόντες, καὶ Φίλιππος
[y] οὐκέτ' εἶχεν ὑπακούειν τοῖς προδιδοῦσιν, οὐδ' εἶχεν ὅ τι
πρῶτον λάβῃ. πεντακοσίους δ' ἱππέας προδοθέντας ὑπ'
αὐτῶν τῶν [z] ἡγουμένων ἔλαβεν αὐτοῖς ὅπλοις ὁ Φίλιπ-
πος, ὅσους οὐδεὶς πώποτε ἄλλος ἀνθρώπων. καὶ οὔτε
τὸν ἥλιον ᾐσχύνοντο οἱ ταῦτα ποιοῦντες οὔτε τὴν γῆν πα-

[k] ἠβούλοντο] ἐβούλοντο S.
[l] οὕτω] οὕτω καὶ O.
[m] ἀβελτερίαν S. r. vulg. ἀβελτηρίαν.
[n] Μακεδονίας] λακεδαιμονίας S.
[o] πολλὰς] πολλοὺς O.
[p] δοὺς] διδοὺς s.
[q] ἐγίγνετο] ἐγίγνοντο r.
[r] ἐτίμων om. O.
[s] ἐπειδὴ] ἐπεὶ s.
[t] δὲ om. F. S. Y. Q. O. r. t. u.
[u] μυρίοις δὲ ξένοις] μυρίους δὲ ξένους Q.
[x] οἱ om. S. k. s.
[y] οὐκέτ' εἶχεν ὑπακούειν] οὐχ ὑπεῖχεν ὑπακούων S. k. s. οὐκέτ' εἶχεν ἀκούων Y.
[z] ἡγουμένων S. Y. ceteri ἡγεμόνων.

τρίδα οὖσαν, [a]ἐφ' ἧς ἕστασαν, οὔτε ἱερὰ οὔτε τάφους οὔτε
τὴν μετὰ ταῦτα γενησομένην αἰσχύνην ἐπὶ [b]τοιούτοις ἔρ-
γοις· οὕτως ἔκφρονας ὦ ἄνδρες Ἀθηναῖοι καὶ παραπλῆ-
303 γας τὸ δωροδοκεῖν ποιεῖ. ὑμᾶς οὖν, [c]ὑμᾶς εὖ φρονεῖν δεῖ
τοὺς πολλούς, καὶ μὴ ἐπιτρέπειν τὰ τοιαῦτα, ἀλλὰ κο-
λάζειν δημοσίᾳ. καὶ γὰρ ἂν καὶ ὑπερφυὲς εἴη, εἰ κατὰ
μὲν τῶν Ὀλυνθίους προδόντων πολλὰ [d]καὶ δεινὰ ἐψηφί-
σασθε, τοὺς δὲ παρ' ὑμῖν αὐτοῖς ἀδικοῦντας μὴ κολά-
ζοντες φαίνοισθε. [e]Λέγε τὸ ψήφισμά [f]μοι τὸ περὶ τῶν
Ὀλυνθίων.

ΨΗΦΙΣΜΑ. 427

304 Ταῦθ' ὑμεῖς, ὦ ἄνδρες δικασταί, ὀρθῶς καὶ καλῶς
[g]πᾶσιν [h]Ἕλλησι καὶ βαρβάροις δοκεῖτε [i]ἐψηφίσθαι
κατ' ἀνδρῶν προδοτῶν καὶ θεοῖς ἐχθρῶν. ἐπειδὴ τοίνυν τὸ
δωροδοκεῖν πρότερον τοῦ [k]τὰ τοιαῦτα ποιεῖν ἐστὶ καὶ δι'
ἐκεῖνο καὶ τάδε πράττουσί τινες, ὃν [l]ἂν ὦ ἄνδρες Ἀθη-
ναῖοι δωροδοκοῦντα ἴδητε, τοῦτον καὶ προδότην εἶναι νομί-
ζετε. εἰ δ' ὁ μὲν καιρούς, ὁ δὲ πράγματα, ὁ δὲ στρατι-
ώτας προδίδωσιν, ὧν ἂν ἕκαστος [m]ὑμῶν οἶμαι κύριος
[n]γένηται, ταῦτα διαφθείρει· μισεῖν [o]δ' ὁμοίως τοὺς τοι-
305 ούτους [p]πάντας προσήκει. ἔστι δ' ὑμῖν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, περὶ τούτων μόνοις [q]τῶν πάντων ἀνθρώπων οἰκείοις
χρῆσθαι παραδείγμασι, καὶ τοὺς προγόνους, οὓς ἐπαι-

[a] ἐφ' ἧς] ἐφ' οἷς t. u.
[b] τοιούτοις] τοῖς τοιούτοις F. Q. O. k. r. s. t. u. v.
[c] ὑμᾶς ante εὖ om. k. s.
[d] καὶ ante δεινὰ om. O. u.
[e] Λέγε] λέγε οὖν k. s.
[f] μοι om. F. Q. O. t. u. v.
[g] πᾶσιν] καὶ πᾶσιν k.
[h] Ἕλλησι] ἕλλησί τε F. Y. O. r. t. u. v.
[i] ἐψηφίσθαι] ἐψηφίσασθαι O. ψηφίσασθαι k. r. s.
[k] τὰ om. t. v.
[l] ἂν ὦ om. O.
[m] ὑμῶν addiderunt F. S. Y. Q. t. v.
[n] γένηται] γίγνηται F. Q. O.
[o] δ' om. v.
[p] πάντας S. k. s. ceteri ἅπαντας.
[q] τῶν πάντων] τῶν ἄλλων k. s.

νεῖτε δικαίως, ἔργῳ μιμεῖσθαι. [r] καὶ γὰρ εἰ μὴ τὰς μά-
χας μηδὲ τὰς [s] στρατείας μηδὲ τοὺς κινδύνους, ἐν οἷς
ἦσαν ἐκεῖνοι λαμπροί, [t] συμβαίνει καιρός, ἀλλ' ἄγεθ'
ἡσυχίαν ὑμεῖς ἐν τῷ παρόντι, ἀλλὰ τό γ' εὖ φρονεῖν αὐ-
306 τῶν μιμεῖσθε. [u] τούτου γὰρ πανταχοῦ χρεία, καὶ οὐδέν
ἐστι πραγματωδέστερον οὐδ' ὀχληρότερον τὸ καλῶς φρο-
νεῖν τοῦ κακῶς, ἀλλ' ἐν τῷ ἴσῳ χρόνῳ νυνὶ καθήμενος
ὑμῶν ἕκαστος, ἂν μὲν ἃ χρὴ [x] γιγνώσκῃ περὶ τῶν πραγ-
μάτων καὶ ψηφίζηται, βελτίω τὰ κοινὰ ποιήσει τῇ πό-
λει καὶ ἄξια τῶν προγόνων [y] πράξει, ἂν δ' ἃ μὴ δεῖ,
307 [z] φαυλότερα [a] καὶ ἀνάξια τῶν προγόνων ποιήσει. τί οὖν
ἐκεῖνοι περὶ τούτων ἐφρόνουν; [b] ταυτὶ λαβὼν ἀνάγνωθι,
γραμματεῦ· δεῖ γὰρ ὑμᾶς [c] εἰδέναι ὅτι ἐπὶ [d] τοῖς τοιού-
τοις ἔργοις ῥᾳθυμεῖτε, ὧν θάνατον κατεγνώκασιν [e] οἱ πρό-
γονοι. [f] λέγε.

[g] ΣΤΗΛΗ. 428

308 Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν γραμμάτων λεγόν-
των [h] Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην ἐχθρὸν εἶναι
καὶ πολέμιον τοῦ δήμου [i] τοῦ Ἀθηναίων καὶ τῶν συμμά-
χων [k] αὐτὸν καὶ γένος [l] πᾶν. διὰ τί; ὅτι τὸν χρυσὸν
[m] τὸν ἐκ τῶν βαρβάρων εἰς τοὺς Ἕλληνας ἤγαγεν. οὐκοῦν
ἔστιν, ὡς ἔοικεν, ἐκ τούτων ἰδεῖν ὅτι οἱ πρόγονοι [n] μὲν

[r] καὶ γὰρ om. F. Y. Q. t. v. in γρ. habet S.
[s] στρατείας] στρατιὰς k. r. s.
[t] συμβαίνει καιρὸς F. S. Y. Q. v. συμβαίνειν καιρὸς t. vulg. ἐν τοῖς νῦν συμβαίνει μιμεῖσθαι καιροῖς.
[u] τούτου] τοῦτο r.
[x] γιγνώσκῃ] γιγνώσκειν Y.
[y] πράξει—προγόνων om. O.
[z] φαυλότερα] φλαυρότερα r.
[a] καὶ] τε καὶ F. Y. Q. O.
[b] ταυτὶ] ταύτη u.
[c] εἰδέναι] ἰδεῖν S.
[d] τοῖς om. k.
[e] οἱ] ὑμῶν οἱ r. s. καθ' ὑμῶν οἱ k.
[f] λέγε om. k. s.
[g] ΣΤΗΛΗ] γράμματα στήλη r. γράμματα Q. γραμματα ἐκλογῆς S. Y. O. t. u. v.
[h] Ἄρθμιον] ἄριθμον t. ἀρίθμιον k.
[i] τοῦ Ἀθηναίων] τῶν ἀθηναίων O. r. t. u.
[k] αὐτὸν] αὐτῶν F. Q. αὐτῶν (ον) k.
[l] πᾶν] ἅπαν F.
[m] τὸν post χρυσὸν om. F. S. Y. Q. O. t. u. v.
[n] μὲν om. r.

[o]ὑμῶν, ὅπως μηδ' ἄλλος ἀνθρώπων [p]μηδεὶς ἐπὶ χρήμασι
μηδὲν [q]ἐργάσεται κακὸν τὴν Ἑλλάδα, ἐφρόντιζον, ὑμεῖς
δὲ οὐδὲ τὴν πόλιν αὐτὴν ὅπως μηδεὶς τῶν πολιτῶν [r]ἀδι-
309 κήσει προορᾶσθε. νὴ Δί', ἀλλ' ὅπως ἔτυχε, ταῦτα τὰ
γράμμαθ' ἕστηκεν. ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς [s]ἀκροπό-
λεως ταυτησὶ καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης παρὰ τὴν
χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν [t]ἐκ δεξιᾶς ἕστηκεν, ἣν
ἀριστεῖον ἡ πόλις τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, δόν-
των [u]τῶν Ἑλλήνων τὰ χρήματα ταῦτ', ἀνέθηκεν. τότε
μὲν τοίνυν οὕτω σεμνὸν ἦν τὸ δίκαιον καὶ τὸ κολάζειν
τοὺς [x]τὰ τοιαῦτα ποιοῦντας ἔντιμον, ὥστε τῆς αὐτῆς ἠξι-
οῦτο στάσεως τό τε ἀριστεῖον τῆς θεοῦ καὶ [y]αἱ κατὰ τῶν
310 [z]τὰ τοιαῦτ' ἀδικούντων τιμωρίαι· νῦν δὲ γέλως, ἄδεια,
[a]αἰσχύνη, εἰ μὴ τὴν ἄγαν ταύτην ἐξουσίαν σχήσετε νῦν
ὑμεῖς. νομίζω τοίνυν [b]ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ καθ'
ἕν τι μόνον τοὺς προγόνους μιμουμένους ὀρθῶς ἂν ποιεῖν,
311 ἀλλὰ καὶ κατὰ πάντα ὅσα ἔπραττον ἐφεξῆς. ἐκεῖνοι
τοίνυν, ὡς [c]ἅπαντες, εὖ οἶδ' ὅτι, τὸν λόγον τοῦτον [d]ἀκη-
κόατε, Καλλίαν τὸν Ἱππονίκου ταύτην τὴν ὑπὸ πάντων
[e]θρυλουμένην εἰρήνην πρεσβεύσαντα, ἵππου μὲν δρόμον
ἡμέρας πεζῇ μὴ καταβαίνειν ἐπὶ [f]τὴν θάλατταν βασι- 429
λέα, ἐντὸς δὲ [g]Χελιδονείων καὶ [h]Κυανέων πλοίῳ μακρῷ

[o] ὑμῶν] ἡμῶν F. S. Y. Q. O. r. t. u. v.

[p] μηδεὶς om. Q.

[q] ἐργάσεται S. Y. et pr. k. vulg. ἐργάσηται.

[r] ἀδικήσει F. S. Y. k. ἀδικήσει s. vulg. ἀδικήσῃ.

[s] ἀκροπόλεως] πόλεως k.

[t] ἐκ δεξιᾶς S. Y. Q. k. s. δεξιᾶ u. ceteri ἐν δεξιᾷ.

[u] τῶν om. O. t. u. v.

[x] τὰ post τοὺς om. t. v.

[y] αἱ om. Y.

[z] τὰ om. O.

[a] αἰσχύνη om. S.

[b] ὑμᾶς post ἄνδρες ponit r.

[c] ἅπαντες] πάντες r.

[d] ἀκηκόατε] ἀκηκόατε τοῦτον k.

[e] θρυλουμένην F. S. Y. Q. k. vulg. θρυλλουμένην.

[f] τὴν ante θάλατταν om. F. Q. r.

[g] Χελιδονείων] χελειδονείων S. χελιδοναίων s. ceteri χελιδονέων.

[h] Κυανέων] κυαναίων r.

μὴ πλεῖν, ὅτι δῶρα λαβεῖν ἔδοξε πρεσβεύσας, μικροῦ
μὲν ἀπέκτειναν, ἐν δὲ ταῖς εὐθύναις πεντήκοντα [i] ἐπρά-
312 ξαντο τάλαντα. καίτοι καλλίω ταύτης εἰρήνην οὔτε πρό-
τερον οὔθ' ὕστερον οὐδεὶς ἂν εἰπεῖν ἔχοι πεποιημένην τὴν
πόλιν. ἀλλ' [k] οὐ τοῦτ' ἐσκόπουν. [l] τούτου μὲν γὰρ ἡγοῦντο
τὴν αὑτῶν ἀρετὴν καὶ τὴν τῆς πόλεως δόξαν αἰτίαν εἶναι,
τοῦ δὲ προῖκα ἢ μὴ τὸν τρόπον τοῦ πρεσβευτοῦ· τοῦτον
οὖν δίκαιον ἠξίουν παρέχεσθαι καὶ ἀδωροδόκητον τὸν προσ-
313 ιόντα τοῖς κοινοῖς. ἐκεῖνοι μὲν [m] τοίνυν οὕτως ἐχθρὸν ἡγοῦν-
το τὸ δωροδοκεῖν καὶ ἀλυσιτελὲς τῇ πόλει, ὥστε μήτ' ἐπὶ
πράξεως μηδεμιᾶς μήτ' ἐπ' ἀνδρὸς ἐᾷν γίγνεσθαι· ὑμεῖς
δέ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν εἰρήνην ἑωρακότες τὰ
μὲν τῶν συμμάχων τῶν [n] ὑμετέρων τείχη καθῃρηκυῖαν,
τὰς δὲ τῶν πρέσβεων οἰκίας οἰκοδομοῦσαν, καὶ τὰ μὲν
τῆς πόλεως [o] κτήματα ἀφῃρημένην, τούτοις δ' ἃ μηδ'
ὄναρ ἤλπισαν [p] πώποτε κτησαμένην, οὐκ αὐτοὶ τούτους
[q] ἀπεκτείνατε ἀλλὰ κατηγόρου προσδεῖσθε, καὶ λόγῳ
κρίνετε ὧν ἔργῳ τἀδικήματα πάντες [r] ὁρῶσιν.

314 Οὐ τοίνυν τὰ [s] πάλαι ἄν τις ἔχοι μόνον εἰπεῖν, καὶ διὰ
τούτων τῶν παραδειγμάτων ὑμᾶς ἐπὶ τιμωρίαν παρακα-
λέσαι· ἀλλ' ἐφ' ὑμῶν [t] τουτωνὶ τῶν ἔτι ζώντων ἀνθρώπων
πολλοὶ δίκην δεδώκασιν, ὧν ἐγὼ τοὺς μὲν ἄλλους παρα-
λείψω, τῶν δ' ἐκ πρεσβείας, ἣ πολὺ ταύτης ἐλάττω [u] κα-
κὰ τὴν πόλιν εἴργασται, θανάτῳ ζημιωθέντων ἑνὸς ἢ [x] δυοῖν

[i] ἐπράξαντο τάλαντα] τάλαντα ἐπράξαντο k. r. s.
[k] οὐ om. O. u.
[l] τούτου] τοῦτο Y.
[m] τοίνυν] οὖν k. s.
[n] ὑμετέρων] ἡμετέρων k. s.
[o] κτήματα] χρήματα s.
[p] πώποτε] ποτε k. s.
[q] ἀπεκτείνατε] ἀποκτενεῖτε F. Q. k. r. s.
[r] ὁρῶσιν] ὁρᾶτε γρ. Q.
[s] πάλαι S. Y. vulg. παλαιά.
[t] τουτωνὶ] τούτων r.
[u] κακὰ] κατὰ O. t.
[x] δυοῖν] δυεῖν r. s.

[y] ἐπιμνησθήσομαι. Καί [z] μοι λέγε τουτὶ τὸ ψήφισμα λαβών.

ΨΗΦΙΣΜΑ. 430

315 Κατὰ τουτὶ τὸ ψήφισμα ὦ ἄνδρες Ἀθηναῖοι τῶν πρέσβεων [a] ἐκείνων ὑμεῖς θάνατον [b] κατέγνωτε, ὧν εἷς ἦν Ἐπικράτης, ἀνήρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, σπουδαῖος καὶ πολλὰ χρήσιμος τῇ πόλει καὶ τῶν ἐκ Πειραιῶς [c] καταγαγόντων τὸν δῆμον καὶ [d] ἄλλως δημοτικός. ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὠφέλησε τούτων, δικαίως· οὐ γὰρ ἐφ' ἡμισείᾳ χρηστὸν εἶναι δεῖ τὸν [e] τηλικαῦτα διοικεῖν ἀξιοῦντα, οὐδὲ τὸ πιστευθῆναι [f] προλαβόντα παρ' ὑμῶν εἰς τὸ μείζω δύνασθαι κακουργεῖν [g] καταχρῆσθαι,
316 ἀλλ' ἁπλῶς μηδὲν ὑμᾶς ἀδικεῖν ἑκόντα. εἰ τοίνυν τι [h] τούτοις [i] ἄπρακτόν ἐστι τούτων ἐφ' οἷς ἐκείνων θάνατος [k] κατέγνωσται, ἐμὲ ἀποκτείνατε ἤδη. σκοπεῖτε γάρ. ἐπειδὴ παρὰ τὰ γράμματα, φησίν, ἐπρέσβευσαν ἐκεῖνοι, [[l] καὶ τὸ ψήφισμα,] καὶ τοῦτ' ἔστι τῶν ἐγκλημάτων [m] πρῶτον. οὗτοι δὲ οὐ παρὰ τὰ γράμματα; οὐ τὸ μὲν ψήφισμα Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις [[n] εἶναι κελεύει τὴν εἰρήνην], οὗτοι δὲ Φωκέας ἐκσπόνδους ἀπέ-
317 φηναν; οὐ τὸ μὲν ψήφισμα τοὺς ἄρχοντας ὁρκοῦν τοὺς ἐν ταῖς πόλεσιν, οὗτοι δέ, οὓς [o] Φίλιππος αὐτοῖς [p] προσ-

[y] ἐπιμνησθήσομαι] μνησθήσομαι k.
[z] μοι om. r.
[a] ἐκείνων ὑμεῖς] ὑμεῖς ἐκείνων r.
[b] κατέγνωτε] κατεγνώκατε r.
[c] καταγαγόντων] καταγόντων O.
[d] ἄλλως—αὐτὸν] ἄλλος—αὐτῶν O.
[e] Ante τηλικαῦτα omisi τὰ cum S. Y. s.
[f] προλαβόντα] προσλαβόντα t. u. v. λαβόντα k.
[g] καταχρῆσθαι] καταχρήσασθαι k. s.
[h] τούτοις—τούτων] τούτων—τούτοις k. s.
[i] ἄπρακτον—ἐμὲ om. u.
[k] κατέγνωσται] κατέγνωται t.
[l] [καὶ τὸ ψήφισμα] om. k. s. καὶ om. S.
[m] πρῶτον] τὸ πρῶτον F. Y. Q. O. k. r. s. t. u. v.
[n] [εἶναι κελεύει τὴν εἰρήνην] om. S. k. s.
[o] Φίλιππος] ὁ φίλιππος F. Q. O. r. t. u. v.
[p] προσέπεμψε] προσέπεμψαν Q.

ἔπεμψε, τούτους ὥρκισαν; οὐ [q] τὸ μὲν ψήφισμα οὐδα-
μοῦ μόνους ἐντυγχάνειν Φιλίππῳ, οὗτοι δ' οὐδὲν ἐπαύ-
318 σαντο ἰδίᾳ χρηματίζοντες; καὶ ἠλέγχθησάν τινες αὐτῶν
ἐν τῇ βουλῇ οὐ τἀληθῆ ἀπαγγέλλοντες. οὗτοι δέ γε καὶ
ἐν τῷ δήμῳ. καὶ ὑπὸ τοῦ; τοῦτο γάρ ἐστι τὸ λαμπρόν.
ὑπ' αὐτῶν τῶν πραγμάτων· οἷς γὰρ ἀπήγγειλαν οὗτοι,
πάντα δήπου γέγονε τἀναντία. οὐδ' ἐπιστέλλοντες, φησί, 431
319 τἀληθῆ. οὐκοῦν οὐδ' οὗτοι. καὶ καταψευδόμενοι τῶν συμ-
μάχων καὶ δῶρα λαμβάνοντες. ἀντὶ μὲν τοίνυν [r] τοῦ
καταψευδόμενοι [s] παντελῶς ἀπολωλεκότες· πολλῷ δὲ
δήπου τοῦτο [t] δεινότερον τοῦ καταψεύσασθαι. ἀλλὰ μὴν
ὑπέρ γε τοῦ δῶρα εἰληφέναι, εἰ μὲν ἠρνοῦντο, ἐξελέγχειν
[u] λοιπὸν [x] ἂν ἦν, ἐπειδὴ δ' [y] ὁμολογοῦσιν, ἀπάγειν δήπου
320 [z] προσῆκεν. τί οὖν, ὦ ἄνδρες Ἀθηναῖοι; τούτων οὕτως
ἐχόντων ὑμεῖς ἐκείνων τῶν ἀνδρῶν ὄντες, οἱ δὲ καὶ τινὲς
αὐτῶν ἔτι ζῶντες, ὑπομενεῖτε τὸν μὲν εὐεργέτην τοῦ δήμου
καὶ τὸν ἐκ [a] Πειραιῶς, Ἐπικράτην, ἐκπεσεῖν καὶ κολα-
σθῆναι; καὶ πάλιν πρῴην [b] Θρασύβουλον [c] ἐκεῖνον τὸν
Θρασυβούλου τοῦ [d] δημοτικοῦ καὶ τοῦ ἀπὸ Φυλῆς [e] κατα-
321 γαγόντος τὸν δῆμον, τάλαντα δέκα [f] ὠφληκέναι, καὶ
[g] τὸν ἀφ' Ἁρμοδίου [h] καὶ Ἀριστογείτονος [καὶ] τῶν τὰ
μέγιστ' ἀγαθὰ [i] ὑμᾶς εἰργασμένων, οὓς νόμῳ διὰ τὰς

[q] τὸ om. pr. t.

[r] τοῦ καταψευδόμενοι S. s. vulg. τοῦ καταψεύδεσθαι.

[s] παντελῶς—καταψ. om. u.

[t] δεινότερον τοῦ καταψεύσασθαι S. Y. Q. δεινότερον τοῦ καταψεύδεσθαι O. k. r. s. t. vulg. τοῦ καταψεύσασθαι δεινότερον.

[u] λοιπὸν] τὸ λοιπὸν F. Q. O. r. s. t. u. v.

[x] ἂν om. Y.

[y] ὁμολογοῦσιν] ὡμολόγουν S. Q.

[z] προσῆκεν] προσήκει k.

[a] Πειραιῶς] πειραιέως S. Y. ut sæpe.

[b] Θρασύβουλον ἐκ. τοῦ om. Y. et pr. S.

[c] ἐκεῖνον] ἐκεῖνον καὶ r.

[d] δημοτικοῦ] δημοτικοῦ υἱὸν F. Q. O. r. t. u. v.

[e] καταγ. τὸν δῆμον] τὸν δῆμον καταγ. r.

[f] ὠφληκέναι] ὠφεληκέναι O.

[g] τὸν] τῶν Y. O. t. u. v.

[h] καὶ Ἀριστογείτονος om. S. k. s.

[i] ὑμᾶς εἰργασμένων correctus

εὐεργεσίας, ἃς ὑπῆρξαν [k] εἰς ὑμᾶς, ἐν ἅπασι τοῖς ἱεροῖς
ἐπὶ ταῖς θυσίαις σπονδῶν καὶ κρατήρων κοινωνοὺς πεποί-
ησθε καὶ ᾄδετε καὶ τιμᾶτε ἐξ ἴσου τοῖς ἥρωσι καὶ τοῖς
θεοῖς, τούτους μὲν [l] πάντας τὴν ἐκ τῶν νόμων δίκην ὑπ-
322 εσχηκέναι, καὶ μήτε συγγνώμην μήτ' ἔλεον μήτε παιδία
κλάοντα ὁμωνύμα τῶν εὐεργετῶν μήτ' [m] ἄλλο μηδὲν αὐ-
τοὺς [n] ὠφεληκέναι, τὸν δὲ Ἀτρομήτου τοῦ γραμματιστοῦ
καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους [o] συναγούσης, ἐφ' οἷς
ἑτέρα τέθνηκεν ἱέρεια, τοῦτον ὑμεῖς λαβόντες [p] ἀφήσετε, τὸν
τῶν τοιούτων, τὸν οὐδὲ καθ' ἓν χρήσιμον τῇ πόλει, οὐκ
323 αὐτόν, οὐ πατέρα, οὐκ ἄλλον οὐδένα τῶν τούτου; ποῖος
γὰρ ἵππος, ποία τριήρης, ποία [q] στρατεία, τίς [r] χορός, 432
τίς λειτουργία, τίς εἰσφορά, τίς εὔνοια, [s] ποῖος κίνδυνος,
τί [t] τούτων [u] ἁπάντων ἐν παντὶ [x] τῷ χρόνῳ γέγονε παρὰ
[y] τούτων τῇ πόλει; καίτοι κἂν εἰ ταῦτα πάνθ' ὑπῆρχεν,
[z] ἐκεῖνο δὲ [a] μὴ προσῆν, [b] τὸ δικαίως καὶ προῖκα πεπρεσ-
βευκέναι, ἀπολωλέναι δήπου προσῆκεν [c] αὐτῷ. εἰ δὲ μήτε
324 ταῦτα μήτ' ἐκεῖνα, οὐ τιμωρήσεσθε; οὐκ [d] ἀναμνησθή-
σεσθε [e] ὧν κατηγορῶν ἔλεγε [f] Τιμάρχου, ὡς οὐδέν ἐστ'
ὄφελος πόλεως ἥτις μὴ νεῦρα ἐπὶ τοὺς ἀδικοῦντας [g] ἔχει,

k. ἡμᾶς εἰργασμένων S. Y. Q. r. ἡμᾶς ἐργασαμένων O. t. u. v. vulg. ἐργασαμένων ὑμᾶς.

[k] εἰς ὑμᾶς k. r. s. ceteri εἰς ἡμᾶς.

[l] πάντας] ἅπαντας k. r. s.

[m] ἄλλο] ἄλλω k.

[n] ὠφεληκέναι] ὠφληκέναι r. t. u.

[o] συναγούσης] συναγαγούσης O. k.

[p] ἀφήσετε post τῶν τούτου ponunt F. S. Y. Q. O. t. u. v. utrobique ponit r.

[q] στρατεία] στρατιὰ S. Quæ vulg. addunt ποία χορηγία, omisi cum S. Y.

[r] χορὸς] χορηγὸς F. Q. O. r. t. u. v.

[s] ποῖος κίνδυνος] τίς κίνδυνος k. s. ποῖοι κίνδυνοι Y. r.

[t] τούτων] τῶν k. s.

[u] ἁπάντων] πάντων k. s. om. S.

[x] τῷ om. O.

[y] τούτων] τούτου k. r. s.

[z] ἐκεῖνο] ἐκεῖνα S.

[a] μὴ] μηδὲ Y.

[b] τὸ om. S.

[c] αὐτῷ] αὐτόν k. s.

[d] ἀναμνησθήσεσθε] ἀναμνήσεσθε k. r. s.

[e] ὧν] ὧν οὗτος F. Q. O. r. t. u. v.

[f] Τιμάρχου] Τίμαρχον s.

[g] ἔχει] ἔχῃ r.

οὐδὲ [h] πολιτείας ἐν ᾗ συγγνώμη καὶ παραγγελία τῶν νόμων [i] μεῖζον [k] ἰσχύουσιν· οὐδ᾽ ἐλεεῖν ὑμᾶς [l] οὔτε τὴν μητέρα [m] δεῖν [n] τὴν Τιμάρχου, γραῦν γυναῖκα, οὔτε [o] τὰ παιδία οὔτ᾽ ἄλλον οὐδένα, ἀλλ᾽ ἐκεῖνο ὁρᾷν, ὅτι εἰ προήσεσθε τὰ τῶν νόμων καὶ [p] τῆς πολιτείας, οὐχ εὑρήσετε
325 τοὺς ὑμᾶς αὐτοὺς ἐλεήσοντας. ἀλλ᾽ ὁ μὲν ταλαίπωρος ἄνθρωπος [q] ἠτιμώσεται, ὅτι τοῦτον εἶδεν ἀδικοῦντα, τούτῳ δ᾽ ἀθῴῳ δώσετε εἶναι; διὰ τί; εἰ γὰρ παρὰ τῶν εἰς ἑαυτοὺς [r] ἐξαμαρτόντων τηλικαύτην ἠξίωσε [s] δίκην Αἰσχίνης λαβεῖν, παρὰ τῶν εἰς τὰ τῆς πόλεως τηλικαῦθ᾽ ἡμαρτηκότων, ὧν [t] εἷς οὗτος ὢν ἐξελέγχεται, [u] πηλίκην ὑμᾶς
326 προσήκει λαβεῖν τοὺς ὀμωμοκότας καὶ δικάζοντας; νὴ Δί᾽, οἱ νέοι γὰρ [x] ἡμῖν δι᾽ ἐκεῖνον [y] ἔσονται τὸν ἀγῶνα βελτίους. οὐκοῦν καὶ διὰ [z] τόνδε [a] οἱ πολιτευόμενοι, δι᾽ ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει· προσήκει [b] δὲ καὶ τούτων φροντίζειν. ἵνα τοίνυν εἰδῆθ᾽ ὅτι καὶ τοῦτον ἀπώλεσε, τὸν Τίμαρχον, οὐ μὰ Δί᾽ οὐχὶ τῶν [c] ὑμετέρων παί-
327 δων, ὅπως ἔσονται σώφρονες, προορῶν (εἰσὶ γὰρ ὦ ἄνδρες 433
Ἀθηναῖοι καὶ νῦν σώφρονες· μὴ γὰρ οὕτω γένοιτο κακῶς τῇ πόλει, ὥστε Ἀφοβήτου καὶ Αἰσχίνου σωφρονιστῶν δεηθῆναι τοὺς νεωτέρους), ἀλλ᾽ ὅτι βουλεύων ἔγραψεν, ἄν τις ὡς Φίλιππον [d] ὅπλα ἄγων ἁλῷ ἢ σκεύη τριηρικά, θάνατον εἶναι τὴν ζημίαν. σημεῖον [e] δέ· [f] πόσον γὰρ ἐδημη-

[h] πολιτείας] πολιτείαις O.
[i] μεῖζον] πλεῖον r. πλέον s.
[k] ἰσχύουσιν] ἰσχύει k. s.
[l] οὔτε] οὐδὲ O. u.
[m] δεῖν] δεῖ k. s.
[n] τὴν om. t.
[o] τὰ om. k. s.
[p] τῆς] τὰ τῆς F. Q. O. k. r. s. t. u. v.
[q] ἠτιμώσεται S. vulg. ἠτίμωται.
[r] ἐξαμαρτόντων S. ceteri ἐξαμαρτανόντων.
[s] δίκην Αἰσχίνης] αἰσχίνης δίκην r.
[t] εἷς οὗτος] οὗτος εἷς r.
[u] πηλίκην] πηκίλην O.
[x] ἡμῖν] ὑμῖν k. r. s.
[y] ἔσονται post ἀγῶνα ponunt k. s.
[z] τόνδε] τοῦτόν γε k. s.
[a] οἱ] καὶ οἱ Y.
[b] δὲ] τοίνυν s.
[c] ὑμετέρων] ἡμετέρων k.
[d] ὅπλα ἄγων] ἄγων ὅπλα r.
[e] δέ om. pr. S.
[f] πόσον] ὅσον s.

328 γόρει [g] χρόνον Τίμαρχος; πολύν. οὐκοῦν τοῦτον ᾖν Αἰσχίνης ἅπαντα ἐν τῇ πόλει, καὶ οὐδεπώποτε ἠγανάκτησεν οὐδὲ δεινὸν ἡγήσατο εἶναι τὸ πρᾶγμα, εἰ ὁ τοιοῦτος λέγει, ἕως εἰς Μακεδονίαν ἐλθὼν ἑαυτὸν [h] ἐμίσθωσεν. Λέγε [i] δή μοι τὸ ψήφισμα λαβὼν αὐτὸ τὸ [k] τοῦ Τιμάρχου.

ΨΗΦΙΣΜΑ.

329 Ὁ μὲν τοίνυν ὑπὲρ ὑμῶν γράψας μὴ ἄγειν ἐν τῷ πολέμῳ πρὸς Φίλιππον ὅπλα, εἰ δὲ μή, θανάτῳ ζημιοῦσθαι, ἀπόλωλε καὶ ὕβρισται. ὁ δὲ καὶ τὰ τῶν ὑμετέρων συμμάχων ὅπλα ἐκείνῳ παραδοὺς [l] οὑτοσὶ [m] κατηγόρει, [n] καὶ περὶ πορνείας ἔλεγεν, ὦ γῆ καὶ θεοί, δυοῖν μὲν κηδεσταῖν [o] παρεστηκότοιν, οὓς ἰδόντες ἂν ὑμεῖς ἀνακράγοιτε, Νικίου τε τοῦ βδελυροῦ, ὃς ἑαυτὸν ἐμίσθωσεν εἰς Αἴγυπτον Χαβρίᾳ, καὶ τοῦ καταράτου [p] Κυρηβίωνος, ὃς ἐν ταῖς πομπαῖς ἄνευ τοῦ [q] προσώπου κωμάζει. καὶ τί ταῦτα; ἀλλὰ τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον. ἀλλὰ [r] δῆτα ἄνω ποταμῶν ἐκείνῃ τῇ ἡμέρᾳ πάντες [s] ὅσοι οἱ περὶ πορνείας ἐρρύησαν λόγοι.

330 Καὶ μὴν εἰς ὅσην [t] ἀτιμίαν τὴν πόλιν ἡμῶν ἡ [u] τούτων [x] πονηρία καὶ ψευδολογία καταστήσασα ἔχει, πάντα τἄλλ' ἀφείς, [y] ὃ πάντες ὑμεῖς ἴστε, ἐρῶ. [z] πρότερον μὲν [a] γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τί παρ' [b] ὑμῖν ἐψήφισται, τοῦτ' 434

[g] χρόνον om. s.
[h] ἐμίσθωσεν] ἐμίσθωσε φιλίππῳ k. r. s.
[i] δή om. r.
[k] τοῦ om. k.
[l] οὑτοσὶ] οὑτωσὶ r.
[m] κατηγόρει] κατηγορεῖ k. r.
[n] καὶ ante περὶ om. t.
[o] παρεστηκότοιν] παρεστηκότων (οιν) F. S. παρεστηκότων v.
[p] Κυρηβίωνος Q. r. κυρηβιῶνος F. Y. O. t. u. v. κυρηβιωνος S. vulg. Κηρυβίωνος.
[q] προσώπου] προσωπείου F. Y. Q. O. r. t. u. v.
[r] δῆτα] δὴ τὰ r. u.
[s] ὅσοι om. S. Y. k. s. οἱ om. F. Q. r.
[t] ἀτιμίαν] αἰσχύνην καὶ ἀτιμίαν k. r. s.
[u] τούτων] τούτου F. S. Y. Q. O. t. u. v.
[x] πονηρία] βδελυρία r. et γρ. Q.
[y] ὃ] ἃ F. k. s.
[z] πρότερον] πρῶτον v.
[a] γὰρ om. O. t. u. v.
[b] ὑμῖν] ἡμῖν O. k. t. u.

ἐπετήρουν οἱ ἄλλοι πάντες [c] Ἕλληνες. νῦν [d] δὲ δὴ περιερχόμεθ' ἡμεῖς, τί δέδοκται τοῖς ἄλλοις, σκοποῦντες, καὶ ὠτακουστοῦντες τί τὰ τῶν Ἀρκάδων, τί τὰ τῶν Ἀμφικτυόνων, ποῖ πάρεισι Φίλιππος, ζῇ ἢ τέθνηκεν. οὐ [e] τοι-
331 αῦτα ποιοῦμεν; ἐγὼ δὲ οὐ δέδοικα, εἰ Φίλιππος ζῇ, ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν καὶ τιμωρεῖσθαι. οὐδὲ φοβεῖ με Φίλιππος, ἂν τὰ παρ' [f] ὑμῶν ὑγιαίνῃ, ἀλλ' εἰ παρ' [g] ὑμῖν ἄδεια γενήσεται τοῖς παρ' ἐκείνου μισθαρνεῖν βουλομένοις, καὶ [h] συνεροῦσί τινες τούτοις τῶν [i] ὑφ' ὑμῶν πεπιστευμένων, καὶ πάντα τὸν ἔμπροσθεν χρόνον ἀρνούμενοι μὴ πράττειν ὑπὲρ Φιλίππου νῦν
332 ἀναβήσονται, ταῦτα φοβεῖ με. τί γὰρ δή [k] ποτε, Εὔβουλε, Ἡγησίλεῳ μὲν κρινομένῳ, ὃς ἀνεψιός ἐστί σοι, καὶ Θρασυβούλῳ πρῴην, τῷ Νικηράτου θείῳ, ἐπὶ μὲν τῆς πρώτης ψήφου οὐδ' ὑπακοῦσαι καλούμενος [l] ἤθελες, εἰς δὲ τὸ τίμημα ἀναβὰς ὑπὲρ μὲν ἐκείνων οὐδ' ὁτιοῦν ἔλεγες, ἐδέου δὲ τῶν δικαστῶν συγγνώμην ἔχειν σοι. εἶτα ὑπὲρ μὲν συγγενῶν καὶ ἀναγκαίων ἀνθρώπων οὐκ ἀνα-
333 βαίνεις, ὑπὲρ Αἰσχίνου δὲ [m] ἀναβήσει, ὅς, ἡνίκ' ἔκρινεν Ἀριστοφῶν [n] Φιλόνεικον καὶ δι' ἐκείνου τῶν σοι πεπραγμένων κατηγόρει, συγκατηγόρει μετ' ἐκείνου σου καὶ [o] τῶν ἐχθρῶν τῶν σῶν εἷς ἐξητάζετο. ἐπειδὴ δὲ σὺ μὲν τουτουσὶ [p] δεδιξάμενος, καὶ φήσας καταβαίνειν εἰς Πειραιᾶ δεῖν ἤδη καὶ χρήματ' εἰσφέρειν καὶ τὰ θεωρικὰ στρατιωτικὰ

[c] Ἕλληνες] ἑλλήνων r.
[d] δὲ δὴ] δ' ἤδη S. Q. k. r. s.
[e] τοιαῦτα] ταῦτα k. s.
[f] ὑμῶν] ὑμῖν r. s. ἡμῖν k.
[g] ὑμῖν] ἡμῖν (ὑ superscr.) F. ἡμῖν S. Y. k.
[h] συνεροῦσί] συναιρουσι S.
[i] ὑφ' ὑμῶν] παρ' ὑμῶν r. παρ' ἡμῖν k. s.
[k] ποτε] που Q.
[l] ἤθελες S. Y. et γρ. F. vulg. ἠθέλησας.
[m] ἀναβήσει S. vulg. ἀναβήσῃ.
[n] Φιλόνεικον] φιλόνικον O. k. s. u. φιλόνεικον (ϊ superscr.) v.
[o] τῶν ἐχθρῶν τῶν σῶν] τῶν σῶν ἐχθρῶν r.
[p] δεδιξάμενος] δεξάμενος correctus k.

ποιεῖν, ἢ χειροτονεῖν ἃ συνεῖπε μὲν οὗτος ἔγραψε δ᾽ ὁ
334 βδελυρὸς Φιλοκράτης, [q] αἰσχρὰν [r] ἀντὶ καλῆς συνέβη [s] γεν-
έσθαι τὴν εἰρήνην, οὗτοι [t] δὲ τοῖς μετὰ ταῦτ᾽ ἀδικήμασι
πάντ᾽ ἀπολωλέκασι, τηνικαῦτα διήλλαξαι; καὶ ἐν μὲν 435
τῷ δήμῳ [u] κατηρῶ [x] Φιλίππῳ, καὶ κατὰ τῶν παίδων
ὤμνυες ἦ μὴν ἀπολωλέναι Φίλιππον ἂν [y] βούλεσθαι· νῦν
δὲ βοηθήσεις τούτῳ; πῶς οὖν ἀπολεῖται, ὅταν τοὺς παρ᾽
335 [z] ἐκείνου δωροδοκοῦντας [a] σὺ σώζῃς; τί γὰρ δήποτε [b] Μοι-
ροκλέα μὲν [c] ἔκρινας, εἰ παρὰ τῶν [d] τὰ μέταλλα ἐωνη-
μένων εἴκοσιν ἐξέλεξε δραχμὰς παρ᾽ ἑκάστου, καὶ [e] Κη-
φισοφῶντα γραφὴν ἱερῶν χρημάτων ἐδίωκες, εἰ τρισὶν
ὕστερον ἡμέραις ἐπὶ τὴν τράπεζαν ἔθηκεν ἑπτὰ μνᾶς· τοὺς
δὲ ἔχοντας, ὁμολογοῦντας, [f] ἐξελεγχομένους ἐπ᾽ αὐτοφώ-
ρῳ ἐπὶ τῷ τῶν συμμάχων ὀλέθρῳ ταῦτα πεποιηκότας,
336 τούτους [g] οὐ κρίνεις, ἀλλὰ καὶ σώζειν κελεύεις; καὶ μὴν
ὅτι ταῦτα μέν ἐστι φοβερὰ [h] καὶ προνοίας καὶ φυλακῆς
[i] πολλῆς δεόμενα, ἐφ᾽ οἷς δὲ [k] ἐκείνους [l] σὺ ἔκρινες,
γέλως, ἐκεῖθεν [m] ὄψεσθε. ἦσαν [n] ἐν Ἤλιδι κλέπτοντες τὰ
κοινά τινες; καὶ μάλ᾽ εἰκός [o] γε. ἔστιν οὖν ὅστις [p] μετ-

[q] αἰσχρὰν] ἐξ ὧν αἰσχρὰν omnes præter pr. S.

[r] ἀντὶ καλῆς] ἀντ᾽ ἴσης k. s. et fortasse pr. S. in quo hæc καλῆς συνέβη a correctore posita sunt loco pauciorum litterarum capace. Et opus est verbo secundæ personæ, apto ex illis δεδιξάμενος καὶ φήσας, quale ἐποίησας.

[s] γενέσθαι] γεγενῆσθαι k. s.

[t] δὲ] δ᾽ ἐπειδὴ F. Q. O. r. t. u. v.

[u] κατηρῶ] κατηγορωι pr. S. κατηγορῶ Q. v. κατηγορῶν Y. r. t. et γρ. F. Q. et correctus v.

[x] Φιλίππῳ] φιλίππου F. Y. Q. r.

[y] βούλεσθαι] βούλησθε (s, αι superscr.) v. βούλησθε O. t. u.

[z] ἐκείνου] ἐκείνῳ k.

[a] σὺ om. Q.

[b] Μοιροκλέα] μυροκλέα F. O. t. u.

[c] ἔκρινας] ἔκρινες k. s.

[d] τὰ om. O. t. u. v.

[e] Κηφισοφῶντα] κησιφῶντα r.

[f] ἐξελεγχομένους] ἐλεγχομένους v. et γρ. u.

[g] οὐ] οὐ μόνον οὐ γρ. S.

[h] καὶ προνοίας om. k. s.

[i] πολλῆς δεόμενα] προσδεόμενα πολλῆς O. u.

[k] ἐκείνους] ἐκείνως S. Y. et γρ. F.

[l] σὺ om. k. s.

[m] ὄψεσθε] εἴσεσθε γρ. S.

[n] ἐν] δὲ ἐν O. t.

[o] γε om. k. s.

[p] μετέσχεν] μετέσχηκεν k. r. s.

ἔσχεν αὐτόθι νῦν τούτων τοῦ καταλῦσαι τὸν δῆμον; οὐδὲ εἷς. [q] τί δέ; ἦσαν, ὅτ' ἦν Ὄλυνθος, τοιοῦτοί τινες ἄλλοι; ἐγὼ μὲν οἶμαι. ἆρ' [r] οὖν διὰ τούτους [s] ἀπώλετ' Ὄλυνθος; οὔ. τί δ', ἐν Μεγάροις οὐκ οἴεσθ' εἶναί τινα [t] κλέπτην καὶ παρεκλέγοντα τὰ κοινά; ἀνάγκη, καὶ πέφηνε. [u] τίς αἴτιος αὐτόθι νῦν τούτων τῶν συμβεβηκότων πραγμάτων;
337 οὐδὲ εἷς. ἀλλὰ [x] ποῖοί [y] τινες οἱ τὰ [z] τηλικαῦτα καὶ τοιαῦτ' [a] ἀδικοῦντες; οἱ νομίζοντες αὐτοὺς ἀξιόχρεως εἶναι τοῦ Φιλίππου ξένοι καὶ φίλοι προσαγορεύεσθαι, οἱ [b] στρατηγιῶντες καὶ [c] προστασίας ἀξιούμενοι, οἱ μείζους τῶν πολλῶν οἰόμενοι δεῖν εἶναι. οὐ Περίλαος [d] ἐκρίνετο ἔναγχος [e] ἐν Μεγάροις ἐν τοῖς τριακοσίοις, ὅτι πρὸς Φίλιππον 436
ἀφίκετο, καὶ παρελθὼν Πτοιόδωρος [f] αὐτὸν ἐξῃτήσατο, καὶ πλούτῳ καὶ [g] γένει καὶ δόξῃ πρῶτος Μεγαρέων, καὶ πάλιν ὡς Φίλιππον ἐξέπεμψε, καὶ μετὰ ταῦτα ὁ μὲν
338 ἧκεν ἄγων τοὺς ξένους, ὁ δ' ἔνδον ἐτύρευε; [h] τοιαῦτα. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὅ τι τῶν πάντων [i] μᾶλλον εὐλαβεῖσθαι δεῖ ἢ τὸ μείζω τινὰ τῶν πολλῶν ἐᾶν γίγνεσθαι. μή μοι σωζέσθω μηδ' ἀπολλύσθω μηδείς, [k] ἐὰν ὁ δεῖνα [[l] ἢ ὁ δεῖνα] βούληται, ἀλλ' ὃν [m] ἂν τὰ πεπραγμένα σώζῃ καὶ [n] τοὐναντίον, τούτῳ τῆς προσηκούσης ψήφου παρ' [o] ὑμῶν

[q] τί δέ om. k. s.
[r] οὖν om. k. s.
[s] ἀπώλετ'] ἀπόλωλεν r.
[t] κλέπτην] καὶ κλέπτην S.
[u] τίς] τίς οὖν F. Q. O. t. u. v.
[x] ποῖοί] ποῖος καὶ t. ποῖοι καὶ F. Y. Q. O. r. u. v.
[y] τινες] τίνες εἰσὶν F. Q. O. k. r. s. t. u. v.
[z] τηλικαῦτα καὶ τοιαῦτ'] τοιαῦτα καὶ τηλικαῦτα k. s.
[a] ἀδικοῦντες] διοικοῦντες r.
[b] στρατηγιῶντες S. Q. k. r. s. et correctus v. vulg. στρατηγιῶν τε.
[c] προστασίας F. S. Y. O. k. s. t. u. v. προστασίων Q. προστασιῶν r.
[d] ἐκρίνετο] ἐκρίνατο r.
[e] ἐν Μεγάροις om. r.
[f] αὐτὸν om. Q.
[g] γένει καὶ δόξῃ] δόξῃ καὶ γένει k. s.
[h] τοιαῦτα] τὰ τοιαῦτα s.
[i] μᾶλλον om. k.
[k] ἐὰν] ὃν ἐὰν F.Y.Q.O.r.t.u.v.
[l] [ἢ ὁ δεῖνα] in γρ. S.
[m] ἂν post ὃν om. k.
[n] τοὐναντίον] τοὐναντίου u.
[o] ὑμῶν] ὑμῖν k. r.

339 ὑπαρχέτω τυγχάνειν· τοῦτο γάρ ἐστι δημοτικόν. ἔτι τοίνυν πολλοὶ παρ' ὑμῖν ἐπὶ [p] καιρῶν γεγόνασιν ἰσχυροί, [q] Καλλίστρατος, αὖθις Ἀριστοφῶν, Διόφαντος, τούτων ἕτεροι πρότερον. ἀλλὰ [r] ποῦ τούτων ἕκαστος ἐπρώτευεν; ἐν τῷ δήμῳ· ἐν δὲ τοῖς δικαστηρίοις οὐδείς πω μέχρι τῆς τήμερον ἡμέρας ὑμῶν οὐδὲ τῶν νόμων οὐδὲ τῶν ὅρκων κρείττων γέγονεν. μὴ τοίνυν μηδὲ νῦν τοῦτον ἐάσητε. ὅτι γὰρ ταῦτα φυλάττοισθ' ἂν εἰκότως [s] μᾶλλον ἢ [t] τούτοις πιστεύοιτε, τῶν θεῶν ὑμῖν [u] μαντείαν ἀναγνώσομαι, οἵπερ ἀεὶ σώζουσι τὴν πόλιν πολλῷ τῶν [x] προεστηκότων μᾶλλον. Λέγε τὰς μαντείας.

## ΜΑΝΤΕΙΑΙ.

340 Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν θεῶν [y] ἃ ὑμῖν προλέγουσιν. εἰ μὲν τοίνυν πολεμούντων [z] ὑμῶν ταῦτ' [a] ἀνῃρήκασι, τοὺς στρατηγοὺς λέγουσι φυλάττεσθαι· πολέμου γάρ εἰσιν ἡγεμόνες [b] οἱ στρατηγοί· εἰ δὲ πεποιημένων εἰρήνην, τοὺς ἐπὶ τῆς πολιτείας ἐφεστηκότας· οὗτοι γὰρ ἡγοῦνται, τούτοις πείθεσθε ὑμεῖς, ὑπὸ τούτων δέος ἐστὶ 437
341 μὴ παρακρουσθῆτε. καὶ τὴν πόλιν [c] συνέχειν φησὶν [d] ἡ μαντεία, ὅπως ἂν μίαν γνώμην ἔχωσιν [e] ἅπαντες καὶ μὴ τοῖς ἐχθροῖς ἡδονὴν ποιῶσι. [f] πότερον οὖν οἴεσθ' [g] ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν τοσαῦτα κακὰ εἰργασμένον σωθέντα ἢ

p καιρῶν] καιρῷ O.
q Καλλίστρατος] καλλίστρατος ἐκεῖνος F. Q. O. k. r. t. u. v.
r ποῦ om. Q.
s μᾶλλον] μᾶλλον ὑμεῖς F. Y. Q. O. r. t. u. v.
t τούτοις om. S. Y. k. s.
u μαντείαν] μαρτυρίαν S.
x προεστηκότων] παρεστηκότων O.
y ἃ F.S.Q.O.t.u.v. ceteri οἷα.
z ὑμῶν] ἡμῶν (υ superscr.) F. ἡμῶν S. Y. O. t. u. v.
a ἀνῃρήκασι] ἀνειρήκασιν S. v. ἂν εἰρήκασιν Y. Q. t. u. v.
b οἱ om. pr. S.
c συνέχειν] δεῖ συνέχειν F. Y. Q. O. r. t. u. v.
d ἡ μαντεία] ἐν τῇ μαντείαι S.Q.
e ἅπαντες] πάντες k. s.
f πότερον] πότερ' Y.
g ἂν post οἴεσθ' sumpsi a S. Y. Q.

δίκην [h] δόντα [i] ἡδονὴν Φιλίππῳ ποιῆσαι; ἐγὼ μὲν οἶμαι
342 σωθέντα. φησὶ δέ γε ἡ μαντεία [k] δεῖν ὅπως [l] ἂν μὴ χαί-
ρωσιν οἱ ἐχθροὶ ποιεῖν. ἅπασι [m] τοίνυν μιᾷ γνώμῃ παρα-
κελεύεται κολάζειν τοὺς ὑπηρετηκότας τι τοῖς ἐχθροῖς, ὁ
Ζεύς, ἡ Διώνη, πάντες οἱ θεοί. ἔξωθεν οἱ ἐπιβουλεύοντες,
[n] ἔνδοθεν οἱ συμπράττοντες. οὐκοῦν τῶν [o] ἐπιβουλευόντων
μὲν ἔργον [p] διδόναι, τῶν [q] συμπραττόντων δὲ λαμβάνειν
καὶ τοὺς εἰληφότας ἐκσώζειν.

343 Ἔτι τοίνυν κἂν ἀπ' ἀνθρωπίνου λογισμοῦ [r] τοῦτ' [s] ἴδοι
τις, ὅτι πάντων ἐχθρότατον καὶ [t] φοβερώτατον τὸ τὸν προ-
εστηκότα ἐᾶν οἰκεῖον γίγνεσθαι τοῖς μὴ τῶν αὐτῶν ἐπιθυ-
μοῦσι τῷ δήμῳ. τίσι γὰρ τῶν πραγμάτων ἐγκρατὴς γέ-
γονε Φίλιππος ἁπάντων, καὶ τίσι τὰ μέγιστα κατείρ-
γασται τῶν πεπραγμένων, σκέψασθε. τῷ παρὰ τῶν
πωλούντων τὰς πράξεις ὠνεῖσθαι, τῷ [u] τοὺς προεστηκότας
344 ἐν ταῖς πόλεσι διαφθείρειν καὶ ἐπαίρειν, [x] τούτοις. ταῦτα
τοίνυν ἐφ' [y] ὑμῖν ἐστὶν ἀμφότερα, ἐὰν βούλησθε, ἀχρεῖα
ποιῆσαι τήμερον, ἐὰν [z] τῶν μὲν μὴ ἐθέλητε ἀκούειν [a] τοῖς
τοιούτοις συνηγορούντων, ἀλλ' ἐπιδείξητε ἀκύρους ὄντας
[b] ὑμῶν (νῦν γάρ φασιν εἶναι κύριοι), τὸν δὲ πεπρακόθ'
345 ἑαυτὸν κολάσητε, καὶ [c] τοῦθ' [d] ἅπαντες ἴδωσιν. παντὶ

[h] δόντα] διδόντα O. k. r. s.
[i] ἡδονὴν] ἡδονὴν ἂν k. r. s.
[k] δεῖν] ἀεὶ δεῖν F. Y. O. t. u. v.
[l] ἂν om. O. k. s.
[m] τοίνυν] τοίνυν ἡμῖν k. τοίνυν ὑμῖν r. s.
[n] ἔνδοθεν] ἔνδοθεν δὲ r.
[o] ἐπιβουλευόντων μὲν] μὲν ἐπιβουλευόντων r.
[p] διδόναι] τὸ διδόναι F. Q. O. t. u. v.
[q] συμπρ. δὲ] δὲ συμπρ. r.
[r] τοῦτ' om. pr. v.
[s] ἴδοι] ἴδη s. ἂν ἴδοι F. Q.
[t] φοβερώτατον] φοβερώτατόν ἐστι k. r. s.
[u] τοὺς προεστηκότας — τὸν 'Ατρεστίδαν (§. 352.)] Hæc desunt u. folio uno vacuo: ὧδε λείπει φύλλον ἕν. Eadem in O. leguntur post ἀκηκοέναι §. 361.
[x] τούτοις Reiskius: codices τούτους.
[y] ὑμῖν] ἡμῖν F.
[z] τῶν μὲν] τῷ μὲν O.
[a] τοῖς] τῶν τοῖς F. k. r. s.
[b] ὑμῶν] ὑμῖν r.
[c] τοῦθ'] ταῦτα k. r. s. τοῦτον γρ. Q.
[d] ἅπαντες] πάντες k. r. s.

μὲν γὰρ εἰκότως [e] ἂν ὀργισθείητε, ὦ ἄνδρες Ἀθηναῖοι, τοι- 438
αῦτα πεποιηκότι καὶ προδεδωκότι συμμάχους καὶ φί-
λους καὶ καιρούς, μεθ' ὧν ἢ καλῶς ἢ κακῶς ἑκάστοις
ἔχει τὰ πάντα, οὐ μὴν οὐδενὶ μᾶλλον [f] οὐδὲ δικαιότερον ἢ
τούτῳ. ὃς γὰρ ἑαυτὸν τάξας τῶν ἀπιστούντων εἶναι Φι-
λίππῳ, καὶ μόνος καὶ πρῶτος ἰδὼν ὅτι κοινὸς [g] ἐχθρὸς
ἐκεῖνός ἐστιν ἁπάντων τῶν Ἑλλήνων, ηὐτομόλησε καὶ
προὔδωκε καὶ γέγονεν ἐξαίφνης ὑπὲρ Φιλίππου, πῶς οὐ
346 πολλάκις οὗτος ἄξιός [h] ἐστ' ἀπολωλέναι; ἀλλὰ μὴν ὅτι
ταῦθ' οὕτως ἔχει, αὐτὸς οὐχ οἷός τε ἀντειπεῖν ἔσται. τίς
γάρ ἐσθ' ὁ τὸν [i] Ἴσχανδρον προσάγων ὑμῖν τὸ κατ' ἀρ-
χάς, ὃν παρὰ τῶν ἐν Ἀρκαδίᾳ φίλων τῇ πόλει δεῦρ'
ἥκειν ἔφη; τίς ὁ συσκευάζεσθαι τὴν Ἑλλάδα καὶ Πελο-
πόννησον Φίλιππον βοῶν, ὑμᾶς δὲ καθεύδειν; τίς ὁ τοὺς
[k] μακροὺς καὶ καλοὺς [l] λόγους ἐκείνους δημηγορῶν, καὶ
τὸ Μιλτιάδου καὶ Θεμιστοκλέους ψήφισμα ἀναγιγνώ-
σκων καὶ τὸν ἐν τῷ τῆς [m] Ἀγλαύρου τῶν ἐφήβων ὅρκον;
347 οὐχ οὗτος; τίς ὁ πείσας ὑμᾶς μόνον οὐκ ἐπὶ τὴν ἐρυθρὰν
θάλατταν [n] πρεσβείας πέμπειν, ὡς ἐπιβουλευομένης μὲν
ὑπὸ Φιλίππου τῆς Ἑλλάδος, ὑμῖν δὲ [o] προσῆκον προορᾶν
ταῦτα καὶ μὴ προΐεσθαι τὰ τῶν Ἑλλήνων; οὐχ ὁ μὲν
γράφων τὸ ψήφισμα Εὔβουλος ἦν, ὁ δὲ πρεσβεύων εἰς
Πελοπόννησον Αἰσχίνης [p] οὑτοσί; ἐλθὼν δ' ἐκεῖσε ἅττα
[q] μέν ποτε διελέχθη καὶ ἐδημηγόρησεν, αὐτὸς ἂν εἰδείη, ἃ
δ' ἀπήγγειλε πρὸς ὑμᾶς, ὑμεῖς οἶδ' ὅτι [r] μέμνησθε πάν-

[e] ἂν om. r.
[f] οὐδὲ om. F. Q. t. v.
[g] ἐχθρὸς ante ἐστιν ponit s.
[h] ἐστ' ante οὗτος ponit r.
[i] Ἴσχανδρον] ἴσχρανδρον Y. O.
[k] μακροὺς καὶ καλοὺς S. Y. O. καλοὺς καὶ μακροὺς k. s. καλοὺς καὶ μακροὺς καὶ πολλοὺς F. Q. r. t. v.
[l] λόγους ἐκείνους] ἐκείνους λόγους r.
[m] Ἀγλαύρου] ἀγραύλου k. r. s.
[n] πρεσβείας] πρεσβείαν k. s.
[o] προσῆκον] προσῆκεν F. προσῆκεν S. et pr. t.
[p] οὑτοσί] οὗτος s.
[q] μέν ποτε] μὲν τότε O. k. s.
[r] μέμνησθε πάντες] πάντες μέμνησθε r.

348 τες. βάρβαρόν τε γὰρ πολλάκις καὶ ἀλάστορα τὸν Φί-
λιππον ἀποκαλῶν ἐδημηγόρει, καὶ τοὺς Ἀρκάδας ὑμῖν
[s] ἀπήγγελλεν ὡς ἔχαιρον, εἰ προσέχει τοῖς πράγμασιν 439
ἤδη καὶ ἐγείρεται ἡ τῶν Ἀθηναίων πόλις. ὁ δὲ [t] πάντων
μάλιστ' ἀγανακτῆσαι ἔφη· συντυχεῖν γὰρ ἀπιὼν Ἀτρε-
στίδᾳ παρὰ Φιλίππου πορευομένῳ, καὶ [u] μετ' αὐτοῦ γύ-
349 ναια καὶ παιδάρια ὡς τριάκοντα βαδίζειν, αὐτὸς δὲ
[x] θαυμάσας ἐρέσθαι τινὰ τῶν ὁδοιπόρων τίς ἄνθρωπός ἐστι
καὶ τίς [y] ὄχλος ὁ μετ' αὐτοῦ, ἐπειδὴ δὲ [z] ἀκοῦσαι ὅτι
Ἀτρεστίδας [a] παρὰ Φιλίππου τῶν Ὀλυνθίων αἰχμάλωτα
δωρεὰν [b] ταῦτ' ἔχων ἀπέρχεται, δεινὸν [c] αὐτῷ τι δόξαι
καὶ δακρῦσαι καὶ [d] ὀδύρασθαι τὴν Ἑλλάδα, ὡς κακῶς
διάκειται, [e] εἰ τοιαῦτα πάθη περιορᾷ γιγνόμενα. καὶ
[f] συνεβούλευεν ὑμῖν πέμπειν τινὰς εἰς Ἀρκαδίαν, οἵτινες
[g] κατηγορήσουσι τῶν [h] τὰ Φιλίππου πραττόντων· ἀκούειν
γὰρ ἔφη τῶν φίλων, ὡς ἐὰν ἐπιστροφὴν ἡ πόλις ποιήση-
ται καὶ [i] πρέσβεις πέμψῃ, δίκην ἐκεῖνοι δώσουσιν.
350 ταῦτα μὲν τοίνυν τότε καὶ μάλα, ὦ ἄνδρες Ἀθηναῖοι,
καλὰ καὶ τῆς πόλεως ἄξια ἐδημηγόρει. ἐπειδὴ δὲ ἀφί-
κετο εἰς Μακεδονίαν καὶ τὸν ἐχθρὸν εἶδε τὸν αὑτοῦ καὶ
τῶν Ἑλλήνων, τὸν Φίλιππον, ἆρά γε ὅμοια ἢ παρα-
πλήσια τούτοις; πολλοῦ [k] γε καὶ δεῖ, ἀλλὰ μήτε τῶν

[s] ἀπήγγελλεν] ἀπήγγειλλεν O. r. t. v.

[t] πάντων] ἁπάντων k. s.

[u] μετ' αὐτοῦ] μετὰ τούτου k. s.

[x] θαυμάσας ἐρέσθαι] ἔρεσθαι θαυμάσας k. s. ἔρεσθαι etiam Y. Q. r. t. v.

[y] ὄχλος] ὁ ὄχλος r.

[z] ἀκοῦσαι F. Y. Q. O. k. r. s. t. v. ἀκούσαι vulg. S. accentu caret.

[a] παρὰ] ὁ παρὰ t.

[b] ταῦτ' ἔχων ἀπέρχεται] ἔχων ταῦτα ἄγει r. et γρ. Q.

[c] αὐτῷ] αὐτό k.

[d] ὀδύρασθαι] ὀδύρεσθαι r.

[e] εἰ] ἢ F. S. Y. Q. O. t. v.

[f] συνεβούλευεν] συνεβούλευσεν s.

[g] κατηγορήσουσι] κατηγορήσωσι t. καὶ κατηγορήσουσι O.

[h] τὰ] ὑπὲρ k. r. s.

[i] πρέσβεις πέμψῃ] πέμψῃ πρέσβεις r.

[k] γε καὶ om. O.

προγόνων μεμνῆσθαι μήτε τρόπαια [l] λέγειν μήτε [m] βοη-
351 θεῖν μηδενί, τῶν τε κελευόντων μετὰ τῶν Ἑλλήνων περὶ
τῆς πρὸς Φίλιππον εἰρήνης βουλεύεσθαι θαυμάζειν, εἰ περὶ
τῶν ὑμετέρων ἰδίων ἄλλον τινὰ δεῖ πεισθῆναι· εἶναί τε
τὸν Φίλιππον αὐτόν, Ἡράκλεις, ἑλληνικώτατον ἀνθρώ-
πων, δεινότατον λέγειν, φιλαθηναιότατον· οὕτω δὲ ἀτό-
πους τινὰς ἐν τῇ πόλει καὶ δυσχερεῖς ἀνθρώπους εἶ-
ναι, ὥστε οὐκ αἰσχύνεσθαι λοιδορουμένους αὐτῷ καὶ
352 βάρβαρον αὐτὸν ἀποκαλοῦντας. ἔστιν οὖν [n] ὅπως [o] ταῦτ' 440
ἄν, ἐκεῖνα προειρηκώς, ὁ αὐτὸς ἀνὴρ μὴ διαφθαρεὶς ἐτόλ-
μησεν εἰπεῖν; τί δέ; ἔστιν ὅστις ἂν τὸν Ἀτρεστίδαν [p] τότε
μισήσας διὰ τοὺς [q] τῶν Ὀλυνθίων παῖδας καὶ [r] γύναια
ταὐτὰ Φιλοκράτει [s] νῦν πράττειν ὑπέμεινεν, ὃς γυναῖκας
ἐλευθέρας τῶν Ὀλυνθίων ἤγαγε δεῦρο ἐφ' ὕβρει, καὶ οὕτως
353 ἐπὶ τῷ βδελυρῶς βεβιωκέναι γιγνώσκεται, ὥστε μηδὲν
[t] ἐμὲ αἰσχρὸν εἰπεῖν [u] νυνὶ περὶ αὐτοῦ δεῖν μηδὲ δυσχερές,
ἀλλὰ τοσοῦτον εἰπόντος μόνον, ὅτι Φιλοκράτης γυναῖκας
ἤγαγε, [x] πάντας ὑμᾶς εἰδέναι καὶ τοὺς περιεστηκότας
[y] τὰ μετὰ ταῦτα, καὶ ἐλεεῖν, εὖ οἶδ' ὅτι, τὰς ἀτυχεῖς
καὶ ταλαιπώρους ἀνθρώπους, ἃς οὐκ ἠλέησεν Αἰσχίνης,
οὐδ' ἐδάκρυσεν ἐπὶ ταύταις τὴν [z] Ἑλλάδα, εἰ παρὰ τοῖς
354 συμμάχοις ὑπὸ τῶν πρέσβεων ὑβρίζονται. ἀλλ' ὑπὲρ
αὐτοῦ [a] κλαήσει [b] τοῦ τὰ τοιαῦτα πεπρεσβευκότος, καὶ
τὰ παιδία ἴσως [c] παράξει καὶ ἀναβιβᾶται. ὑμεῖς δ'

[l] λέγειν] λέγει S.
[m] βοηθεῖν] βοηθεῖ S.
[n] ὅπως] ὅπου k.
[o] ταῦτ' ἂν] ἂν ταῦτ' r.
[p] τότε—ἀκηκοέναι §. 361.] Hæc bis ponit O.
[q] τῶν post τοὺς om. k.
[r] γύναια] τὰ γύναια k. r. s. et γρ. Q.
[s] νῦν πράττειν] συμπράττειν k. s.
[t] ἐμὲ αἰσχρὸν] αἰσχρὸν ἐμὲ k.r.s.
[u] νυνὶ] νῦν k. s.
[x] πάντας] ἅπαντας k. s.
[y] τὰ om. F.Y.Q.O.r u. et pr. t.
[z] Ἑλλάδα] ἐλπίδα k. s.
[a] κλαήσει] κλαύσεται k. r. s.
[b] τοῦ τὰ] ταῦτα k.
[c] παράξει] παρέξει s.

ἐνθυμεῖσθε, ὦ ἄνδρες δικασταί, πρὸς μὲν τὰ τούτου παιδία, ὅτι πολλῶν συμμάχων ὑμετέρων καὶ φίλων παῖδες ἀλῶνται καὶ πτωχοὶ περιέρχονται δεινὰ πεπονθότες διὰ τοῦτον, οὓς ἐλεεῖν πολλῷ μᾶλλον ὑμῖν ἄξιον ἢ [d] τοὺς [e] τοῦ
355 [f] τοιαῦτα [g] ἠδικηκότος καὶ προδότου πατρός, [h] καὶ ὅτι τοὺς ὑμετέρους παῖδας οὗτοι, καὶ τοῖς [i] ἐκγόνοις προσγράψαντες [k] τῇ εἰρήνῃ, καὶ τῶν ἐλπίδων ἀπεστερήκασι, πρὸς δὲ τὰ [l] αὐτοῦ τούτου δάκρυα, ὅτι νῦν ἔχετε ἄνθρωπον, ὃς εἰς Ἀρκαδίαν [m] ἐκέλευεν ἐπὶ τοὺς ὑπὲρ Φιλίππου πράτ-
356 τοντας πέμπειν τοὺς [n] κατηγορήσοντας. νῦν τοίνυν ὑμᾶς οὐκ εἰς Πελοπόννησον δεῖ πρεσβείαν πέμπειν, οὐδ' ὁδὸν 441
μακρὰν βαδίσαι, οὐδ' ἐφόδια ἀναλίσκειν, ἀλλ' ἄχρι τοῦ βήματος [o] ἐνταυθοῖ [p] προσελθόντα ἕκαστον ὑμῶν [q] τὴν ὁσίαν καὶ τὴν δικαίαν [r] ψῆφον ὑπὲρ τῆς πατρίδος θέσθαι κατ' ἀνδρός, ὅς, ὦ γῆ καὶ θεοί, ἐκεῖνα ἃ διεξῆλθον ἐν ἀρχῇ δεδημηγορηκώς, τὸν Μαραθῶνα, τὴν Σαλαμῖνα, τὰς μάχας, τὰ τρόπαια, ἐξαίφνης, ὡς ἐπέβη Μακεδονίας, πάντα τἀναντία τούτοις [s] ἔλεγε, μὴ προγόνων μεμνῆσθαι, [t] μὴ τρόπαια λέγειν, μὴ βοηθεῖν μηδενί, μὴ κοινῇ μετὰ τῶν Ἑλλήνων [u] βουλεύεσθαι, μόνον οὐ καθελεῖν [x] τὰ τείχη.

[d] τοὺς om. Q.
[e] τοῦ om. F. Y. O. t. u. v.
[f] τοιαῦτα om. S. τοσοῦτα Y. Q. O. t. u. v.
[g] ἠδικηκότος] ἠδικηκότας F. O. t. u. v.
[h] καὶ ὅτι τοὺς ὑμετέρους παῖδας] παῖδας οὓς k. r. s.
[i] ἐκγόνοις] ἐκείνοις u.
[k] τὴν εἰρήνην F. S. Q. O. k. r. s. t. u. v.
[l] αὐτοῦ om. k. r. s.
[m] ἐκέλευεν F. S. Q. t. u. v. vulg. ἐκέλευσεν.
[n] κατηγορήσοντας] κατηγορήσαντας k. r.
[o] ἐνταυθοῖ] ἐνταυθὶ S.
[p] προελθόντα k. r. s. et γρ. Q. προσελθόντα F. S. Y. Q. O. t. u. v.
[q] τὴν ὁσίαν καὶ τὴν δικαίαν S. Y. O. t. u. v. τὴν δικαίαν καὶ ὁσίαν k. s. τὴν ὁσίαν καὶ δικαίαν F. Q. r.
[r] ψῆφον] ταύτην ψῆφον F. Q. O. r. t. u. v.
[s] ἔλεγε om. S. in γρ. habent F. Q.
[t] μὴ τρόπαια] μηδὲ τρόπαια O.
[u] βουλεύεσθαι] βούλεσθαι S.
[x] τὰ] μὴ τὰ O.

357 καίτοι τουτων αἰσχίους λόγοι οὐδένες πώποτ' ἐν [y] τῷ παντὶ
χρόνῳ γεγόνασι παρ' ὑμῖν. τίς γάρ ἐστιν Ἑλλήνων ἢ
βαρβάρων [z] οὕτω σκαιὸς καὶ ἀνήκοος [a] καὶ σφόδρα μισῶν
τὴν πόλιν τὴν ἡμετέραν, ὅστις, εἴ τις ἔροιτο, εἰπέ μοι, τῆς
νῦν οὔσης Ἑλλάδος ταυτησὶ καὶ οἰκουμένης ἔσθ' ὅ τι ταύ-
την ἂν τὴν προσηγορίαν εἶχεν ἢ ᾠκεῖθ' ὑπὸ τῶν νῦν ἐχόντων
358 Ἑλλήνων, εἰ μὴ τὰς ἀρετὰς ὑπὲρ αὐτῶν ἐκείνας [b] οἱ Μα-
ραθῶνι καὶ Σαλαμῖνι παρέσχοντο [c] οἱ [d] ἡμέτεροι πρόγονοι;
οὐδ' ἂν εἷς εὖ οἶδ' ὅτι φήσειεν, ἀλλὰ [e] πάντα ταῦθ' ὑπὸ
τῶν βαρβάρων [f] ἂν ἑαλωκέναι. εἶθ' οὓς μηδὲ τῶν ἐχθρῶν
μηδεὶς ἂν τούτων τῶν ἐγκωμίων καὶ τῶν ἐπαίνων ἀποστε-
ρήσειε, τούτων Αἰσχίνης [g] ὑμᾶς οὐκ ἐᾷ μεμνῆσθαι, τοὺς
359 ἐξ ἐκείνων, ἵν' αὐτὸς ἀργύριον λάβῃ; καὶ μὴν τῶν μὲν
ἄλλων ἀγαθῶν οὐ μέτεστι τοῖς τεθνεῶσιν, οἱ δ' ἐπὶ τοῖς
καλῶς πραχθεῖσιν ἔπαινοι τῶν οὕτω τετελευτηκότων ἴδιον
κτῆμά εἰσιν· οὐδὲ γὰρ ὁ φθόνος [h] αὐτοῖς [i] ἔτι τηνικαῦτ'
ἐναντιοῦται. ὧν ἀποστερῶν ἐκείνους οὗτος αὐτὸς ἂν τῆς 442
ἐπιτιμίας δικαίως [k] νῦν στερηθείη, καὶ ταύτην ὑπὲρ τῶν
360 προγόνων ὑμεῖς δίκην [l] λάβοιτε παρ' αὐτοῦ. τοιούτοις
μέντοι λόγοις, ὦ κακὴ κεφαλή, σὺ τὰ τῶν προγόνων ἔργα
συλήσας καὶ διασύρας τῷ λόγῳ πάντα τὰ πράγματ'
ἀπώλεσας. [m] εἶτα γεωργεῖς ἐκ τούτων καὶ σεμνὸς γέ-
γονας. καὶ γὰρ [n] αὖ τοῦτο. [o] πρὸ μὲν τοῦ [p] πάντα κακὰ
[q] εἰργάσθαι τὴν πόλιν ὡμολόγει γεγραμματευκέναι καὶ

[y] τῷ παντὶ] παντὶ τῷ k. s.
[z] οὕτω σκαιὸς] οὕτως καιρὸς u.
[a] καὶ σφόδρα] ἢ σφόδρα F. k. v.
[b] οἱ] ἐν t.
[c] οἱ post παρέσχοντο vulg. om.
[d] ἡμέτεροι k. r. ὑμέτεροι ceteri.
[e] πάντα ταῦθ'] ταῦτα πάντα k.s.
[f] ἂν ἑαλωκέναι] ἀνηλωκέναι r.
[g] ὑμᾶς om. k. s.
[h] αὐτοῖς] αὐτὸς O.
[i] ἔτι τηνικαῦτ'] ἐπιτηνικαῦτα r.
[k] νῦν] ἂν νῦν F. νῦν ἂν r.
[l] λάβοιτε] λάβητε t.
[m] εἶτα] εἶτα καὶ r.
[n] αὖ om. S.Y.k.s.
[o] πρὸ] πρὸς S.
[p] πάντα] πάντα τὰ F.Q.O.k.r. s. t. u. v.
[q] εἰργάσθαι] εἰργάσασθαι O.

χάριν ὑμῖν ἔχειν τοῦ χειροτονηθῆναι, καὶ μέτριον παρεῖχεν
361 ἑαυτόν· ἐπειδὴ δὲ μυρία εἴργασται κακά, τὰς ὀφρῦς ἀνέ-
σπακε, [r]κἂν "ὁ γεγραμματευκὼς Αἰσχίνης" [s]εἴπῃ
τις, [t]ἐχθρὸς εὐθέως καὶ [u]κακῶς φησὶν ἀκηκοέναι, καὶ
διὰ τῆς ἀγορᾶς πορεύεται θοιμάτιον καθεὶς ἄχρι τῶν σφυ-
ρῶν, ἴσα βαίνων Πυθοκλεῖ, τὰς γνάθους φυσῶν, [x]τῶν
Φιλίππου [y]ξένων καὶ φίλων εἷς οὗτος ὑμῖν ἤδη, τῶν ἀπαλ-
λαγῆναι τοῦ δήμου βουλομένων καὶ κλύδωνα καὶ μανίαν
τὰ καθεστηκότα πράγμαθ' ἡγουμένων, ὁ [z]τέως προσκυ-
νῶν τὴν θόλον.

362 Βούλομαι τοίνυν [a]ὑμῖν ἐπελθεῖν ἐπὶ κεφαλαίων, ὃν τρό-
πον ὑμᾶς κατεπολιτεύσατο [b]Φίλιππος προσλαβὼν τού-
τους [c]τοὺς θεοῖς ἐχθρούς. πάνυ δ' ἄξιον ἐξετάσαι καὶ θε-
άσασθαι τὴν ἀπάτην ὅλην. τὸ μὲν γὰρ ἀπ' ἀρχῆς τῆς
εἰρήνης ἐπιθυμῶν, [d]διαφορουμένης αὐτοῦ τῆς χώρας ὑπὸ
τῶν λῃστῶν καὶ [e]κεκλειμένων τῶν ἐμπορίων, ὥστ' [f]ἀνό-
νητον ἐκεῖνον ἁπάντων εἶναι τῶν ἀγαθῶν, τοὺς [g]τὰ φιλάν-
θρωπα λέγοντας ἐκείνους ἀπέστειλεν ὑπὲρ αὐτοῦ, τὸν Νε-
363 οπτόλεμον, τὸν Ἀριστόδημον, τὸν Κτησιφῶντα· ἐπειδὴ δὲ 443
ἤλθομεν ὡς αὐτὸν ἡμεῖς οἱ πρέσβεις, ἐμισθώσατο μὲν
[h]τοῦτον εὐθέως, ὅπως [i]συνερεῖ καὶ συναγωνιεῖται τῷ μιαρῷ

[r] κἂν] καὶ r.
[s] εἴπῃ] εἴποι r. s.
[t] ἐχθρὸς εὐθέως] εὐθέως ἐχθρὸς k.s.
[u] κακῶς] κακός r.
[x] τῶν Φιλίππου] τοῦ φιλίππου u.
[y] ξένων καὶ φίλων] φίλων καὶ ξένων r.
[z] τέως] τέως πρώην F.S.Y.Q.O. t. u. v.
[a] ὑμῖν ἐπελθεῖν ἐπὶ κεφαλαίων S. Y. O. et γρ. Q. ὑμῖν ἐπὶ κεφαλαίων ἐπελθεῖν v. ὑμῖν ἐπανελθεῖν ἐπὶ κεφαλαίων k. s. ὑμῖν ἐπὶ κεφαλαίων ἐπανελθεῖν F. Q. ἐπὶ κεφαλαίων ὑμῖν ἐπανελθεῖν r. ὑμῖν ἐπὶ κεφαλαίων ἐλθεῖν t. u.
[b] Φίλιππος] ὁ φίλιππος r.
[c] τοὺς] τοῖς u.
[d] διαφορουμένης k. (θειρο written above)
[e] κεκλειμένων S.Y.O.s. vulg. κεκλεισμένων.
[f] ἀνόνητον] ἀνόητον s.
[g] τὰ om. v.
[h] τοῦτον εὐθέως] εὐθέως τοῦτον k.s.
[i] συνερεῖ] συνεργεῖ u.

Φιλοκράτει καὶ τῶν τὰ δίκαια βουλομένων [k] ἡμῶν πράτ-
τειν περιέσται, συνέγραψε δ' ἐπιστολὴν ὡς ὑμᾶς, [l] ᾗ μά-
364 λιστ' ἂν ᾤετο τῆς εἰρήνης τυχεῖν. ἦν δ' οὐδὲν μᾶλλον
[m] μέγ' αὐτῷ καθ' ὑμῶν οὐδ' οὕτω πρᾶξαι, εἰ μὴ Φωκέας
ἀπολεῖ. τοῦτο δ' οὐκ ἦν εὔπορον· συνῆκτο γὰρ αὐτῷ τὰ
πράγματα, ὥσπερ ἐκ τύχης, εἰς καιρὸν τοιοῦτον, ὥστε [n] ἢ
μηδὲν ὧν ἐβούλετο εἶναι διαπράξασθαι, ἢ ἀνάγκην εἶναι
ψεύσασθαι καὶ ἐπιορκῆσαι καὶ μάρτυρας τῆς αὐτοῦ κα-
365 κίας [o] πάντας Ἕλληνας καὶ βαρβάρους ποιήσασθαι. εἰ
μὲν γὰρ προσδέξαιτο Φωκέας συμμάχους καὶ μεθ' ὑμῶν
τοὺς ὅρκους αὐτοῖς ἀποδοίη, τοὺς πρὸς Θετταλοὺς καὶ
Θηβαίους ὅρκους [p] παραβαίνειν εὐθὺς ἀναγκαῖον ἦν, ὧν
τοῖς μὲν τὴν Βοιωτίαν συνεξαιρήσειν [q] ὀμωμόκει, τοῖς δὲ
τὴν πυλαίαν συγκαταστήσειν· εἰ δὲ μὴ προσδέχοιτο,
ὥσπερ οὐ προσίετο, οὐκ ἐάσειν ὑμᾶς παρελθεῖν [r] αὐτὸν
ἡγεῖτο ἀλλὰ βοηθήσειν εἰς Πύλας, ὅπερ, εἰ μὴ παρεκρού-
σθητ', ἐποιήσατ' ἄν· εἰ δὲ [s] τοῦτο γένοιτο, οὐκ ἐνεῖναι παρ-
366 ελθεῖν ἐλογίζετο. καὶ τοῦτο οὐ παρ' ἄλλων αὐτὸν ἔδει
πυθέσθαι, ἀλλ' αὐτὸς ὑπῆρχε [t] μάρτυς ἑαυτῷ τοῦ πράγ-
ματος· ὅτε γὰρ [u] Φωκέας ἐκράτησε [x] τὸ πρῶτον καὶ διέ-
φθειρε τοὺς ξένους αὐτῶν καὶ τὸν ἡγούμενον καὶ στρατη-
γοῦντα Ὀνόμαρχον, τότε τῶν ὄντων [y] ἀνθρώπων ἁπάντων

[k] ἡμῶν] ὑμῶν Q. ὑμῶν k.
[l] ᾗ] δι' ἧς Y. O. r. et γρ. Q.
[m] μέγα αὐτῷ] αὐτῷ μέγα k. οὔτω μέγα s.
[n] ἢ μηδὲν] καὶ μηδὲν s.
[o] πάντας] ἅπαντας F. k. r. s.
[p] παραβαίνειν post ἦν ponit r.
[q] ὀμωμόκει] ὠμωμόκει F. Y. s. et correctus v.
[r] αὐτὸν] αὐτὸν εἰς πύλας γρ. Q.
[s] τοῦτο S. Y. O. k. r. s. ceteri ταῦτα.
[t] μάρτυς ἑαυτῷ] ἑαυτῷ μάρτυς r.
[u] Φωκέας ἐκράτησεν τὸ πρῶτον k. s. φωκέας ἐκτήσατο πρῶτον S. Y. O. πρῶτον ἐκράτησε φωκέας r. τὸ πρῶτον ἐκράτησε φωκέας F. Q. t. u. v. quod vulg. addunt ὁ Φίλιππος om. S. Y. O. k. s. t. u. v.
[x] τὸ om. r.
[y] ἀνθρώπων ἁπάντων] ἁπάντων ἀνθρώπων k. s.

οὐδενός, οὔτε Ἕλληνος οὔτε βαρβάρου, Φωκεῦσι βοηθήσαν-
τος πλὴν ὑμῶν, οὐχ ὅπως παρῆλθεν ἢ διεπράξαθ' ὧν ἠβου- 444
λήθη τι παρελθών, ἀλλ' οὐδὲ προσελθεῖν ἐγγὺς ἠδυνήθη.
367 ᾔδει [z] δὴ σαφῶς οἶμαι τοῦθ', ὅτι νῦν, ἡνίκα [a] ἐστασίαζε
μὲν αὐτῷ τὰ [b] Θετταλῶν, καὶ Φεραῖοι πρῶτον οὐ συνηκο-
λούθουν, [c] ἐκρατοῦντο δὲ Θηβαῖοι καὶ [d] μάχην ἥττηντο καὶ
τρόπαιον ἀπ' αὐτῶν εἱστήκει, οὐκ [e] ἔνεστι παρελθεῖν, [f] εἰ
[g] βοηθήσεθ' ὑμεῖς, οὐδ', ἂν ἐπιχειρῇ, [h] χαίρειν, εἰ μή τις
368 τέχνη προσγενήσεται. πῶς οὖν μήτε [i] ψεύσομαι φανερῶς,
μήτ' ἐπιορκεῖν δόξας πάνθ' [k] ἃ [l] βούλομαι διαπράξομαι;
πῶς; [m] οὕτως, [n] ἂν Ἀθηναίων τινὰς εὕρω τοὺς [o] Ἀθηναί-
ους ἐξαπατήσοντας· ταύτης γὰρ [p] οὐκέτ' ἐγὼ τῆς αἰ-
σχύνης κληρονομῶ. ἐντεῦθεν οἱ μὲν παρ' ἐκείνου πρέσβεις
προὔλεγον ὑμῖν ὅτι Φωκέας οὐ προσδέχεται Φίλιππος
369 συμμάχους, οὗτοι δ' [q] ἐκδεχόμενοι τοιαῦτ' ἐδημηγόρουν,
ὡς φανερῶς μὲν οὐχὶ καλῶς ἔχει τῷ Φιλίππῳ προσδέ-
ξασθαι τοὺς Φωκέας συμμάχους διὰ τοὺς Θηβαίους καὶ
[r] τοὺς Θετταλούς, [s] ἐὰν δὲ γένηται τῶν πραγμάτων κύριος
καὶ τῆς εἰρήνης τύχῃ, ἅπερ ἂν συνθέσθαι νῦν ἀξιώσαιμεν
370 αὐτόν, ταῦτα ποιήσει τότε. τὴν μὲν τοίνυν εἰρήνην ταύταις

[z] δὴ] δὲ k. r. v.
[a] ἐστασίαζε] ἐστασιάζετο k. r. s.
[b] Θετταλῶν] τῶν θετταλῶν k. s.
[c] ἐκρατοῦντο] ἐκράτουν Y. O. et pr. S.
[d] μάχην S. Y. O. μάχην τε u. μάχῃ τε Q. v. ceteri μάχῃ.
[e] ἔνεστι] ἐνεῖναι γρ. F. S. Q.
[f] εἰ] εἰ μὴ γρ. S. Q. ἢ r.
[g] βοηθήσεθ'] βοηθήσεσθ' r.
[h] χαίρειν S. χαιρήσειν r. s. et γρ. S. τοῖς ὅπλοις χαιρήσειν δυνήσεται k. τοῖς ὅπλοις δυνήσεται F. Q. O. t. u. v. et rec. Y. ubi totum hoc (τοῖς ὅπλοις δυνήσεται εἰ μή τις) in litura.
[i] ψεύσομαι] ψεύσωμαι Y. O. r.
[k] ἃ] ὅσα F. Q. k. r. s. t. u. v.
[l] βούλομαι διαπράξομαι] βούλωμαι διαπράξωμαι r.
[m] οὕτως om. k. s.
[n] ἂν] ἐὰν r. om. pr. v.
[o] Ἀθηναίους] ἀθηναίων u.
[p] οὐκέτ' ἐγὼ] ἐγὼ οὐκέτι Anecd. p. 150. 24.
[q] ἐκδεχόμενοι] ἐχόμενοι k. ἐρχόμενοι correctus k.
[r] τοὺς ante Θετταλοὺς om. Q.
[s] ἐὰν] ἂν S.

ταῖς [t] ἐλπίσι καὶ ταῖς [u] ἐπαγωγαῖς [x] εὕρετο παρ' ὑμῶν
ἄνευ Φωκέων· τὴν δὲ βοήθειαν ἔδει [y] μετὰ ταῦτα κωλῦσαι
τὴν εἰς [z] τὰς Πύλας, ἐφ' ἣν αἱ πεντήκοντα τριήρεις [a] ὅμως
ἐφώρμουν, [b] ἵν', εἰ πορεύοιτο Φίλιππος, [c] κωλύοιθ' ὑμεῖς.
371 πῶς οὖν; τίς τέχνη [d] πάλιν αὖ γενήσεται περὶ ταύ-
της; τοὺς χρόνους ὑμῶν ἀφελέσθαι καὶ [e] ἐπιστῆσαι τὰ
πράγματα ἀγαγόντας ἄφνω, ἵνα μηδ' ἂν βούλησθε 445
[f] δύνησθε ἐξελθεῖν. οὐκοῦν [g] τοῦθ' οὗτοι [h] πράττοντες φαί-
νονται, ἐγὼ δ', ὥσπερ ἀκηκόατ' ἤδη πολλάκις, οὐχὶ δυ-
νηθεὶς προαπελθεῖν, ἀλλὰ καὶ μισθωσάμενος πλοῖον [i] κα-
372 τακωλυθεὶς ἐκπλεῦσαι. ἀλλὰ καὶ πιστεῦσαι Φωκέας
ἔδει Φιλίππῳ καὶ ἑκόντας [k] ἑαυτοὺς [l] ἐνδοῦναι, ἵνα μηδεὶς
χρόνος ἐγγένηται τοῖς πράγμασι μηδ' ἐναντίον [m] ἔλθῃ
ψήφισμα παρ' ὑμῶν μηδέν. οὐκοῦν ὡς μὲν οἱ Φωκεῖς
σωθήσονται, παρὰ τῶν Ἀθηναίων πρέσβεων [n] ἀπαγγελθή-
σεται, ὥστε καὶ εἴ τις ἐμοὶ διαπιστεῖ, τούτοις πιστεύσας
αὑτὸν ἐγχειριεῖ· τοὺς δ' Ἀθηναίους αὐτοὺς μεταπεμψό-
μεθ' ἡμεῖς, ἵνα πάνθ', ὅσα [o] ἂν [p] βούλωνται, νομίσαντες
ὑπάρχειν σφίσι μηδὲν ἐναντίον ψηφίσωνται· οὗτοι δὲ τοι-
αῦτ' [q] ἀπαγγελοῦσι παρ' [r] ἡμῶν καὶ ὑποσχήσονται, ἐξ ὧν

[t] ἐλπίσι] ἐλπίσι καὶ ταῖς παρασκευαῖς t. u. v.
[u] ἐπαγωγαῖς] ὑπαγωγαῖς k. r. s.
[x] εὕρετο] εὕροντο S.Y.Q.O.t.u.v.
[y] μετὰ ταῦτα om. S.
[z] τὰς om. k. r. s.
[a] ὅμως] ἐμῶς r. ὁμόσε k. s.
[b] ἵν'] ἦν S.
[c] κωλύοιθ'] κωλύσοιθ' r.
[d] πάλιν om. pr. S.
[e] ἐπιστῆσαι] πιστεῦσαι O.
[f] δύνησθε k.r.s. δυνήσεσθε F.S.Y. Q.O. δυνήσαισθε v. vulg. δυνήσησθε.
[g] τοῦθ' S. Y. O. ταυθ' (ευ superscr.) F. ceteri ταῦθ'.
[h] πράττοντες] πράξαντες k. r. s.
[i] κατακωλυθεὶς] κατεκωλύθην F. Q. t. u. v. ἐκωλύθην r.
[k] ἑαυτοὺς om. S. Y. O.
[l] ἐνδοῦναι ante ἑαυτοὺς ponit r. ἐκδοῦναι S. Y. O. t. u. v.
[m] ἔλθῃ] ἐλθεῖν pr. S.
[n] ἀπαγγελθήσεται] ἀπαγγέλλονται S.
[o] ἂν om. k. s.
[p] βούλωνται] βούλονται k.
[q] ἀπαγγελοῦσι] ἀπαγγέλλουσι F. S. Y. Q. O.
[r] ἡμῶν] ὑμῶν F.Y.Q.O.r.t.u.v.

373 μηδ᾽ ἂν ὁτιοῦν ᾖ κινηθήσονται. τοῦτον τὸν τρόπον καὶ τοι-
αύταις τέχναις [s] ὑπὸ τῶν κάκιστ᾽ ἀπολουμένων ἀνθρώπων
πάντα τὰ πράγματ᾽ ἀπώλετο. καὶ γάρ τοι παραχρῆμα
ἀντὶ μὲν τοῦ Θεσπιὰς καὶ Πλαταιὰς ἰδεῖν οἰκιζομένας
Ὀρχομενὸν καὶ Κορώνειαν ἠκούσατε [t] ἠνδραποδισμένας,
ἀντὶ δὲ τοῦ τὰς Θήβας ταπεινὰς γενέσθαι [u] καὶ περιαι-
ρεθῆναι τὴν ὕβριν καὶ τὸ φρόνημ᾽ αὐτῶν τὰ τῶν συμμάχων
τῶν [x] ὑμετέρων Φωκέων τείχη κατεσκάπτετο· Θηβαῖοι δ᾽
ἦσαν οἱ κατασκάπτοντες, οἱ [y] διοικισθέντες ὑπ᾽ Αἰσχίνου
374 τῷ λόγῳ. ἀντὶ δὲ τοῦ τὴν Εὔβοιαν ἀντ᾽ Ἀμφιπόλεως
[z] ὑμῖν παραδοθῆναι ὁρμητήρια ἐφ᾽ ὑμᾶς ἐν Εὐβοίᾳ Φίλιπ-
πος [a] προσκατασκευάζεται καὶ [b] Γεραιστῷ καὶ Μεγάροις 446
ἐπιβουλεύων διατελεῖ. ἀντὶ δὲ τοῦ τὸν Ὠρωπὸν ὑμῖν ἀπο-
δοθῆναι περὶ [c] Δρύμου καὶ τῆς πρὸς Πανάκτῳ χώρας μεθ᾽
ὅπλων ἐξερχόμεθα, ὃ, τέως ἦσαν Φωκεῖς σῷοι, οὐδὲ πώ-
375 ποτ᾽ ἐποιήσαμεν. ἀντὶ δὲ τοῦ [d] τὰ πάτρια ἐν τῷ ἱερῷ
κατασταθῆναι καὶ τὰ χρήματα εἰσπραχθῆναι τῷ θεῷ, οἱ
[e] μὲν ὄντες Ἀμφικτύονες φεύγουσι καὶ ἐξελήλανται, καὶ
ἀνάστατος αὐτῶν ἡ χώρα γέγονεν, οἱ δ᾽ [f] οὐδὲ πώποτ᾽ ἐν
τῷ πρόσθεν χρόνῳ γενόμενοι, Μακεδόνες [g] καὶ βάρβαροι,
νῦν Ἀμφικτύονες εἶναι βιάζονται· ἐὰν δέ τις περὶ τῶν ἱε-
ρῶν χρημάτων μνησθῇ, κατακρημνίζεται, ἡ πόλις δὲ τὴν

[s] ὑπὸ] ὑπὸ τούτων F.Q.O.k.r.s. t.u.v.

[t] ἠνδραποδισμένας] ἐξηνδραποδισμένας F.k.r.s.u.

[u] καὶ post γενέσθαι om. s.

[x] ὑμετέρων] ἡμετέρων k.s.

[y] διοικισθέντες] διαιρεθέντες ὥστε μὴ ὁμοῦ οἰκεῖν διοικισθέντες O.

[z] ὑμῖν] ἡμῖν k.s.

[a] προσκατασκ.] προκατασκευάζεται O.t.u. κατεσκευάζετο k.s.

[b] Γεραιστῷ] γεραστῷ k.r.s.u. γεραίστωι Y.O.

[c] Δρύμου] δρυμοῦ Y.Q.O.r.t.u.v.

[d] τὰ om. t.u.

[e] μὲν ὄντες] μένοντες O.r.

[f] οὐδεπώποτε] οὐπώποτ᾽ S.Y.O.t.v.

[g] καὶ ante βάρβαροι om. Y.O. t.u.v.

376 προμαντείαν ἀφῄρηται. καὶ [h] γέγονε τὰ πράγματα [i] πάνθ'
ὥσπερ αἴνιγμα τῇ πόλει. ὁ μὲν οὐδὲν ἔψευσται καὶ πάνθ'
ὅσ' ἠβουλήθη διαπέπρακται, ὑμεῖς δ', ἅπερ εὔξαισθ' ἂν
ἐλπίσαντες τἀναντία τούτων [k] ἑωράκατε γιγνόμενα, καὶ
δοκεῖτε μὲν εἰρήνην ἄγειν, πεπόνθατε δὲ δεινότερα ἢ πολε-
μοῦντες· οὗτοι δὲ χρήματ' ἔχουσιν ἐπὶ τούτοις καὶ μέχρι
377 τῆς τήμερον ἡμέρας δίκην οὐ δεδώκασιν. ὅτι [l] γὰρ ταῦθ'
[m] ἁπλῶς [n] δεδωροδόκηνται καὶ τιμὴν ἔχουσιν ἁπάντων
τούτων οὗτοι, πολλαχόθεν μὲν ἔγωγ' οἶμαι δῆλον ὑμῖν
εἶναι πάλαι, καὶ δέδοικα μὴ τοὐναντίον [o] οὗ βούλομαι
[p] ποιῶ, σφόδρα ἀκριβῶς δεικνύναι πειρώμενος, [q] διοχλῶ
πάλαι [r] τοῦτ' αὐτοὺς ὑμᾶς [s] εἰδότας· ὅμως [t] δ' ἔτι καὶ
378 τόδ' [u] ἀκούσατε. ἔστιν [x] ὅντιν' ὑμεῖς, ὦ ἄνδρες δικασταί,
τῶν πρέσβεων ὧν ἔπεμψε Φίλιππος χαλκοῦν στήσαιτ'
ἂν ἐν ἀγορᾷ; τί δέ; δοίητ' ἂν ἐν πρυτανείῳ σίτησιν ἢ ἄλ-
λην τινὰ δωρεάν, αἷς τιμᾶτε τοὺς εὐεργέτας; ἐγὼ μὲν 447
οὐκ οἶμαι. διὰ τί; οὔτε γὰρ ὑμεῖς [y] γε ἀχάριστοί ἐστε
οὔτ' ἄδικοι ἄνθρωποι οὔτε κακοί. [z] ἀλλ' ὅτι πάνθ' ὑπὲρ
Φιλίππου καὶ οὐδ' ὁτιοῦν ὑπὲρ ὑμῶν [a] ἔπραξαν, εἴ-
379 ποιτ' ἄν, [b] καὶ ἀληθῆ καὶ [c] δίκαια. εἶτ' οἴεσθε [d] ὑμεῖς μὲν
οὕτω γιγνώσκειν, τὸν δὲ Φίλιππον οὐχ οὕτως, ἀλλὰ τού-
τοις διδόναι [e] τηλικαύτας καὶ τοσαύτας δωρεάς, διότι

[h] γέγονε] γέγωνεν O.
[i] πάνθ' om. k. s. t.
[k] ἑωράκατε] ἑοράκατε O.
δὲ
[l] γὰρ S.Q.k.s. γὰρ F. ceteri δὲ.
[m] ἁπλῶς] οὕτως ἔχει καὶ γρ. S.Q.
[n] δεδωροδόκηνται] δεδωροδόκηται k. r.s. οὐ δεδωροδόκηνται t. u.
[o] οὗ] ἢ k. s.
[p] ποιῶ] ποιήσω k. s.
[q] διοχλῶ] ἐνοχλῶ k. s.
[r] τοῦτ'] τοὺς r.
[s] εἰδότας] ἑωρακότας καὶ εὖ εἰδότας γρ. S.
[t] δ'] δ' οὖν F. Q. t. u. v.
[u] ἀκούσατε] ἀκούσατέ μου k. s.
[x] ὅντιν'] ὅντιν' ἂν F. k. s.
[y] γε om. k. r. s.
[z] ἀλλ' om. S. k. s.
[a] ἔπραξαν post ὑμῶν ponit r.
[b] καὶ ante ἀληθῆ om. r.
[c] δίκαια] δίκαι' ἂν εἴποιτε k. s.
[d] ὑμεῖς] ὑμᾶς v.
[e] τηλικαύτας καὶ τοσαύτας S. Y.

[f] ὑπὲρ ὑμῶν [g] καλῶς καὶ δικαίως ἐπρέσβευσαν; οὐκ ἔστι
ταῦτα. τὸν γὰρ Ἡγήσιππον ὁρᾶτε καὶ τοὺς μετ' αὐτοῦ
380 πρέσβεις [h] ὅπως ἐδέξατο. τὰ μὲν ἄλλα σιωπῶ, ἀλλὰ
Ξενοκλείδην τουτονὶ τὸν ποιητὴν ἐξεκήρυξεν, ὅτι [i] αὐτοὺς ὑπε-
δέξατο πολίτας ὄντας. τοῖς μὲν γὰρ ὑπὲρ ὑμῶν λέγουσι
δικαίως ὅσ' ἂν φρονῶσι τοῦτον τὸν τρόπον προσφέρεται, τοῖς
δὲ πεπρακόσιν [k] αὑτοὺς ὡς τούτοις. ταῦτ' οὖν μαρτύρων,
ταῦτ' ἐλέγχων [l] τινῶν ἔτι δεῖται μειζόνων; ταῦτ' ἀφαιρή-
σεταί τις ὑμῶν;

381 Εἶπε τοίνυν [m] μοί τις [n] ἄρτι προσελθὼν πρὸ τοῦ δικα-
στηρίου πρᾶγμα καινότατον πάντων, Χάρητος κατηγορεῖν
αὐτὸν παρεσκευάσθαι, καὶ διὰ τούτου τοῦ τρόπου καὶ
[o] τούτων τῶν λόγων ἐξαπατήσειν ὑμᾶς [p] ἐλπίζειν. ἐγὼ
δ' ὅτι μὲν πάντα τρόπον κρινόμενος Χάρης [q] εὕρηται πισ-
τῶς [r] καὶ εὐνοϊκῶς, ὅσον ἦν [s] ἐπ' ἐκείνῳ, πράττων ὑπὲρ
[t] ὑμῶν, διὰ δὲ τοὺς ἐπὶ χρήμασι λυμαινομένους τοῖς πράγ-
382 μασι πολλῶν ὑστερῶν, οὐ σφόδρα [u] ἰσχυρίζομαι, ἀλλ'
ὑπερβολὴν ποιήσομαι· ἔστω γὰρ [x] πάντα [y] τἀληθῆ [z] λέ-
ξειν περὶ αὐτοῦ τουτονί. καὶ οὕτω τοίνυν κομιδῇ γέλως
ἐστὶ κατηγορεῖν ἐκείνου τουτονί. ἐγὼ γὰρ Αἰσχίνην [a] οὐ-
δενὸς αἰτιῶμαι τῶν ἐν τῷ πολέμῳ πραχθέντων ([b] τούτων

O. τηλικαύτας καὶ τοιαύτας k. s. vulg. τοσαύτας καὶ τηλικαύτας.

[f] ὑπὲρ om. k. s.

[g] καλῶς καὶ δικαίως] δικαίως καὶ καλῶς r.

[h] ὅπως] πῶς F. S. Q. k. s.

[i] αὐτοὺς] δι' αὐτοὺς addito rec. νὴ S.

[k] ἑαυτοὺς] αὐτοῖς Q.

[l] τινῶν om. F.

[m] μοι ante προσελθὼν ponit r.

[n] ἄρτι] ἄρα τι u.

[o] τούτων om. k.s. διὰ τούτων F.r.

[p] ἐλπίζειν] ἐλπίσειν r.

[q] εὕρηται S. Q. εὕρηται [σι] F. εὑρή-σεται Y.O.t.u.v. εὑρεθήσεται k.r.s.

[r] καὶ om. S. Y. O.

[s] ἐπ'] ἐν k. s.

[t] ὑμῶν] ἡμῶν O.

[u] ἰσχυρίζομαι] διισχυρίζομαι F. O. k. u. v.

[x] πάντα] ἅπαντα k. s.

[y] τἀληθῆ] ἀληθῆ r.

[z] λέξειν] λέγειν s.

[a] οὐδενὸς] οὐδαμῶς Y. O.

[b] τούτων] τούτω r.

γάρ εἰσιν οἱ στρατηγοὶ ὑπεύθυνοι) οὐδὲ τοῦ ποιήσασθαι 448
τὴν πόλιν εἰρήνην, ἀλλ' ἄχρι τούτου πάντ' ἀφίημι. τί οὖν
383 λέγω καὶ πόθεν ἄρχομαι κατηγορεῖν; τοῦ ποιουμένης τῆς
πόλεως εἰρήνην Φιλοκράτει συνειπεῖν, ἀλλὰ [c] μὴ τοῖς τὰ
βέλτιστα γράφουσι, καὶ τοῦ δῶρα εἰληφέναι, τοῦ μετὰ
ταῦτα ἐπὶ τῆς [d] ὑστέρας πρεσβείας τοὺς χρόνους κατα-
τρίψαι καὶ μηδὲν ὧν προσετάξαθ' ὑμεῖς ποιῆσαι, τοῦ φε-
νακίσαι τὴν πόλιν, καὶ [e] παραστήσαντα ἐλπίδας, ὡς ὅσα
βουλόμεθ' ἡμεῖς Φίλιππος πράξει, πάντ' ἀπολωλεκέναι,
τοῦ μετὰ ταῦθ', ἑτέρων προλεγόντων φυλάττεσθαι τὸν τοσ-
384 αῦτα ἠδικηκότα, τοῦτον ἐκείνῳ συνηγορεῖν. ταῦτα κατ-
ηγορῶ, ταῦτα μέμνησθε, [f] ἐπεὶ δικαίαν εἰρήνην καὶ [g] ἴσην
καὶ μηδὲν πεπρακότας ἀνθρώπους μηδὲ ψευσαμένους ὕσ-
τερον κἂν ἐπῄνουν [h] καὶ στεφανοῦν [i] ἐκέλευον. στρατηγὸς
δ' εἴ τις [k] ἠδίκηχ' ὑμᾶς, οὐχὶ κοινωνεῖ ταῖς νῦν εὐθύναις.
385 ποῖος γὰρ στρατηγὸς [l] Ἅλον, τίς δὲ Φωκέας ἀπολώ-
λεκε; τίς δὲ [m] Δορίσκον; τίς δὲ Κερσοβλέπτην; τίς δὲ
Ἱερὸν ὄρος; τίς δὲ Πύλας; τίς δὲ πεποίηκεν ἄχρι τῆς
Ἀττικῆς ὁδὸν διὰ συμμάχων καὶ φίλων εἶναι Φιλίππῳ;
τίς δὲ Κορώνειαν, τίς δ' Ὀρχομενόν, τίς δ' Εὔβοιαν ἀλ-
λοτρίαν; τίς Μέγαρα πρῴην ὀλίγου; τίς Θηβαίους ἰσχυ-
386 ρούς; τούτων γὰρ οὐδὲν τοσούτων καὶ τηλικούτων ὄντων
διὰ τοὺς στρατηγοὺς ἀπώλετο, [n] οὐδ' ἐν τῇ εἰρήνῃ [o] συγ-
χωρηθὲν πεισθέντων ὑμῶν ἔχει Φίλιππος, ἀλλὰ διὰ τού-

[c] μὴ τοῖς] τοῖς μὴ r.
[d] ὑστέρας] ὑμετέρας t. u. v.
[e] παραστήσαντα] παραστήσαντας pr. S. παραστήσαντα τὰς Y. O. t. u. v.
[f] ἐπεὶ—καὶ] ἐπεὶ εἰ—ἑώρων καὶ rec. k.
[g] ἴσην] ἴσην πεποιημένους γρ. S.
[h] καὶ στεφανοῦν] κἂν στεφανοῦν Q.
[i] ἐκέλευον] ἐβούλευον s.
[k] ἠδίκηχ' r. vulg. ἠδίκηκεν.
[l] Ἅλον] ἄλλον t. et pr. F. ἄλον Y. O. ἄλλεις u.
[m] δὲ ante Δορίσκον om. k. ante Πύλας et Ὀρχομενὸν om. r. ante Εὔβοιαν om. F. S. Y. Q. O. t. u. v.
[n] οὐδ' ἐν] οὐδὲν F. Q. t. u. v.
[o] συγχωρηθὲν] συγκεχωρηθὲν O. συγχωρηθὲν οὐδὲν s. συγχωρηθὲν οὐδὲ k. r.

τους [p] ἀπόλωλε καὶ τὴν [q] τούτων δωροδοκίαν. ἂν τοίνυν
ταῦτα μὲν φεύγῃ, πλανᾷ δὲ καὶ πάντα μᾶλλον λέγῃ,
ἐκείνως αὐτὸν δέχεσθε. "οὐ [r] στρατηγῷ δικάζομεν, οὐ 449
387 "περὶ [s] τούτων κρίνῃ. [t] μὴ λέγε εἴ τις αἴτιός ἐστι καὶ
"ἄλλος τοῦ [u] Φωκέων ὀλέθρου, ἀλλ' ὡς οὐ σὺ [x] αἴτιος
"δεῖξον. τί οὖν, εἴ τι Δημοσθένης [y] ἠδίκει, νῦν λέγεις,
"ἀλλ' οὐχ ὅτε τὰς εὐθύνας ἐδίδου κατηγόρεις; δι' αὐτὸ
"γὰρ εἶ τοῦτο ἀπολωλέναι δίκαιος. μὴ λέγε ὡς καλὸν
"[z] εἰρήνη, μηδ' [a] ὡς συμφέρον· οὐδεὶς γὰρ αἰτιᾶταί σε
388 "τοῦ [b] ποιήσασθαι [c] τὴν πόλιν εἰρήνην· ἀλλ' ὡς οὐκ αἰ-
"σχρὰ καὶ ἐπονείδιστος, καὶ πολλὰ ὕστερον ἐξηπατή-
"μεθα, καὶ πάντ' ἀπώλετο, ταῦτα λέγε. τούτων γὰρ
"ἁπάντων [d] ἡμῖν αἴτιος σὺ δέδειξαι, καὶ τί δὴ μέχρι
"[e] νυνὶ τὸν τὰ τοιαῦτα πεποιηκότα ἐπαινεῖς;" [f] ἂν οὕτω
φυλάττητε αὐτόν, οὐχ ἕξει τί [g] λέγῃ, ἀλλὰ τὴν ἄλλως
ἐνταῦθ' ἐπαρεῖ τὴν φωνὴν καὶ πεφωνασκηκὼς ἔσται.

389 Καίτοι καὶ περὶ τῆς φωνῆς ἴσως εἰπεῖν ἀνάγκη· πάνυ
γὰρ μέγα καὶ [h] ἐπὶ ταύτῃ φρονεῖν αὐτὸν ἀκούω, ὡς [i] καθ-
υποκρινούμενον ὑμᾶς. ἐμοὶ δὲ δοκεῖτε ἀτοπώτατον [k] ἁπάν-
των ἂν ποιῆσαι, εἰ ὅτε μὲν τὰ Θυέστου καὶ τῶν ἐπὶ Τροίᾳ
κακὰ [l] ἠγωνίζετο, ἐξεβάλλετε αὐτὸν καὶ ἐξεσυρίττετε ἐκ
τῶν θεάτρων καὶ μόνον οὐ [m] κατελεύετε οὕτως, ὥστε τε-

[p] ἀπόλωλε] ἀπολώλεκε r.
[q] τούτων] τούτου t. u.
[r] στρατηγῷ] στρατηγὸν r.
[s] τούτων] τούτου s.
[t] μὴ λέγε] μηδε γε S.
[u] φωκέων] τῶν φωκέων F. Y. Q. O. r. t. u. v.
[x] αἴτιος] αἴτιος εἶ Y. O. r. συναίτιος εἶ F. Q. t. u. v.
[y] ἠδίκει] ἠδίκηκε k.
[z] εἰρήνη] ἡ εἰρήνη k. r. s.
[a] ὡς om. k. s.
[b] ποιήσασθαι] ποιῆσαι k. s.
[c] τὴν πόλιν εἰρήνην] εἰρήνην τὴν πόλιν s.
[d] ἡμῖν ante ἁπάντων ponit F. post αἴτιος k.
[e] νυνὶ] νῦν k. s.
[f] ἂν] ἐὰν k. r. s.
[g] λέγῃ] λέγει r. t. u. v.
[h] ἐπὶ ταύτῃ] ἐπ' αὐτῆι Y. O.
[i] καθυποκρινούμενον] καθυποκρινόμενον k. r. s.
[k] ἁπάντων ἂν] ἂν πάντων k. r. s.
[l] ἠγωνίζετο] ἐγνωρίζετο r.
[m] κατελεύετε] κατελεύσετε Q.

λευτῶντα τοῦ τριταγωνιστεῖν ἀποστῆναι, [n] ἐπειδὴ δὲ οὐκ
ἐπὶ τῆς σκηνῆς ἀλλ᾽ ἐν τοῖς κοινοῖς καὶ [o] μεγίστοις τῆς
πόλεως πράγμασι μυρί᾽ εἴργασται κακά, τηνικαῦθ᾽ ὡς
390 καλὸν φθεγγομένῳ προσέχοιτε. μηδαμῶς· μηδὲν [p] ὑμεῖς
ἀβέλτερον πάθητε, ἀλλὰ λογίζεσθ᾽ ὅτι δεῖ κήρυκα μὲν ἂν
δοκιμάζητε, [q] εὔφωνον σκοπεῖν, πρεσβευτὴν δὲ καὶ τῶν
κοινῶν ἀξιοῦντά τι πράττειν δίκαιον καὶ φρόνημ᾽ ἔχονθ᾽
ὑπὲρ [r] μὲν ὑμῶν μέγα, πρὸς δ᾽ ὑμᾶς ἴσον, ὥσπερ ἐγὼ
[s] Φίλιππον [t] μὲν οὐκ ἐθαύμασα, τοὺς δ᾽ αἰχμαλώτους 450
[u] ἐθαύμασα, ἔσωσα, [x] οὐδὲν ὑπεστειλάμην. οὗτος δ᾽ ἐκεί-
νου μὲν προὐκυλινδεῖτο [y] καὶ τοὺς παιᾶνας ᾖδεν, ὑμῶν δ᾽
391 [z] ὑπερεώρα. ἔτι τοίνυν ὅταν μὲν [a] ἴδητε δεινότητα ἢ εὐφω-
νίαν ἤ τι [b] τῶν ἄλλων τῶν τοιούτων ἀγαθῶν ἐπὶ χρηστοῦ
καὶ φιλοτίμου γεγενημένον ἀνθρώπου, συγχαίρειν καὶ συν-
ασκεῖν [c] πάντας δεῖ· κοινὸν γὰρ [d] ὑμῖν [e] πᾶσι τοῖς ἄλλοις
τοῦτ᾽ [f] ἀγαθὸν γίγνεται· ὅταν δ᾽ ἐπὶ δωροδόκου καὶ πο-
νηροῦ καὶ παντὸς ἥττονος λήμματος, ἀποκλείειν καὶ πι-
κρῶς καὶ ἐναντίως [g] ἀκούειν, ὡς πονηρία δυνάμεως δόξαν
392 [h] εὑρομένη παρ᾽ ὑμῶν ἐπὶ τὴν πόλιν ἐστίν. ὁρᾶτε δ᾽, ἀφ᾽
ὧν οὗτος εὐδοκιμεῖ, [i] πηλίκα τῇ πόλει περιέστηκε πράγ-
ματα. αἱ μὲν τοίνυν ἄλλαι δυνάμεις ἐπιεικῶς εἰσὶν αὐ-

[n] ἐπειδὴ] ἐπεὶ k. s.
[o] μεγίστοις] τοῖς μεγίστοις r.
[p] ὑμεῖς ἀβέλτερον] ἀβέλτερον ὑμεῖς r.
[q] εὔφωνον Y. O. k. s. εὐφώνους S. ceteri εἰ εὔφωνος.
[r] μὲν post ὑπὲρ om. S. Y. O. r.
[s] Φίλιππον] φιλίππου t.
[t] μὲν om. O.
[u] Alterum ἐθαύμασα om. k. s. et γρ. u. et in litura v. θαυμάσας F. Q. r. t. u.
[x] οὐδὲν] καὶ οὐδὲν k. s. οὐδὲν δὲ F. Q. r. t. u. v.
[y] καὶ om. pr. S.
[z] ὑπερεώρα] ὑπερορᾶι S. ὑπερώραι Y. O.
[a] ἴδητε] εἰδῆτε k. s.
[b] τῶν ἄλλων om. r. post τοιούτων ponit k.
[c] πάντας] ἅπαντας F. O. r. t. u. v.
[d] ὑμῖν] ὑμῖν (ἡ superscr.) F. ἡμῖν Q. k. r.
[e] πᾶσι S. Y. O. ceteri ἅπασι.
[f] ἀγαθὸν] τὸ ἀγαθὸν r.
[g] ἀκούειν] ἀκούειν δεῖ k. r. s.
[h] εὑρομένη] εὑραμένη k. r. s.
[i] πηλίκα] ἡλίκα k.

τάρκεις, ἡ δὲ τοῦ λέγειν, ἂν τὰ παρ' ὑμῶν τῶν ἀκουόντων
ἀντιστῇ, διακόπτεται. οὕτως οὖν ἀκούετε τούτου ὡς πο-
νηροῦ καὶ δωροδόκου καὶ οὐδ' ὁτιοῦν ἐροῦντος ἀληθές.
393 Ὅτι δ' οὐ μόνον κατὰ [k] τἆλλα, ἀλλὰ καὶ τὰ πρὸς
αὐτὸν [l] τὸν Φίλιππον πράγματα [m] πανταχῶς συμφέρει
[n] τουτονὶ ἑαλωκέναι, θεάσασθε. εἴτε γὰρ ἥξει ποτὲ εἰς
ἀνάγκην τῶν δικαίων τι ποιεῖν τῇ πόλει, τὸν τρόπον με-
ταθήσεται· νῦν μὲν γὰρ [o] ᾕρηται τοὺς πολλοὺς ἐξαπατῶν
ὀλίγους θεραπεύειν, [p] ἂν δὲ τούτους ἀπολωλότας πύθηται,
ὑμῖν τοῖς πολλοῖς καὶ πάντων κυρίοις τὰ λοιπὰ ποιεῖν
394 βουλήσεται. εἴτ' ἐπὶ τῆς αὐτῆς [q] ἧσπερ νῦν ἐξουσίας [r] καὶ
ἀσελγείας [s] μενεῖ, τοὺς ὁτιοῦν ἂν ἐκείνῳ [t] ποιήσοντας ἀνη-
ρηκότες ἐκ τῆς πόλεως ἔσεσθε, ἂν [u] τούτους ἀνέλητε· [x] οἳ
γὰρ οἰόμενοι δίκην ὑφέξειν τοιαῦτ' ἔπραξαν, τούτους, ἐὰν
τὰ παρ' ὑμῶν αὐτοῖς [y] ἐφεθῇ, τί οἴεσθε [z] ποιήσειν; ποῖον 451
[a] Εὐθυκράτη, ποῖον Λασθένη, τίν' οὐχ [b] ὑπερβαλεῖσθαι
395 προδότην; τίνα δ' οὐ πάντων τῶν ἄλλων χείρω πολίτην
ὑπάρξειν, ὁρῶντα τοῖς μὲν ἅπαντα πεπρακόσι χρήματα,
δόξαν, ἀφορμὴν [c] τὴν Φιλίππου ξενίαν περιοῦσαν, τοῖς δὲ
[d] δικαίους τε παρέχουσιν ἑαυτοὺς καὶ προσανηλωκόσι
χρήματα πράγματα, ἀπεχθείας, φθόνον περιόντα παρ'
ἐνίων; μηδαμῶς· οὔτε γὰρ πρὸς δόξαν οὔτε πρὸς εὐσέ-

[k] τἆλλα] ἄλλα Q.
[l] τὸν om. O. r.
[m] πανταχῶς S.Y.O.t.u.v. παν-ταχῶς (οῦ) F. vulg. πανταχοῦ.
[n] τουτονὶ] τοῦτον S. Y. O. k. s.
[o] ᾕρηται S. k. r. s. ceteri προῄρη-ται.
[p] ἂν] ἐὰν k. s.
[q] ἧσπερ] ὥσπερ s.
[r] καὶ ἀσελγείας om. Q.
[s] μενεῖ] μένει k. s.
[t] ποιήσοντας] ποιήσαντας k. r. s.
[u] τούτους] τούτοις t.
[x] οἳ S.Y.O. et γρ. k. vulg. εἰ.
[y] ἐφεθῇ S.Y.O. et γρ. k. ceteri ἀφεθῇ.
[z] ποιήσειν] ποιεῖν k. s.
[a] Εὐθυκράτη — Λασθένη F. S. Q. vulg. Εὐθυκράτην—Λασθένην.
[b] ὑπερβαλεῖσθαι] ὑπερβαλεῖσθε r.
[c] τὴν om. k. s.
[d] δικαίους] δικαίοις k. r. s.

βειαν οὔτε πρὸς ἀσφάλειαν οὔτε πρὸς ἄλλο [e] οὐδὲν ὑμῖν [f] συμφέρει τοῦτον ἀφεῖναι, ἀλλὰ τιμωρησαμένους παράδειγμα ποιῆσαι πᾶσι, καὶ τοῖς πολίταις καὶ τοῖς ἄλλοις Ἕλλησιν.

[e] οὐδὲν om. r.

[f] συμφέρει τοῦτον] τοῦτον συμφέρει r.